Digitized by the Internet Archive
in 2009 with funding from
University of Toronto

https://archive.org/details/scholiagraecainh03homeuoft

H7661D.2

SCHOLIA GRAECA

IN

HOMERI ILIADEM

EX CODICIBUS AUCTA ET EMENDATA

EDIDIT

GULIELMUS DINDORFIUS.

TOMUS III.

OXONII:
E TYPOGRAPHEO CLARENDONIANO.
M.DCCC.LXXVII.

[*All rights reserved*]

5693
5919/20

PA
4035
A2
1875
t.3

PRAEFATIO.

Tertio hoc quartoque volumine scholia complexus sum tripertita codicis Veneti Marciani 453, qui in membranis scriptus est seculo undecimo foliis 338 formae maximae, scriptura eleganti lectuque facillima, cuius specimen photographicum huic editioni adiectum est versuum 7, 395—413. Codex omni ex parte integer est, nisi quod folii primi scriptura ita est detrita ut multa hodie legi nequeant, ut videre licet vol. 3 p. 3 et 4 p. 362, foliis autem 68, 69 (Il. 5, 259—355) et 145 (11, 167—217) ablatis tria substituta sunt manus recentioris folia, quae primae manus scholiis omnibus in codice, quum adhuc integer esset, repertis carent, manus vero recentis scholia in foliis 68 et 69 novem (vol. 3 p. 244, 5—247, 20), in folio 145 quattuor (vol. 3 p. 463, 30—464, 12) habent: quem defectum recentior aliquis grammaticus insertis, qualia etiam alibi inter secundae manus scholia in hoc codice passim reperiuntur, longioribus ex Diogene Laertio et Suida excerptis explevit longaque de diis deabusque hominum instar vulneratis vel alia mala passis disputatione ad versum 5, 336, (vol. 3 p. 244, 21—247, 7), quae tota transscripta est ex Heracliti Ἀλληγορίαις Ὁμηρικαῖς c. 30—34, et fortasse lecta fuit in margine exteriore folii perditi 69 b inter alia ex Porphyrio et Heraclito excerpta, de quibus infra dicetur p. vii.

Trium autem quas modo dicebam classium scholia

tam accurate in codice sunt discreta ut nihil usquam dubitationis relictum sit cui quodque scholion classi sit adscribendum. Primae classis scholia, quae ab initio sola scripta in hoc codice fuerunt, numeris per litteras α', β', γ', et sic porro expressis ad eosdem numeros textui superscriptos referuntur, et ita quidem ut folium quodque versum ab numeris α', β', γ', et sequentibus incipiat usque ad finem folii proximi recti continuatis, cuius pagina versa rursus ab numero α' incipit, et sic per totum codicem, de quo dixit Rosius in *Aristotele pseudepigrapho* p. 151. Inter scholia litteris numeralibus notata non pauca reperiuntur quae nihil aliud sunt quam glossemata, quae in aliis olim libris supra versus scripta, unde *interlinearia* vocari solent, scholiorum compositor inter scholia rettulit suisque numeris notavit.

Secunda scholiorum classis litteris minoribus ab alia manu scripta in margine interiore ipsa quoque variis signis (⁂ ※ ⁘ aliisque), quibus eadem textui superscripta respondent, a prima classe distinguitur, quacum tamen passim ita cohaeret ut priori scholii a manu prima scripti parti finis imponatur adiecta a manu secunda parte scholii altera, interdum per *καί* vel *δέ* aliasve particulas adiuncta, eraso quod prima manus in fine sui scholii posuerat signo scholii finiti (:—): v. Hiller. in Fleckeiseni Annal. a. 1868 p. 802. Ab his scholiis separata est alia scholiorum series, similibus signis ad textum relata, quam manus paullo recentior in margine exteriore adscripsit, qua longiora ex Porphyrii *Ζητήμασιν Ὁμηρικοῖς* et Heracliti *Ἀλληγορίαις Ὁμηρικαῖς* excerpta continentur, quorum non pauca a Villoisono omissa nunc primum edidi.

Ad res in scholiis primae secundaeque classis tractatas quod attinet, etsi Venetus B ampliore apparatu critico grammaticorum Alexandrinorum, qualem magna

ex parte servavit codex Venetus A, est destitutus et Zenodoti, Aristophanis, Aristarchi aliorumque veterum criticorum nomina rarius apparent, nec sine erroribus ab scholiorum excerptore commissis, de quibus dixerunt Lehrsius in libro de Aristarcho p. 31 et Duentzerus in libro de Zenodoto p. 11, tamen utraque scholiorum classis plurima continet ad interpretanda poetae verba utilia generis grammatici, historici et mythologici, et amplissima Porphyrii Ζητημάτων et Heracliti Ἀλληγοριῶν excerpta * servavit, in margine exteriore a manu paullo recentiore addita. Nam quae

* Mirum est unum ex Heraclito excerptum ad 5, 392. vol. 3 p. 249, 22—250, 4 non ut reliqua Heracliti a manu recentiore in margine exteriore, sed a manu prima in margine interiore numero suo (ε′) notatum non solum in B legi, sed etiam in Townleiano, Florentino Laurentiano 32, 3 et Lipsiensi.

† Sic scholion Porphyrii numero notatum ιθ′ a manu prima legitur ad 15, 189, vol. 4 p. 83, 4—10 in B, Townleiano et Lipsiensi, sed plenius in Scorialensi et Harleiano, Πορφυρίου. ἐναντιοῦσθαι δοκεῖ τὸ τριχθὰ δὲ πάντα δέδασται, ἕκαστος δ' ἔμμορε τιμῆς" τῷ (193) "γαῖα δ' ἔτι ξυνὴ πάντων καὶ μακρὸς Ὄλυμπος." οὐδὲ γὰρ ἔτι πάντα δέδασται. λύοιτο δ' ἂν τῇ λέξει. τὸ γὰρ πάντα οὐ μόνον δηλοῖ τὰ πλεῖστα, ἀλλὰ παρελκομένως "οἱ δ' ἐννέα πάντες ἀνέσταν" (Il. 24, 232). "χρυσοῦ δὲ στήλας φέρε δέκα πάντα τάλαντα" (Il. 19, 247). τὸ δὲ πάντα δέδασται ἀντὶ τοῦ πλεῖστα, ὡς εἰ ἔλεγε, τὰ πλείονα μεμέρισται, πλὴν γῆς τε καὶ οὐρανοῦ· ταῦτα γὰρ ἔτι κοινά· ποτὲ δὲ καὶ παρέλκει, ὡς τὸ "οἱ δ' ἐννέα πάντες ἀνέσταν." Ubi postrema verba ποτὲ δὲ καὶ—ἀνέσταν delenda videntur, quae ex superioribus inutiliter sunt repetita. Eadem ratio duorum scholiorum ad 15, 128, vol. 4 p. 80, 26—34 quorum prius (lin. 26—29) a m. prima scriptum in B, alterum (lin. 30—34) a m. secunda, quae ordine inverso leguntur in codice Lipsiensi. Sed unum fuit scholion Porphyrii quod integrum servarunt codices Scorialensis et Harleianus, Πορφυρίου. οὐ δεῖ στίζειν εἰς τὸ "φρένας ἠλέ," εἶτα καθ' αὑτὸ λέγειν "διέφθορας," ἀλλ' ὅλον συνάπτειν τὸ "φρένας διέφθορας ἠλέ." αὐτὸς γὰρ ἐπάγει πρὸς μὲν τὸ "μαινόμενε" "ἦ νύ τοι αὔτως οὔατ' ἀκουέμεν ἐστί," πρὸς δὲ τὸ "τὰς φρένας διέφθορας ἠλέ" "νόος δ' ἀπόλωλε καὶ αἰδώς." ἐπὶ μὲν οὖν τοῦ "μαινόμενε" τὰς φρένας διεφθάρθαι κατηγόρησεν, ἐπὶ δὲ τοῦ κούφου καὶ μὴ βεβαίου τὸ ἀεσίφρων. τοῦ δὲ ἠλέ εἴτε ἀποκοπή ἐστιν εἴτε συγκοπή. γίνεται δὲ παρὰ τὴν ἄλην, ἵν' ᾖ πεπλανημένε. Similia leguntur etiam in Townleiano, ubi praescriptum οὕτω Πορφύριος.

manus prima in margine interiore ex Porphyrio excerpsit pauca sunt et plerumque brevia, ut excerpta Porphyriana codicis Veneti A, de quibus dixi in Praefatione voluminis primi p. xiv †. Copiosiora autem marginis Veneti exterioris excerpta, quibus plures optimae notae codices carent, ut infra dicetur, non ab eodem scripta sunt grammatico, qui breviora marginis interioris scholia diversum secutus consilium excerpsit, sed ab alio ex pluribus collecta codicibus, transscriptis non raro integris adeo Porphyrii Ζητημάτων capitibus, de quo dixerunt Hillerus in Fleckeiseni Annalibus a. 1868 p. 804 et Schraderus in Praefatione ad Scholia Porphyrii p. 18.

Valde diversa a primis secundisque codicis scholiis est tertia scholiorum classis, quae signis rubris litterisque rubris initialibus ad textus verba referuntur. Nam tertiae huius classis scholia ab ignoto aliquo aetatis multo inferioris grammatico ex Etymologico M. aliorumque grammaticorum scriptis sunt compilata, quorum ea quae alicui usui esse possunt vel aliquid sibi proprium habent recepi, reliquis in Appendicem relegatis vol. 4 p. 362 seqq.

Lemmata trium classium scholiis ab editoribus addita sunt: nam in codice nulla sunt, neque opus iis erat, quum numeri et signa textus monstrent vocabula, ad quae scholion quodque sit referendum.

De aetate qua commentarius codicis Veneti B e manibus auctoris exierit, tantum probabiliter coniici posse videtur, non diu post Porphyrii tempora, i. e. seculo quarto, operam hanc a grammatico aliquo susceptam esse, qui quum more aetatis illius ab reconditiore veterum Alexandrinorum eruditione alienior esset, diversas de codicum scripturis opiniones veterum grammaticorum Alexandrinorum raro attigit, sed omne fere studium in scholia contulit multiplicis generis exegetica, quae partim ipse scripsit

partim ex aliis quorum copia ei fuerat codicibus compilavit, quemadmodum vicissim aliorum codicum scholia non raro ex hac scholiorum collectione sunt interpolata.

Codices scholiorum Veneto B non aequiparandi quidem, sed tamen similes ei non pauci exstant cum infinita scripturae diversitate, de qua, quatenus operae pretium erit, in Annotationibus plura dicentur. Interim ego idem quod in scholiis codicis Veneti A separatim editis consilium secutus curavi ut alterius quoque codicum generis exemplum primarium, quod praebet codex Venetus B, quam purissimum neque ex aliis codicibus interpolatum exhiberem, quibus ita tantum usus sum ut ex iis librariorum in codice Veneto errores, qui nec multi nec graves sunt, corrigerem. Quinque autem potissimum hoc consilio codicibus usus sum, Townleiano, Scorialensi, Leidensi, Harleiano, Lipsiensi, quum alios multos quos inspexi vix quidquam boni praebere vidissem, quod non peti possit ex quinque illis, quorum princeps est Townleianus, olim Florentinus in bibliotheca Salviati*, hodie inter codices Burneianos Musei Britannici, scriptus in membranis seculo undecimo, de quo certius constaret, nisi in subscriptione erasus esset anni numerus, de quo dixit

* V. Lucam Holstenium in Dissertatione de vita et scriptis Porphyrii cap. 7. Scholia rhapsodiae nonae ex hoc codice edidit Conr. Horneius, Helmstadii a. 1620. descripta ab Io. Caselio. Apographum scholiorum codicis Townleiani seculo sexto decimo manu eleganti, sed non sine multis erroribus scriptum, ex bibliotheca Petri Victorii cum aliis eius libris Romae coemtis in regiam Monacensem est delatum, numero notatum xvi, foliis 470 formae maximae: v. Hardtii Catal. vol. 1 p. 91. Codice archetypo in scholiis rhapsodiarum quinque (1 et 19—22), in ceteris apographo Victoriano usus est Heynius, quem v. in Praef. vol. 3 p. ci, solo apographo Bekkerus et multo diligentius Ad. Roemerus in dissertatione *de scholiis Victorianis Homericis*, Monachii edita a. 1874. Ego quae in annotationibus memoravi ex ipso codice Townleiano sumsi.

Heynius vol. iii. p. cv. Foliis constat 281 formae quadratae maioris, litteris scriptus quam Venetus B paullo minoribus, quarum specimen (17, 478—484) proposuit Heynius in fine voluminis primi tabula D. Omissus est navium catalogus in fine rhapsodiae secundae, qui versuum est 384. Scholia marginibus adscripta maxima ex parte eadem sunt quae Veneti B, etsi multa cum diversitate scripturae, ex qua interdum scholia Veneta corrigi possunt. Alia scholia non pauca ex aliis scholiorum collectionibus illata sunt saepe cum Veneto A consentientia, alia denique eaque partim exquisita sibi propria habet, de quibus plura dicenda erunt in Annotationibus. Excerpta ex veterum criticorum Alexandrinorum notationibus etsi liber Townleianus multo plura praebet quam Venetus, tamen ipsa quoque nullo certo consilio delecta et longis saepe interrupta sunt intervallis. Porro rara sunt in codice Townleiano et partim a manu recentiore scripta scholia Porphyriana breviora, longiora vero omnia omissa. In scholiis igitur Porphyrianis tribus potius aliis codicibus utendum est, Scorialensi, Leidensi et Harleiano, quorum ope haec scholia prope integra componi possunt, praescripto etiam scholiis singulis Porphyrii nomine, quod ego ex iis ubique supplevi et aliis locis pluribus, quos ipsos quoque Porphyrii esse manifestum est, ex coniectura supplendum erit: nam in codice Veneto B nusquam apparet, exceptis aliquot scholiis quibus compendium *πρ*, *Πορφυρίου* significans, praescriptum est, de quo dixi in initio annotationum vol. 3 p. 1 et 33.

Scorialenses codices sunt duo, uterque membranaceus seculi undecimi. Prior (Υ, 1, 1 in Milleri Catalogo p. 260) paullo antiquior est altero (Ω, 1, 2 in Catalogo p. 462), sed scholia continet Porphyrii aliorumque multo pauciora quam alter, qui foliorum est 216 formae maximae et amplissimam praebet scholiorum Porphyria-

norum collectionem, ex qua scholia plura edidi in Philologo vol. 18 p. 341—352. Nomen Porphyrii scholiis eius in hoc codice tantum non omnibus praescriptum est.

Codici Scorialensi Ω, 1, 2, quod ad scholia Porphyrii attinet, simillimus est Leidensis Vossianus 64, scriptus seculo quarto decimo foliis chartaceis 493, in fine defectus: nam finitur rhapsodiae 24 versu 17. Hunc codicem accurate descripsit et scholia Porphyrii multa ex eo protulit Valckenarius in *Dissertatione de Scholiis in Homerum* primum edita in Appendice ad Ursini Virgilium collatione scriptorum Graecorum illustratum, a. 1747, repetita in Opusculis vol. 2 p. 1—151. Scholiis Porphyrii litteris modo nigris modo rubris nomen praescriptum est Πορφυρίου (semel Πορφυρίου ζήτημα fol. 140 b), raro omissum est. Porphyrianis passim admixta sunt excerpta ex scholiis quibus praescriptum est Σεναχειρήμ vel Σεναχηρίμ (Σεναχηρείμ in cod. Mosq. ad 24, 24), nomen Hebraicum apud alios aliter scriptum, de quo dixit Valckenarius p. 137, qui horum scholiorum specimina edidit et grammaticum hunc seculo duodecimo vel t rtio decimo vixisse coniecit, quorum alterum verum esse ostenderunt Peyronus in *Notitia librorum Valpergae Calusii* p. 23 et Bernhardyus in Hist. Litt. Gr. vol. ii, 1 p. 203. Alia ex Eustathio sunt illata (fol. 84 a, 86 a, 91 a, 95 b, 132 a, 142 a, 144 a, 152 a, 172 b), cum lemmate Εὐσταθίου.

Eiusdem et aetatis et generis codex est Harleianus Musei Britannici 5693 chartaceus seculi quarti decimi, qui ab Scorialensi et Leidensi eo tantum differt quod scholia Porphyrii in sex primas rhapsodias copiosa sunt, in reliquis vero plurima omissa.

Quintus denique codex est Bibliothecae Paulinae Lipsiensis 1275, partim bombycinus partim chartaceus seculi quarti decimi, quem accurate descripsit Hoffmannus in Prolegomenis ad rhapsodias Φ et X p. 46—55.

Scholia post Villoisonum, qui Bergleri apographo usus erat in Bibliotheca Hamburgensi asservato, ex codice ipso edidit Bachmannus Lipsiae a. 1835. Post rhapsodiam H, ubi folia manus recentioris chartacea incipiunt, scholia rarescunt et ad ultimam rhapsodiam prorsus deficiunt. Scholia rhapsodiarum A—H millena sunt eadem quae Veneti B, quocum etiam scholia plurima manus tertiae communia habet, et Townleiani, rara vero breviora ex Porphyrio excerpta, tacito plerumque auctoris nomine. Nam longiora Porphyrii scholia et excerpta ex Heraclito in codice Lipsiensi non magis leguntur quam in Townleiano et Florentino Laurentiano plutei xxxii, 3, seculi undecimi.

Operis ipsius, ex quo haec codicum excerpta derivata sunt, a Porphyrio *Ζητημάτων Ὁμηρικῶν* nomine inscripti, primus tantum hodie superest liber, servatus in codice Vaticano 305, bombycino seculi quarti decimi, foliis constante 209, quorum quattuordecim (171—184) continent *Πορφυρίου φιλοσόφου ὁμηρικῶν ζητημάτων βιβλίον α*, ab verbis incipiens *πολλάκις μὲν ἐν ταῖς πρὸς ἀλλήλους συνουσίαις* et verbis finitum *ἔπειτα ὁ Νέστωρ φησὶν ἀλλ' ἄνδρας κτείνωμεν*, post quae sequitur (fol. 184—190) Heracliti Allegoriarum fragmentum inde a capite 41. Ex hoc codice primus Porphyrii *Ζητημάτων* liber editus est Romae a. 1518, repetitus ab Fr. Asulano apud Aldum Manutium Venetiis a. 1521, qui in Praefatione Porphyrium *ex antiquis excerptum exemplaribus* se edere iactat. In utraque editione scripturam codicis parum accurate redditam esse ostendit Hercherus in *Herme* vol. 5 p. 292—295. Rationem operis ab se compositi Porphyrius ipse reddidit praemissa libro primo ad Anatolium Praefatione et clarius in scholio ad 10, 252, vol. 3 p. 434, 15, quod ex alius libri Praefatione sumtum videtur, *ἡ συναγωγὴ τῶν ζητουμένων γέγονε μὲν ἤδη καὶ παρ' ἄλλοις· ἡμεῖς δὲ τὰ προβλήματα λαμβάνοντες παρὰ τῶν ἐζητηκότων τὰς λύσεις ἐπικρίνομεν ἃς ἐκεῖνοι ὑπέ-*

ταξαν τοῖς προβλήμασιν, καὶ τινὰς μὲν τούτων ἐγκρίνομεν, τινὰς δὲ παραιτούμεθα, τὰς δ' αὐτοὶ ἐξευρίσκομεν, τὰς δὲ πειρώμεθα διορθοῦν καὶ ἐξεργάζεσθαι, ὥσπερ τοῖς ἐντυγχάνουσιν ἔσται δῆλον. Opere integro, cuius non constat quot libri fuerint, usi sunt scholiastae Homeri, quos maximam eius partem scholiis suis inseruisse ostendit Gildersleevius in commentatione *de Porphyrii studiis Homericis* Gottingae edita a. 1853 confecto indice scholiorum, quibuscum Quaestionum liber primus conferendus sit (p. 11—13), quibus nonnulla addenda nunc primum ex codicibus ab me edita.

Argumenta *ζητημάτων* captiosae praebuerunt philosophorum, sophistarum et grammaticorum veterum quaestiones raro fructuosam prodentes doctrinam, saepissime vero ad ostentandam inutilem ingenii subtilitatem excogitatae, de quo explicatius dixit Lehrsius in libro de studiis Aristarchi p. 199 seqq. enumeratis etiam quos novimus *ζητημάτων*, *προβλημάτων*, *ἀποριῶν* vel *ἀπορημάτων* scriptoribus inde ab Aristotele usque ad Porphyrium p. 221—223, cuius ex scholio ad Il. 9, 688, vol. 3 p. 418, primariam horum studiorum sedem Museum Alexandrinum fuisse discimus, *ἐν τῷ μουσείῳ τῷ κατὰ Ἀλεξάνδρειαν νόμος ἦν προβάλλεσθαι ζητήματα καὶ τὰς γινομένας λύσεις ἀναγράφεσθαι.*

Alia ex duobus aliis Porphyrii libris aliquoties diserte nominatis excerpserunt scholiastae, *περὶ τῶν παραλελειμμένων τῷ ποιητῇ ὀνομάτων* et *περὶ ἀγαλμάτων*, de quibus dixi in Praef. vol. 1 p. xiii dixeruntque Gildersleevius p. 14 seqq. et Hermannus Schraderus in Praefatione scholiorum Porphyrii ad rhapsodiam tertiam Hamburgi editorum a. 1872, p. 1, 2.

Satis ampla igitur parata est materia, ex qua Porphyrii *Ζητημάτων* libri prope integri iterum construi possint segregati ab aliorum quibuscum in codicibus mixti feruntur scholiastarum commentariis. Ad huiusmodi autem editionem praeparandam, ut recte monuit

Schraderus, scholia singulorum et Iliadis et Odysseae codicum sunt considerandа, in quibus scholia Porphyrii partim integra partim compendifacta nec raro omisso auctoris nomine leguntur, admixtis etiam multis non a Porphyrio scriptis, sed aliunde illatis, de quo dixit Wollenbergius in dissertatione de *Porphyrii studiis philologis*, Berolini edita a. 1854. His rationibus ductus scholia Porphyriana qualia in codice Veneto B leguntur edidi, ut cum aliorum codicum scholiis commode comparari possint, qui magnopere inter se discrepant, scholiis vel aliter scriptis vel additis vel omissis, vel ex aliis locis in alios translatis, interdum adeo ex Iliade in Odysseam vel vice versa, ut ex speciminibus aliorum codicum intellectum est, quae ex codicibus pluribus, inprimis Scorialensi Ω, 1, 2, de quo supra dicebam, edidi in Philologo a. 1861, vol. 18 p. 342—352, et magis intelligetur ex pleniore scripturae diversitate in Annotationibus proponenda.

Scholiorum codicis Veneti B edendorum initium fecit Antonius Bongiovanni, quum scholia libri primi cum Praefatione, annotationibus maximam partem inutilibus et interpretatione adeo Latina Venetiis ederet anno 1740, sed admodum negligenter nec distinctis tribus scholiorum classibus et omissis scholiis non paucis, inter quae sunt Porphyriana non solum longiora omnia, sed etiam breviora plura. Scholia qualia Bongiovanni ediderat, sed additis scholiis vulgatis non solum huius, sed etiam secundae rhapsodiae scholiis et utriusque Paraphrasi Graeca Francquerae a. 1783, repetivit Ev. Wassenberghius cum annotationibus doctioribus quam Bongiovanni scripserat. Post hos Villoisonus scholia codicum Veneti A (454) et B (453) et Lipsiensis Venetiis edidit a. 1788, et Veneta quidem B eadem fere negligentia qua scholia rhapsodiae primae ante eum ediderat Bongiovanni. Nam ipse quoque tres scholiorum classes ita permiscuit ut nusquam quid singulis classibus sit

adscribendum appareat et scholia plurima, inter quae sunt longiora Porphyriana multa et tertiae scholiorum classis pars maxima, omisit, nec pauca codicis scriptura non intellecta corrupit, et pessimo consilio scholia multa ex codicibus Veneto A aliisque ita interpolavit ut ubi duorum triumve codicum siglas scholiis apposuit, ubique fere incertum maneat quid in singulis legatur: de qua perversitate dixi in Praefatione scholiorum voluminis primi p. xxvii. Nec multo melius rem gessit proximus Villoisono editor I. Bekkerus, quum scholia in Iliadem Berolini ederet a. 1825, qui ipse quidem multa recte correxit, sed quum Villoisono confisus codicem denuo comparare non necessarium esse iudicasset, Villoisoni peccata pleraque omnia propagavit, quae mihi demum corrigere licuit, codice ab Cobeto et D. B. Monro eadem diligentia meos in usus denuo collato, quae iam in Praefatione voluminis primi p. xxvii praedicanda mihi fuit. Quo factum est ut viri docti quidam, qui vel eodem tempore vel postea singulas utriusque codicis Veneti partes tractarunt vix quidquam extricare potuerint praeter minutias, ex quibus rarissime aliquid emersit, quod quantumvis leve, tamen non indignum cognitu sit, ut exempla in Addendis collecta ostendunt, inter quae unum est prae ceteris lepidum, quod iam Eustathio seculo duodecimo fraudem fecit in scholio novitio codicis Veneti A ad 1, 56 (vol. 1 p. 14, 11—17), ubi haec leguntur (fol. 12 b in margine interiore) ab Villoisono omissa, sed a Bekkero primum sic edita, *οἱ μὲν γὰρ κύνες ἀπὸ τῆς ὀσφρήσεως τῶν ἰχνῶν ἐν αἰσθήσει τῶν θηρίων γίνονται, αἱ δὲ ἡμίονοι πολλάκις ἀπολειφθεῖσαι ἀνθρώπων ἀπὸ τῆς ὀσφρήσεως καὶ τὰς ὁδοὺς ἀνευρίσκουσι.* Verum in Veneto A non *ανων* legitur quod crediderunt editores et pro *ἀνθρώπων* acceperunt, sed *ηνων* partim obscuris litterarum ductibus, quibus significatur *ἀβηνῶν* vel *τῶν ἀβηνῶν*, vocabulum Graeco-latinum, qualia plura reperiuntur etiam inter scholia vetera Veneto-

rum A et B, de quo videndum Ducangii Glossarium vol. 1 p. 4 et Stephani Thesauri ed. Parisina. HNΩN quum in suo quoque exemplari legisset Eustathius, inops consilii in τινῶν mutavit, quod bona fide propagavit scholiasta Matrangae vol. 3 p. 393.

Scribebam Lipsiae.

ratae asterisco praefixo. Pleraeque emendationes ex codicibus Townleiano et Lipsiensi sunt petitae,

6. * *ποίει*] *ποιεῖ τε* (vel *τὸ*), quod *ποίει με* esse potest.

101

ζ

η

θ

ι

ΣΧΟΛΙΑ ΠΑΛΑΙΑ

ΕΙΣ ΤΗΝ ΟΜΗΡΟΥ ΙΛΙΑΔΑ.

ΕΙΣ ΤΗΝ Α.

1. ΜΗΝΙΝ] *μῆνις παρὰ τὸ μένω ἐν ἐκτάσει μῆνις ὡς ἔνος ἦνις.*

ἄειδε θεά] *μετωνυμικῶς ποίει ἀείδειν· βούλεται γὰρ τὰ λυπηρὰ μᾶλλον ᾄδειν, ἤτοι τῇ ἡδονῇ συγκαλύπτειν καὶ σκέπειν. ὅταν δὲ περὶ τοῦ πολυτρόπου* (Od. 1, 1) *ὁ λόγος, ἔννεπέ φησιν ἁπλῶς.*

ἄειδε θεά] *ἔθος τοῦτο ποιητικὸν, ὃ πάντες μικροῦ δεῖν ἐφυλάξαντο, καλεῖν τὰς Μούσας ἤτοι τὸ θεῖον ὡς ἐπικουρῆσον αὐτοῖς. καὶ ἐν* 'Οδυσσείᾳ *γάρ φησιν "ἄνδρα μοι ἔννεπε Μοῦσα," καὶ πάλιν ἐπάγει "τῶν ἁμόθεν γε θεά·" καὶ ἀλλαχοῦ* (Od. 8, 499) *"ὁ δ' ὁρμηθεὶς*

1. ΣΧΟΛΙΑ] Scholiorum codicis Veneti B (453) genera sunt tria, accurate distincta in codice, de quibus dictum est in Praefatione. Scholia secunda uno asterisco (*) praefixo notavimus, tertia duobus asteriscis (**), exceptis quae in Appendice exhibebimus excerptis etymologicis, quorum pars maxima ex Etymologico Magno et Epimerismis Homericis est transcripta. Lemmata in codice nulla sunt propter rationem in Praefatione expositam. Emendationes scholiorum ex aliis codicibus, eadem vel similia scholia continentibus, factae in annotationibus sunt memoratae asterisco praefixo. Pleraeque emendationes ex codicibus Townleiano et Lipsiensi sunt petitae, de quibus suo loco plura dicentur.

Folium 1 a, cuius scriptura passim evanuit, scholia continet manus primae viginti, litteris *α'*—*κ'* notata ad versus 1—11, unum tantum manus secundae, quod in summo paginae margine legitur ad v. 3 *Πορφυρίου· πολλὰς δ' ἰφθίμους*—cet. *Πορφυρίου* nomen hic et ad v. 225, 524 compendio *πρ'* expressum, alibi constanter omissum, sed servatum in aliis codicibus est, ex quibus ubique supplevi: de quo in Praefatione dixi.

4. *ἔνος ἦνις*] In A (i. e. Veneto 454) est *ενὸς ῆνις* sine spiritu.

6. * *ποίει*] *ποιεῖ τε* (vel *τὸ*), quod *ποίει με* esse potest.

θεοῦ ἦρχετο, φαῖνε δ' ἀοιδήν." οἱ δὲ λέγοντες ὡς ἐχρῆν ἐπὶ τοῖς οὕτω δυσφήμοις λέγειν "ἄειδέ μοι ἠροφοῖτις Ἐρινύς" τοῦ δέοντος ἁμαρτάνουσιν· οὐδὲ γάρ τι πρὸς γνῶσιν Ἐρινὺς συντελεῖ. ἐνθάδε μέντοι μίαν καλεῖ, ἐν δὲ τῇ ἀπαριθμήσει (Il. 2, 484) πάσας· "ἔσπετε νῦν μοι Μοῦσαι."

2. οὐλομένην] τὴν ὀλέσασαν ἢ τὴν ὀλεθρίαν. ὡς ἐπὶ ἰδίοις δὲ ἀλγῶν δυσφημεῖ αὐτήν. ὅρα δὲ τὰς ἐν ἀρχῇ ἀναφωνήσεις, ὅσον ὑποφαίνουσι τὸ πλῆθος τῶν ἱστορηθησομένων, ὡς καὶ ἐν Ὀδυσσείᾳ. ἔχει δὲ τοὺς γενικωτάτους τῶν τόπων τὸ προοίμιον· ποσόν, πολλάς· ποιόν, ἰφθίμους· οὐσίαν, ψυχάς· τόπον, Ἄϊδι· χρόνον, προΐαψεν.

μυρία] τινὲς θρηνητικὰ, παρὰ τὸ μύρεσθαι, καὶ ἐπίθετον αὐτὸ τῶν ἀλγέων ἤκουσαν. οὐδὲν δὲ ἄτοπον εἰ παρὰ Μουσῶν ταῦτα μαθεῖν ἐρωτᾷ· φρόνησις μὲν γάρ ἐστιν ἡ πάντων εἴδησις, προαίρεσις δὲ ἀκριβὴς ἡ τῶν ἀμεινόνων πράξεων αἵρεσις.

ἄλγε' ἔθηκε] ῥητορικὴ ἡ μετάληψις. παρὸν γὰρ ἦν φάναι "ὃς μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκεν·" ἀλλ' ὡς φιλέλλην οὐ τῷ ἥρωϊ ἐπάγει τὴν βλασφημίαν, ἀλλὰ τῷ πάθει. τὸ δὲ ἤ κατὰ δοτικήν τινες ἤκουσαν, οὐκ ὀρθῶς. κίνησιν δὲ οὐ τὴν τυχοῦσαν ἔχει τὸ προοίμιον, εἰ μέλλει διηγεῖσθαι θανάτους πολλῶν ἰφθίμων ἡρώων.

3. ψυχάς] Ἀπολλώνιος ὁ Ῥόδιος κεφαλάς γράφει.

Ἄϊδι προΐαψεν] ἐναντίον τῷ "μοῖραν δ' οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν" (Il. 6, 488). ἀλλ' οὐ ταυτὸν ἐκείνῳ τοῦτο. νῦν γὰρ δοκεῖ λέγειν ὡς οὐ διὰ τὴν Μοῖραν, ἀλλὰ τὴν μῆνιν Ἀχιλλέως ἀπώλοντο. ῥητέον οὖν ὅτι μοῖραν ἐνταῦθα ἀκουστέον τὴν πρὸ τῆς ὡρισμένης τελευτήν. πρεπώδης γὰρ ἀνθρώποις θάνατος ὁ ἐν γήρᾳ γινόμενος· "γῆρας γὰρ, φησὶ, καὶ θάνατος, τά τ' ἐπ' ἀνθρώποισι πέλονται" (Od. 13, 59). προΐαψεν οὖν, ἔβλαψε πρὸ τοῦ ὅρου παραπέμψασα τῷ Ἅδῃ, τοῦτ' ἐστὶ πρὸ τοῦ πρέποντος ἀνθρώποις θανάτου· ἢ περιττεύει ἡ πρό, ὡς τὸ "νῆάς τε προπάσας" (Il. 2, 493).

*Πορφυρίου. τὸ "πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν"

9. *γενικωτάτους] . . . κωτάτους, quattuor literis obliteratis.

11. μύρεσθαι] *μυριᾶσθαι, addito (post ἤκουσαν) ἐφ' οἷς μυριᾶσθαι καὶ τὸ κλαῦσαι.

12. μαθεῖν] *om.

19. *μέλλει] μέλλοι

26. γῆρας γὰρ, φησὶ, καὶ] *εἰσόκε γῆρας ἔλθῃ καὶ

27. *πρὸ τοῦ ὅρου] τοῦ ὅρου obliteratum.

ἐναντίον φαίνεται τῷ "μοῖραν δ' οὔτινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν" (Il. 6, 488). ἔτι δὲ καὶ "ψυχὴ δ', ἠΰτ' ὄνειρος, ἀποπταμένη πεπότηται" (Od. 11, 222), Ἄϊδος εἰσῆλθεν. εἰ γὰρ "προΐαψεν" ἐστὶ προδιέφθειρεν, οὔτε ἡ . . . . . οὔτε ἡ ψυχὴ μένει . . . . . γὰρ . . . . . λύεται δὲ κατ' αὐτὴν τὴν λέξιν. τὸ προΐαψεν ἀποδιδόασί τινες ἀντὶ . . . . . τὸ γὰρ Ἄϊδι προΐαψεν . . . . . .

4. καὶ ἀλλαχοῦ (Il. 9, 547) "ἡ δ' ἀμφ' αὐτῷ θῆκε πολὺν κέλαδον (ἤτοι περὶ τοῦ σώματος αὐτοῦ) ἀμφὶ συὸς (γάρ φησι) κεφαλῇ."

ἑλώρια] δασύνεται τὸ ἑλώρια παρὰ τὸ ἕλω ἕλωρ, ὡς παρὰ τὸ πέλω πέλωρ. κτητικὸν δέ ἐστι τὸ ἑλώριον, ᾧ ἀντὶ τοῦ ἕλωρα ἐχρήσατο. χρειώδης δέ ἐστιν ἐνταῦθα καὶ ἡ τοῦ τεῦχε αὐτοὺς παράτασις . . . . . .

αὐτοὺς δὲ ἑλώρια] δυσμενεῖς τοὺς ἀκροωμένους ἀπεργάζεται βλασ-

2. ψυχὴ—ὄνειρος] Sic lacunam codicis explevi ex versu Homeri restitui pro πεποτήαται.

3. πεπότηται ex versu Homeri pro πεποτήαται.

Ἄϊδος] Proximas post Ἄϊδος litteras legere non potuit Cobetus, pro εἰσῆλθεν accepit Monro: sed est fortasse εἶσω.

7. Post προΐαψεν, quo longior linea finitur, sequuntur breviorum linearum fragmenta, sic fere

προϊαψεν
ο τερα
λοπος
έ . . α
. . . .
μ
. . . .
. . . .
. . . .
. . . .
ἀποτροπ (ἀποτροπιασμοὺς?)
παθ
ορ
παντελ
λέγε

9. κελαδον] κέλαδον καὶ ἀϋτὴν apud Homerum.

συὸς ex Homero correxi pro συείη.

11. * ἕλω ἕλωρ, ὡς παρὰ] ἕλω ἕ . . . . παρὰ

12. * δέ ἐστι—τεῦχε] δέ ἐστι . . . . . ἀντὶ τοῦ ἕλωρα ἐχρήσατο. χειὼ . . . . . τεῦχε.

13. αὐτοὺς] αυτ

παράτασις] Conf. Eustath. p. 4, 20.

15. * ἀκροωμένους] Obliteratum in B.

ἀπεργάζεται] * ἐργάζεται

φημεῖσθαι ποιῶν, ὅτι τὰ σώματα οὐκ ἐκήδευσαν ἀνελόμενοι· πλὴν οὐδὲ δι' ἀμέλειαν περιεῖδον ἀτάφους, ἀλλὰ καιρὸν τοῦ κηδεῦσαι μὴ ἔχοντες. τεκμήριον δὲ τούτου· ἐν μὲν τῇ πρώτῃ μάχῃ, ἐν ᾗ Τρῶων ἐκράτουν, θάπτουσι τοὺς πεσόντας, ἐν δὲ τῇ μετ' αὐτὴν ἡττώμενοι διὰ τὴν τοῦ Διὸς βούλησιν, ἐπαυλιζομένων ταῖς ναυσὶ τῶν βαρβάρων, οὐκέτι περὶ τοῦ θάψαι τοὺς τεθνεῶτας, ἀλλὰ περὶ τῆς σφῶν σωτηρίας φροντίζουσιν. εἶτα γράφει ἡμέραν εἰς τὴν τοῦ Πατρόκλου ἔξοδον τελευτῶσαν. τῇ δὲ ἐπιούσῃ Ἀχιλλεὺς ἔξεισι, καὶ τὰ ταύτῃ ἐχόμενα γράφει. εἶτα καταλαβούσης ἑσπέρας εἰς τὰ Ἕκτορος λύτρα ἡ Ἰλιὰς τελευτᾷ.

5. οἰωνοῖσι] καὶ ἀλλαχοῦ "τάχα κέν σε γῦπες ἔδονται" (Il. 22, 42). οἱ γὰρ γῦπες ἀντερείδοντες τοῖς ποσὶ βίᾳ τὸ πᾶν ἕλκουσι σῶμα. εἰ δὲ καὶ μὴ πάντες ἤσθιον, ἀλλ' οὖν ἀνέδην πᾶσι προύκειντο.

Διὸς δ' ἐτελείετο βουλή] Διὸς βουλὴν λέγει νῦν ὁ ποιητὴς τὴν ἐπαγγελίαν τὴν πρὸς Θέτιδα· "Ζεὺς μὲν ἄρα Τρώεσσι καὶ Ἕκτορι βούλετο κῦδος" (Il. 13, 347). Εὐκλείδης δέ φησιν ὅτι οὐχ ὡς ἑπόμενον τοῖς πρώτοις τοῦτο εἴρηται, ἀλλ' ὡς κεχωρισμένον καὶ καθ' ἑαυτὸ λεγόμενον· ἡ δὲ Διὸς ἐτελείετο βουλὴ τῷ τοὺς ἠδικηκότας ἀξίαν δοῦναι δίκην ὧν ἠδίκησαν, ὅπερ ἐστὶ τέλος τῆς Ἰλιάδος, ὡς εἶναι τὸ μὲν ἐπὶ τοῦ Ἀχιλλέως εἰρημένον κοινὸν τῆς ὅλης φράσεως, τὸ πολλὰς δ' ἰφθίμους ψυχάς, τὸ δὲ ἐπὶ θεοῦ κεχωρισμένον, ὅτι δίκην ἔδοσαν ἱκανῶς τῇ βουλῇ αὐτοῦ.

6. διαστήτην] διέστησαν. ἡ δὲ τῶν δυϊκῶν κατάχρησις Ἀττική. τὸ δὲ ἔριδι ἀντὶ τοῦ μετὰ ἔριδος, ὡς μεθ' ὅπλων.

7. Ἀτρείδης] ἀντὶ τοῦ Ἀγαμέμνων, ὡς ἀγελείη καὶ Τριτογένεια ἡ Ἀθηνᾶ· ἐπεὶ γὰρ τὸ Ἀτρείδης καὶ τὸν Μενέλεων ἐδήλου, ἀντιδιαστέλλων προσέθηκεν ἄναξ ἀνδρῶν.

δῖος] δῖος ὁ ἔνδοξος, ἀπὸ τῆς τοῦ Διὸς ὑπεροχῆς. ποσαχῶς δὲ τὸ δῖος φησιν ἡ κατὰ συλλογισμὸν διήγησις; Ἀχιλλεὺς μὲν γὰρ πάντων χάριν, Ὀδυσσεὺς δὲ φρονήσεως, Ἀλέξανδρος δὲ καὶ Κλυταιμνήστρα κάλλους, Εὔμαιος εὐνοίας, θάλασσα δὲ καὶ Χάρυβδις μεγέθους. τὸν δ' Ἀχιλλέα καὶ διογενῆ, δίχα τοῦ κυρίου. "αὐτὰρ ὁ διογενής."

8. τίς τ' ἄρ'] ἐπὶ τὸ διηγηματικὸν μετιὼν ὑποβάλλει τὰς διηγήσεις αὐτομάτους, ἵνα μὴ δοκῇ τοῖς ἀκούουσι προσκορὴς εἶναι, ἀλλὰ διὰ πεύσεως καὶ ἀποκρίσεως τὸν τῶν ἀκροωμένων νοῦν ἀναρτῶν, καὶ

2. μὴ] *οὐκ 6. τεθνεῶτας] πεσόντας 18. *τῷ] τὸ

ὑψῶν αὐτοὺς πρότερον τῇ πεύσει, εἶτα τὴν ἀπόκρισιν ἐπάγων. ἐν δὲ τῇ εἰσβολῇ τὸν λόγον ἀναρτήσας φιλοτέχνως διηγεῖται τὴν μῆνιν. τοιοῦτος δέ ἐστι, κεφαλαιώδεις τινὰς ἐκδιδοὺς περιοχὰς, καὶ ἐξ ἀναστροφῆς κατὰ μέρος διηγούμενος. οἱ μέντοι περὶ τὸν Σιδώνιον τῇ σφῶϊ ἀρέσκονται, οὐ καλῶς. ἡ γὰρ σφῶϊ δύο πτώσεις ἐπιδέχεται, ὑμεῖς τε καὶ ὑμᾶς, ὧν οὐδέτερον ἁρμόζει. τὸ δὲ σφωέ μᾶλλον τρίτου ἐστὶ δυϊκοῦ προσώπου, καὶ σημαίνει τὸ αὐτούς.

9. βασιλῆϊ] διὰ τί οὐκ Ἀγαμέμνονι, ἀλλὰ βασιλεῖ φησίν; δείκνυσι . . . . . οὐδὲν ὀνίνησι τύχη τοὺς περὶ τὸ θεῖον πλημμελήσαντας.

10. ὦρσε] ψιλωτέον τὸ ὦρσεν· ἀπὸ γὰρ τοῦ ὄρω τὸ ὁρμῶ Αἰολικῶς γίνεται.

λαοί] καίτοι τοῦ λαός περιλημματικοῦ ὄντος, ὅμως πρὸς πλείω ἔμφασιν τῷ πληθυντικῷ ἐχρήσατο.

11. τὸν Χρύσην ἠτίμασεν ἀρητῆρα] ὑπερβατὸν, ἵν' ᾖ τὸν ἀρητῆρα Χρύσην. τὰ γὰρ ἐπιθετικώτερον συντασσόμενα κυρίοις ἢ προσηγορικοῖς τὰ ἄρθρα δέχονται, εἰ μὴ τὰ ῥήματα διαφόρων γνώσεων . . . . . τότε γὰρ ἀδιάφορον τὸ ἄρθρον. ἔστιν οὖν καθ' ὑπερβατὸν, ὡς τὸ "ἀλλ' ὅτε δὴ τάχ' ὁ μοχλὸς ἐλάϊνος" (Od. 9, 378). κατὰ συλλογισμὸν δὲ ἡ διήγησις. εἰ γὰρ θεοφιλεῖ τις ἀνδρὶ προσκρούων τοιαῦτα πάσχει, πόσῳ μᾶλλον θεῷ; καὶ εἰ βασιλεὺς οὕτω κολάζεται, πόσῳ μᾶλλον ἰδιώτης;

13. *θύγατρα] ἐκ τοῦ θυγατέρα κατὰ συγκοπὴν, ἀναδοθέντος καὶ τοῦ τόνου. αἱ γὰρ συγκοπαὶ ἀναβιβάζουσι τοὺς τόνους, ὡς τὸ ἁρμόσαντες ἄρσαντες, ὁμόπατρος ὅπατρος. γέγονε δὲ θυγάτηρ παρὰ τὸ θύω καὶ τὸ γαστήρ· λέγεται γὰρ τὰ θήλεα τάχιον ἐν τῇ γαστρὶ κινεῖσθαι.

φέρων τ' ἀπερείσι' ἄποινα] πανταχόθεν τὸν οἶκτον πεποίηται, τῷ γήρᾳ, τῇ χηρώσει τῆς παιδὸς, τῇ πρὸς τοὺς ἐχθροὺς παρόδῳ καὶ τῇ τῶν δώρων κομιδῇ. καὶ τὸ μὲν στέμμα κατέχει, τὰ δὲ δῶρα (χρυσὸς

6. *οὐδέτερον] οὐθέτερον
8. διὰ τί] *καλῶς
δείκνυσι — οὐδὲν] δείκνυ . . . . . οὐδὲν. Ante οὐδὲν excidit ὅτι
15. *τὸν Χρύσην—τὸν ἀρητῆρα Χρύσην] κ' (numerus scholii) τὸν Χρύσην . . . . . ρα Χρύσην.
16. *ἐπιθετικώτερον] ἐπιθετικώτερα
17. εἰ μὴ—ἄρθρον] Sic B. In cod. Lips. est εἰ μὴ τὰ ῥήματα διαφόρων γνώσεων κατ . . . . ἀδιάφορον τὸ ἄρθρον. In cod. Angelico apud Matrangam vol. 2 p. 382, 4. εἰ μὴ ἐπαγόμενα ῥήματα πρωτότυπα κατηγοροίη (huius vocabuli fragmentum sunt litterae κατ in cod. Lips.)· τότε γὰρ ἀδιαφορεῖ τὸ ἄρθρον.

δὲ ταῦτα καὶ ἐσθὴς καὶ χαλκὸς ἦν) δι' οἰκετῶν προσῆγε· καὶ τὰ μὲν τῶν θεῶν δείκνυσι, καὶ παραινεῖ ὡς θεοὺς τιμᾶν, τὰ δὲ δῶρα δίδωσιν, ἵνα κἂν τὴν ἀπὸ τούτων ἀντιδέξηται φιλοφροσύνην.

ἵνα, εἰ μὲν θεοσεβὴς, τὸ στέμμα αἰδεσθῇ, εἰ δὲ φιλοχρήματος, τὰ δῶρα δέξηται, εἰ δὲ μὴ, τὸ γῆρας οἰκτειρήσῃ. πανταχόθεν δὲ τὸν ἔλεον θηρᾶται.

*τὸ ἀπερείσι' ἄποινα οὐ τὸ ἄπειρα τῷ πλήθει σημαίνει, ἀλλὰ πρὸς ἃ ἀπερειδόμενοι καὶ ἀντιλαμβάνοντες λύτρα τῶν εἰλημμένων ἀπελύοντο τοὺς αἰχμαλώτους. ἐκόμισεν οὖν οὐκ ἄλλο τι ἢ στέμμα καὶ σκῆπτρον τοῦ θεοῦ ἐπὶ τὸν ναύσταθμον. λέγει οὖν "τὰ δ' ἄποινα δέχεσθαι" ἐκεῖνα βαστάζων, "ἀζόμενοι Διὸς υἱὸν ἑκηβόλον Ἀπόλλωνα." ἀκολούθως οὖν ὁ Ἀγαμέμνων ἀποκρίνεται "μή νύ τοι οὐ χραίσμῃ σκῆπτρον καὶ στέμμα θεοῖο," ὡς οὐχὶ καὶ ἄλλων τινῶν λύτρων ἅμα τῷ σκήπτρῳ καὶ τῷ στέμματι ἐνηνεγμένων ὑπὸ τοῦ πρεσβύτου, ἀλλ' αὐτῶν ἐκείνων μόνων· διὸ καὶ τὴν ἀπολογίαν κατὰ τὴν ὁδὸν ἔσχεν, ὥσπερ οἱ σπονδοφόροι οἱ τὰς πανηγύρεις καταγγέλλοντες ἐκ τοῦ στροφίου τῇ κεφαλῇ περιτίθεσθαι, καὶ οἱ κήρυκες τὰ κηρύκια. διστάζεται οὖν πότερον στέμματα ἔχων ἢ ἐνικῶς στέμμα . . . . . ἐπεὶ καὶ ὁ Ἀγαμέμνων ἀποκρίνεται "καὶ στέμμα θεοῖο."

*τὸ ἄπειρον σημαίνει καὶ τὸ ὑπερβαλλόντως καλὸν καὶ περικαλλὲς, ὡς ὁ Πορφύριος.

14. ἑκηβόλου] τοῦ ἔκαθεν ἐπιτυγχάνοντος· πλεῖστοι γὰρ ἔκαθεν βάλλουσιν, ἀλλ' οὐ τυγχάνουσι τοῦ σκοποῦ· "οὐκ ἔβαλες τὸν ξεῖνον" (Od. 20, 305) ἀντὶ τοῦ οὐκ ἔτυχες· βάλλειν γὰρ κυρίως τὸ ἐπιτυγχάνειν.

15. Ἀτρεΐδα δὲ μάλιστα] εἰώθασι συνάγεσθαι οἱ Ἀχαιοὶ "νηὶ παρὰ πρύμνῃ Ἀγαμέμνονος" (Il. 7, 383).

16. Ἀτρεΐδαί τε] εἴωθεν ὑπεξαίρειν τὰ προύχοντα πρόσωπα, ὡς τὸ "Τρῶάς τε καὶ Ἕκτορα" (Il. 13, 1). ἀπὸ τοῦ διηγηματικοῦ δὲ ἐπὶ τὸ μιμητικὸν μέτεισιν, ὡς τὸ "ἵπποῦσι μὲν πρώτοις ἐπετέλλετο" (Il. 4, 301).

18. ὑμῖν μὲν θεοὶ δοῖεν] θεραπευτικὴ ἡ τοιαύτη ἔντευξις, τὸ ὑπερεύχεσθαι χειρώσασθαι τοὺς ἐχθροὺς καὶ τὸ εὐθεῖαν καὶ εὐάγωγον δοθῆναι ὁδόν. οἰκεία δέ ἐστιν ἡ ἱκετεία τῷ ἱερεῖ. ἅπασαν οὖν αὐτῶν ἐπιθυμίαν πληρωθῆναι ἐπεύχεται, τὴν παῖδα πρὸ ὀφθαλμῶν βλέπων αἰχμάλωτον. καλῶς δὲ οὐκ ἀπὸ τῶν λυγρῶν ἤρξατο, ἵνα μὴ μᾶλλον

αὐτοὺς ἀπηνεστέρους ποιήσῃ. ἡ ἀνάγκη δὲ αὐτὸν ποιεῖ καὶ τοὺς οἰκείους ἐπαρᾶσθαι. ἢ εἰκότως τοὺς Τρῶας ἀρᾶται, ἐπειδὴ οὗτοι καὶ αὐτῷ καὶ πᾶσι τοῖς ἀστυγείτοσιν αἴτιοι κακῶν γεγόνασιν. ἱστέον δὲ ὡς εἰς Θήβας ἥκουσα ἡ Χρυσηὶς πρὸς Ἰφινόην τὴν Ἠετίωνος μὲν ἀδελφὴν, Ἄκτορος δὲ θυγατέρα. θύουσαν Ἀρτέμιδι, ἥλω ὑπὸ Ἀχιλλέως.

*ἀπρεπὲς τὸ τὸν ἱερέα τοῖς μὲν οἰκείοις καταρᾶσθαι, τοῖς δὲ ἐχθροῖς εὔχεσθαι τὰ βέλτιστα. ἡ δὲ λύσις ἐκ τοῦ καιροῦ· τὸν γὰρ ἐν τοῖς πολεμίοις γενόμενον καὶ ὑπὲρ τῆς θυγατρὸς κινδυνεύοντα πῶς οὐκ εἰκὸς τοιούτοις λόγοις χρῆσθαι πρὸς τὸ συμφέρον αὐτῷ;

Ὀλύμπια δώματ' ἔχοντες] οὐκ ἐν οὐρανῷ μόνον, ἀλλὰ καὶ ἐπὶ γῆς τοὺς θεοὺς φησιν οἰκεῖν, ἵνα μὴ καταφρονῶσιν αὐτῶν ὡς μακρὰν ὄντων.

20. ἐμοὶ—φίλην—δέχεσθαι] ἀντιδιέσταλται πρὸς τὴν ὑμῖν· διὸ ὀρθοτονεῖται. ἐλεεινὴ δὲ ἡ προσθήκη τοῦ φίλην· δηλοῖ γὰρ τὴν μόνην. τὸ δὲ δέχεσθαι ἀντὶ προστακτικοῦ ἀπαρέμφατον.

21. ἑκηβόλου Ἀπόλλωνα] ἵνα μὴ δοκοῖεν ἔμπειροι τῆς τοξικῆς εἶναι, τὸν Ἀπόλλωνα πολεμοῦντα αὐτοῖς ὡς ἑκηβόλον εἰσάγει, διὰ τῶν τούτου τόξων ἐκφοβῶν αὐτούς.

22. ἐπευφήμησαν Ἀχαιοί] δεισίδαιμον γὰρ τὸ πλῆθος καὶ μισόπονηρον.

23. ἱερῆα] ὡς τιμῶντες μὲν οὗτοι ἱερέα καλοῦσι, λέγοντες ὡς χρὴ τὸν ἱκέτην μετ' αἰδοῦς δέχεσθαι· ὁ δὲ καὶ γέροντα αὐτὸν ὀνομάζει.

24. ἀρχικὸν τὸ μὴ ἐπιτρέπειν τοῖς ἀρχομένοις τὰς κρίσεις. ἄλλως τε δὲ οὐκ ἐπεκηρυκεύσατο, ἀλλὰ τὸ τοῦ βασιλέως γέρας ᾔτει παρὰ τῶν ἀρχομένων.

ζητεῖται διὰ τί ἀπὸ τῶν τελευταίων ἤρξατο καὶ μὴ ἀπὸ τῶν πρώτων ὁ ποιητής. καί φαμεν ὡς σποράδην οἱ πρὶν ἐγίνοντο πόλεμοι, καὶ οὐδὲ περὶ πόλεων μεγίστων. οἱ γὰρ Τρῶες Ἀχιλλέως παρόντος οὐδέποτε ἐξήεσαν τῶν πυλῶν, καὶ σχεδὸν ἄπρακτοι τὴν ἐνναετίαν

1. τοὺς οἰκείους—τοὺς Τρῶας] τοῖς οἰκείοις—τοῖς Τρωσίν Vill.

22. χρὴ] ἐχρῆν Bekkerus

27. ζητεῖται — ὑποφαίνει ὄνομα] Haec versui primo apposuit Villoisonus post simile, quod est in A, scholion διὰ τί εὐθὺς ἀπὸ τῶν τελευταίων — τὰ πρὸ τούτων πραχθέντα.

ζητεῖται] *ζητεῖται ὄπισθεν est in Townl. et Lipsiensi post scholion versus 36.

ἐτέλεσαν, τὰς δὲ ὁμορούσας πολίχνας οἱ Ἕλληνες διαστρέφοντες· περὶ ὧν ἀναγκαῖον αὐτῷ γράφειν οὐκ ἦν, μὴ παρούσης ὕλης τῷ λόγῳ. λέγουσι δὲ καὶ ἀρετὴν εἶναι ποιητικὴν τὸ τῶν τελευταίων ἐπιλαμβάνεσθαι καὶ περὶ τῶν λοιπῶν ἀνέκαθεν διηγεῖσθαι. ἔτι ζητεῖται διὰ τί ἀπὸ δυσφήμου ὀνόματος τῆς μήνιδος ἄρχεται. ἐπιλύουσι δὲ αὐτὸ οἱ περὶ Ζηνόδοτον οὕτως, ὅτι πρέπον ἐστὶ τῇ ποιήσει τὸ προοίμιον, τὸν νοῦν τῶν ἀκροατῶν διεγεῖρον καὶ προσεχεστέρους ποιοῦν, εἰ μέλλοι πολέμους καὶ θανάτους διηγεῖσθαι ἡρώων.

πάλιν ζητεῖται διὰ τί Ἀχιλλέως ὡς ἐπὶ τὸ πλεῖστον ἀριστεύοντος οὐκ Ἀχίλλειαν ὡς Ὀδύσσειαν ἐπέγραψε τὸ σωμάτιον. φαμὲν δ' ὅτι ἐκεῖ μὲν, ἅτε μόνως ἐφ' ἑνὸς ἥρωος τοῦ λόγου πλακέντος, καλῶς καὶ τοὔνομα τέθειται· ἐνταῦθα δὲ εἰ καὶ μᾶλλον τῶν ἄλλων Ἀχιλλεὺς ἠρίστευεν, ἀλλά γε καὶ οἱ λοιποὶ ἀριστεύοντες φαίνονται. οὐ γὰρ μόνον τοῦτον οἷος ἦν δηλῶσαι βούλεται, ἀλλὰ σχεδὸν ἅπαντας, ὅπου γε καὶ ἐξισοῖ τινὰς αὐτῷ. ἐκ τινὸς οὖν ὀνομάσαι μὴ ἔχων αὐτὸ ἀπὸ τῆς πόλεως ὀνομάζει, καὶ τὸ αὐτοῦ καλῶς ὑποφαίνει ὄνομα.

25. κακῶς] αὐστηρῶς, ἢ σὺν τῷ οἰκείῳ κακῷ ἤτοι τῇ ἀπραξίᾳ. τὸ δὲ κρατερόν ἀντὶ τοῦ ἀπηνῆ, ὡς τὸ "ἀνδρὶ παρὰ κρατερῷ" (Il. 24, 212) "κρατερ' ἄλγεα πάσχων" (Il. 2, 721). τὸ δὲ ἑξῆς ἐπέτελλεν.

26. γέρον] τὸ τοῖς ἄλλοις αἰδέσιμον γῆρας ἐπ' ὀνείδει προβάλλεται.

27. ἢ νῦν δηθύνουτ' ἢ ὕστερον αὖτις ἰόντα] ἢ γὰρ ἐπιμένοντες ἀνύομεν, ἢ πρὸς τὸ ἑξῆ ἐνδιδάμεν, ὕστερον δὲ ὀχλοῦμεν· ὧν ἁπάντων αὐτὸν ἐκκόπτει. τὸ δὲ νῦν τὸν ἐνεστῶτα ἐσήμανεν, οὐ τὸν πλατικὸν χρόνον.

29. τὴν δ' ἐγὼ οὐ λύσω] πολλὰς περικοπὰς ἔχει ὁ λόγος, τὸ θυμικὸν ἐμφαίνων.

πρίν μιν καὶ γῆρας ἔπεισι] μᾶλλον γηράσει παρ' ἐμοὶ ἢ λυθήσεται. ἔστι δὲ ὡς τὸ "οὐδέποτ' ἐκπέρσει, πρίν μιν κύνες ἠδ' οἰωνοί" (Il. 18, 283).

κατ' ὀλίγον αὔξων τὰ τῆς διαστάσεως λυπεῖ τὸν γέροντα· ἔστι δὲ, ὥς που τὸ περὶ αὐτοῦ ἐπίγραμμα δηλοῖ, βασιλεὺς μὲν ἀγαθὸς,

1. * τὰς δὲ] δὲ om.
13. ἠρίστευεν] * ἠρίστευσεν
16. * αὐτὸ] αὐτῶν
33. δὲ] * γὰρ
* ἐπίγραμμα δηλοῖ] ἐπιγράφει γράμμα

αἰχμητὴς δὲ κρατερός (Π. 3, 179). διὸ παρὰ μὲν τῶν ὑπηκόων ὑβρίζεται, τοῖς δὲ πολεμίοις λίαν ἐστὶν ἀπηνής, ὡς Ἀδράστῳ καὶ τοῖς Ἀντιμάχου παισίν.

31. ἱστὸν ἐποιχομένην] ταῦτα λέγων ὑπ' ὄψιν ἄγει τὰ τῆς Ἑλένης.

ἐμὸν λέχος ἀντιόωσαν] τῆς ἐμῆς κοίτης μεταλαμβάνουσαν, ὡς τὸ "ἀντιόων ταύρων τε" (Od. 1, 25). ἐφύβριστος δὲ ἡ παρὰ πολεμίοις μίξις. ὅτι δὲ ἐφ' ὕβρει φησὶν αὐτῇ χρῆσθαι δηλοῖ διὰ τοῦ ἐκφωνῆσαι τὸ ἱστὸν ἐποιχομένην καὶ τούτῳ τῷ λόγῳ συμπεριλαβεῖν τὸ λέχος.

*ἀπρεπὲς τὸ τὸν βασιλέα περὶ τῆς αἰχμαλώτου λέγειν, καὶ ταῦτα ἔχοντα γυναῖκα καὶ παῖδας ἐξ αὐτῆς. λύεται δὲ καθ' οὓς μὲν ἐκ τῆς λέξεως· τὸ γὰρ ἐμὸν λέχος ἀντιόωσαν οὐ πάντως δηλοῖ τὴν συγκοιμωμένην, ἀλλὰ καὶ ὑπηρετοῦσαν πρὸς τὸ λέχος, οἷον θαλαμηπολοῦσαν· καθ' ἑτέρους δὲ ἀπὸ τοῦ καιροῦ· ἐν γὰρ πολέμῳ καὶ στρατῷ τῶν Ἑλλήνων ὄντων, καὶ ταῖς αἰχμαλώτοις συνερχόμενον τὸν βασιλέα θέλει ἀποφῆναι, καὶ οὐκ ἀσχήμονα τὴν πρὸς ταύτας φιλοστοργίαν, ὅπως ἂν μᾶλλον κατέχῃ τὸ πλῆθος.

32. μή μ' ἐρέθιζε] τὰ γὰρ ἀποθύμια ἐρεθιστικὰ ἡγούμεθα εἶναι. πρῶτος δὲ Ὅμηρος τὴν δύναμιν τῆς Ἀδραστείας ἐνεδείξατο. ὁ γὰρ τὸν ἱκέτην ἀτιμάσας αὐτὸς ἱκετεύων ἀποτυγχάνει· ὁ δῶρα μὴ λαβὼν ἑτέρῳ δίδωσιν· ὁ κατασχὼν γέροντος θυγατέρα, διδοὺς τὴν ἑαυτοῦ πρὸς γάμον ἀπαξιοῦται.

33. καὶ ἐπείθετο μύθῳ] ἀντὶ τοῦ οὐκ ἀντέπρασσε. διδάσκει δὲ ὁ ποιητὴς εἴκειν ταῖς ὑπερβολαῖς. οἰκείως δὲ τὸν ἠτιμασμένον καὶ φοβούμενον γέροντα καλεῖ καὶ οὐχ ἱερέα, πλέον οἰκτιζόμενος.

34. ἀκέων παρὰ θῖνα] οὐκ οἰμώξας διὰ τὸν καιρόν. τὸ δὲ θῖνα νῦν μὲν θηλυκῶς εἴρηται, ἔστι δὲ καὶ ἀρσενικόν, ὡς τὸ "ἐκβάντες δ' ἐπὶ θῖνα βαθύν."

35. ἀπάνευθε κιών] ἵνα μὴ ἀκούσωσιν οἱ πολέμιοι. ἐπισύνηθες δέ ἐστι τοῖς καταδεεστέροις καταφεύγειν ἐπὶ τὸ θεῖον ἀδικουμένους.

36. Ἀπόλλωνι ἄνακτι] τὸ ᾱ ἐκτείνει Ἀρίσταρχος διὰ τὸ μέτρον. τὸ δὲ ἄνακτι ἢ ὅτι αὐτός ἐστι τῶν φαινομένων καὶ γενομένων αἴτιος· ἢ ὡς μουσικὸν ἄνακτα αὐτόν φησιν ὁ ποιητής· ἢ τῷ ἰδίῳ ἄνακτι.

25. ταῖς ὑπερβολαῖς] τὰς ὑπερβολὰς Townl. ταῖς ὑπεροχαῖς Lips. 31. *ἀδικουμένους] om.

37. κλῦθί μευ] ἐν γενικῇ τὸ μευ, οὐκ ἐν δοτικῇ· καὶ ἔστιν ἀναλογοῦν τῷ "τοῦ δ' ἔκλυε Φοῖβος Ἀπόλλων" (43).

ἀργυρότοξ'] διὰ τὴν χρείαν τῶν βελῶν τοῦτό φησιν. ἔοικε δὲ μηδὲν διαφέρεσθαι περὶ τὸν ἄργυρον καὶ τὸν χρυσόν· "ἀμφὶ δ' ἄρ' ὤμοισι βάλετο ξίφος ἀργυρόηλον" (Π. 2, 45) καὶ "ἐν δέ οἱ ἧλοι χρύσειοι πάμφαινον" (Π. 11, 29).

Χρύσην] ἀπόρθητος καὶ αὕτη καὶ ἡ Κίλλα· ἡ δὲ Τένεδος πεπορθημένη· "τὴν ἄρετ' ἐκ Τενέδοιο γέρων" (Π. 11, 625). τὸ δὲ παρὸν ἕτοιμον πρὸς ὑπόμνησιν, ὡς πού φησιν ἐν τῷ τῆς Ἰλιάδος ταύτης ἰῶτα (183) περὶ τῶν πρεσβέων "πολλὰ μάλ' εὐχομένω γαιήοχῳ." ἃ γὰρ τὸν γέροντα πάσχειν ποιοῦσι, καὶ αὐτοὶ ἀντιπάσχουσιν.

38. Κίλλος ἡνίοχος Πέλοπος, περὶ Λέσβον ἀποθανών· ἀθυμοῦντι δὲ αὐτῷ παρέστη κελεύων Κιλλαίῳ Ἀπόλλωνι θύειν διὰ τὸν αἰφνίδιον θάνατον, καὶ νικήσειν. ὅθεν καὶ τῆς ὀνομασίας ἔτυχεν ἡ πόλις.

Κύκνου καὶ Σκαμανδρεδίκης Τέννης καὶ Ἡμιθέα· ὃς ἀπελαθεὶς ὑπὸ τοῦ πατρὸς σὺν τῇ ἀδελφῇ Ἡμιθέᾳ διὰ τὴν ἐπιβουλὴν τῆς μητρυιᾶς Καλύκης ᾤκησε τὴν Λευκόφρυν, καὶ ἀφ' ἑαυτοῦ Τένεδον ὠνόμασεν.

41. ταύρων ἠδ' αἰγῶν] θυσίαις ταύρων καὶ αἰγῶν ἥδεται ὁ Ἀπόλλων· ὕλη γὰρ τοῖς τόξοις τὰ κέρατα αὐτῶν.

42. τίσειαν Δαναοὶ ἐμὰ δάκρυα] μικρῷ λόγῳ μεγάλα αἰτεῖ· ἀνταποδοῖεν τοῖς βέλεσί σου ταῦτα τὰ δάκρυα, τουτέστι τοξεύων εἴσπραξαι αὐτοὺς ἃ ἐγὼ ἐξέχεα δάκρυα. ἐν σχήματι δὲ ὃ παρῆκεν ἔφρασεν, ὡς ἄρα ἔκλαιεν ὁ γέρων. πῶς δὲ Ἕλλησιν ἐπαρᾶται τοῖς εὐφημήσασι δοθῆναι αὐτῷ τὴν θυγατέρα, καὶ μὴ μᾶλλον Ἀγαμέμνονι; φαμὲν οὖν ὅτι εἰ ἀπέθανεν ὁ Ἀγαμέμνων, ἀνεκζήτητος ἂν ἔμεινεν ἡ αἰτία τοῦ λοιμοῦ καὶ πλεόντων ἐπὶ τὴν πατρίδα τῶν Ἑλλήνων ἀναπόδοτος ἐγένετο ἡ Χρυσηΐς· ἢ ὅτι αὐτοὶ Θήβας πορθήσαντες ἐξέδοντο αὐτὴν Ἀγαμέμνονι· καὶ ὅτι ἀποθανὼν μὲν Ἀγαμέμνων ἄλυπος ἦν, ζῶν δὲ καθ' ἡμέραν ἀποθνήσκει, βλέπων ἀπολλυμένους τοὺς ὄχλους· καὶ ὅτι συμπεριλαμβάνεται καὶ αὐτὸς τοῖς Δαναοῖς· καὶ ὅτι πᾶσιν ἀρᾶται, διότι μὴ πάντες ἐπέσχον τὴν τοῦ βασιλέως ὕβριν· καὶ ὅτι ὡς βάρβαρος ὁ Χρύσης πᾶσιν Ἕλλησιν ἐχθρός ἐστιν.

*ἀπρεπὲς δοκεῖ κατὰ μὲν τοῦ ὑβρίσαντος Ἀγαμέμνονος μὴ

10. πρεσβέων] *πρεσβευτῶν

ἀρᾶσθαι, ἀλλὰ κατὰ τῶν εὐφημησάντων Ἑλλήνων. λύεται δὲ ἐκ τῆς λέξεως, ὅτι ἐν τοῖς Δαναοῖς ἐμπεριέχεται Ἀγαμέμνων· ἐκ δὲ τοῦ προσώπου, ὅτι βάρβαρος καὶ πᾶσιν ἐχθρός· ἐκ δὲ τοῦ καιροῦ, ὅτι τὸν μὲν συνέφερεν αὐτῷ σώζεσθαι, τῶν δὲ νοσησάντων καὶ ἀπολαβεῖν ἦν τὴν θυγατέρα.

43. τοῦ δ' ἔκλυε Φοῖβος Ἀπόλλων] συνητίμαστο γὰρ τῷ ἱερεῖ ἐν τῷ "μή νύ τοι οὐ χραίσμῃ σκῆπτρον καὶ στέμμα θεοῖο." τὸ δὲ πρὸ τῆς εὐχῆς ἐπικουρῆσαι ἀπολίτευτον. διδάσκει δὲ ὅσον ἰσχύει εὐχὴ καθαρὰ, ὅσον δὲ ἀνωφελὴς μυσαρὰ θυσία.

*Φοῖβος οἱονεὶ ὁ φαόβιος, τουτέστιν ὁ λαμπρὸν βιὸν ἔχων ἤγουν τόξον· ὅθεν καὶ φοιβάζω τὸ λαμπρύνω. ἢ ἀπὸ Φοίβης μαμμωνυμικὸν, ὡς καὶ Ἡσίοδος.

**Φοῖβον οὖν αὐτὸν ὀνομάζει ἀπὸ τῶν ἀκτίνων λαμπρὸν ὄντα, τὸ μόνον ἡλίῳ προσὸν ἐξ ἴσου κοινώσας Ἀπόλλωνι καὶ Μούσῃ.

44. κῆρ] παρὰ τὴν καῦσιν. τὸ δὲ ἔμφυτον θερμόν φασιν εἶναι τὴν ψυχήν.

45. τόξ' ὤμοισιν] ἐν εἴχε τόξον· ἀλλὰ τῇ φωνῇ τοῦ πλήθους τῶν δεινῶν ἐμφαίνει τὸ μέγεθος.

46. ἔκλαγξαν δ' ἄρ' ὀϊστοί] ἐπιστρέφει πρὸς εὐσέβειαν τὸ καὶ τὰ ἄψυχα τῆς τοῦ θείου αἰσθάνεσθαι δυνάμεως.

*φιλόσοφός ἐστι θεωρία ἐν τῷ στίχῳ τῷ "ἔκλαγξαν δ' ἄρ' ὀϊστοὶ ἐπ' ὤμων χωομένοιο, αὐτοῦ κινηθέντος." εἰσὶ γὰρ, εἰσί τινες οὐράνιοι μεθ' ἁρμονίας ἐμμελοῦς ἦχοι, κατὰ τὴν ἀΐδιον φορὰν ἀποψαλλόμενοι, μάλιστα τῆς ἡλιακῆς περιόδου συντόνως φερομένης. οὐ γὰρ δήπου, εἰ ῥάβδῳ μὲν ὑγρᾷ πλήξας τις εἰκῇ τὸν ἀέρα καὶ λίθους ἀπὸ σφενδόνης ἀφεὶς ῥοίζους ἀποτελεῖ καὶ συριγμὸν οὕτω βαρύφθογγον, τηλικούτων δὲ σωμάτων ἡ κυκλοπόρος βία δρόμοις ἀπ' ἀνατολῆς εἰς δύσιν ἁρματηλατουμένη μεθ' ἡσυχίας τὸν σφοδρὸν ὁδοιπορεῖ δρόμον.

10—14. Scholion usque ad v. Ἡσίοδος manus secundae, cui tertia addidit Φοῖβον—Μούσῃ. Simile est scholion manus secundae ad v. 72. Compilata haec sunt ex Heracliti Alleg. c. 7—12 p. 12 et 32 ed. Mehler. Brevius in Etym. M. p. 796, 55 et Crameri Anecd. Oxon. vol. 1 p. 428, 24. Dixit de hoc scholio Lehrsius in Append. ad Herodian. p. 458.

11. μαμμωνυμικόν] μαμμωνυμικῶς Etym. M.

14. καὶ Μούσῃ (Μούσαις infra p. 22, 16) delet Lehrsius.

21. φιλόσοφος] Hoc scholion excerptum ex Heracliti Alleg. c. 12, p. 24 ed. Mehl.

24. οὐ Heracl.] εἰ

25. εἰ ῥάβδῳ Mehlerus] εἰ om. λίθους] λίθον Heracl.

τούτους δὲ τοὺς διηνεκῶς ἐν τῷ οὐρανῷ τελουμένους φθόγγους ἀγνοοῦμεν ἢ διὰ τὴν ἀπὸ πρώτης γενῆς συνήθειαν ἐνδελεχῶς ἐνοικοῦσαν ἡμῖν, ἢ διὰ τὴν ἄμετρον ὑπερβολὴν τοῦ διαστήματος, ἐκλυομένου τοῦ ψόφου τῷ διείργοντι μέτρῳ. καὶ τοῦθ' ὅτι τοιοῦτόν ἐστιν ὁ φυγαδεύων Ὅμηρον ἐκ τῆς ἰδίας πόλεως συγκαταινεῖ Πλάτων (Rep. 10. p. 617 b) οὕτω λέγων· "ὅτι δὲ τῶν κύκλων αὐτοῦ ἄνωθεν ἐφ' ἑκάστου βεβηκέναι Σειρῆνα συμπεριφερομένην φωνὴν μίαν ἱεῖσαν ἑκάστην, ἁπασῶν δ' ὀκτὼ οὐσῶν μίαν ἁρμονίαν ξυμφωνεῖν·" ὁμοίως δὲ καὶ ὁ Ἐφέσιος Ἀλέξανδρος, ἐπεξελθὼν ὅπως κατὰ τάξιν οἱ πλάνητες ἀστέρες ὁδεύουσιν, ἐπάγει περὶ τῶν ἑκάστου φθόγγων "πάντες δ' ἑπτατόνοιο λύρης φθόγγοισι συνῳδοὶ ἁρμονίην προχέουσι διάστασιν ἄλλος ἐπ' ἄλλου." δι' ὧν ἂν εἴη γνώριμον ὡς οὐ κωφὸς οὐδ' ἄφθογγός ἐστιν ὁ κόσμος. ἀρχὴν δὲ ταύτης τῆς δόξης Ὅμηρος παρέσχεν εἰπὼν τὰς ἡλιακὰς ἀκτῖνας βέλη ἀλληγορικῶς, προσθεὶς ὅτι φερόμεναι διὰ τοῦ ἀέρος ἔκλαγξαν ἤτοι ἠδεῖάν τινα καὶ ἔνθεον φωνὴν ἀπετέλεσαν. τὰ κοινὰ δὲ τῶν φθόγγων παραστήσας ἐπὶ τὸ ἴδιον εὐθὺς τοῦ λόγου μετέβη προσθεὶς "ὁ δ' ἥϊε νυκτὶ ἐοικώς." οὐ γὰρ ἀκήρατον φῶς οὐδ' ἀμιγὲς ἀχλύος μελαίνης τὸ τοῦ ἡλίου ὑφίσταται, νυκτὶ δ' αὐτὸ ἐθόλωσεν, ὁποία σχεδὸν εἴωθεν ἐν τοῖς λοιμικοῖς πάθεσιν ἐπιπροσθεῖν τῷ δι' ἡμέρας φέγγει. πῶς γε μὴν τοξάζειν ἐσπουδακὼς Ἀπόλλων "ἕζετ' ἔπειτ' ἀπάνευθε νεῶν, μετὰ δ' ἰὸν ἕηκε, δεινὴ δὲ κλαγγὴ γένετ' ἀργυρέοιο βιοῖο;" εἰ γοῦν δι' ὀργὴν ἐτόξευεν,

5. πόλεως] πολιτείας Heracl.

6. ὅτι] ἐπὶ apud Platonem.

9. ὁ Ἐφέσιος Ἀλέξανδρος] De hoc poeta videnda quae viri docti ab Mehlero p. 26, 27 indicati dixerunt. Longius eius fragmentum, ex quo Heraclitus duos versus excerpsit, servatum est ab Theone Smyrnaeo in libro de Astronomia quem edidit Th. H. Martinus Parisiis a. 1851: de quo dixerunt Bergkius in Zimmermanni Diario (*Zeitschrift für die Alterthumswissenschaft*) a. 1851 fasc. 2 no. 22 et 23 et Meinekius ibidem fasc. 6 no. 63, et hic quidem adhibito Theonis codice Veneto Marciano 203, cuius lectiones excerpserat Tischendorfius.

11. ἑπτατόνοιο] ἑπταπόνοιο B. Correctum ex Theone.

ἁρμονίην] ἁρμονι cum compendio syllabae αν.

προχέουσι Bredovius in Epist. Paris. p. 225] προσέχουσι

διάστασιν] διαστάσει Bergkius. Heracliti codices διαστάς.

12. ἄλλου] ἄλλην apud Theonem. ἄλλῃ Bergkius.

14. φερόμεναι Heracl.] φερόμενοι

15. ἤτοι, quod non legitur apud Heracl., delendum.

17. εὐθὺς Heracl.] εὐθὺ

19. αὐτὸ Heynius] αὐτὸν

20. ἐπιπροσθεῖν Heracl.] ἐπιπροσθεὶς

Post φέγγει in B signum scholii finiti (: —).

ἐγγὺς ἔδει τῶν τιτρωσκομένων ἑστάναι τὸν βάλλοντα, νῦν δ' ἀλληγορῶν τὸν ἥλιον εἰκότως αὐτοῦ τὴν φορὰν ἄποθεν τῆς λοιμικῆς ἀκτῖνος ὑπεστήσατο. καὶ μὴν ἐναργέστατον ἐπιφέρει μετὰ τοῦτο σημεῖον εἰπὼν "οὐρῆας μὲν πρῶτον ἐπῴχετο καὶ κύνας ἀργούς." οὐ γὰρ οὕτως ἄκριτον ἦν παρανάλωμα τῆς Ἀπόλλωνος ὀργῆς τὰ ἄλογα τῶν ζῴων, οὐδ' ἂν ὁ θυμὸς ἀφρόνως ἐνήκμαζεν ἡμιόνοις τε καὶ κυσίν, ὡς τὸ Θρᾳκικὸν ἀνδράποδον Ὁμήρου κατεξανίσταται, λέγω δὲ τὸν Ἀμφιπολίτην Ζωΐλον, ἄνω καὶ κάτω τοιούτους τινὰς λήρους φληναφοῦντα. Ὅμηρος δὲ καὶ σφόδρα φυσικῶς τὴν περὶ τὰ λοιμικὰ τῶν παθημάτων συντυχίαν διὰ τούτων παρίστησιν. οἱ γὰρ ἐμπειρίαν ἰατρικῆς τε καὶ φιλοσοφίας ἔχοντες δι' ἀκριβοῦς παρατηρήσεως ἔγνωσαν ἐν ταῖς λοιμικαῖς νόσοις τὸ δεινὸν ἀπὸ τῶν τετραπόδων ἀρχόμενον. κατ' ἄμφω δ' ἡ πρόφασίς ἐστιν εὔλογος, ὥστε εὐάλωτοι πρὸς τὸ δεινὸν εἶναι· τῆς τε γὰρ διαίτης τὸ ἀκριβὲς οὐ θηρᾶται, δι' ἣν ἀταμιεύτως σιτίων τε καὶ ποτῶν ἐμπιπλάμενα διαφθείρεται, μηδενὸς λογισμοῦ τὴν ἐπὶ τὸ πλέον ὁρμὴν χαλινοῦντος. ἔπειθ', ὃ καὶ μᾶλλον ἀληθέστερόν ἐστιν, οἱ μὲν ἄνθρωποι μεταρσίοις ταῖς ἀναπνοαῖς τὸν καθαρώτερον ἕλκοντες ἀέρα βραδύτερον ἁλίσκονται τῷ πάθει, τὰ δ' ἐπὶ γῆς ἕρποντα ζῷα τοὺς νοσώδεις ἐκεῖθεν ἀτμοὺς εὐμαρέστερον ἕλκει. πάνυ γε μὴν ἀληθῶς οὐκ ἐν ἀρτίοις ἡμέραις τὴν ἀπαλλαγὴν τῆς νόσου δεδήλωκεν, ἀλλ' ἐν περιτταῖς, "ἐννῆμαρ μὲν ἀνὰ στρατὸν ᾤχετο κῆλα θεοῖο·" μάλιστα γὰρ ἐν τῇ παρ' ἕκαστα πείρᾳ γνώριμόν ἐστι τοῦτο, ὅτι κρίσιμοι τῶν σωματικῶν παθημάτων αἱ περιτταὶ γίνονται τῶν ἡμερῶν, λυτὴρ δ' Ἀχιλλεὺς τῆς νόσου. Χείρων γὰρ αὐτὸν ἐδίδαξε "δικαιότατος Κενταύρων," ὃς πάσῃ μὲν ἐκέκαστο σοφίᾳ, περιττῶς δὲ τῇ ἰατρικῇ, ὅπου γνώριμον αὐτῷ φησιν εἶναι καὶ Ἀσκληπιόν. προσέθηκε δ' Ἀχιλλεῖ θεραπεύοντι φυσικῶς ἀλληγορήσας θεὰν Ἥραν· "τῷ γὰρ ἐπὶ φρεσὶ θῆκε θεὰ λευκώλενος Ἥρη." δύο γὰρ ὄντων κατὰ τοὺς φυσικοὺς τῶν πνευματικῶν στοιχείων, αἰθέρος τε καὶ ἀέρος, αἰθέρα μὲν τὴν πυρώδη φαμὲν οὐσίαν, ἡ δὲ Ἥρα μετ' αὐτόν ἐστιν ἀὴρ. μαλακώτερον στοιχεῖον· διὰ τοῦτο καὶ θῆλυ. τὰ δ' ἀκριβῆ περὶ τούτων διαλεξόμεθα μικρὸν ὕστερον, νῦν δ' ἀπόχρη τοσοῦτον εἰπεῖν, ὅτι τοῦ πάλαι θολερῦ διαχυθέντος

10. συντυχίαν] συντ$^{\chi}$
17. ἀληθέστερον] ἀληθὲς Heracl.
23. κρίσιμοι Heracl.] χρήσιμοι
26. ὅπου] ὅθεν Mehler.

ἀέρος αἰφνιδίως διεκρίθη τὸ σύμβαμα· οὐδὲ γὰρ ἀλόγως λευκώλενον εἶπε τὴν Ἥραν, ἀλλ' ἀπὸ τοῦ συμβεβηκότος, ὅτι τὴν νυκτὶ προσεοικυῖαν ἀχλὺν ὁ λευκὸς ἀὴρ διελάμπρυνεν. εἶτ' ἀνεθὲν τῆς νόσου τὸ Ἑλληνικὸν πλῆθος ἐπὶ τὴν συνήθη τοῖς ἀπηλλαγμένοις ὁδὸν ἐτράπη· λέγω δὲ τοὺς ὀνομαζομένους ἀποτροπιασμούς τε καὶ καθαρμούς. "οἱ δ' ἀπελυμαίνοντο καὶ εἰς ἅλα λύματ' ἔβαλλον."

47. *νυκτὶ ἐοικώς*] τὰ φοβερὰ νυκτὶ εἰκάζει.

48. *ἕζετ'—ἰὸν*] ἐφεδρείαν δηλοῖ τὸ ἕζετο καὶ ἀναμονὴν ἐπιστροφῆς. τοὺς δὲ ὀϊστοὺς διὰ τὸ βλαπτικὸν ἰοὺς ἐκάλεσεν.

49. *κλαγγή*] λέγεται καὶ ἐπὶ ἐμψύχων, ὡς καὶ ἐπὶ Τρώων. ἐπὶ δὲ ἀνθρωπίνου τόξου ψιλῶς, ὡς τὸ "λίγξε βιός" (Π. 4, 125).

50. *οὐρῆες* λέγονται διὰ τὸ ἄγονον. ὡς οὔρια ᾠὰ καλοῦμεν. εὐπαθῆ δὲ ταῦτα τὰ ζῷα καὶ πρὸς νόσων παραδοχὴν ἐπιτήδεια· σύμμικτος γὰρ οὖσα ἡ φύσις αὐτῶν, καὶ ἐκ διαφερόντων τοῖς εἴδεσιν, οὐ μεγάλης εἰς τὸ φθείρεσθαι δεῖται ἀνάγκης. οἱ κύνες δὲ καθαροῦ δέονται τοῦ ἀέρος, ὅτι ὀξύτεροί εἰσι τῇ ὀσφρήσει. ἀργοὺς δὲ ἀκουστέον τοὺς λευκούς, ὅτι ἀσθενέστερά ἐστι τὰ τοιαῦτα σώματα τῶν ἐναντίως ἐχόντων, ἀραιότερα ὄντα καὶ εὐπαθέστερα. εἰσὶ δὲ οἱ μὲν πρὸς γεωργίαν, οἱ δὲ πρὸς θήραν χρειώδεις· ὅθεν μάλιστα τὰς τροφὰς ἐπορίζοντο. εἰ δὲ ὁ θεὸς πολέμιος ὢν οὕτω μακροθυμεῖ, τί δεῖ ποιεῖν τοὺς ἀνθρώπους;

51. *αὐτοῖσι*] αὐτοῖς τοῖς Ἕλλησι. πρὶν ἢ δὲ τὸ ἄκρον καταλαβεῖν, ἤτοι τοὺς ἀρχηγούς, Ἀχιλλεὺς δημηγορεῖ.

52. *βάλλ'*] ἀφιεὶς ἔβαλλεν, ὡς τὸ ᾖχετο ἀπιών, κατὰ Ἰωνικὴν περίφρασιν. ἢ τὸ βάλλεν ἀντὶ τοῦ ἐφόνευεν.

**πυραὶ νεκύων καίοντο*] πῶς, φασίν, ὁ ποιητὴς ἐναντία ἑαυτῷ

1. *σύμβαμα* Mehlerus] *συμβὰν*
12. **λέγονται*] om.
**ὡς*] *καὶ*
13. *ταῦτα τὰ ζῷα*] **τὰ ζῷα ταῦτα*
πρὸς—ἐπιτήδεια] **εὐάλωτα ὑπὸ νόσου*
15. *ἀνάγκης*] **ἀνάγκης, οὐδὲ ἀντέχει μέχρι πολλοῦ βλαπτομένη*
κύνες δὲ] **δὲ κύνες*
16. *ὅτι ὀξύτεροί εἰσι τῇ ὀσφρήσει*] **ὀξυτέρᾳ τῇ ὀσφρήσει χρώμενοι*
17. **ὅτι ἀσθενέστερά ἐστι τὰ*] *ὅτι τὰ*
18. **ἀραιότερα ὄντα καὶ εὐπαθέστερα*] *ἀραιότερα καὶ εὐπαθέστερά εἰσι.* Sic etiam Venetus A, qui reliqua parte scholii caret.
20. *εἰ δὲ ὁ θεὸς—μακροθυμεῖ*] **εἰ δὲ καὶ θεὸς ὢν καὶ πολέμιος καὶ ἠτιμασμένος οὕτω μακροθυμεῖ*
24. *ἀφιεὶς* Bekkerus] *ἰοῖς ἀπιών* addidit Bekkerus.
25. *ἐφόνευεν*] **ἐφόνευσεν*
26. **φασὶν*] *φησὶν*
**ἑαυτῷ λέγει*] *λέγει* om.

λέγει; εἰπὼν γὰρ πρῶτον "αὐτοὺς δὲ ἑλώρια τεῦχε κύνεσσιν" νῦν ἐπάγει "αἰεὶ δὲ πυραὶ νεκύων καίοντο θαμειαί." ἐροῦμεν οὖν ὅτι ὁ λοιμὸς ηὔξε τὴν μῆνιν, ἡ μῆνις δὲ τὰς μετὰ ταῦτα μάχας· καὶ οἱ ἐν ταύταις πίπτοντες ἑλώρια κυνῶν ἐγίνοντο, οἱ δὲ ὑπὸ τοῦ λοιμοῦ φθειρόμενοι ἐκαίοντο.

θαμειαί] Πάμφιλος θαμεῖαι λέγει ὡς ὀξεῖαι. Ἀρίσταρχος δὲ ὡς πυκιναί· ὁμοίως δὲ καὶ τὸ ταρφειαί.

53. ἐπὶ ἐννέα ἡμέρας, ὅτι οὐδὲ ἄλλως ἠδύνατο γνωσθῆναι τὸ τῆς νόσου ἴδιον. ἐν γὰρ ἐννέα ἡμέραις, καὶ μικρόν τι πρότερον ἢ ὕστερον, κρίνεται τὰ τοιαῦτα νοσήματα. καλῶς οὖν ἡ Ἥρα ἐπὶ νοῦν τίθησιν Ἀχιλλεῖ. Ἥρα γὰρ ὁ ἀὴρ, ὁ δὲ Ἀχιλλεὺς ὡς ἰατρὸς ἐξ αὐτοῦ τοῦτο συνέλαβε. λευκώλενον δὲ, ὅτι διαφανής ἐστιν ὁ ἀὴρ καὶ παρόντος τοῦ φωτίζοντος λαμπρύνεται. καὶ βοῶπις, ὅτι δι' αὐτοῦ ἡ τῆς ὄψεως ἐνέργεια.

ὦρτο] οὐκ εἶπεν ἐπέμπετο, ἀλλ' ὥσπερ ἐπὶ ἐμψύχῳ εἴδει, ἐπορεύετο.

κῆλα] ὡς τὸ δόρυ κοινόν ἐστι καὶ εἰδικὸν, οὕτω καὶ τὸ κῆλον. ἢ κῆλα τὰ δείματά φησιν, ἢ τὰ καύσεως αἴτια.

54. ἀγορήνδε καλέσσατο λαὸν Ἀχιλλεύς] αὐτοκράτωρ γὰρ, οὐ μισθωτὸς ἦν. τὴν δὲ στρατιὰν ὁ θέλων συνῆγε. συνάγει μὲν γὰρ Ὀδυσσεὺς ἐν τῇ Β καὶ Ἀχιλλεὺς ἐν τῇ Τ. ἄλλως τε καὶ αὐτὸς ἡγεῖται τῆς ὑπαίθρου στρατιᾶς. ὅτι γὰρ οὐ τυραννὶς τοῦτο ἦν ἐκ τῶν λόγων αὐτῶν δῆλον, καὶ μάλιστα τῶν ἐν ταῖς λιταῖς.

55. θεὰ λευκώλενος Ἥρη] προϊὼν ἤδη καὶ τοὺς ἐπικούρους θεοὺς διασαφεῖ, τοῦτο μὲν τὸ προνοητικὸν τῶν θεῶν ἐνδεικνύμενος, τοῦτο δὲ καὶ φαντασίαν παρεντιθείς.

56. πῶς ἡ τῆς μήνιδος αἰτία γενομένη τούτων ἐκήδετο; ῥητέον ὅτι συνέφερε τὸν Ἀχιλλέα μηνῖσαι, ἵνα θαρρήσαντες οἱ Τρῶες τῷ πεδίῳ προέλθωσι καὶ νικηθῶσιν ἐκ τοῦ ἴσου μαχόμενοι. εἰ γὰρ ἐν τῇ πόλει ἔμειναν πολιορκούμενοι, μακρὸς ἂν ἦν ἡ ἀτελεύτητος ὁ πόλεμος.

ῥα] βασυντέον τὸ ῥά· πάσης γὰρ λέξεως τὸ ρ̄ ἀρχόμενον βασύνεται, πλὴν τοῦ Ῥᾶρος.

1. εἰπὼν γὰρ πρῶτον] *προειπὼν γὰρ
*δὲ ἑλώρια] δ' ἑλώρια
4. *ἑλώρια] ἑλλώρια
17. *εἰδικόν] ἰδικόν
21. *Τ] ῑγ

57. ἐπεὶ οἶν ἤγερθεν] κατ' ὀλίγον γὰρ συνιόντες πληθύνονται.

59. Ἀτρείδη] κατ' ἰδίαν τὸ Ἀτρείδη· κλητικὴ γάρ ἐστι καὶ αὐτοτελής. οὐ μέντοι ἐν τῷ "Ἀτρείδη κύδιστε ἄναξ ἀνδρῶν" (Il. 2, 434). σχεδὸν δὲ πᾶσαι μιᾶς ἔχονται συντάξεως.

παλιμπλαγχθέντας] ὑφ' ἓν Ἀρίσταρχος τὸ παλιμπλαγχθέντας. τὸ πάλιν δὲ σημαίνει τὸ εἰς τοὐπίσω, ἤτοι μάτην ἀπράκτους ὑποστρέψαντας, μόνον οὐχὶ πλάνην, οὐκ εἰσβολὴν ποιησαμένους.

62. ἀλλ' ἄγε δή] Πυθαγορικός ἐστι μᾶλλον φιλόσοφος ἢ στρατιώτης, ὡς δῆλον ἔκ τε τῶν νῦν καὶ ἐκ τοῦ "αὖριον ἱερὰ Διὶ ῥέξας" (Il. 9, 357) καὶ τῶν περὶ τοῦ δέπαος τῆς Πατροκλείας (Il. 16, 225). πῶς οἶν κατὰ Κράτητα καὶ Περσαῖον οὔτε φρόνιμος οὔτε ἀνδρεῖος; πηγὴ γάρ τίς ἐστι τῆς ἄλλης ἀρετῆς τὸ δοκεῖν θεοὺς εἶναι.

63. Ἡρωδιανὸς τελείαν δίδωσιν εἰς τὸ ἐρείομεν, ἵνα ᾖ γενικὸν τὸ μάντις· ὁ δὲ Πορφύριος τρία ἀποδέχεται, μάντιν λέγων τὸν διὰ οἰωνῶν ἢ σημείων ἢ τεράτων μαντευόμενον, ἱερέα δὲ τὸν διὰ θυσιῶν, ὀνειροπόλον δὲ τὸν ὀνειροπολούμενον, θεατὴν ὀνείρου γεγονότα.

*ἄλογον ζητεῖν παρὰ ἱερέως πυθέσθαι περὶ τῶν μελλόντων· οὐ γὰρ δὴ μάντεις οἱ ἱερεῖς. οἱ δὲ ὀνειροπόλοι μηδενὸς ὀνείρου νῦν ζητουμένου παρέλκουσι. λύεται δὲ ἐκ τῆς λέξεως· τὸν γὰρ νῦν λεγόμενον θύτην ἱερέα φαίνονται καλοῦντες πάλαι, ὥσπερ καὶ ἑτέρωθεν· "εἰ μὲν γάρ τίς μ' ἄλλος ἐπιχθονίων ἐκέλευεν, ἢ οἳ μάντιές εἰσι θυοσκόοι ἢ ἱερῆες" (Il. 24, 220). ὁ δὲ ὀνειροπόλος αὐτὸς ὁρᾷ ὑπὲρ ἑτέρων ὀνείρους.

καὶ γάρ τ' ὄναρ] καὶ γάρ τι ὄναρ τὸ τέλειον. ἐπεὶ δὲ τὸ ὄναρ σαθρόν ἐστιν, ὕψωσεν αὐτὸ τῇ προσθήκῃ.

*διὰ τί διττοὺς λέγων τοὺς ὀνείρους, καὶ τοὺς μὲν αὐτῶν ψευδεῖς, τοὺς δὲ ἀληθεῖς, ὡς πάντων αὐτῶν ὄντων ἀληθινῶν φησὶν "ἢ καὶ ὀνειροπόλον· καὶ γάρ τ' ὄναρ ἐκ Διός ἐστιν," ὡς τῶν ὀνείρων ἐκ Διὸς ὄντων; λύεται δὲ ἀπὸ τῆς συναλοιφῆς. οὐ γὰρ ὁ τε σύνδεσμος

7. In fine scholii Lips. addit τὰ γὰρ περὶ Μυσίαν ἀγνοεῖ: non addit Townl.

10. *καὶ τῶν—ἀνδρεῖος] om.

14. *εἰς τὸ ἐρείομεν—λέγων] εἰς τὸ μάντιν, ἵνα ᾖ γενικόν· ὁ δὲ Πορφύριος μάντιν λέγει

23. ὁρᾷ Cobetus Var. Lect. p. 418] δρᾷ

25. *καὶ γάρ τ' ὄναρ: καὶ γάρ τι ὄναρ τὸ] καὶ γάρ τι ὄναρ ἤτοι τὸ

30. οὐ γὰρ ὁ τε Bekkerus] ὁ γὰρ τὲ

συναλήλιπται, ἀλλὰ τὸ τί μόριον· ἔστι γὰρ πλῆρες καὶ γάρ τι ὄναρ ἐκ Διός ἐστι. τὸ δὲ ὀνειροπόλον οὐ σημαίνει τὸν ὀνειροκρίτην, ὥς τινες ἐξεδέξαντο, τὸν περὶ τοὺς ὀνείρους διατρίβοντα (οὐδὲν γὰρ ὄναρ ὤφθη), ἀλλὰ σημαίνει τὸν ὀνειροπολούμενον, τὸν κάτοχον ὀνείροις καὶ θεατὴν ὀνείρου εἰς αὐτὸν ἐλθόντος γεγονότα.

τὸ ἔστιν ἐγκλιτικόν ἐστιν, εἰ μὴ ἄρχεται ἢ προηγεῖται αὐτοῦ ἡ οὔ ἀπόφασις.

64. ὅ τι τόσσον ἐχώσατο Φοῖβος Ἀπόλλων] τῶν αἰφνιδίων θανάτων αἴτιόν φασι τὸν Ἀπόλλωνα. τῷ δὲ ὅ τι λείπει ἡ διά.

65. εὐχωλῆς] ὥσπερ παρὰ τὸ παύσω παυσωλή καὶ ἔλπω ἐλπωρή, οὕτως παρὰ τὸ εὔχω εὐχωλή. ἑκατόμβη δὲ ἀπὸ τοῦ ἑκατόν καὶ τοῦ βοῦς.

66. αἴ κέν πως] περισσὸς ὁ κέν, καὶ ἔστιν ἀντὶ τοῦ εἴ πως.

** κνίσης] τοῦ λίπους καὶ τῆς ἀναθυμιάσεως, τουτέστι τοῦ καπνοῦ. εἴρηται δὲ κνίση ἀπὸ τοῦ κνίζω κνίσω, ὃ σημαίνει τὸ λεπτύνω· λεπτότατος γάρ ἐστιν ὁ ἐπίπλους, τουτέστι τὸ λεγόμενον κνισάριον. τοιοῦτον δέ ἐστι καὶ τὸ "συκάμινα κνίζοντα," ὡσανεὶ τῷ ὄνυχι διακαθαίροντα. καὶ ἐν τῷ Νόμῳ "ἀποκνιεῖ ὁ ἱερεὺς τὸ ὁλοκάρπωμα."

* Πορφυρίου. πρῶτος δοκεῖ Πλάτων λύπας ἡδοναῖς μεμιγμένας δεικνύναι ἐπ' ὀργαῖς καὶ πένθεσιν, Ὁμήρου πρότερον τοῦτο συνεωρακότος καὶ τὸν Πλάτωνα διδάξαντος· ὀργὴν μὲν γὰρ οὐδέποτε Ὅμηρος εἴρηκεν, χόλον δὲ αὐτὴν προσαγορεύει οἰκειοτέρως ἀπὸ τῆς χολῆς, ἥτις ἐν τῷ πάθει κρατεῖ, ἄχος δὲ καὶ ἡδονὴν μεμίχθαι τῷ χόλῳ φησίν· ἄχος μὲν ὅταν λέγῃ "Πηλείωνι δ' ἄχος γένετ', ἐν δέ οἱ ἦτορ στήθεσσιν λασίοισι μερμήριξεν" (Π. 1, 188). "ἦ ὅγε φάσγανον ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ τοὺς μὲν ἀναστήσειεν, ὁ δ' Ἀτρεΐδην ἐναρίζοι" (1, 190). ἄχους οὖν παρουσίαν ὁ χόλος ὑφίσταται, ὃν καὶ θυμὸν κέκληκεν "ἠὲ χόλον παύσειεν, ἐρητύσειέ τε θυμόν" (1, 192). θυμὸν γὰρ νῦν τὸν χόλον ἔφη, οὐχ ὡς ἀλλαχοῦ τὴν ψυχήν· καὶ πάλιν ἐπ' ἄλλου "ἀχνύμενος, μένεος δὲ μέγα φρένες ἀμφιμέλαιναι πίμπλαντο" (1, 103). ὅτι δὲ οὐ γεννᾷ μόνον

19. Πορφυρίου] Longum hoc excerptum πρῶτος δοκεῖ—περὶ τὴν μῆνιν καταβαλλομένους iisdem fere verbis, sed omissis pluribus, perscriptum legitur in Ζητημάτων Ὁμηρικῶν capite 14.

* Πορφυρίου] om. Loci in hoc scholio citati plerique omnes ex Iliade sumti sunt, a quibus locos ex Odyssea allatos litteris *Od.* distinximus.

ὀργὴν ἡ λύπη, ἀλλὰ καὶ συμπαραμένει, δηλοῖ ἐπὶ τοῦ Ἀχιλλέως μηνίοντος λέγων "κούρης χωόμενος" (2, 689) καὶ ἐπάγων "γῆς ὄγε κεῖτ' ἀχέων" (694). ὅτι δὲ καὶ ἡδονῇ συμμιγὴς ἡ ὀργὴ καὶ ὅτι ἔφεσίς ἐστι καὶ μέτοχος ἐπιθυμίας ἐξηγεῖται λέγων "ὡς ἔρις ἔκ τε θεῶν ἔκ τ' ἀνθρώπων ἀπόλοιτο" καὶ "χόλος ὅς τ' ἐφέηκε πολύφρονά περ χαλεπῆναι" (18, 108), εἶτ' ἐν ἐφέσει καὶ ἐπιθυμίᾳ τοῦ χαλεπαίνειν. πῶς οὖν ἡδονῆς μέτοχος, "ὅστε πολὺ γλυκίων μέλιτος καταλειβομένοιο ἀνδρῶν ἐν στήθεσσιν ἀέξεται ἠΰτε καπνός" (18, 109); καρδίας γὰρ ἔπαρσιν εἶναι καὶ ὁρμὴν ἐγειρομένην τὴν ὀργήν, ὅπερ αὐτὸς ἐν ἄλλοις ἔφη· "ἀλλά μοι οἰδάνεται κραδίη χόλῳ" (9, 646)· καὶ ἐπὶ τοῦ Μελεάγρου "ἔδυ χόλος, ὅστε καὶ ἄλλων οἰδάνει ἐν στήθεσσι νόον" (9, 553). οὐ μόνον δὲ αὐτὴν ἔφεσιν καὶ ἔπαρσιν ἀποδεδώκασιν, ἀλλὰ καὶ ζέσιν· διὸ καπνῷ τε ἀπεικάζει τὴν ἔπαρσιν καὶ τοῦ ὀργισθέντος τοὺς ὀφθαλμοὺς πυρὶ ἐοικέναι φησίν· καὶ μὴν ἡ λύπη μελαίνει τοὺς ὀφθάλμους, μελαίνει δὲ καὶ ὁ καπνὸς "ῥωγαλέα, ῥυπόωντα, κακῷ μεμορυγμένα καπνῷ" (Od. 13, 435). τὸ οὖν ἄχος τῆς ὀργῆς αἴτιον ὂν καπνίζει τὴν ὀργὴν μελαίνει τὰς φρένας "μένεος δὲ μέγα φρένες ἀμφιμέλαιναι πίμπλαντο" (Il. 1, 103). τὸ δὲ ἄχος καὶ τὸ ἄχνυσθαι ὅτι "μελαίνει," φησὶν, "ἀχνυμένην ὀδύνῃσι, μελαίνετο δὲ χρόα καλόν" (5, 354). τὸ δ' ἄχνυσθαι τοῦ ἄχθεσθαι πλεονασμῷ δηκτικῆς ἀγανακτήσεως διαφέρει, λύπη δ' ἑκάτερον. ἐπιμένων δὲ τῇ ἐξάψει τῇ ἐπὶ τῶν ὀργιζομένων ἔφη "κεῖνος δ' οὐκ ἐθέλει σβέσσαι χόλον, ἀλλ' ἔτι μᾶλλον πιμπλάνεται μένεος" (9, 677), ὁμοίως τῷ "μένεος δὲ — πίμπλαντο." κατηγορεῖ δὲ τοῦ πάθους καὶ ἀγριότητα "αὐτὰρ Ἀχιλλεὺς ἄγριον ἐν στήθεσσι θέτο μεγαλήτορα θυμόν" (9, 628), καὶ πάλιν "χόλος δέ μιν ἄγριος ἧρει" (4, 23), πρὸς ὃν καὶ ὁ παραινῶν ἔφη ὡς ἐπὶ ἀγρίου θηρίου "ἀλλ', Ἀχιλεῦ, δάμασον θυμὸν μέγαν" (9, 496), καὶ πάλιν τὴν θηριωδίαν φησὶν "εἰ δὲ σύ γ' εἰσελθοῦσα πύλας καὶ τείχεα μακρὰ ὠμὸν βεβρώθοις Πρίαμον Πριάμοιό τε παῖδας, ἄλλους τε Τρῶας, τότε κεν χόλον ἐξακέσαιο" (4, 34). καὶ ὅτι τῶν ἐν κινήσει, ἀλλ' οὐκ ἐν σχέσει, ἐστὶν ὁ χόλος, καθάπερ καὶ τὴν ὀργὴν τῶν ἐν κινήσει φασὶν εἶναι οἱ φιλόσοφοι, δηλοῖ τὰ τοιαῦτα "Ἀτρείωνα δ' ἔπειτα χόλος λάβεν, αἶψα δ' ἀναστὰς ἠπείλησεν μῦθον" (1, 387). καὶ πάλιν "Πηλείδης δ' ἐξαῦτις ἀταρτηροῖς ἐπέεσσιν Ἀτρεΐδην προσέειπε καὶ οὔπω

λῆγε χόλοιο" (1, 223), ὡς ἂν δυνάμενον καὶ παύσασθαι. ὅταν δ' ἐν σχέσει γένηται καὶ ἡσυχάζῃ, κότον καλεῖ· διό φησιν "εἴπερ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ, ἀλλά τε καὶ μετόπισθεν ἔχει κότον, ὄφρα τελέσσῃ" (1, 81), ὡς ἐγχωροῦν ἐᾶσαι μὲν τὸν χόλον, ἐκποιεῖν δὲ τὸν κότον, μηνίειν δὲ εἰκότως, "αὐτοῦ κινηθέντος" (1, 47). πάλιν χόλος, ταυτὸν δὲ καὶ ὁ θυμός, ὅταν μὴ τὴν ψυχὴν σημαίνῃ, δηλοῖ τὸν χόλον· ἀλλ' ὁ μὲν θυμὸς ἀπὸ τοῦ θύειν, ὁ δὲ χόλος ἀπὸ τῆς χολῆς καὶ τοῦ χολᾶν προσηγόρευται· εἰπὼν γοῦν "μή τι χολωσάμενος ῥέξῃ κακὸν υἷας Ἀχαιῶν" (2, 195) ἐπάγει "θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέος βασιλῆος," καὶ πάλιν "ἠὲ χόλον παύσειεν, ἐρητύσειέ τε θυμόν" (1, 192), καὶ πάλιν "καὶ μάλα περ θυμῷ κεχολωμένον" (1, 217), εἰ μή τις ἐνταῦθα θυμὸν τὴν ψυχὴν λέγοι, ὡς τὸ "ἄγριον ἐν στήθεσσι θέτο μεγαλήτορα θυμόν" (9, 629). τὸ δ' "ἄληκτόν τε κακόν τε θυμὸν ἐνὶ στήθεσσι θεοὶ θέσαν οὐρανίωνες εὕνεκα κούρης" (9, 636) ἐπὶ τοῦ χόλου λέγει καὶ ἀντὶ τῆς ὀργῆς παραλαμβάνει. ὅτι δὲ παρὰ τὸ θύειν καὶ ἐγείρεσθαι καὶ ἡ ψυχὴ καὶ ἡ ὀργὴ θυμός, δηλοῖ λέγων "Τρωσὶν θυμὸν ἐγεῖραι" (5, 510). θυμὸς δὲ καὶ χόλος προσλαβὼν τὴν ἐπὶ τὸ δρᾶσαι πονηρὸν ἀγανάκτησιν χώεσθαι λέγεται, καὶ ὁ ἐν τοιούτῳ πάθει "χωόμενος κῆρ" αὐτίκα γοῦν τὸν λοιμὸν ἐπάγει, καὶ δράσαντος ἐρωτῶσιν," ὅς κ' εἴποι, ὅτι τόσσον ἐχώσατο Φοῖβος Ἀπόλλων" (1, 64). διὸ καὶ ἐπὶ τοῦ δρᾶσαί τι κακὸν δυναμένου δι' ὀργὴν βασιλέως εἴρηται "κρείσσων γὰρ βασιλεὺς, ὅτε χώσεται ἀνδρὶ χέρηϊ" (1, 80). οὕτως εἴρηκε καὶ τὸ "σὺ δ' ἔνδοθι θυμὸν ἀμύξεις χώμενος" (1, 243), ἀντὶ τοῦ ἀμυχὴν ποιήσεις σπαράττων τὴν ψυχήν· οὕτω δηλῶν τὸ δραστικὸν δι' ἀγανάκτησιν περιέχειν τὸ χώεσθαι. καὶ τοίνυν τὸ "χώμενος δ' ὁ γέρων πάλιν ᾤχετο" (1, 380) ἀκουσόμεθα οὐχ ἁπλῶς ὀργιζόμενος, ἀλλὰ μετ' ἀγανακτήσεως ἀμυκτικῆς· διὸ καταρᾶται· καὶ κατὰ τοῦτο ἀμυνόμενος· διὸ καὶ "χώμενος κατὰ θυμὸν ἐϋζώνοιο γυναικός" (1, 429) Ἀχιλλεὺς τῇ ὀργῇ δηλοῦσθαι ποιεῖ τὴν τιμωρητικὴν δι' ἀγανάκτησιν ἄμυναν. ἐπιβουλεύεται οἷν διὰ τῆς μητρὸς τοῖς Ἕλλησι, καὶ οὐχ ἁπλῶς ὀργίζεται. ὥσπερ γὰρ τὸ ἄχνυται πρὸς τὸ ἄχθεται ἔχει περιττεύουσαν ἀγανάκτησιν, οὕτω τὸ χώεσθαι

2. *φησιν] om.
25. *δηλῶν] om. B.
26. *περιέχειν] περιέχει B.
33. *οὕτω] τοῦτο

πρὸς τὸ χολοῦσθαι "μή οἱ γοῦνα λαβόντι χολώσαιτο φρένα κούρη" (Od. 6, 147) ἀντὶ τοῦ, ὀργισθείη· "γαῖα δ' ὑπεστονάχιζε, Διΐ ὡς τερπικεραύνῳ χωομένῳ" (2, 781), καὶ ἐπάγει τὰ ἐκ τοῦ χώεσθαι "ὅτε τ' ἀμφὶ Τυφωεῖ γαῖαν ἰμάσσῃ" (2, 782). ἐν κινήσει μὲν οὖν χόλος, θυμός. χώεσθαι οὖν ταυτὸν, θυμὸς καὶ χόλος, τὸ δὲ χώεσθαι ἀντὶ τοῦ σκύζεσθαι. εἰπὼν γοῦν "σέθεν δ' ἐγὼ οὐκ ἀλεγίζω χωομένης" (8, 477). ἐπάγει "οὔ σευ ἔγωγε σκυζομένης ἀλέγω" (482). ἐπὶ δὲ τοῦ Ἀχιλλέως "χώμενος κατὰ θυμόν," εἰπὼν ποιεῖ λέγοντα "οἵ μοι σκυζομένῳ περ Ἀχαιῶν φίλτατοι ἔστον" (9, 198). ἐν δὲ σχέσει μῆνις μὲν κότος ὤν· καὶ μῆνις μὲν ὁπόταν μὴ τὸ μένος δηλοῖ, ταυτόν· ἔστι γὰρ καὶ μένος ὀργὴ ἐναπόθετος καὶ ἔμμονος. πάλιν δὲ μῆνις προσειληφυῖα τὸ ἐπιτηρητικὸν μετ' ἀγανακτήσεως καὶ κακοποιίας κότος γίγνεται, ὡς τὴν μὲν μῆνιν ἐκ τοῦ χόλου ἐναποκεῖσθαι, τὸν δὲ κότον ἐκ τοῦ χώεσθαι. ὅτι δὲ παρὰ τὸ μένειν ἡ μῆνις, "αὐτὰρ ὁ μήνιε νηυσὶ παρήμενος ὠκυπόροισι" (1, 488). καὶ "ἀλλὰ σὺ μὲν νῦν νηυσὶ παρήμενος ὠκυπόροισι μήνι' Ἀχαιοῖσιν" (422). καὶ ὅτι διὰ τὸ μένειν καὶ κεῖσθαι ἡσυχάζοντα καὶ ἔχοντα σιγὴν, φησὶ "κεῖτ' ἀπομηνίσας" (2, 772) παρὰ τὸ κεῖσθαι τὸν μηνίοντα· καὶ ὁ πᾶς χρόνος μηνιθμὸς "πανθ' ὑπὸ μηνιθμόν" (16, 202). ὅτι δὲ μένος καὶ μῆνις ταυτὸν, "'Ατρεΐδη, σὺ δὲ παῦε τεὸν μένος" (1, 282). τίς ἐστιν ἡ μῆνις; χόλος, φησὶ, μὴ ἀφεθείς. ἐπάγει γοῦν "αὐτὰρ ἔγωγε λίσσομ' Ἀχιλλῆϊ μεθέμεν χόλον" (9, 260). καὶ πάλιν ἀντὶ τοῦ φάναι "μὴ μήνιε" ἔφη "ἔα δὲ χόλον θυμαλγέα" (157). καὶ παυσαμένῳ μήνιδος φησὶ "μεταλλήξαντι χόλοιο." καὶ ὁ μεθεὶς τὸν χόλον καὶ ἀμήνιτος μεθήμων καὶ ὁ ἄγαν τηρῶν καὶ ὁ ἀναφαίρετος τὸν κότον "αἰὲν ἐπιζαφελῶς χαλεπαίνει" (9, 514). ζαφελὲς γὰρ τὸ ἀναφαίρετον. καὶ ζαφελὴς οὖν χόλος ἡ μῆνις "ὅτε κέν τιν' ἐπιζάφελος χόλος ἵκοι" (521)· περὶ γὰρ τῶν μηνιόντων ὁ λόγος. καὶ τὸ μένος δὲ παρὰ τὸ μένειν· μένειν δὲ ἀκίνητον καὶ ἄτρομον, καὶ μὴ φεύγειν "ἐν γάρ τοι στήθεσσι μένος πατρώϊον ἦκα, ἄτρομον" (5, 125). ὅτι γὰρ παρὰ τὸ μένειν "ἔτι μοι μένος ἔμπεδόν ἐστι." καὶ μένος οὖν χειρῶν τὸ ἔμμονον ἔργον πρὸς τὸ δράξασθαι, "οἱ δὲ μένος χειρῶν ἰθὺς φέρον" (5, 506). καὶ ὅτι παρὰ τὸ μένειν τὸ μένος "'Αργεῖοι δ' ὑπέμειναν ἀολλέες οὐδὲ φόβηθεν. οὔτε βίας Τρώων ὑπεδείδισαν οὔτε ἰωκὰς, ἀλλ'

35. *βίας Τρώων] τρώων βίας

ἕμενον νεφέλῃσιν ἐοικότες" (5, 498–521). ὅτι δὲ τὸ μένος σθένος "πάντως, οἷον ἐμόν γε μένος καὶ χεῖρες ἄαπτοι" (8, 450) εἰπόντος τοῦ Διός φησιν "εὖ νυ καὶ ἡμεῖς ἴδμεν, ὅ τοι σθένος οὐκ ἐπιεικτόν" (8, 32). ὡς οὖν τὸ σθένος μένος, οὕτω καὶ χόλος μένων μένος καὶ μῆνις. εἰπὼν γοῦν "χαλεπὴ δὲ θεοῦ ἔπι μῆνις" (5, 178). ἐπάγει "οὐ γάρ τ' αἶψα θεῶν τρέπεται νόος αἰὲν ἐόντων" (Od. 3, 147). ὅτι δὲ μῆνις ἐπιτηροῦσα καιρὸν τιμωρίας κότον δηλοῖ, "ἀλλά γε καὶ μετόπισθεν ἔχει κότον ὄφρα τελέσσῃ" (1, 82) ἕως ἂν κατεργάσηται καὶ κακώσῃ τὸν λυπήσαντα. ὅτι δὲ παρὰ τὸ ἐγκεῖσθαι κότος εἴρηται ἐξηγεῖται, "ὅ τοι κότον ἔνθετο θυμῷ" (Od. 22, 101). καὶ ὅτι ἐπιτηρητικὸν εἰς τὸ δρᾶσαί τι πονηρόν, "Ζεὺς δέ σφιν Κρονίδης, ὑψίζυγος, αἰθέρι ναίων, αὐτὸς ἐπισσείῃσιν ἐρεμνὴν αἰγίδα πᾶσι, τῆσδ' ἀπάτης κοτέων· τὰ μὲν ἔσσεται οὐκ ἀτέλεστα" (4, 166). ὁμοίως τῷ "ἔχει κότον, ὄφρα τελέσσῃ" (1, 82). καὶ πάλιν "ὀλλῦσαι Τρῶας, τοῖσιν κότον αἰνὸν ἔθεσθε" (8, 449). ἔθεσθε δὲ, ἐν τῷ θυμῷ, ἀκουστέον. τὸ γὰρ αὐτό ἐστι τῷ "κότον ἔνθετο θυμῷ." καὶ εἰπὼν ὅτι τῷ Ἀγαμέμνονι "καὶ ἐκπάγλως κοτέοντο νεμέσσηθέν τ' ἐνὶ θυμῷ" (2, 223) προσάγει τὰ ἐκ τοῦ κότου εἰπὼν "Ἀτρεΐδη, νῦν δή σε, ἄναξ, ἐθέλουσιν Ἀχαιοὶ πᾶσιν ἐλέγχιστον θέμεναι" (2, 284) καὶ τὸ "οὐδ' ὄθομαι κοτέοντος" (1, 181). οὐκοῦν ἀκουσόμεθα τῆς εἰς τὸ δρᾶν ἐγκειμένης μήνιδος φροντίζειν· διὸ καὶ αὐτὸς ἐπαπειλεῖ ἐπεξελθὼν καὶ ἐπάγει "ὄφρ' εὖ εἰδῇς ὅσσον φέρτερός εἰμι σέθεν" (1, 186). καὶ ὅτι ἡ μὲν μῆνις μέγαν χόλον δηλοῖ "πὰρ Διὸς ἀθανάτοισι χόλος καὶ μῆνις ἐτύχθη" (15, 122). ὅτι δὲ μῆνις ἀγανάκτησιν ἀμυντικὴν περιέχουσά ἐστιν ὁ κότος παρίστησι διὰ τούτων "εἰ μή τις θεός ἐστι κοτεσσάμενος Τρώεσσιν, ἱρῶν μηνίσας, χαλεπὴ δὲ θεοῦ ἔπι μῆνις" (5, 177). μηνίσας οὖν ὁ θεὸς εἰς κότον μεθίσταται. εἴρηται τοίνυν ὅτι ἡ μὲν κατὰ κίνησιν πρόσκαιρος ὀργὴ χόλος καὶ θυμὸς, ἡ δὲ κίνησις μετ' ἀγανακτήσεως δραστικῆς ἐνεργείας χώεσθαι λέγεται καὶ σκύζεσθαι, ὡς ἀπόθετος μὲν χόλος μένος, καὶ μῆνις δὲ τὸ ἀμύνεσθαι ἐπιτηροῦσα· καὶ ὅπως ὁρμὴ ἐπηρτημένη μετὰ λύπης καὶ ὀρέξεως ἡ ὀργή· καὶ ὅπως κατὰ αὔξησιν τοῦ θυμοῦ γίνεται, καὶ πάντα ὅσα ἔγκειται παρατηρεῖν μᾶλλον ἠξίουν τοὺς τὰς μικρὰς ἐξηγήσεις περὶ τὴν μῆνιν καταβαλλομένους.

67. ἡμῖν] ὀρθοτονεῖται τὸ ἡμῖν· ἀρκτικὸν γάρ ἐστι κατὰ τὴν τῆς ἀπό σύνταξιν, ὅτι πρὸς τὸ ἀμῦναι ἡ ἀπό φέρεται.

69. Κάλχας Θεστορίδης] ὅρα πῶς ἐν ἀρχῇ διασαφεῖ τὰ ὀνόματα, ὡς καὶ ἑτέρου ὑπάρχοντος.

70. ὃς ἤδη τά τ' ἐόντα] τὰς αἰτίας φησὶν, ἐπεὶ τὸν λοιμὸν πάντες ἤδεσαν, οὐ μὴν τὴν αἰτίαν αὐτοῦ.

71. νήεσσ' ἡγήσατ'] διὰ τὰς διοσημίας· "πειθόμενοι" γάρ φησι "τεράεσσι θεῶν" (Il. 4, 108).

72. τήν οἱ πόρε Φοῖβος Ἀπόλλων] τὰς εἰς ἄκρον εὐεξίας θεῶν εἶναι δῶρά φησιν.

* Φοῖβον συνεχῶς εἴωθεν ὀνομάζειν τὸν Ἀπόλλωνα, οὐκ ἀπὸ Φοίβης, ἣν Λητοῦς φασιν εἶναι μητέρα· σύνηθες γὰρ Ὁμήρῳ τοῖς πατρόθεν ἐπιθέτοις χρῆσθαι, τὰ δὲ μητέρων οὐκ ἂν εὕροις ὅλως παρ' αὐτῷ. Φοῖβον οὖν αὐτὸν ἀπὸ τῶν ἀκτίνων ὀνομάζει ὡς λαμπρὸν, τὸ μόνον ἡλίῳ προσὸν ἐξ ἴσου κοινώσας Ἀπόλλωνι καὶ Μούσαις.

73. εὔφρονέων] πρὸς τὴν τοῦ βασιλέως ἀβελτηρίαν.

74. ὦ Ἀχιλεῦ] καὶ τῷ βασιλεῖ ἀπολογεῖται ὡς ἀναγκαζόμενος ὑπὸ Ἀχιλλέως, καὶ τῷ πλήθει ὡς δέει τοῦ βασιλέως μὴ προειπών.

76. τοιγάρ] οὐκ ἔστιν ἀντωνυμία ἡ τοί (οὐδέποτε γὰρ ἀρκτική ἐστιν), ἀλλ' ἀντὶ τοῦ δή.

καί μοι ὄμοσσον] οὐκ ἀπιστῶν τῷ Ἀχιλλεῖ προβάλλει τὸν ὅρκον, ἀλλ' ἵνα ἔχῃ πρόφασιν πρὸς τὸν βασιλέα. ὁ συνεὶς Ἀχιλλεὺς οὐκ ἀγανακτεῖ ἀπιστούμενος, ἀλλ' ἑτοίμως ὄμνυσι.

77. ἠμέν] ἀντὶ τοῦ ἢ μήν. ἔστι δὲ ἐπίρρημα ὁρκικόν. διὸ βαρύνομεν τὸν η̄. εἰ γὰρ περισπάσομεν, ἔσται βεβαιωτικός.

78. ἦ γὰρ οἴομαι] ὡς ἐπιδιστάζων εἶπε τὴν ἐσομένην αὐτῷ μῆνιν.

80. κρείσσων γὰρ βασιλεύς] μέλλων βαρύνειν τὸν βασιλέα προσαπολογεῖται αὐτῷ. Ζηνόδοτος δὲ κρείσσω γράφει. ἀθετεῖ δὲ καὶ τὸν στίχον, κακῶς.

81. εἴπερ γάρ τε] πιθανῶς τὴν εἰς τὸ μετέπειτα σωτηρίαν αἰτεῖ· εἰκὸς γὰρ ἦν τὸ μὲν παρὸν, αἰδεσθέντα τὸ πλῆθος, παριδεῖν αὐτὸν, εἰς δὲ τὸ μετέπειτα τιμωρήσασθαι.

6. ἤδεσαν] ἤδεισαν

11—16. Eadem fere supra ad v. 43.

26. ἠ] ἦ

82. ἔχει κότον] ἔδειξε διαφορὰν κότου πρὸς χόλον. ὑποφαίνει δὲ διὰ πάντων τὸ ὕπουλον μὲν Ἀγαμέμνονος, Ἀχιλλέως δὲ ἁπλοῦν.

85. θαρσήσας] ὡς ἀγαθὸς προκρίνει τὸ κοινῇ τοῦ ἰδίᾳ συμφέροντος. θεοπρόπιον δὲ τὸ ἐκ θεοῦ προειρημένον· τοῦτο δὲ πρὸς δυσώπησιν τῶν ἀκουόντων.

* θεοπρόπιον δὲ τὸ ἐκ θεοῦ μάντευμα, ἢ τὸ τοῖς θεοῖς πρέπον· οὗτοι γὰρ ὡς πάντα ἐπιστάμενοι λέγοισι τὰ τοῖς θεοῖς ἀρέσκοντα.

86. *μά] τοῦτο Ὅμηρος ὡς συλλαβῆς τάξιν ἔχον τίθησι. ποτὲ μέντοι ἀντὶ τοῦ μά τῷ ναί κέχρηται, ὡς "ναὶ μὰ τόδε σκῆπτρον" (234), ὅτε ὄμνυσιν. ὅτε δὲ ἀπόμνυσί τι, συζεύγνυσι τὸ τῆς ἀπιφάσεως, οἷον "οὐ μὰ γὰρ Ἀπόλλωνα" καὶ ἐν Ὀδυσσείᾳ (20, 339) "οὐ μὰ Ζῆν', Ἀγέλαος·" ἡμεῖς δὲ τὸ μά ὡς μέρος λόγου ἀπομνύντες παραλαμβάνομεν, μὰ τὸν Δία λέγοντες. ἔστι δὲ καὶ ἐπίρρημα ἐπευκτικόν. [μαγεία ἐστὶν ἐπίκλησις δαιμόνων ἀγαθοποιῶν πρὸς ἀγαθοῦ τινὸς σύστασιν, ὡς τὰ τοῦ Ἀπολλωνίου τοῦ Τυανέως θεσπίσματα. γοητεία δὲ ἐπίκλησίς ἐστι δαιμόνων κακοποιῶν, περὶ τοὺς τάφους γινομένη. φαρμακεία δὲ, ὅταν διά τινος σκευασίας θανατηφόρου πρὸς φίλτρον ἢ ἄλλως δοθῇ τισὶ διὰ στόματος. ἡπατοσκοπία δὲ ἡ τῶν ἐγκάτων ἀνατομὴ, δι' ὧν προεμήνυον τὰ συμβησόμενα· ἀνατέμνοντες γὰρ σημεῖά τινα ἐθεώρουν ἐν τοῖς ἥπασιν.]

88. ἐμεῦ ζῶντος] πεφυλαγμένος καὶ δεισιδαίμων ὁ ὅρκος. συνέβαινε γὰρ ἀποθανόντος ἢ ἀποδημοῦντος τοῦ Ἀχιλλέως αἱκισθῆναι τὸν μάντιν.

* τὸ δὲ οὔτις κατὰ ἀπόφασιν ἀντὶ τοῦ οὐδείς.

90. οὐδ' ἣν Ἀγαμέμνονα εἴπῃς] ὃ δεδιὼς ἔσκεπεν ὁ μάντις, τοῦτο θαρσύνων ἀπεκάλυψεν Ἀχιλλεύς. οὐχ ὑβριστικῶς δὲ εἴρηται, ἀλλὰ φιλοφρόνως, ὡς ἂν ἐπιτρέποντος καὶ τοῦ βασιλέως τοιαύτην ἀσφαλῆ ποιεῖσθαι ἐγγύην. τῇ δὲ ὑπερβολῇ θεραπεύει τὸν Ἀγαμέμνονα.

93. οὐ δή. τέλειος δέ ἐστιν ὁ τάρ, οὐκ ἐκ τοῦ τὲ ἄρ. προθεραπεύει δὲ τὸ πλῆθος, εἰς εὔνοιαν ἐπαγόμενος ὡς θυσίας οὐκ ὀφεῖλον.

94. ἀθετεῖται ὡς περισσός· πρόκειται γὰρ "ἀλλ' ἕνεκ' ἀρητῆρος,

14. μαγεία—τοῖς ἥπασιν] Additamentum interpolatoris, quod obscuravit Bekkerus δὲ post μαγεία addito.

25. *ἔσκεπεν] ἐσκέπτετο.

ὃν ἠτίμησ' Ἀγαμέμνων." τὸ δὲ ἐπιμέμφεται ἀπὸ κοινοῦ δεῖ λαμβάνειν.

98. ἑλικώπιδα] τὴν μελανόφθαλμον, ὡς Καλλίμαχος· ἢ τὴν οὐκ ἀτενιστὴν τῇ θέᾳ· ἢ τὴν ἀξιοθέατον· ἢ πρὸς ἣν οἱ νέοι τοὺς ὤπας ἑλίσσουσιν.

99. ἀπριάτην] ἐπιρρηματικῶς αὐτὸ ἀκούει Ἀπολλώνιος, ἵν' ᾖ τὸ χωρὶς πριασμοῦ.

οὐ γὰρ ἐκ μύνης μεταμελείας, ἀλλὰ καὶ ἐκ κόπου καὶ προσφορᾶς τοὺς πρημαρτηκότας ἀπαλλάττεσθαι δεῖ. τὸ δὲ ἄγειν ἐπὶ νηὸς καὶ ἅρματος, ὡς τὸ "ὃ οἴκοθεν ἦγ' ὁ γεραιός" (Il. 11, 632) καὶ "ἦγον δὲ Μαχάονα ποιμένα λαῶν" (Π. 11, 598).

100. τότε κέν μιν] Ζηνόδοτος αἴ κέν μιν. γελοῖον δὲ διστακτικῶς λέγειν τὸν μάντιν.

πεπίθοιμεν] ὅμοιόν ἐστι τῷ ῥηϊδίως πεπιθεῖν (Il. 9, 184). εἴωθε δὲ τοὺς δευτέρους ἀορίστους ἀναδιπλασιάζειν.

103. ἐκκλίνειν δεῖ τὸν θυμὸν καὶ φυλάττεσθαι, ὅπου γε καὶ τοῦ τοιούτου ἥρως περιεγένετο.

φρένες ἀμφιμέλαιναι] ἡ ἀμφὶ πρὸς τὸ πίμπλαντο, ἀπὸ τῆς τῶν ὑδάτων μεταφορᾶς· ὡς ἐκ κεραμίου γὰρ ὁ θυμὸς ὑπερεξεχεῖτο.

104. ὄσσε] παρὰ τὸ ὄπτω ὄσσω, ὥσπερ παρὰ τὸ πέττω πέσσω· ἐκ δὲ τοῦ ὄσσω γίνεται ὄνομα ὄσσος, τὸ δυϊκὸν ὄσσε, καὶ ἀφαιρέσει ὄσσε.

*τὸ ὄσσε οὐκ ἔστιν ἀρσενικὸν δυϊκόν· φησὶ γὰρ ὁ ποιητὴς "τὼ δέ οἱ ὄσσε πὰρ ποσὶν αἱματόεντε χαμαὶ πέσον" (Il. 13, 617), οὐχ αἱματόεντες. οὐδετέρας οὖν ληπτέον εὐθεῖαν, καὶ ἔσται τὸ ὄσσος ὡς ἔρκος βέλος τεῖχος· τὸ δὲ πληθυντικὸν κατὰ Ἀθηναίους μὲν ἕρκη βέλη τείχη, κατὰ δὲ Ἴωνας ἕρκεα βέλεα τείχεα, καὶ δῆλον ὅτι ὄσσεα. τῶν εἰς ᾱ πληθυντικῶν τὰ δυϊκὰ οὐδέτερα εἰς ε̄ τελευτᾷ, οἷον ὄμματα ὄμματε, γράμματα γράμματε· καὶ Εὐριπίδης (Hipp. 387) "οὐκ ἂν δύ' ἤτην ταὐτ' ἔχοντε γράμματα," καὶ Ἀριστοφάνης ἐν Πλούτῳ (454) "γρύζειν δὲ καὶ τολμᾶτον, ὦ καθάρματε." σαφὲς οὖν ὅτι καὶ τείχεε λέξουσι δυϊκῶς καὶ ὄσσεε, εἶτα κατὰ ἀφαίρεσιν ὄσσε.

**λαμπετόωντι] ὥσπερ ἀπὸ τοῦ εὔχω εὐχέτης, βάλλω βαλέτης καὶ

30. γράμματα] γράμματε
31. δὲ] Compendio expressum. *καὶ] om.

ἐκηβελέτης. οὕτω καὶ ἐκ τοῦ λάμπω λαμπέτης, καὶ ἐξ αὐτοῦ λαμπετῶ, ἡ μετοχὴ λαμπετῶν. ἔστι δὲ ἡ συζυγία τῶν περισπωμένων. ὁ ποιητὴς ἐπὶ ταύτης τῆς συζυγίας ἔθος ἔχει πλεονάζειν τῷ ω̄, ὡς τὸ "ὁρόων ἐπὶ οἴνοπα πόντον" (350).

εἴκτην] εἴκω εἶκα εἴκειν εἰκείτην, καὶ ἐν συγκοπῇ εἶκτην, ἐν διαλύσει εἴκτην. προδιατυποῖ δὲ τὰ λεχθησόμενα τῆς ὄψεως τὸ δεινὸν, καὶ δοκεῖ τὸ ὑπόδρα ἰδὼν ἔχειν καὶ ἐπεξήγησιν. διὰ δὲ τοῦ πρώτιστα σημαίνει τὸ καὶ ἐπ' ἄλλους μετάξοντα τὸν λόγον τῆς τοιαύτης ὀργῆς.

105. κάκ' ὀσσόμενος] παρατηρητέον ὅτι, ὅταν ἐκ προσώπου τινὸς ἐπάγειν μέλλῃ λόγους ὁ ποιητὴς, προσημαίνει οἷος ἔσται ὁ λόγος· εἰπόντος γὰρ αὐτοῦ τὸ "τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη ὁ Ἀγαμέμνων," ὑβριστικούς· καὶ πάλιν "καί μιν νεικείων" (Od. 18, 9), θεωρητέον εἰ οἱ μέλλοντες ἐπάγεσθαι λόγοι ἔχουσιν ὑνείδη. ὅταν δὲ τὸ "ὅ σφιν ἐϋφρονέων," φρονίμους προσδεκτέον λόγους· καὶ πάλιν ὅταν λέγῃ "καὶ τότε κυφότερον μετεφώνεε Φαιήκεσσι" (Od. 8, 201), δεῖ ἡμᾶς τῶν λεχθησομένων ὡς κούφων ἀκούειν, Ὀδυσσέως ὑψηγοροῦντος καὶ ἐνταῦθα τοίνυν προδιετύπωσε τοὺς λόγους διὰ τοῦ κακοσσόμενος, οὐχ, ὥς τινες οἴονται, κακῶς ὑποβλεψάμενος, ἀλλ' ὅτι κακόμαντιν ἀποκαλῶν. ἐπεὶ γὰρ ὅσσα ἐστὶν ἡ θεία φωνὴ, τῆς ὀπὸς δὲ τῶν θεῶν ἀκούουσιν οἱ μάντεις. διὰ τοῦτο κακοφημίζει αὐτὸν εἰς τοῦτο, κακὸν ἄγγελον τῆς Διὸς ὅσσης ἀποκαλῶν.

*παρατηρεῖν δεῖ ὡς, ὅταν ἐκ προσώπου τινὸς μετάγειν λόγους μέλλῃ τινὰς ὁ ποιητὴς, προλέγει προσημαίνων οἷος ἔσται ὁ λόγος, ἢ μεθ' οἵας διαθέσεως λεγόμενος. οὕτω γὰρ ὅρον λαβόντες παρὰ τοῦ ποιητοῦ ἐπὶ τοῖς αὐτοῖς οἵσπερ ὁ ποιητὴς παρήγγειλε τῶν λεγομένων ἀκουσόμεθα· οἷον εἰπόντος "τόνδ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη ὁ Ἀγαμέμνων" (Il. 1, 148) ὑβριστικοὺς προσδεκτέον ἔσεσθαι τοὺς λόγους, οἵοι ἂν γένοιντο ὑπὸ τοῦ ὑποβλεπομένου· καὶ πάλιν προειπόντος "καί μιν νεικείων ἔπεα πτερόεντα προσηύδα" (Od. 18, 9), θεωρητέον εἰ οἱ ἐπάγεσθαι μέλλοντες λόγοι ὀνείδη παρέχουσιν· ὅταν

11. *ἔσται] ἐστὶν

23. παρατηρεῖν δεῖ —] Longum hoc manus secundae scholion, ex quo praecedens primae manus scholion compendifactum est, legitur in Porphyrii Ζητήμασιν Ὁμηρικοῖς cap. 16, sed locis pluribus minus integrum quam in B.

28. ὁ Ἀγαμέμνων] Immo ὁ Ἀχιλλεύς

δὲ "ὅς σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπε," φρονίμους προσδεκτέον λόγους· φρονίμου γάρ ἐστι τὰς αἰτίας τῶν ἐνεστηκότων εἰπεῖν καὶ μετὰ ταῦτα ἐπάγειν τὰ ποιητά. τὸ μὲν οὖν ἀγορήσατο δηλοῖ τὴν ἐξήγησιν καὶ φανέρωσιν τῶν ἐνεστηκότων, ὡς ὁ λέγων "οὔτ' ἄρ' ὅγ' εὐχωλῆς ἐπιμέμφεται οὔθ' ἑκατόμβης, ἀλλ' ἕνεκ' ἀρητῆρος, ὃν ἠτίμησ' Ἀγαμέμνων" (1, 93). τὸ δὲ "μετέειπε" τὸ μετὰ ταῦτα ἐπαγαγεῖν ποιητέον· ἐπάγει γὰρ "οὐδ' ὅγε πρὶν λοιμοῖο βαρείας χεῖρας ἀφέξει, πρίν γ' ἀπὸ πατρὶ φίλῳ δόμεναι" (1, 97) καὶ τὰ ἑξῆς, καὶ τὰ ἐπὶ τοῦ Νέστορος "ὦ πόποι, ἦ μέγα πένθος Ἀχαιΐδα γαῖαν ἱκάνει" (Il. 1, 254) διήγησιν ἔχει τῶν ἐνεστώτων ἅπερ ἀγορήσατο. ἐπὶ δὲ τοῦ "ἀλλὰ πίθεσθε καὶ ὔμμες" (1, 274) μετὰ τὸ διηγήσασθαι τὰ ἐνεστηκότα εἰπεῖν ἃ δεῖ πράττειν. πάλιν ὅταν προείπῃ "καὶ τότε κουφότερον μετεφώνεε Φαιήκεσσι" (Od. 8, 201), δεῖ ἡμᾶς τῶν μελλόντων λέγεσθαι λόγων ἀκούειν ὡς κούφων καὶ ἐπηρμένων, ὑψηλολογοῦντος διὰ τὴν νίκην τοῦ Ὀδυσσέως. τοιοῦτον γὰρ τὸ "τοῦτον νῦν ἐφίκεσθε, νέοι" καὶ τὰ ἑξῆς· προθεωροῦντι γὰρ ἔοικεν ὁ ποιητὴς ἑαυτὸν καὶ προδιατιθέντι τοὺς ἀκουσομένους περὶ τοῦ εἴδους τῶν λόγων. ἐκ τούτου δὲ πολλὰ ἔνεστι λύειν τῶν παρεωραμένων τοῖς γραμματικοῖς· αὐτίκα τὸ ἐπὶ τοῦ Διὸς "αὐτίκ' ἐπειρᾶτο Κρονίδης ἐρεθιζέμεν Ἥρην, κερτομίοις ἐπέεσσι παραβλήδην ἀγορεύων" (4, 5), μὴ νοήσαντές τινες ὅτι περὶ τοῦ μέλλοντος τρόπου τὸν λόγον εἴρηκεν ἀλλοκότους ἐξηγήσεις πεποίηνται· φασὶ δὲ ὅτι παραβλητικοῖς ἐχρῆτο λόγοις ὁ Ζεὺς παραβάλλων καὶ ἀντεξετάζων τὴν Ἀφροδίτης Ἀλεξάνδρῳ ἐπικουρίαν πρὸς τὴν Ἥρας καὶ Ἀθηνᾶς τῷ Μενελάῳ γιγνομένην. τὸ οὖν παραβλήδην τὸ μὲν τοῦ παραβάλλειν λέγει, ὅπερ εἰώθασι λέγειν συγκρίνειν. καὶ ὅτι τοῦθ' οὕτως ἔχει δηλοῖ ὁ τοῦ Διὸς λόγος συγκριτικὸς ὤν "δοιαὶ μὲν Μενελάῳ ἀρηγόνες εἰσὶ θεάων, Ἥρη τ' Ἀργείη καὶ Ἀλαλκομενηὶς Ἀθήνη· ἀλλ' ἤτοι ταὶ νόσφι καθήμεναι εἰσορόωσαι τέρπεσθον· τῷ δ' αὖτε φιλομμειδὴς Ἀφροδίτη αἰεὶ παρμέμβλωκε καὶ αὐτοῦ κῆρας ἀμύνει" (4, 7). καὶ οὐκ ἔστιν ἁπλῶς παραβολὴ καὶ ἀντεξέτασις, ἀλλ' οὕτως ἐρεθιστικὴ καὶ κέρτομος ὡς προεῖπον ἔσεσθαι "δοιαὶ μὲν Μενελάῳ," μία δὲ τῷ Ἀλεξάνδρῳ· καὶ ἡ μὲν Ἥρα κηδεμὼν τοῦ Ἄργους κἀκεῖ χρηματίζουσα καὶ διὰ τοῦτο καὶ τοῦ Μενελάου κήδεσθαι ὀφείλουσα, ἡ δὲ Ἀθηνᾶ ὡς Ἀλαλκομενηὶς, ἡ δὲ Ἀφροδίτη φιλομειδὴς καὶ οὐκ ἀπ' Ἰλίου, καὶ ὅμως αἱ μὲν νόσφι τοῦ Μενελάου

κάθησθε, ἡ δὲ ἀεὶ παρμέμβλωκε, καὶ αἱ μὲν θεωροὶ εἰς τέρψιν τῶν ἀγώνων, ἡ δὲ αὐτοῦ κῆρας ἀμύνει συμπαραμένουσα "καὶ νῦν ἐξεσάωσεν ἰόμενον θανέεσθαι" (4, 12). ὀρθῶς ἄρα προείρηκεν ὅτι ἐρεθιστικὸς ὁ λόγος ἔσται καὶ χλευαστικὸς καὶ παραβλητικός. πάλιν ὅταν ἐπὶ τῆς Θέτιδος λέγῃ "ὣς ἔχετ' ἐμπεφυυῖα καὶ ἥρετο δεύτερον αὖθις" (1, 513), τὸ ἥρετο οὐ χρὴ ἀκούειν ἀντὶ τοῦ ἠρώτησεν ἁπλῶς, ἀλλ' ἀντὶ τοῦ ἠρώτα, τὸ ἀληθὲς μαθεῖν θέλουσα· ἐπάγει γὰρ "νημερτὲς μὲν δή μοι ὑπόσχες καὶ κατάνευσον ἢ ἀπόειπε, ἐπεὶ οὔ τοι ἔπι δέος, ὄφρ' εὖ εἰδῶ ὅσσον ἐγὼ μετὰ πᾶσιν ἀτιμοτάτη θεός εἰμι" (1, 514), ἐπεὶ καὶ ἐν ἄλλοις ἔφη "εἰρωτᾷς μ' ἐλθόντα θεὰ θεόν· αὐτὰρ ἐγώ τοι νημερτέως τὸν μῦθον ἐνισπήσω" (Od. 5, 97) καὶ "εἴρεαι τοίνυν ὁππόθεν εἰμέν· ἐγὼ δέ κέ τοι καταλέξω" (Od. 3, 80). οὕτως ἀκουσόμεθα, εἰ τἀληθὲς ἀκοῦσαι βουλόμενος ἐξετάζεις, καὶ τὸ "Ἑρμείαν ἐρέεινε, Καλυψὼ, δῖα θεάων" (Od. 5, 85). ἐπάγει γὰρ "αὖδα ὅ τι φρονέεις" (Od. 5, 89). τὸ ἐνισπεῖν δὲ παραπλησίως, οὐ μὴν ἁπλῶς τὸ εἰπεῖν, ἀλλ' ἀληθῶς εἰπεῖν "αἴ κ' ἐθέλῃσθα κείνου λυγρὸν ὄλεθρον ἐνισπεῖν," καὶ τὸ "νημερτέως τὸν μῦθον ἐνισπήσω" (Od. 5, 98) ἤτοι ἀναμαρτήτως τἀληθὲς ἐρῶ· κεῖται γὰρ ὡς εἰ ἔλεγεν, ἐπαληθεύσομαί σοι, ἀψευδῆ τὸν λόγον ἐρῶ, καὶ τὸ "ἔννεπε οὖν" ἀληθῆ λέγε "τίς γὰρ τῶν ὄχ' ἄριστος ἔην σύ μοι ἔννεπε, Μοῦσα," καὶ τὸ "ἄειδε" πάλιν ἀληθῆ ἐν ποιήμασι λέγε· ἀοιδὴ γὰρ ἡ ποίησις. εἰπὼν οὖν "ἀλλ' ἄγε δὴ μετάβηθι καὶ ἵππου κόσμον ἄεισον" (Od. 8, 491) ἐπάγει "αἴ κεν δή μοι ταῦτα κατὰ μοῖραν καταλέξῃς," ὅπερ ἐν ἄλλοις "πάντα κατ' αἶσαν ἔειπες, ἀγακλεές" (Il. 17, 716). τί οὖν τὸ "κατ' αἶσαν" εἰπὼν φησι "οὐδ' ἂν ἔγωγε ἄλλα παρὲξ εἴποιμι παρακλιδὸν, οὐδ' ἀπατήσω" (Od. 5, 347); καὶ ὅταν δὴ προείπῃ "εἶθαρ δὲ προσείπῃ" (Il. 13, 353), τὸ εὐθὺ καὶ ἀληθὲς καὶ φανερὸν ἀκουσόμεθα, ὅπερ πάλιν ἔφη "ἔπος ἀντίον ηὔδα" (Il. 4, 265). ἐξηγήσατο τὸ ἄντικρυς καὶ διαρρήδην, ὃ ἐν ἄλλοις ἔφη "ἀντικρὺ δ' ἀπόφημι." τοῦ γὰρ εὐθέος λόγου δύναμις τὸ μὴ παρὲξ εἰπεῖν, ἀλλὰ μηδὲ παρεκκλῖναι, καθάπερ ἐπὶ τῶν οὕτω βαδιζόντων, καὶ τὸ ἀντίον δὲ ηὔδα ἐξηγήσατο "τῶν οὐδέν τοι ἐγὼ κρύψω ἔπος" (Od. 4, 537) . . . . . .

. . . . οἱ γὰρ ἰθὺ καὶ κ . . ἰόντες οὐ κρυπτάζονται. κρύπτουσι δὲ μάλιστα οἱ κλέπτοντες, ὅθεν ἐπὶ τοῦ ἀπατῶντος "κλέπτε νόῳ"

33. ἔπος] Post ἔπος sequuntur duodecim fere litterae evanidae.

(1, 132). ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσὶν, ἄλλο δὲ εἴπῃ" (9. 313).

*τὸ κακοσσόμενος οὐ σημαίνει τὸ κακῶς ὑποβλεψάμενος· οὐ γὰρ οἷόν τε τὸ κακῶς συναλεῖψαι διὰ τὸ σύμφωνον, οὐδ' ἔστιν ὅπου τὸ ὑποβλέψασθαι ὄσσεσθαι λέγει, ἀλλὰ σημαίνει τὸ κακοσσόμενος (ἐν συνθέτῳ γὰρ εἴρηται) κακόμαντις. ἐπεὶ γὰρ ὅσσα ἡ θεία φωνὴ, ἣν καὶ Διὸς ἄγγελον ἔφη — "μετὰ δέ σφισιν ὄσσα δεδήει, ὀτρύνουσ' ἰέναι, Διὸς ἄγγελος" (Il. 2, 93) —, Διὸς δὲ ἄγγελοι καὶ οἱ μάντεις, καὶ τῆς ὀπὸς τῶν θεῶν ἀκούουσιν, ἥτις ἐστὶν ὅσσα ("ὡς γὰρ ἐγὼν ὄπ' ἄκουσα θεῶν" (Il. 7, 53) ἀπὸ τῆς ὄσσης πεποίηκε τὸ κακοσσόμενος, ἀντὶ τοῦ ὡς κακόμαντιν αὐτὸν ὀνειδίζων, ὡς εἰ ἔλεγε κακὸν ἄγγελον τῆς Διὸς ὄσσης ἀποκαλῶν. οὐδὲ γάρ ἐστιν ἁπλῶς κακολογῶν, ὅτι οὐδὲ ὄσσαν ἁπλῶς τὴν φωνὴν σημαίνει, ἀλλὰ τὴν θείαν· ἀλλ' ἔστιν ὡς ἐπὶ κακῷ χρώμενον τῇ θείᾳ φωνῇ λοιδορῶν. εἴρηκε δὲ καὶ ἐν ἄλλοις "οὐ μὲν γάρ τοι ἐγὼ κακὸν ὀσσομένη τόδ' ἰκάνω, ἀλλ' ἀγαθὰ φρονέουσα" (Il. 24, 172), οὐ κακὸν κληδονιζομένη· καὶ "ὀσσόμενος πατέρ' ἐσθλὸν ἐνὶ φρεσί" (Od. 1, 115), σημαίνει ὁ ἐν αὐτῷ κληδονιζόμενος καὶ εὐχόμενος θείας τυχεῖν φήμης περὶ τῆς ἐπανόδου τοῦ πατρός. καὶ τὸ "οὔ ποτέ μοι θάνατον προτιόσσετο θυμός" (Od. 14, 219) ἀντὶ τοῦ προεμαντεύετο. καὶ ὅτι μᾶλλον ἀπὸ τῆς ὄσσης τὸ ὄσσεσθαι αὐτὸς ἐδήλωσεν ἐπὶ τῶν μνηστήρων λέγων "ἐς δ' ἰδέτην πάντων κεφαλὰς, ὄσσοντο δ' ὄλεθρον" (Od. 2, 152), τουτέστιν ἐμαντεύοντο τοῖς μνηστῆρσιν ὄλεθρον. τοῦτο ἐπ' ἄλλου ἐξηγήσατο εἰπὼν "Ξάνθε, τί μοι θάνατον μαντεύεαι" (Il. 19, 420); τὴν δὲ ὄσσαν ὅτι θεία φωνὴ, ἐξηγεῖται λέγων "ἢ ὄσσαν ἀκούσας ἐκ Διός" (Od. 1, 282). λέγει δὲ αὐτὴν καὶ κληδόνα· "ἦλυθον, εἴ τινά μοι καὶ κληδόνα πατρὸς ἐνίσποις" (Od. 4, 317). κληδὼν δὲ παρὰ τὸ κλέος διδόναι καὶ φέρειν· "ἢ ὄσσαν ἀκούσας, ἥ τε κλέος μάλιστα φέρει ἀνθρώποισι." καὶ αὐτὸς ὁ Τηλέμαχος "πατρὸς ἐμοῦ" φησὶ "κλέος εὐρὺ μετέρχομαι, ἤν που ἀκούσω" (Od. 3, 83). καὶ "ᾤχετο πευσόμενος μετὰ σὸν κλέος, εἴ που ἔτ' εἴης" (Od. 13, 415). καὶ ἡ μεγάλη καὶ ἔνδοξος φήμη καὶ κληδὼν μέγα κλέος· "πεύθετο γὰρ Κύπρονδε μέγα κλέος, οὕνεκ'

1. *κεύθῃ] κεύθει
4. *οἷόν τε τὸ] τὸ om.
8. δὲ addidit Bekkerus.
11. ἀντὶ Bekkerus] ἀπὸ
ὀνειδίζων Bekkerus] ὀνειδίζοντος

'Αχαιοὶ νήεσσ' ἐς Τροίαν ἀναπλεύσασθαι ἔμελλον" (Il. 11, 21). τὴν δὲ ὅσσαν, οἵαν θείαν φήμην, καὶ ὀμφὴν προσαγορεύει· "θείη δέ μιν ἀμφέχυτ' ὀμφή" (Il. 2, 41). καὶ τὸ "ἔνθα πανομφαίῳ Ζηνὶ ῥέζεσκον 'Αχαιοί" (Il. 8, 250), ἐπειδὴ ἡ ὅσσα καὶ ἡ ὀμφὴ Διὸς ἄγγελός ἐστιν. ἔστι δέ τις ἄλλη ἡ δήμου φήμη, ἡ ὑπὸ τοῦ δήμου διαδιδομένη περί τινος ἀγγελία, ὡς τὸ "εὐνήν τ' αἰδομένη πόσιος δήμοιό τε φήμην" (Od. 16. 75), καὶ πάλιν "χαλεπὴ δ' ἔχε δήμου φήμη" (Od. 14, 239). καὶ ἀγορὰ πολύφημος (Od. 2, 150), ἐν ᾗ πολλὰ φατίζεται. ἤδη δὲ φήμην καὶ τὴν κληδόνα που εἴρηκεν· "φήμην δ' ἐξ οἴκοιο γυνὴ προέηκεν ἀλετρίς" (Od. 20, 105)· ὥστε ὅσσα μὲν καὶ ὀμφὴ καὶ κληδὼν ἐπὶ τοῦ αὐτοῦ, φήμη δὲ καὶ ἐπὶ τῆς θείας κληδόνος καὶ ἐπὶ τῆς ἀνθρωπίνης διαλαλήσεως. οἴεται γὰρ θείαν εἶναι φωνὴν Ὅμηρος, ἧς τοὺς μάντεις ἀκούειν· "ὡς γὰρ ἐγὼν ὄπ' ἄκουσα θεῶν" (Il. 7, 53). ταύτην δὲ μεταδίδοσθαι μηδενὸς προκατάρξαντος ἀνθρώπου ἐκ τῆς οἰκείας βουλήσεως "ὅσσα δ' ἄρ' ἄγγελος ὦκα κατὰ πτόλιν ᾤχετο πάντη μνηστήρων στυγερὸν θάνατον καὶ κῆρ' ἐνέπουσα." παρὰ γὰρ τὴν ὄπα τὸ ἐνέπουσα. τὸ μὲν κακοσσόμενος σημαίνειν τὸ εἰρημένον. τὸ δὲ κρήγυον οὐκ οἶδ' ὅπως σημαίνειν τὸ ἀληθὲς ἀποδεδώκασιν αὐτοῦ ἀντιτιθέντος οὐ τῷ ψευδεῖ, ἀλλὰ τῷ κακῷ τὸ κρήγυον. ἀντίκειται δὲ τῷ κακῷ οὐ τὸ ἀληθὲς, ἀλλὰ τὸ ἀγαθόν. "οὐπώποτέ μοι τὸ κρήγυον εἶπες, ἀεί τοι τὰ κάκ' ἐστὶ φίλα φρεσὶ μαντεύεσθαι." ἔστι δὲ τὸ κρήγυον τὸ τῷ κέαρι ἡδὺ καὶ προσηνὲς ὃ ταυτὸν τῷ θυμῆρες. καὶ ἐν ἄλλῳ "οὐδέ τι πω παρὰ μοῖραν ἔπος νηκερδὲς ἔειπες." οὐ γὰρ παρὰ τὸ προσῆκον τὰ κακὰ ἠγόρευσας καὶ ὁ νηκερδὴς οὖν ἐναντίος καὶ μὴ φειδόμενος τοῦ ἀγορεύειν τὰ κακά. οὐπώποτε τὰ κρήγυα λέγει. οἶμαι δὲ ὅμοιον εἶναι τὸ μάντι κακῶν τῷ αἰναρέτη, ὃ σημαίνει κακωτικὴν ἀρετὴν κεκτημένε, καὶ τῷ ὀλοόφρων· σημαίνει γὰρ τὸν βλαπτικὴν ἔχοντα φρόνησιν. καὶ οὐλόμενος ὁ ὅλον ἔχων τὸ μένος, οὐλομένη δὲ ἡ μῆνις ἡ ἐξ ὅλου μένους γενηθεῖσα. ὁ γὰρ ταύτην ἔχων ὀλός. "ἀλλ' ὀλῷ 'Αχιλῆϊ θεοὶ βούλεσθ' ἐπαρήγειν" (Il. 24, 39). ταῦτα μὲν οὖν ἔστι λέγειν τοῖς ἀγαθόν τι κεκτημένοις καὶ διὰ τοῦδε βλάπτουσι καὶ μὴ ὠφελοῦσιν. ἥ τε γὰρ ἀρετὴ καὶ ἡ φρόνησις καὶ τὸ μένος καὶ ἡ μαντικὴ τῶν ἀγαθῶν, οἱ δὲ μὴ δι' αὐτῶν ὠφελοῦντες, ἀλλὰ λυποῦντες εἰκότως ὡς ἐπὶ κακῷ κεκτημένοι τὸ ἀγαθὸν διαβάλλονται. ἀλλὰ δὴ εἴωθε

1. νήεσσ'] νήεσσιν
5. δήμου—δήμου] Compendio expressum in B, quod utrobique pro 'Ερμοῦ accepit Vill.

συντιθέναι εἰς διαβολὴν τινῶν ὡς δυσωνύμων, οἷον τὸ δύσπαρι καὶ τὸ "μῆτερ ἐμὴ δύσμητερ" (Od. 23, 97). καὶ "ἦ τάχα Ἶρος Ἄϊρος" (Od. 18, 73). ἔστι γὰρ ὁ κακόϊρος ὡς ἡ ἄμορφος γυνὴ καὶ τὴν Ἴλιον "κακοΐλιον οὐκ ὀνομαστήν" (Od. 19, 260). διὰ γὰρ τοῦ οὐκ ὀνομαστὴν τὸ δυσώνυμον ἐπεσημήνατο.

106. ὁ ζητῶν τὸ τί κακὸν ἐμαντεύσατο, ὀργῆς οὐκ οἶδε φύσιν ἐπ' ἀλήθειαν οὐ φερομένην. τάχα δὲ καὶ κακόμαντιν αὐτόν φησι διὰ τὸ εἰπεῖν "τῷ δεκάτῳ δὲ πόλιν αἱρήσομεν" (Il. 2, 329)· ᾤετο γὰρ ταχύτερον πορθήσειν αὐτὴν διὰ τὸ τὸν Δία ἐπιδέξια φαίνειν σήματα (Il. 2, 353). εἰ γὰρ καὶ ἀληθεῖς αἱ τῶν φαύλων προγνώσεις, οὐδὲν ἧττον οἱ δυστυχοῦντες τοὺς προειρηκότας ὡς αἰτίους μισοῦσιν.

κρήγυον τὸ τῷ κέαρι ἡδὺ καὶ προσηνές, ὃ ταυτόν ἐστι τῷ θυμῆρες. τὸ δὲ εἶπες εἶπας Ἀρίσταρχος γράφει, κακῶς· εἰπών γὰρ ἀεὶ καὶ εἴποιμι λέγομεν.

108. ἐμφαντικόν ἐστι τὸ οὐδέ δὶς λεγόμενον, καὶ τὴν τῆς μαντείας τύχην λοιδορεῖ, ὡς εἴ τι καὶ χρηστὸν προείποι, οὐκ εἰς ἀγαθὸν τελευτᾷ. δυσκαταπαύστως δὲ ἔχουσι πρὸς τὰς κατηγορίας οἱ ὀργιζόμενοι, καὶ τὰ αὐτὰ ἐπαναλαμβάνουσιν, ὡς μὴ κατ' ἀξίαν εἰρηκότες.

110. ὡς δὴ τοῦδ' ἕνεκα] ὅτι ἀθετουμένου αὐτοῦ οὐκ ἐλλιπὴς, ἀλλὰ σύντομος ἔσται ἡ ἑρμηνεία.

113. ἐξαίρει τὸν πόθον, ὅπως μεγίστην τοῖς Ἕλλησι δοκοίη κατατίθεσθαι χάριν· δημαγωγικώτατος γάρ ἐστιν. ἢ ὅτι περισπούδαστος τοῖς ἐπ' ἀλλοδαπῆς ὁ τῶν γυναικῶν πόθος. ἀπάγων δὲ τοὺς Ἕλληνας τοῦ τοιούτου πόθου ἐπαινεῖ τὴν αἰχμάλωτον.

114. οὗ ἕθεν] τὸ μὲν πρῶτον καὶ τὸ δεύτερον πρόσωπον τοῦ ἕθεν ὀρθοτονεῖται, τὸ δὲ τρίτον δισσόν ἐστι τῷ τόνῳ· νῦν οὖν ἐγκλιτέον.

115. φυήν] τὸ δ' ὅλου κάλλος· "φυήν γε μὲν οὐ κακός ἐστι μηρούς τε κνήμας τε καὶ ἄμφω χεῖρας" (Od. 8, 134). ἐν μονοστίχῳ δὲ πᾶσαν ἀρετὴν γυναικὸς ἐσήμανε. καὶ ἀλλαχοῦ "κάλλει καὶ ἔργοισιν ἰδὲ φρεσὶ πευκαλίμῃσιν" (Il. 13, 432)· "καλῇ τε μεγάλῃ τε καὶ ἀγλαὰ ἔργ' εἰδυίῃ" (Od. 13, 289).

117. σόον ἔμμεναι ἢ ἀπολέσθαι] αἱ πᾶσαι ἐκδόσεις σῶν εἶχον· ἀναλογώτερον δὲ τὸ σῶν τῷ "νῦν τοι σῶς αἰπὺς ὄλεθρος" (Il. 13,

7. *αὐτὸν] om.
12. κρήγυον—τῷ θυμῆρες] Eadem supra p. 29, 22.
17. *τελευτᾷ] τελευτώμενον

773). ὁ δὲ ἤ διασαφητικός ἐστιν ἀντὶ τοῦ ἤπερ, ὡς τὸ "ἢ ἀφνειότεροι" (Od. 1, 165). ἔστι δὲ καὶ μετὰ ἤθους. Πορφύριος δὲ παραδιαζευκτικὸν, ἀντὶ τοῦ καί, οἷον καὶ αὐτὸς ἀπολέσθαι.

118. αὐτὰρ ἐμοὶ γέρας] ἀλλοιωτικῇ στάσει κέχρηται, μετατιθεὶς τὰ ὀνόματα πρὸς κόσμον ἑαυτοῦ. προσφυῶς δὲ πρὸς τὸν Ἀχιλλέα ἐπεισέρχεται.

119. Ἀργείων] ἱκανὸν μὲν ἦν αὐτῷ καὶ τῶν ἀριστέων μόνον εἰπεῖν, ἀλλὰ διὰ τοῦτο πάντων ἔφη, ἵνα τὴν εἰς αὐτὸν ἀτιμίαν αὐξήσῃ.

ἀγέραστος] ὡς ἀπείραστος καὶ ἀβίαστος. ἵνα δὲ μὴ δοκῇ τοῦ μηδενὸς καταπεφρονηκέναι, τὸ ἴσον αἰτεῖ.

120. λεύσετε] Ἀρίσταρχος μέλλοντά φησιν, ἐγὼ δὲ ἐνεστῶτα ἀπὸ μέλλοντος, ὡς τὸ ἄξετε, οἴσετε. τὸ δὲ ὅ μοι ἀποκοπὴ τοῦ ὅτι. τὸ δὲ ἄλλῃ μετὰ τοῦ ῑ γράφομεν.

121. ποδαρκής] ὁ ἑαυτῷ τοῖς ποσὶν ἐπαρκῶν καὶ τοῖς ἄλλοις, ὡς τὸ λαοσσόος.

122. φιλοκτεανώτατε] οὐ γὰρ γέρως Ἀγαμέμνων, ἀλλὰ κέρδους ἀντεποιεῖτο.

123. πῶς γάρ τοι δώσουσι] ἐν ἀρχῇ προσκρούει μετρίως, κατ' ὀλίγον ἐμφαίνων τὸ εἰρωνικόν. συνάξας δὲ ἐκκλησίαν δικαίως ὑπὲρ ἁπάντων στασιάζει, ὡς καὶ τῆς λείας ἄρχων ὤν. ἔστι δὲ καὶ τὸ μεγάθυμοι δημαγωγικόν.

124. οὐδέ τι πω] ὁ δέ ἀντὶ τοῦ γάρ. αἱ πᾶσαι δὲ που ἔχουσιν. ὡς πρὸς ἐντροπὴν δὲ τὴν κοινὴν ἀπορίαν προβάλλεται.

ξυνήια] ξυνὸν ξύνειον, ὡς κοινὸν κοίνειον καὶ διαιρέσει Ἰωνικῇ ξυνήιον.

125. ἀλλὰ τὰ μὲν πολίων] τὰ καθόλου. πᾶν δὲ ἄρθρον ἀντὶ ἀντωνυμίας λαμβανόμενον βαρύνεται.

126. ταῦτ'] ταῦτα Τυραννίων ὀξύνει, ἵν' ᾖ τὰ αὐτά.

127. θεῷ πρόες] πρὸς τὸ ἀναγκαῖον τῆς ἀποδόσεως οὐκ εἶπε πατρὶ πρόες, οὐδ' Ἀχαιοῖς, ἀλλὰ τῷ θεῷ.

128. αἴ κέ ποθι Ζεύς] ὅτι μεθ' ὑπεξαιρέσεως δεῖ ποιεῖν τὰς ὑποσχέσεις διὰ τὸ ἄδηλον τῆς τύχης. πιστοῦται δὲ τὴν ὑπόσχεσιν ὡς ἐπὶ δανείου, καὶ ἑαυτὸν καθυπογράφων τῷ χρέει.

2. * παραδιαζευκτικὸν] διαζευκτικόν
4. * μετατιθεὶς] πρὸς
25. ξύνειον—κοίνειον] Rectus accentus est ξυνεῖον—κοινεῖον

129. ἐξ ὑποτακτικοῦ τοῦ δῷ τρίτου προσώπου, κατὰ ἐπέκτασιν τῆς σι συλλαβῆς, δῷσι. ἔμφασιν δὲ ἔχει καὶ ἡ προσθήκη τῆς ἐξ.

131. ἀγαθός περ ἐών] ἀντειρωνεύεται πρὸς τὸ κύδιστε· ὁ δὲ πέρ ἐναντιωματικός ἐστιν.

** τὸ δὲ ἀγαθός σημαίνει καὶ τὸν ἀνδρεῖον καὶ τὸν φρόνιμον καὶ τὸν δίκαιον.

132. *κλέπτε] τὸ κλέπτω σημαίνει δύο, τὸ παραλογίζομαι καὶ τὸ ἁπατῶ, ὡς ἐνταῦθα, καὶ τὸ κυρίως κλέπτω, ὡς τὸ "κλέψαι δ' ὠτρύνεσκον ἐΰσκοπον Ἀργειφόντην" (Il. 24, 109). γίνεται δὲ ἐκ τοῦ χαλέπτω τὸ ὀργίζομαι· ὀργίζεσθαι γὰρ ὁ κλέπτης ποιεῖ τοὺς ἀπόλλοντάς τι. ἢ παρὰ τὸ καλύπτω· καλύπτει γὰρ ὁ κλέπτης ἃ ἀφαιρεῖται.

οὐ παρελεύσεαι] ἀπὸ τῶν δρομέων. οὔτε τῷ κλέπτειν νικήσεις οὔτε πείσεις.

133. ἢ ἐθέλεις] πράγματος προκειμένου περὶ κοινῆς σωτηρίας, μέτεισιν ἐφ' ἑτέραν παρασκευήν, ὡς οὐκ ἐξὸν Ἀχιλλεῖ λέγειν ὡς ὅτι βλάπτει τὸ κοινὸν ἐχόμενος τῆς παλλακῆς αὐτοῦ.

**αὖτως] μάτην. καὶ ἔστιν ἐπίρρημα μεσότητος, καὶ ψιλοῦται πρὸς ἀντιδιαστολὴν τοῦ ἑτέρου τοῦ σημαίνοντος τὸ οὕτως. καὶ ψιλοῦται, διότι τὸ στερητικὸν ᾱ ψιλοῦται. καὶ πῶς ἐστὶ στερητικόν; ἔστιν ἐτός, καὶ σημαίνει τὸν ἀληθῆ, ἐξ οὗ καὶ πλεονασμῷ τοῦ ε ἐτεός. τοῦτο παρὰ τὸ ἔω τὸ ὑπάρχω, ἐμί. ἐξ αὐτοῦ γίνεται ἐτός ὁ ἀληθής· ὁ γὰρ ἀληθὴς ὑπάρχει, τὸ δὲ ψεῦδος οὐχ ὑπάρχει. καὶ μετὰ τοῦ στερητικοῦ ᾱ ἀετός, καὶ ἀνεβίβασε τὸν τόνον· τὰ γὰρ εἰς ος δισύλλαβα ἀναβιβάζουσι τὸν τόνον ἐν τῇ συνθέσει. καὶ κλίνεται ἀέτου· τὸ πληθυντικὸν οἱ ἄετοι, ἀέτων, καὶ ἐξ αὐτοῦ ἐπίρρημα μεσότητος ἀέτως, καὶ κράσει τοῦ αε εἰς τὴν αυ δίφθογγον αὔτως, ὥσπερ ἀέρα αὔρα καὶ αἱ γρᾶες αἱ γραῦς καὶ αἱ νᾶες αἱ ναῦς.

134. κέλεαι] καὶ μὴν ὁ μάντις εἶπε "πρίν γ' ἀπὸ πατρὶ φίλῳ δόμεναι" (98). ἀλλά γε αὐτὸς ἐκκλησιάζει.

136. ἄρσαντες] Ἀρίστταρχος δασύνει· ἔνθεν γάρ φησι γεγονέναι καὶ τὸ ἅρμα. ὁ δὲ Ἡρωδιανὸς ψιλοῖ, ἀπὸ τοῦ ἄρω, οὗ ὁ μέλλων

15. Post πείσεις, ubi incipit folium 6 b, sequitur longum scholion Porphyrii, ab manu secunda scriptum, quod versui 66 apposuimus p. 17, 18.

12. ἀπόλλοντας] ἀπολλύντας Bekkerus frustra.

Αἰολικῶς ἄρσω· τὸ δὲ ᾱ ἢ τὸ ε̄, πρὸ τοῦ ρ̄ ὄντα, ἑτέρου φωνήεντος ἐπιφερομένου ψιλοῦται. ἔοικε δὲ βασιλικὸν εἶναι τὸ ἐκλέγεσθαι τῆς λείας ὃ θέλοι.

137. εἰ δέ] Ἀττικὴ τῶν προτέρων ἡ παράλειψις, ὡς τὸ "κἂν μὲν ὁμολογῆτε μόνην ἀγαθῶν ἁπάντων οὖσαν αἰτίαν ἐμὲ ὑμῖν, δι' ἐμέ τε ζῶντας ὑμᾶς· εἰ δὲ μή, ποιεῖτον ἤδη τοῦθ' ὃ ὑμῖν δοκεῖ" (Aristoph. Plut. 468). καὶ πάλιν "εἰ μὲν οὖν ἔστι τις· εἰ δὲ μή, ἡμεῖς τε καὶ τὰ δουλάρια τέφραν ποθὲν ληψόμεθα" (Thesmoph. 536). ἐπὶ γὰρ πάντων τὸ καλῶς ἂν ἔχοι, ὡς καὶ ἐνταῦθα, ἐλλείπει.

138. ἢ τεὸν ἢ Αἴαντος] ἐνδεικνύμενος τὴν ἀρχὴν πᾶσιν ἀπεχθάνεται, μάλιστα δὲ τοῖς Ἀχιλλέως. Ὀδυσσέως δὲ γέρας Λαοδίκη ἡ Κύκνου. τούτων δὲ μέμνηται, ὅτι ὁ μὲν συγγενὴς, ὁ δὲ φίλτατος. ἀμέλει καὶ τελευτῶντος αὐτοῦ μόνοι προύστησαν τοῦ σώματος, καὶ μόνοι πρεσβεύονται πρὸς αὐτόν.

μέχρι δὲ τοῦ γέρας δεῖ ἀναπαύειν τὸν λόγον, τὰ δὲ λοιπὰ τοῖς ἑξῆς ἐπιφέρειν, ἵνα μὴ παρενοχλεῖν δοκῇ δὶς τὸ ἑλών κείμενον.

*ἄλογον τὸ καὶ τούτους συνυβρίζειν τοὺς μηδὲν ἀδικήσαντας ἢ πλημμελήσαντας. ἡ λύσις ἐκ τοῦ προσώπου· ὑπόκεινται γὰρ Ἀχιλλέως φίλοι ἀμφότεροι.

*Πορφυρίου. διὰ τί δὲ συνεχῶς ὁ Ἀγαμέμνων ἐν ταῖς πρὸς Ἀχιλλέα διαπληκτίσεσιν Αἴαντος καὶ Ὀδυσσέως μνημονεύει, καὶ ἐν τῇ ἀφαιρέσει τῶν τιμῶν "ἢ τεὸν ἢ Αἴαντος ἰὼν γέρας ἢ Ὀδυσῆος ἄξω ἑλών" καὶ μετ' ὀλίγον ἐφεξῆς (144), ὅτε δεῖ πέμψαι τὴν Χρυσηΐδα, φησὶν "εἰς δέ τις ἀρχὸς ἀνὴρ βουληφόρος ἔστω, ἢ Αἴας ἢ Ἰδομενεὺς ἢ δῖος Ὀδυσσεὺς, ἠὲ σὺ, Πηλεΐδη, πάντων ἐκπαγλότατ' ἀνδρῶν." καὶ γὰρ ἀτιμάσειν ἀπειλῶν συγκαταλέγει Αἴαντα καὶ Ὀδυσσέα τῷ Ἀχιλλεῖ, καὶ ἀποστέλλειν πρὸς τὸν θεὸν ἐπαγγελλόμενος, ἐξ Αἴαντος καὶ Ὀδυσσέως καὶ Ἀχιλλέως φησὶν ἕνα ἀποστέλλειν, ὅτε μὲν ἀτιμάσαι ἀπειλεῖ, προθεὶς τὸν Ἀχιλλέα τῶν ἀτιμαζομένων "ἢ τεὸν ἢ Αἴαντος ἰὼν γέρας ἢ Ὀδυσῆος," ὅτε δ' ὑπὲρ τῶν Ἑλλήνων θύειν ἔδει ἀπελθόντα, "ἢ Αἴας ἢ Ἰδομενεὺς ἢ δῖος Ὀδυσσεὺς, ἠὲ σὺ, Πηλεΐδη." λύσις, ὅτι οὗτοι ἐδόκουν

4. Ἀττικὴ — ἐλλείπει] Haec ex scholio longiore et doctiore sunt excerpta, quod ex cod. Paris. 2766 ediderunt Ruhnkenius ap. Koen. ad Greg. Cor. p. 48 et Cramerus Anecd. Paris. 3 p. 274.

7. *τε] om.

20. Πορφυρίου] πρ́ (ut ad v. 1. 225. et 524) cum lemmate ἀπορία.

μάλιστα φίλοι εἶναι Ἀχιλλέως. διὸ καὶ ὁ Νέστωρ αὐτὸς, καταλέγων πρεσβευτὰς πρὸς Ἀχιλλέα, τούτους αἱρεῖται· καὶ Ἀχιλλεὺς εὐμενεστάτως ὁρᾷ ἐλθόντας τούτους, καὶ δεξιοῦται, καὶ ὁμολογεῖ τὸ προϋπάρχον φίλτρον· "οἵ μοι σκυζομένῳ περ Ἀχαιῶν φίλτατοι ἐστόν" (Il. 9, 198), καὶ "χαίρετον, ἦ φίλοι ἄνδρες ἱκάνετον" (ib. 197). συνατιμάζει οὖν τούτους καὶ συγκαταλέγει ὡς φίλους ὄντας τῷ Ἀχιλλεῖ τὰ μάλιστα.

140. ἀλλ' ἤτοι μὲν ταῦτα] εὐσεβῶς καὶ βασιλικῶς μεταφέρει τὸν λόγον· καὶ οἶδε μὲν εὖ ἔχουσαν τὴν παραίνεσιν, ἐπεὶ οὐκ ἂν ἔπραξεν, ἐπιφέρει δὲ τὴν δυσχέρειαν κατὰ τῶν βουλευσάντων.

141. νῦν δ' ἄγε νῆα] καὶ ταῖς φωναῖς κυρίως κέχρηται, καὶ μίαν τὴν δωρεὰν οὖσαν πολλὰς ἐν τῇ διαιρέσει ποιεῖ. ἔστι δὲ ἐν τῷ λόγῳ καὶ τὸ ὁμοιοτέλευτον καλούμενον σχῆμα.

142. ἐπιτηδές] τὸ ἐπιτηδὲς ὀξυντέον· ἀπὸ τοῦ ἐπιτηδεῖος γὰρ, τὰ δὲ ὀνοματικὰ ἐπιρρήματα τὸν αὐτὸν τοῖς ὀνόμασι φυλάσσει τόνον.

144. βουληφόρος] ᾧ τὰ κοινὰ τῆς βουλῆς ἐπαναφέρεται. ἐν τοῦ ἀρχός δὲ τὸν ναύαρχον ἐδήλωσεν.

145. ἦ Αἴας] θεραπεύει τοὺς δοκοῦντας σὺν τῷ Ἀχιλλεῖ διὰ τῆς ἀπειλῆς ὑβρίσθαι, παρενθεὶς ἕνεκα τοῦ μὴ δοκεῖν κολακεύειν τὸν Ἰδομενέα, παραφυλακτέον δὲ ὅτι ὅτε ἀτιμάσαι ἀπειλεῖ, προτίθησι τὸν Ἀχιλλέα, ὅτε δὲ ὑπὲρ Ἑλλήνων θῦσαι ἀπελθόντα ἔδει, τελευταῖον καταλέγει μετὰ ὕβρεως· ἐκπαγλότατε γάρ φησι, τουτέστιν ὑβριστικώτατε.

146. ἠὲ σὺ Πηλείδη] ἵνα ἢ ἀπελθὼν ἠπιωθῇ, ἢ μὴ ἀπελθὼν τὴν τοῦ λοιμοῦ αἰτίαν αὐτὸς ἔχῃ.

147. *ἥμιν ἀντὶ τῆς ἡμῖν ἀντωνυμίας· ἔστι γὰρ διαλέκτου ἴδιον Δωριέων. αἱ δὲ ἀντωνυμίαι ἡνίκα ὁρισμὸν δηλοῦσι, μένουσιν ἐν τῷ αὐτῷ τόνῳ, οἷον "ἡμῖν τόδ' ἔφηνε" (Il. 2, 324), καὶ "ὑμῖν μὲν νεμεσσῶμαι περὶ κῆρι" (Il. 13, 119). ὅτε δὲ ἀπόλυτον ἔχουσι τὸ σημαινόμενον, ἐγκλίνονται· "εἰ δ' ὔμιν δοκέει τόδε λωΐτερον" (Od. 2, 141)· "σὺν δ' ἥμιν δαῖτα τεράξῃ" (Il. 1, 579), καὶ ὡς ἐνταῦθα.

148. **ὑπόδρα] ἐπίρρημα. πόθεν γίνεται; ὁ μὲν Ἀπολλόδωρος δύο λέγει παραγωγὰς, ὁ δὲ Ἡρωδιανὸς μίαν, ὡς ἀπὸ περισπωμένων,

21. *παραφυλακτέον] φυλακτέον 26. *ἔχῃ] ἕξει

οὕτως. ὥσπερ γὰρ ἀπὸ τοῦ ἠρεμῶ γίνεται ἠρέμα καὶ ἀπὸ τοῦ σιγῶ σῖγα, ὡς Σοφοκλῆς (Ai. 75) "οὐ σῖγ' ἀνέξῃ μηδὲ δειλίαν ἀρεῖς;" οὕτω καὶ ἐκ τοῦ ὁρῶ καὶ τῆς ὑπό προθέσεως γίνεται ὑπόρα, καὶ πλεονασμῷ τοῦ δ ὑπόδρα, τὸ ὑφορᾶσθαι. ἔστι δὲ καὶ ἄλλως. ἔστι γὰρ δρῶ, καὶ σημαίνει τὸ βλέπω, ἐξ οὗ καὶ δρᾶσις καὶ δρᾶμα. ἐκ τοῦ οὖν δρῶ γίνεται δρᾶ, καὶ μετὰ τῆς ὑπό προθέσεως ὑπόδρα, τὸ ὑποβλέπειν· καὶ δραπέτης οὖν ἐξ αὐτοῦ. ὁ δὲ Ἡρωδιανὸς λέγει ὅτι ἐκ τοῦ ὑποδράξ γίνεται. ὀξύνεται δὲ, ἐπειδὴ τὰ εἰς ξ λήγοντα ἐπιρρήματα, χωρὶς εἰ μὴ παρὰ πρόθεσιν γίνεται, ἅπαντα ὀξύνονται, οἷον "στῆ δ' εὐρὰξ σὺν δουρὶ λαθών" (Il. 11, 251), ἀπρίξ, ἐναλλάξ, κουρίξ. εἶπε δὲ, εἰ μὴ παρὰ πρόθεσιν γίνεται, διὰ τὸ πέριξ. τὸ γὰρ πάρεξ ἔχει μὲν πλέον τι σημαινόμενον· ὅτε γὰρ ὀξύνεται, οὔ φαμεν εἶναι αὐτὸ ἐπίρρημα, ἀλλὰ δύο προθέσεις. σεσημείωται τὸ ἅπαξ. καὶ τοῦτο ὅπερ ὤφειλε δέξασθαι ἐν τῇ ἁπλότητι, ἐδέξατο ἐν τῇ συνθέσει, ἅπαξ ἁπλῶς—ἁπαξαπλῶς. τὸ δὲ ὑποδράξ ἀποβαλὸν τὸ σύμφωνον ἀνεβίβασε τὸν τόνον, ὥσπερ ἀνυστής ἀνύτης, δεσποστής δεσπότης. οὕτω καὶ ἐν τῷ ὑποδράξ· ἀποβαλὸν γὰρ τὸ σύμφωνον ἀνεβίβασε τὸν τόνον.

149. ὤ μοι ἀναιδείην ἐπιειμένε] διετύπωσε νέον φιλότιμον, ἥττονα διακαοῦς θυμοῦ, διὰ τοῦ "ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐΐκτην." τὸ δὲ ἐπιειμένε, οἱονεὶ προφανῆ τὴν ἀναίδειαν ἔχων, ἀπὸ μεταφορᾶς τῆς ἔξω καὶ πᾶσιν ὁρωμένης ἐσθῆτος. ἔστι δὲ φύσει τοιοῦτος ὁ φιλοχρήματος, καὶ τὴν οἰκείαν ἀναίδειαν εἰς προῦπτον δείκνυσιν. ἐάσας δὲ τὸ γέρας, ὃ ἄνω καὶ κάτω θρυλεῖ, κοινὰς ἀδικίας διέξεισι, φιλοτέχνως τὴν ἰδίαν ὕβριν κοινὴν ποιούμενος καὶ ἐπισείων αὐτῷ τὸ πλῆθος.

τὰ κέρδεα ἁπλᾶ μὲν ὄντα μέσα ἐστὶ, συντιθέμενα δὲ ψόγον δηλοῖ, ὡς ὄψα ἐσθίειν καὶ ὀψοφαγεῖν. φησὶ γοῦν "κέρδεά θ' οἷ' οὔ πώ τιν' ἀκούομεν" (Od. 2, 118).

150. πῶς τίς τοι] τοῦτο κατὰ ἀγανάκτησιν. ἤτοι ἐπιτίμησιν.

151. ἢ ὁδὸν ἐλθέμεναι] φασὶ μέν τινες περὶ τοῦ πλοῦ λέγειν. ἐγὼ δὲ τὸν λόχον φημὶ, ἵνα δύο κινδύνους ὁρίζῃ ἐν ταὐτῷ, ὃν μὲν τῶν ἀριστέων ὡς ἴδιον, ὃν δὲ τῶν ὄχλων ὡς κοινὸν, ὡς κἀκεῖ "οὐδέ ποτ' ἐς πόλεμον ἅμα λαῷ, οὔτ' ἐς λόχον ἰέναι" (226).

2. ἀρεῖς] ἄρης 15. συνθέσει Bekkerus] συνηθείᾳ
20. * διακαοῦς Paris. 2766] δικαίου

152. αἰχμητάων] ὁ ἔπαινος τῶν πολεμίων καὶ Ἀγαμέμνονα λυπεῖ καὶ Ἀχιλλεῖ φέρει δόξαν, ὡς ἐπ' ἀνδρείους στρατεύσαντι.

153. οὔ τι μοι αἴτιοί εἰσιν] ἅμα μὲν δηλοῖ ὅτι οὐκ οἰκείαν πρόφασιν τῆς στρατείας ἔχει· ἄλλως γὰρ ἂν, προβάσης αἰτίας εὐλόγου, ἐστράτευσεν, ἢ διὰ βοῦς ἐλαθείσας ἢ διὰ δῃουμένην γῆν, οὐχὶ δ' ὡς οἱ Ἀτρεῖδαι διὰ πεπορνευκὸς γύναιον. ἅμα δέ γε παρυποφαίνει ὡς βιασθεὶς πρὸς Ἴλιον ἔπλευσεν.

155. ἐριβώλακι] ἐξαίρων τὴν χάριν διὰ τούτων ἐπαινεῖ τὴν πατρίδα.

156. ἐπεὶ ἦ] καθόλου ὁ ἦ βεβαιωτικὸς περισπᾶται.

157. οὔρεά τε σκιόεντα] ποιὰ ἡ ἐκφώνησις τῶν ἐξ ὀρῶν καὶ γῆς καὶ θαλάττης διαστημάτων. διὰ δὲ τῶν ἐπιθέτων τῶν μὲν ὀρέων τὸ ὕψος, τῆς δὲ θαλάσσης ἐδήλωσε τὴν τραχύτητα.

158. ὦ μέγ' ἀναιδές] μεταξὺ τῆς δικαιολογίας ἐντίθησι τὸ ἄτιμον, τοῦ θυμοῦ τὰς βλασφημίας παραφωνοῦντος.

159. τιμὴν ἀρνύμενοι Μενελάῳ] τὴν παρὰ τῶν Τρώων ἐκδίκησιν ἀπαιτοῦντες Μενελάῳ. λελῃθότως δέ φησιν ὅτι ταῦτα πάσχομεν οἱ διὰ σέ, Μενέλαε, στρατεύσαντες.

**ἀρνύμενοι ἐκ τοῦ ἀρνός καὶ τοῦ ὑμήν τὸ δέρμα· οἱ γὰρ ἀρχαῖοι τὰ συναλλάγματα διὰ δερμάτων ἀρνῶν ἐποιοῦντο. καταχρηστικῶς οὖν ἐνταῦθα.

160. τῶν ἀκολουθησάντων, ἢ τῶν προπεπονημένων, ἢ τῶν Τρώων, ὧν ἀμελήσας περὶ παλλακιδίου διαλέγῃ.

162. ὃ ἄλλοι δικαίως ἐδωρήσαντο (ἔκαμον γάρ), σὺ ἀπειλεῖς ἀφαιρήσεσθαι.

163. ἔχω] ἀντὶ τοῦ ἔσχον. ἐναργοῦς δὲ ἀπαγγελίας τὰ γεγονότα ὡς γιγνόμενα ἀπαγγέλλειν.

τὰ ἑαυτοῦ ἀνδραγαθήματα ἐπὶ τῶν ἀκουόντων εἰσφέρει, ὑποθωπεύων τοὺς παρόντας, ἐπεὶ καὶ ἱστάμενος καὶ δικαιολογούμενος ἦν. πρὸς δὲ τοὺς πρέσβεις διαλεγόμενος ἀποτομώτερον φέρεται, καί φησι "δώδεκα δὴ σὺν νηυσὶ πόλεις" (Il. 9, 328). ἐξ ἐπιδρομῆς δὲ τῶν ἰδίων κατορθωμάτων μνησθεὶς εὔνοιαν, οὐκ ἀπέχθειαν παρὰ τῶν ἀκουόντων ἠγάγετο. ἄκρα δὲ Ἀγαμέμνονος πλεονεξία, ὃς ἐν τῷ δασμῷ τὸ δίκαιον ὑπερβαίνων οὐδὲ τούτῳ ἀρκεῖται.

6. *οἱ] om. 10. *ἦ] om. 26. *ἔσχον] ἔσχομεν

166. ἦν ποτε δασμὸς ἵκηται] ὡς οὐκ ἀεὶ αὐτοῦ διανέμοντος, ἀλλὰ πάντα πολλάκις σφετεριζομένου.

167. φίλον τε] φίλον διὰ τὸ ἐξ ἰδίων εἶναι κατορθωμάτων· αὕτη γὰρ ἡ κτῆσις εὐφραίνει, ἡ δὲ ἐναντία ἐλέγχει. ἐλεύθερον δὲ τὸ μὴ διὰ χρήματα, ἀλλὰ δι' ἀρετὴν πονεῖν.

168. Ἡρωδιανὸς μὲν καὶ Ἀρίσταρχος ἐπεί κε γράφουσιν. οἱ δὲ γράφοντες ἐπήν τὸ κεκάμω ὑφ' ἓν ἀναγινώσκουσιν ὡς τὸ λελάχωσι καὶ πεπίθωνται, ὅπερ καὶ ἄμεινον. εἰσὶ δὲ πολλάκις καὶ ἄμφω σύνδεσμοι, ὡς τὸ "ἂς οὔτ' ἄν κεν Ἄρης" (Il. 13, 127).

171. ἄφενος καὶ πλοῦτον] πικρῶς φησὶ σκοπὸν συναγωγῆς χρημάτων αὐτῷ τὸν πόλεμον ἐξευρεῖν.

173. φεῦγε μάλ'] τὴν ὑποχώρησιν φυγὴν ὀνομάζει, καταισχύνων αὐτόν.

*θυμός] τοῦτο τὸ ὄνομα παρὰ τῷ ποιητῇ σημαίνει πέντε, τὴν ὀργήν, ὡς τὸ "θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέων βασιλήων" (Il. 2, 196)· τὴν ψυχήν, ὡς τὸ "μελιηδέα θυμὸν ἀπηύρα" (Il. 10, 495)· τὴν ἐπιθυμίαν, ὡς τὸ "ᾧ θυμῷ εἴξασα μίγη φιλότητι καὶ εὐνῇ" (Od. 5, 126)· τὸν ἐπιλογισμόν, ὡς τὸ "ἕτερος δέ με θυμὸς ἀνῆκεν" (Od. 9, 302)· καὶ τὴν ὁμόνοιαν, ὡς τὸ "ἀλλ' ἕνα θυμὸν ἔχοντε νόῳ καὶ ἐπίφρονι βουλῇ" (Od. 3, 128).

174. λίσσομαι εἶνεκ' ἐμεῖο μένειν] ταπεινὸν γὰρ ἦν τὸ δεῖσθαι μένειν· οὐκ ἂν γὰρ ἐπένευσε δεομένου. τὸ δὲ ἔμοιγε προπαροξυτόνως, ὡς ἔγωγε.

175. θαρσύνει τοὺς ἄλλους, παρατιθεὶς αὐτοῖς καὶ τὸν Δία ἀντὶ Ἀχιλλέως. τῇ δὲ πρὸς τὸν θεὸν κοινωνίᾳ οὐχ ὑπηρέτας αὐτοὺς πεποίηκεν, εἰς δὲ τὴν ἰσόθεον εὐεργεσίαν ἐξῆρε τοὺς Ἕλληνας.

οὐχ ὁμοτιμίαν μὲν αὐτοῖς ἐνέδωκεν. οὐκ εἶπε δὲ πάλιν ὑπηρετήσουσι. προσάγεται διὰ τῶν λόγων τούτων τὸ πλῆθος.

**μητίετα] ἡ εὐθεῖα μητιέτης. γίνεται παρὰ τὸ μῆτις· τοῦτο παρὰ τὸ μήδω τὸ βουλεύομαι. ἐκ γοῦν τοῦ μῆτις γίνεται μητίτης καὶ μητιέτης, μητιέτην, καὶ κατὰ μεταπλασμὸν μητίετα.

τούτου τὸ ἄγαλμα ἱστοροῦσι καθήμενον, γυμνὰ ἔχον τὰ ἄνω, τὰ δὲ κάτω ἐσκεπασμένα, κρατοῦν τῇ μὲν εὐωνύμῳ σκῆπτρον, τῇ δὲ

8. *πεπίθωνται] πεπύθωνται
14. θυμός —] Eadem fere in Etym. M. p. 458, 6.
25. *τῇ—κοινωνίᾳ] τῆς—κοινωνίας

δεξιᾷ ἀετὸν προτεῖνον. καὶ τὸ μὲν καθῆσθαι τὸ ἑῴαιον τῆς δυνάμεως αἰνίττεται, τὸ δὲ τὰ ἄνω γυμνὰ ἔχειν ὅτι φανερὸς τοῖς νοεροῖς καὶ τοῖς οὐρανίοις τοῦ κόσμου μέρεσι· τὰ δὲ λοιπὰ σκέπεται, ὅτι τοῖς χαμαιζήλοις ὁ θεὸς ἄγνωστος. τὸ δὲ τῇ λαιᾷ σκῆπτρον κατέχειν σημαίνει τὸ ἐξουσιαστικὸν, τὸ δὲ τῇ ἑτέρᾳ προτείνειν ἀετὸν δηλοῖ ὡς τῶν ἀεροφόρων πνευμάτων κρατεῖ ὡς ὁ ἀετὸς τῶν μεταρσίων ὀρνέων. καὶ παροιμία "Ζεὺς κατεῖδε χρόνιος εἰς τὰς διφθέρας" ἐπὶ τῶν ποτὲ ἀμειβομένων ὑπὲρ ὧν πράττουσι καλῶν ἢ κακῶν, ὅτι οὐκ ἀπρονόητά φησι τὰ πάντα, ἀλλὰ τὸν Δία εἰς διφθέρας τινὰς ἀπογράφεσθαι καί ποτε ἐπεξιέναι.

176. *διοτρεφέων βασιλήων] οἱ βασιλεῖς ἐκ τῆς σειρᾶς τοῦ Διός εἰσιν, οἱ δὲ κιθαρισταὶ καὶ μουσικοὶ καὶ ἀοιδοὶ ἐκ Μουσῶν καὶ τοῦ Ἀπόλλωνος, ὡς ὁ Ἡσίοδός (Theog. 94) φησιν·

ἐκ γάρ τοι Μουσάων καὶ ἑκηβόλου Ἀπόλλωνος
ἄνδρες ἀοιδοὶ ἐπὶ χθονὶ καὶ κιθαρισταί,
ἐκ δὲ Διὸς βασιλῆες.

177. τὰ πλεονεκτήματα τοῦ ἀνδρὸς εἰς ὀνείδη μεθίστησιν, ὡς εἴ τις τὸν ἀνδρεῖον βίαιον καλεῖ καὶ τὸν σιωπηλὸν δόλιον.

178. θεός πού σοι τό γ' ἔδωκεν] εὐτυχίαν, οὐκ ἀρετὴν ἰδίαν αὐτῷ μαρτυρεῖ. πιθανῶς δὲ ἐπὶ μὲν τοῦ Ἀχιλλέως ἀορίστως ἔφη τὸ θεός, ἐπὶ δ' ἑαυτοῦ ὡρισμένως φέρει τὸν Δία.

180. Μυρμιδόνεσσιν ἄνασσε] φασὶν Αἰγίνης τῆς Ἀσωποῦ ἐρασθῆναι τὸν Δία, καί τῳ τῶν φίλων παρεικασθῆναι, καὶ εἰς Φλιοῦντα διακομίσαι, καὶ εἶθ' οὕτως αὐτῷ μιγῆναι. ἀδημονοῦντος δὲ τοῦ ἐκεῖσε βασιλεύοντος διὰ τὴν τῶν ἐνοικούντων σπάνιν, λέγουσι τὸν Δία τοὺς αὐτόθι μύρμηκας ἀνδρωθῆναι ποιῆσαι, τοῦ βασιλέως Αἴγιναν αἰτησαμένου καὶ αὐτῆς τὸν Δία παραπεισάσης. ἔνθεν τοὺς Μυρμιδόνας μυθολογοῦσι γενέσθαι.

182. ὡς ἔμ' ἀφαιρεῖται Χρυσηΐδα Φοίβος] πιθανῶς οὐχ ὑπὸ τῶν Ἑλλήνων ἀφαιρεῖσθαί φησι τὸ γέρας, ἵνα μὴ ὡς μισῶν αὐτοὺς φωραθῇ, διότι ἀποδίδωσιν, οὐδὲ ὑπὸ Ἀχιλλέως, ἵνα μὴ οἱ Ἕλληνες Ἀχιλλεῖ χάριν ἔχωσιν· ἀλλ' ὑπὸ τοῦ θεοῦ ἀφαιρεῖσθαί φησιν, ὡς οὐκ ἀνθρώπων ἥττων, ἀλλὰ θεοῦ γενόμενος. εὖ δὲ καὶ τὸ καθ' ἑαυτὸν ἡὔξησεν, ὡς τοσοῦτον Ἀχιλλέως πρύχων ὁπόσιν τοῦ θεοῦ ἀπολείπεται.

7. παροιμία] Apud Zenobium 4, 11 aliosque ab Schneidew. indicatos.
31. *οὐδὲ] οὔτε
32. *ἀφαιρεῖσθαι] ἀφῃρῆσθαι
34. ὡς] εἰς

183. σὺν νηί τ' ἐμῇ] ἵνα μὴ δοκῇ ἐξ ἀνάγκης αὐτὴν ἀποπέμπειν, ὡς οὐ γνωριοῦντος τοῦ θεοῦ τὸν αἴτιον τῆς ἀποστολῆς. οὗτος δὲ ὁ λόγος ἤδη ἀποτέθειται τῶν φίλων τὸν Ἀχιλλέα.

185. αὐτὸς ἰών] ἐπειδὴ τὸ ἐγὼ ἠδύνατο καὶ διὰ τῶν θεραπόντων νοεῖσθαι, προσέθηκε τὸ αὐτὸς ἰών. ὁμοία δέ ἐστιν ἡ ἀπειλὴ τῇ "τὴν δ' ἐγὼ οὐ λύσω" (Il. 1, 29).

187. ἶσον ἐμοὶ φάσθαι] ἀναιρεῖ τὴν ἐν ταῖς ἐκκλησίαις ἰσηγορίαν. διὸ καὶ οἱ Ἀχαιοὶ φεύγουσιν. οὐ δυνάμενοι δικαιολογεῖσθαι αὐτῷ. ὁ δὲ Διομήδης "ἦ θέμις ἐστὶν, ἄναξ, ἀγορῇ" (Il. 9, 33) φησίν.

189. λασίοισι] θερμοῖς· ἡ θέρμη γὰρ αἰτία τῆς ἐκφύσεως τῶν τριχῶν.

*λασίοισι] γίνεται ἐκ τοῦ λα ἐπιτατικοῦ μορίου καὶ τοῦ σεύω τὸ ὁρμῶ· ὀρθῶς γὰρ ὁρμῶνται τὰ διὰ τοῦ νοήματος.

νῦν δὲ περὶ τοῦ θυμοειδοῦς μέρους τῆς ψυχῆς φησὶν, ἀφ' οὗ λέγει στήθεσσιν· ὑπὸ γὰρ τὰ στέρνα κεῖται ἡ καρδία, ἐν ᾗ ἐστὶ τὸ πυρῶδες καὶ θερμὸν καὶ μανικὸν τῆς ψυχῆς.

διάνδιχα] θέλει εἰπεῖν ὡς δύο ἐβουλεύσατο, ἀναστῆσαι ἐκείνους καὶ ἀνελεῖν Ἀγαμέμνονα· ὅθεν περισσόν φασι τὸν "ἠὲ χόλον." ἀλλ' οὐχ οὕτως, ἀλλὰ τὸ μὲν ἐκείνους ἀναστῆσαι καὶ ἀνελεῖν αὐτὸν ἓν θετέον, τὸ δὲ "ἠὲ χόλον παύσειε" δεύτερον. ὃ καὶ ἄμεινον. ἡ γὰρ ὕβρις ἀνεζωπύρει, ἡ δὲ φρόνησις κατέστελλε. τοῦτο δὲ ὑποφαίνει διὰ τοῦ κατὰ φρένα καὶ κατὰ θυμόν.

190. ἦ — ἠέ] τὸν μὲν πρῶτον ὀξυντέον, τὸν δὲ δεύτερον περισπαστέον· διαπορητικὴ γάρ ἐστιν ἡ σύνταξις. καὶ οὕτως ἐν τῇ καθόλου.

192. χόλον παύσειεν ἐρητύσειέ τε θυμόν] ἐπειδὴ τὸ μὲν διαχεόμενόν ἐστιν ὡς ἐπὶ ὕδατος ῥέοντος, εἶπε παύσειεν· ὁ δὲ θυμὸς ἐπειδὴ τὸ θῦόν ἐστι, τῷ ἐρητύσειεν ἐχρήσατο.

193. κατὰ φρένα καὶ κατὰ θυμόν] φρένα τὸν λογισμὸν, θυμὸν δὲ τὸ θυμικόν. τὸ οὖν ἀναστῆσαι ἐκείνους ἀνελεῖν δὲ Ἀγαμέμνονα κατὰ τὸ θυμοειδὲς τῆς ψυχῆς μέρος ἐλογίζετο, τὸ δὲ "ἠὲ χόλον" παύσειε κατὰ τὴν φρένα.

ἔλκετο — μέγα ξίφος] ἡ παράτασις τοῦ χρόνου τὴν ἀπὸ τῶν ἐπιλογισμῶν ἔνστασιν δηλοῖ. τὸ δὲ μέγα καιρὸν δίδωσι καθόδου τῇ

5. *προσέθηκε τὸ αὐτὸς ἰών] om. 34. παράτασις] Conf. ad p. 3, 13.

Ἀθηνᾶ. τὸ δὲ ἕως νῦν ἀντὶ τοῦ τέως, ὡς τὸ "εἵως μέν ῥ' ἐπέτοντο" (Od. 2, 148). ἐπεὶ ποῦ ἡ ἀνταπόδοσις τοῦ ἕως; ἢ γοῦν τῷ ἕλκετο χρὴ δοτέον τὸν καί. διδάσκει δὲ ὁ ποιητὴς μὴ ὑπερχρῆσθαι ταῖς ἐξουσίαις τοὺς βασιλεῖς.

194. *Πορφυρίου. ἦλθε δ' Ἀθήνη οὐρανόθεν] διὰ τί φήσας πάντας τοὺς θεοὺς εἰς Αἰθιοπίαν ἀπεληλυθέναι "θεοὶ δ' ἅμα πάντες ἕποντο" (424) τὴν Ἀθηνᾶν ἐκ τοῦ οὐρανοῦ φησὶν ἐλθεῖν παρὰ τῆς Ἥρας πρὸς τὸν Ἀχιλλέα; μήποτε δὲ συλληπτικῶς εἴρηται ἀπὸ τοῦ πλείστου τὸ πᾶν. ὥσπερ γὰρ ἐπὶ τῶν ἡγεμόνων τῶν Ἀχαιῶν εἰπὼν ὅτι πάντες ἐκάθευδον ("ἄλλοι μὲν παρὰ νηυσὶν ἀριστῆες Παναχαιῶν εὗδον παννύχιοι" Il. 10, 1), ὅμως ποιεῖ τὸν Ἀγαμέμνονα ἐγρηγορότα καὶ τὸν Μενέλεων ("οὐδὲ γὰρ αὐτῷ ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτεν" ib. 25), οὕτως ἐκ τοῦ πλείστου τὸ πάντας ἠκολουθηκέναι τοὺς θεοὺς τῷ Διὶ εἴρηκεν. οὐ γὰρ δὴ θεῶν ἔρημος ἔμελλε καταλείπεσθαι ὁ οὐρανός. ἐκ τοῦ οὐρανοῦ δὲ, φησὶ, παρεγένετο ἡ Ἀθηνᾶ, ὅ ἐστιν ἡ φρόνησις· δεῖ γὰρ οὕτως αὐτὴν καταβαίνειν, οἷα καὶ τῆς κόμης αὐτὴν κρατεῖν καὶ οὐκ ἄλλου μέρους τοῦ σώματος, ἀλλ' ἔνθα ἵδρυται τὸ λογικὸν τῆς ψυχῆς μέρος. εὐλόγως δὲ καὶ οἱ μυθογράφοι φασὶν ὅτι ἔγκυος οὖσα ἡ Μῆτις τὴν Ἀθηνᾶν κατεπόθη ὑπὸ τοῦ Διὸς, καὶ ἀπὸ τῆς κεφαλῆς αὐτοῦ ἐν τῷ ὡρισμένῳ τῆς ἀποκυήσεως χρόνῳ ἐξέθορεν ἡ θεὸς σὺν ὅπλοις.

196. κηδομένη] τοῦ μὲν, ἵνα μή τι πάθῃ δεινὸν, τοῦ δὲ, ἵνα μή τι δράσῃ. εἴωθε δὲ εἰς τοσοῦτον αὔξειν τὰς περιπετείας ὡς μὴ δύνασθαι παύειν αὐτὰς ἄνθρωπον.

198. εἶῳ φαινομένη] τοὺς γὰρ μεγαλοψύχους ὀργιζομένους οὐ παύειν δεῖ προφανῶς, τῶν ἐχθρῶν ὁρώντων. τὸ δὲ φαινομένη ἀντὶ τοῦ

3. χρὴ δοτέον] Fortasse προσδοτέον.

5. *Πορφυρίου] om.

15. Post οὐρανός positum est signum scholii finiti (:—), tum novum incipit scholion alio praefixo signo quam praecedenti, cui rationi obstat δέ particula in verbis proximis οὐρανοῦ δὲ, φησὶ, παρεγένετο —, quam omisit qui scholion ἐκ τοῦ—σὺν ὅπλοις in eadem pagina repetivit cum hac scripturae diversitate, οὐρανοῦ δὲ, φησι] οὐρανοῦ φησὶ δεῖ γὰρ οὕτως αὐτὴν καταβαίνειν] οὕτως γὰρ δεῖ καταβαίνειν αὐτὴν τῆς ψυχῆς μέρος] μέρος τῆς ψυχῆς εὐλόγως—ὅπλοις] εὐλόγως δὲ καὶ μυθογράφοι φασὶν αὐτὴν οὕτως γεγενημένην. ἡ γὰρ Μῆτις ἔγκυος οὖσα τὴν Ἀθηνᾶν κατεπόθη ὑπὸ τοῦ Διὸς καὶ ἀπὸ τῆς κεφαλῆς αὐτοῦ ἐν τῷ τῆς ἀποκυήσεως ὡρισμένῳ χρόνῳ ἐξέθορεν ἡ θεὸς σὺν ὅπλοις.

δὲ, φησὶ] * φασὶ, omisso δὲ

16. οἷα—κρατεῖν] * ὡς—κρατεῖν

19. τὴν Ἀθηνᾶν] * om.

21. ὅπλοις] * ὅπλοις. ἡ δὲ ἱστορία παρὰ Ἀπολλοδώρῳ ἐν πρώτῳ.

φανησομένη. γράφεται δὲ καὶ φαινομένην. πολλὴ δὲ ἡ φαντασία. ὅτι καὶ ἐνεργείας ἐδέησε τῇ θεᾷ.

ὁρῆτο] Ζηνόδοτος ἀγνοήσας τὸ τῆς διαλέκτου ἰδίωμα ὡς Ἰωνικὸν ἐξέθετο. ἔστι δὲ Δώριον· οἱ γὰρ Δωριεῖς τῆς δευτέρας τῶν περισπωμένων τὸ ᾱ εἰς ᾰ τρέπουσιν.

199. ἔγνω] εἶδεν. ἢ ὅτι συνήθης αὐτῆς ἡ θέα τοῖς ἐπικουρουμένοις Ἕλλησιν, ἢ ὅτι τοῖς διογενέσι δηλοῦνται οἱ θεοί, ὡς τῇ Ἑλένῃ. καὶ Αἰνείας Ἀπόλλωνα ἔγνω εἱσαντα ἰδών (Il. 17, 334). Παλλὰς δὲ παρὰ τὰς παλάμας, ἢ ὅτι εὐκίνητος ὁ νοῦς "ὡσεὶ πτερὸν ἠὲ νόημα" (Od. 7, 36).

200. *Παλλάδ' Ἀθηναίην] ἐπιθετικῶς τὴν Ἀθηνᾶν, ἤτοι ἀπὸ τοῦ πάλλειν καὶ κραδαίνειν τὸ δόρυ (πολεμικὴ γὰρ ἡ θεός), ἢ ὅτι ἕνα τῶν γιγάντων Πάλλαντα ἀπέκτεινεν, ἢ ἀπὸ τοῦ ἀναπαλθῆναι αὐτὴν ἐν τῇ κεφαλῇ τοῦ Διὸς, ἢ ἀπὸ τοῦ παλλομένην τὴν καρδίαν τοῦ Διονύσου προσκομίσαι τῷ Διί.

δεινὼ δέ οἱ ὄσσε φάανθεν] ὁ δὲ ἀντὶ τοῦ γάρ. διὰ δὲ τῆς ἐκπλήξεως Ἀχιλλέως τὴν γλαυκῶπιν παρέστησεν Ἀθηνᾶν. τινὲς δὲ φάανθεν ἀντὶ τοῦ ἐφωτίσθησαν οἱ τοῦ ἥρωος ὀφθαλμοί.

204. φωνήσας] προσκαλεσάμενος, ἢ τὸ ὄνομα αὐτῆς εἰπών.

202. αἰγιόχοιο] τοῦ ἀπὸ τῆς αἰγὸς ὀχὴν λαβόντος· ὅθεν καὶ Ζεὺς τῇ Ἀμαλθείᾳ τὸ κέρας δίδωσι πάσης τροφῆς ποριστικὸν τυγχάνον. πυνθανομένου δὲ μᾶλλον ἢ ὀργιζομένου ὁ λόγος.

203. ἢ ἵνα ὕβριν ἴδῃ] δίχα τοῦ σ. ὑψοῖ δὲ τὴν φωνὴν καὶ τὴν ὕβριν, ὡς καὶ θεοὺς εἰς θέαν κινήσασαν.

204. Ἀρίσταρχος τελέεσθαι, οὐ τετελέσθαι γράφει.

205. ἧς ὑπεροπλίῃσι] πρὸ τῶν λόγων ἐνδέδωκε τῇ παρουσίᾳ αὐτῆς. τὸ δὲ τάχα ἄν ταχέως, καὶ πλεονάζει τὸ ποτέ. ὑπ' ἐμοῦ δὲ, φησὶν, ἀπολεῖται. διό φησιν ἡ θεὸς "μηδὲ ξίφος ἕλκεο χειρί."

207. αἴ κε πίθηαι] τὸ σφριγῶν τοῦ θυμοῦ μαλακοῖς ἰᾶται λόγοις. ὅμως ἐκδειματοῖ, καὶ τὸν ἐχθρὸν θεοφιλῆ εἶναι λέγουσα. οὐ πᾶς δὲ ὁ φιλῶν κήδεται, ὡς λύκος ἄρνα.

211. ἔπεσι μὲν ὀνείδισον] τεχνικῶς λίαν οὐχ ἅμα πάσης αὐτὸν ἐκκόπτει τῆς ἐπιθυμίας, ἀλλ' ὡς ἰατρὸς οἶνον ἀπαγορεύων ὕδωρ δίδωσιν, οὕτως διὰ τὸ τοῦ μείζονος ἐκτρέψαι τὸ ὀλίγον συγχωρεῖ, ὡς καὶ Ἡσίοδος "τοῦ κε κορεσσάμενος νείκεα καὶ δῆριν ὀφέλλοις" (O. 33).

34. *ἐκτρέψαι] ἐκτρίψαι 35. *κε] καὶ

ἢ ὀνειδίσαι φησὶ τὸ ὑπομνῆσαι τῶν εὐεργεσιῶν, ὡς Πορφύριός φησιν, ἤτοι ὡς ἀχάριστον αἰτιάσασθαι.

τὸ ἔπεσι μὲν ὀνείδισον ἀπρεπὲς θεᾶς εἰς λοιδορίαν. ἡ δὲ λύσις ἐκ τῆς λέξεως· ὀνείδισον γὰρ ἔφη ἀντὶ τοῦ ὑπόμνησον τῶν εὐεργεσιῶν, ὡς ἐγένοντο. ὀνείδισον γὰρ ἔφη, οὐ λοιδόρησον. ὀνειδισμὸς δέ ἐστιν ἀνάμνησις εὐεργετημάτων, ὧν τις παρέσχετο.

ἀναπαυστέον τὸν λόγον εἰς τὸ ὀνείδισον· τὸ δὲ "ὡς ἔσεταί περ, ὧδε γὰρ ἐξερέω" ἀναγνωστέον ἐν ταὐτῷ.

212. τετελεσμένον ἔσται] εἰ μὲν ἄνθρωπός ἐστιν, οἵῳ φησὶν, εἰ θεὸς, διαβεβαιοῦται.

214. ὕβριος εἵνεκα τῆσδε] μαλάσσουσα αὐτὸν συμφωνεῖ αὐτῷ ὡς ὑβρίσθη. τὸ δὲ ἡμῖν ὀρθοτονεῖται· ἀντιδιέσταλται γὰρ, ἀντὶ τοῦ ἡμῖν πείθου καὶ μὴ τῇ σῇ ὀργῇ. κακῶς οὖν Ἀρίσταρχος συστέλλει τὴν μιν.

219. ἀργυρέῃ] τῇ ἀργυροήλῳ. κώπη δὲ τὸ κωπίον ἤγουν ἡ τοῦ ξίφους λαβή. βαρεῖαν δὲ τὴν πρώην ἐπτερωμένην τῷ θράσει, ἢ τὴν ἑτέρους τοῖς ὅπλοις βαρύνουσαν.

222. δώματ' ἐς αἰγιόχοιο Διὸς, μετὰ δαίμονας ἄλλους] τὸν τῶν δαιμόνων τόπον μετωνυμικῶς ἐκάλεσεν. ἢ μόνους τοὺς ἄρσενάς φησι τῷ Διὶ πρὸς Αἰθιοπίαν ἕπεσθαι καὶ τὰς θηλείας καταλελεῖφθαι. ἢ ὅτι τὸ πάντες ἐκεῖσε ἀντὶ τοῦ οἱ πλείους τέτακται.

*δαίμονας καλεῖ τοὺς θεοὺς, ὡς ἐμπείρους πάντων καὶ ἴδριας, ἢ ὅτι διαιτηταί εἰσι καὶ διοικηταὶ τῶν ἀνθρώπων. Ἡσίοδος δὲ δαίμονας καλεῖ τοὺς ἐκ τοῦ ζῆν μεταστάντας, ὄντας δὲ ἐπὶ τῆς τοῦ Κρόνου βασιλείας, τοῦ χρυσοῦ γένους, λέγων αὐτοὺς φύλακας θνητῶν ἀνθρώπων (Ο. 122).

223. ἀταρτηροῖς] ἀτηροῖς, καὶ πλεονασμῷ τῆς ταρ συλλαβῆς ἀταρτηροῖς, ὡς τὸ τάρρθος καὶ μετὰ τῆς ἐπί πρεθέσεως ἐπιτάρροθος.

225. *τὸ κυνὸς ὄμματ' ἔχων ἐξ ὧν εἶδεν αὐτὸν ὀργιζόμενον "ὅσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐίκτην." τὸ δὲ "κραδίην δ' ἐλάφοιο" διὰ τὸ ἐπίφορον εἶναι εἰς τὸ λέγειν φεύγωμεν ὡς δειλόν· πρὸς γὰρ τοῦτο φαίνεται εἰρηκὼς ἐν τῇ Ἰλιάδι.

Ἰσοκράτης Κόνωνι τῷ Ἀθηναίων στρατηγῷ τρία μαρτυρεῖ, ἐπιμέλειαν, πίστιν, ἐμπειρίαν πολέμου. τούτων τὰ ἐναντία κατανοήσας Ἀγαμέμνονι ὀνειδίζει· ἐξ οἰνοποσίας μὲν γὰρ ἀμέλεια, ἀπιστία δὲ

ἐξ ἀναιδείας· καὶ πολέμων ἀπειρίαν ἡ δειλία ἐργάζεται. φαίνεται δὲ ἐν Ἰλιάδι ἐπὶ τρίτου αὐτὸν λέγων δειλὸν διὰ τὸ "φεύγωμεν σὺν νηυσί" (Il. 2, 140. 9, 27), μέθυσον δὲ διὰ τὸ "πλεῖαί τοι οἶνου κλισίαι" (Il. 9, 71). μάλιστα δὲ τῷ ἀναιδεῖ ἐπιμένει, ὅπου μὲν λέγων "ἀλλὰ σοί, ὦ μέγ' ἀναιδές" (158), ὅπου δὲ "ἀναιδείην ἐπιειμένε" (149), πῆ δὲ κυνῶπα (159), ἐπεὶ προμεμαρτύρηται αὐτοῦ τὸ τῆς θέας ἰταμὸν ἐν τῷ πρὸς Κάλχαντα. φύσει δὲ ἀλλήλαις αἱ κακίαι, ὡς καὶ αἱ ἀρεταὶ, παρέπονται.

*Πορφυρίου. διὰ τί ὁ Ἀχιλλεὺς, λιθορησάμενος Ἀγαμέμνονι τρία ταῦτα "οἰνοβαρές, κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιο" οὔτε τῷ οἰνοβαρεῖ ἐπιμένει οὔτε τῷ κραδίην δ' ἐλάφοιο, ἀλλὰ μάλιστα τῷ κυνὸς ὄμματ' ἔχων, ποτὲ μὲν ἐπιφέρων "ἀναιδείην ἐπιειμένε," ποτὲ δὲ "ἀλλὰ σοὶ ὦ μέγ' ἀναιδὲς ἑσπόμεθα, ὄφρα σὺ χαίρῃς," αὖθις δὲ "τιμὴν ἀρνύμενοι Μενελάῳ σοί τε κυνῶπα;" ἡ δὲ λύσις ἐκ τῶν προειρημένων ἐν τῇ ἐκκλησίᾳ πρὸς τὸν Κάλχαντα, ἐνδειχθεισῶν τῶν τῆς ὁράσεως φλογώσεων· ἔφη γὰρ "ὅσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐίκτην." τῆς γὰρ ἐμφανῶς πᾶσι γενομένης τῶν ὀφθαλμῶν μαρμαρυγῆς ἀναιδῶς ἐχόμενον τὸ τοῦ Ἀχιλλέως πάθος συνεχῶς ἐπιφέρεται εἰς ὀνειδισμὸν τούτου πρὸς τοὺς τὰ ὅμοια ὁρῶντας ὡς πρὸς μάρτυρας· Ἰσοκράτης (p. 70 b) μὲν οὖν τρία περὶ τὸν στρατηγὸν ὑπάρχειν ἀγαθὰ μαρτυρεῖ κεινὰ, λέγων "ὃς ἦν ἐπιμελέστατος μὲν τῶν στρατηγῶν, πιστότατος δὲ τοῖς Ἕλλησιν, ἐμπειρότατος δὲ τῶν πρὸς τὸν πόλεμον κινδύνων," Ὅμηρος δὲ κατηγορῶν τὰς ἐναντίας ταῖς ἀρεταῖς ταύταις κακίας τοῦ Ἀγαμέμνονος ἐκθειάζει. ἐν μὲν γὰρ τῷ λέγειν οἰνοβαρῆ πολλὴν ὀλιγωρίαν ὀνειδίζει (τί γὰρ ἐν μέθῃ ἐπιμελές;) ἐν δὲ τῷ πάντων ἀναιδέστατον ἀπιστίαν. ἡ δὲ ἀνανδρία πάντων μέγιστον ἐμπόδιον εἰς ἡγεμονίαν.

κραδίην δ' ἐλάφοιο] λέγεται χολὴν οὐκ ἔχειν ἐν τῷ ἥπατι περικειμένην ἡ ἔλαφος.

*ἄλλως. εἰώθασιν οἱ ἄνθρωποι τὰ πλεονεκτήματα πολλάκις ὡς ἐλαττώματα προάγειν· "στρεπτὴ γὰρ ἡ γλῶσσα βροτῶν" (Il. 20,

2. *τρίτου] τρίτην
3. *τοι] τε
22. τῶν στρατηγῶν—τοῖς Ἕλλησιν] Sic codex, terminationibus per compendia expressis, quae non intellexit Vill. qui τοῦ στρατηγοῦ—τοῦ Ἕλληνος, omisso etiam τὸν ante πόλεμον.
28. κραδίην—] Hoc primae manus scholion numero signatum est δ', proximum (ad v. 227) numero ϛ'. Excidit igitur scholion ε'.

248). ἐπεὶ γὰρ τοῖς βασιλεῦσι πλεῖον δέπας οἴνου παρέκειτο ἀξιώματος χάριν, μέθην ὀνειδίζει· τὸ δὲ διὰ τὸ μὴ περιφρονεῖσθαι ἰταμὸν ἀναίδειαν εἶπε· καὶ ὅτι οὐκ ἔστιν οἰκεῖον φάλαγγος βασιλεῖ προκινδυνεύειν, τοῦτο δειλίαν ὀνομάζει. οὐκ οἰητέον δὲ τοιοῦτον εἶναι τὸν Ἀγαμέμνονα, ὃν οἱ Ἕλληνες ἐν τοῖς πρώτοις ἠρίθμουν· "ἢ Αἴαντα λαχεῖν ἢ Τυδέος υἱὸν ἢ αὐτὸν βασιλῆα" (Il. 7, 179). τρίτον δὲ αὐτὸν ἀριθμοῦσιν οὐχ ὅτι τὴν ἀρετὴν ἧττων ἐστίν, ἀλλ' ὡς ἧττον διὰ τὴν ἀρχὴν κινδυνεύειν ὀφείλοντα. εἷς τε τὸ πρὸς Ἕκτορα μονομάχιον "ὦρτο πολὺ πρῶτος μὲν ἄναξ ἀνδρῶν" (Il. 7, 162). ἀλλὰ καὶ τὴν ἀριστείαν αὐτοῦ ταῖς ἄλλαις παραβάλλων μείζονα εὕροι τις ἄν. Διομήδης μὲν γὰρ ἠρίστευσεν ἀγνοούντων τῶν Τρώων τὴν μῆνιν Ἀχιλλέως· τὸν δὲ Αἴαντα ἡ τῆς σωτηρίας ἀπόγνωσις διήγειρε· καὶ Πάτροκλος ἠρίστευσεν Ἀχιλλεὺς νομιζόμενος· Ἀγαμέμνονι δὲ ἠσσήθησαν νικῶντες τῇ προτεραίᾳ καὶ ταῖς ναυσὶν ἐπαυλιζόμενοι. καὶ Ἕκτωρ Αἴαντι μὲν καὶ Πατρόκλῳ καὶ Ἀχιλλεῖ θαρρῶν εἰς μάχην ἔρχεται, Ἀγαμέμνονα δὲ ἐκκλίνει. ἀλλὰ καὶ ὁ Ζεὺς αὐτῷ παραινεῖ "ὄφρα μέν κεν ὁράᾳς Ἀγαμέμνονα ποιμένα λαῶν ἐν προμάχοισι, τόφρ' ὑπόεικε μάχης" (Il. 11, 202).

*Πορφυρίου. ζητοῦσι δὲ πότερον διὰ ὕβρεως ἐξηνέχθη ὁ Ἀχιλλεὺς ὀργιζόμενος εἰς τοιαύτας λοιδορίας "οἰνοβαρές, κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιο" ἢ ἀπό τινος αἰτίας προαχθεὶς ὑπὸ τῆς ὀργῆς εἰς τοιαῦτα ἐμπέπτωκεν. λύσις. οἰνοβαρῆ μὲν οὖν αὐτὸν προήχθη εἰπεῖν, ἐπειδὴ φαίνεται σπουδάζων περὶ πολλὴν οἶνου κτῆσιν. μόνῳ γὰρ αὐτῷ καὶ Μενελάῳ χίλια μέτρα οἴνου Εὔνεως πέμπει (Il. 7, 468), ὅ τε Νέστωρ ἐκ τῶν πραττομένων ὑπ' αὐτοῦ τὸ πλῆθος εἰδὼς τῆς τοῦ οἴνου συναγωγῆς φησὶ "πλεῖαί τοι οἴνου κλισίαι, τὰς νῆες Ἀχαιῶν ἡμάτιαι θρῄκηθεν ἐπ' εὐρέα πόντον ἄγουσιν" (Il. 9, 71). αὐτός τε ὁ Ἀγαμέμνων προτρεπόμενος ἐπὶ πόλεμον προφέρει ἣν φέρει τιμὴν διὰ τοῦ "σὸν δὲ πλεῖον δέπας ἀεὶ ἔστηχ' ὥσπερ ἐμοί, πιέειν" (Il. 4, 262). ὅθεν καὶ ἐπιστρεφέστερον ὀνειδίζων εἰς τὰ τοιαῦτα πῇ μὲν λέγει "πῇ ἔβαν εὐχωλαί," καὶ ἐπάγει "πίνοντες κρητῆρας ἐπιστεφέας οἴνοιο" (Il. 8, 232). καὶ πάλιν εἰκόνα λαμ-

3. *εἶπε] om.
φλάλαγγος βασιλεῖ] *βασιλεῖ τῆς φάλαγγος
5. Ἀγαμέμνονα] *Ἀγαμέμνονα οἷον νῦν λοιδορεῖ
*οἱ Ἕλληνες] οἱ om.
15. *Αἴαντι μὲν] μὲν Αἴαντι
17. *ὁράᾳς] ὁρᾷς
19. Πορφυρίου nomen compendio expressum πρ́.

βάνων τὴν ἐκ τῶν συμποσίων "εἴπερ γάρ κ' ἐθέλοιμεν Ἀχαιοί τε Τρῶές τε" ὁρκωμόσια ποιησάμενοι, εἶτα ἐπάγει "Τρώων δ' αὖτε ἕκαστον ἑλοίμεθα οἰνοχοεύειν, πολλαί κεν δεκάδες δευοίατο οἰνοχόοιο" (Il. 2, 127). καὶ τὸ τελευταῖον καὶ τὸν θάνατον ἐν Ἅιδου ἀφηγεῖται, ὡς ἀμφὶ κρατῆρα τραπέζας τε πληθούσας ἀπώλετο (Od. 11, 418). τὸ δὲ "κυνὸς ὄμματ' ἔχων" ἐλέγομεν ὅτι ἐξ ὧν εἶδεν αὐτὸν ὀργιζόμενον· "ὅσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐίκτην" καὶ "Κάλχαντα πρώτιστα κάκ' ὀσσόμενος προσέειπεν." κραδίην δ' ἐλάφοιο ἀπὸ τοῦ ἐπίφορον εἶναι εἰς τὸ λέγειν φεύγωμεν, καὶ τρὶς ἐν Ἰλιάδι φαίνεσθαι τοῦτο εἰρηκότα.

227. οὔτε λόχονδ' ἰέναι] τοῦτο ἀριστοκρατικοῦ. ἅμα οὖν τῶν ἰδίων κατορθωμάτων ὑπομιμνήσκει· ὅτι γὰρ καὶ ἐλόχα, δῆλον ἀπὸ Λυκάονος (Il. 21, 35).

229. ἦ —] περισπαστέον τὸν ἦ. ἀρκτικὸς γάρ ἐστιν, ἀντὶ τοῦ δή. ἀπολελυμένον δὲ τὸ σχῆμα, καὶ πολλὰς ἔχον περικοπάς. ἄπλη- στον γάρ ἐστι πρὸς λοιδορίαν ὀργή. ὑποστικτέον δὲ εἰς τὸ εὐρύ.

230. ἀντίον εἴποι] οὐκ εἶπεν ἀδικήσει τις, ἀλλ' ὡς ἀναιροῦντα τὴν ἰσολογίαν διαβάλλει. ἐπεγείρει δὲ αὐτῷ τοὺς στρατηγούς.

231. δημοβόρος βασιλεύς] κινητικὰ ταῦτα τοῦ πλήθους· μεγίστη γὰρ κατηγορία τὸ σφετερίζεσθαι τὰ κοινά.

233. ἐπὶ μέγαν ὅρκον ὀμοῦμαι] ἐπιομοῦμαι. ἐπιόμνυσθαί ἐστι τὸ ὀμόσαι καὶ ὑπισχνεῖσθαι, ἀπομνύναι δὲ τὸ ἀποφάσκειν. μέγαν δὲ λέγει ὅρκον τὸν ὡς ἀληθῶς παρ' αὐτοῦ τελεσθησόμενον.

234. τὸν τῆς βασιλείας ἔφορον ὄμνυσι θεὸν, ὡς εἰ τράπεζαν ἢ πέλαγός τις ὀμόσαι ἢ τοὺς ἰδίους δεσμούς. ἐν σχήματι δὲ ἔφρασεν ὅτι δημηγοροῦντι αὐτῷ δέδοται τὸ σκῆπτρον. διὰ δὲ τῆς ἐκκοπῆς τὴν ἀπαλλαγὴν ἴσως τῆς συνηθείας αὐτοῦ δηλοῖ· μόνος δὲ Ἀγαμέμνων ἐσκηπτροφόρει. ὁ ποιητὴς δὲ νῦν μὲν τὸν Ἀχιλλέα, ἐν δὲ τῇ Ὀδυσσείᾳ τὸν Τηλέμαχον ποιεῖ τὸ σκῆπτρον ἀποτιθεμένους. ἐπ' ἐκείνου μὲν καὶ πλῆθος ἐξέχεε δακρύων· καὶ γὰρ νεώτερος καὶ αἱ συμφοραὶ δειναί· ὁ δὲ Ἀχιλλεὺς οὐκ ἀπολοφύρεται· οὐδὲ γὰρ νέος καὶ περὶ γυναικὸς ἡ μάχη.

238, 239. οἵ τε θέμιστας πρὸς Διὸς εἰρύαται] εἰς δικαιοσύνην παρακαλεῖ τοὺς ἄρχοντας, εἴ γε τὸ δίκαιον ἐγχειρίζει αὐτοῖς ὁ Ζεύς,

15. *δὴ] ἤδη 25. *ὀμόσαι] ὀμόσοι
31. οὐδὲ] οὔτε

παραφθειρομένου δὲ αὐτοῦ δίκας δώσουσι Διί. ἢ ὅτι οὔπω νομογραφίας οὔσης ὁ λόγος τῶν βασιλέων νόμος ἦν.

242. Ἕκτορος ἀνδροφόνοιο] προσυνίστησιν ἡμῖν τὸν Ἕκτορα λεληθότως ὁ ποιητὴς, μέλλων αὐτῷ χρήσεσθαι πρὸς τὰ ἐπιφανῆ τῆς Ἰλιάδος ἔργα. πρὸς δὲ τὴν κατάπληξιν τῶν ἀκουόντων καὶ τὸ ἐπίθετον αὐτοῦ δεδήλωκεν.

243. θυήσκοντες πίπτωσι] ἀναστροφὴ ὁ τρόπος· τὸ ἐναντίον γὰρ γίνεται.

244. ἄριστον Ἀχαιῶν] ἢ τὸν ἐν Ἀχαιοῖς ἀριστέα, ἢ τῶν Θεσσαλῶν· "Μυρμιδόνες δὲ καλοῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί" (Il. 2, 684).

245. ποτὶ δὲ σκῆπτρον βάλε γαίῃ] ὁ θυμὸς τὰ μετὰ χεῖρας ἐχόμενα ῥίπτει.

247. Νέστωρ] ἔστι μὲν ἔκγονος Ποσειδῶνος, ἐνενήκοντα δὲ ἄρχει νεῶν· γεραίτερος δὲ πάντων καὶ ἡδύγλωττος. οἱ περὶ Ὀδυσσέα γὰρ παραινοῦντες ἐδόκουν θωπεύειν. ἀλλ' οὔτε Μενέλαος ἐδύνατο παραινεῖν· τῷ μὲν γὰρ ἀδελφῷ προστιθέμενος ἀπήχθετο Ἀχιλλεῖ, τῷ δὲ Φοίνικι ταμιεύεται τὰς λιτάς. ἐν κινδύνοις οὖν παρεισάγων τὸν Νέστορα πολλὴν αὐτῷ μαρτυρεῖ λόγων εἴδησιν. προσυνίστησι δὲ τὸ εἶδος τῶν λόγων ὡς προσηνὲς καὶ καταστέλλειν ὀργὴν δυνάμενον· ὁ γὰρ αὐστηρὸς λόγος θυμὸν ἀναζωπυρεῖ.

248. ἡδυεπὴς ἀνόρουσε] καὶ ἐκ πατέρων ἔχων αὐτὸν ἐπαινεῖν, οὐκ ἀναγκαῖον ἡγήσατο. οὐδεὶς γὰρ λόγος εὐγενείας ὅσον λόγων δυνάμεως ἐν τοιούτῳ καιρῷ. τὸ δὲ προνοητικὸν τῶν ὁμοφύλων νεανικὴν αὐτῷ περιτίθησι κίνησιν. οὐδὲ γὰρ γέροντα μέμψαιο κυβερνήτην ἐν καιρῷ τοῦ κινδύνου ὑπὲρ τὸ δέον κινούμενον.

249. *γλώσσης] ἡ γλῶσσα σημαίνει τρία, αὐτό τε τὸ σῶμα, καὶ τὴν διάλεκτον, καὶ τὸ ἀπεξενωμένον τῶν λέξεων.

μέλιτος γλυκίων ῥέεν αὐδή] μέλιτος διὰ τὸ πείθειν ἑτοίμως· ῥέε δὲ διὰ τὸ ἀνεμπόδιστον. ἔοικε δὲ ἀποτείνεσθαι εἰς ἑαυτὸν ὁ κατὰ συλλογισμὸν ἔπαινος.

250. τῷ δ' ἤδη δύο μὲν γενεαὶ μερόπων] δύο τριακονταετηρίδες παρεληλύθεσαν ἐπ' αὐτῷ. ἡ γὰρ γενεὰ λ' ἔχει ἔτη· τελεία γὰρ αὕτη πρὸς γένεσιν ἡλικία. οἱ συντεχθέντες μὲν οὖν αὐτῷ ἀπολώλεισαν

3. *λεληθότως] om. 5. *ἔργα] om.
33. *ἐπ' αὐτῷ] ἐπὶ αὐτοῦ

ὑπὸ Ἡρακλέους, οἱ δὲ συντηρηθέντες συνεστράτευσαν αὐτῷ ἐν Βουπρασίῳ κἀκεῖ διώλοντο, ἦρχε δὲ τῶν υἱῶν αὐτῶν. ἔστιν οὖν ἑβδομηκοντούτης· δύο γὰρ γενεὰς πληρώσας εἰς τὴν τρίτην κατελέγετο. ἀμέλει καὶ τὴν Ἑκαμήδην ἔχει καὶ μετὰ τὸν νόστον τῇ γυναικὶ σύνεστι. ἢ γενεάς φησι τήν τε τῶν πατέρων ὑφ' ὧν ἐγεννήθη αὐτὸς καὶ οἱ αὐτῷ συνήλικες, καὶ τὴν τῶν ἀδελφῶν, οἳ ὑφ' Ἡρακλειδῶν ἐφθάρησαν. ἄρχει δὲ τῶν παίδων τῶν ἑαυτοῦ καὶ τῶν ἄλλων, τῆς τρίτης αὐτῶν οὔσης γενεᾶς. καὶ γὰρ ὁ ληγούσης ἡμέρας ἐπιδημήσας καὶ τῇ τρίτῃ ἐξ ἑωθινοῦ ἐξιὼν διὰ τρίτης ἀποδημεῖν λέγεται, καίτοι μίαν μόνην τελέσας τὴν μέσην. ἢ ὅτι ἐπειδὴ ἡ γενεὰ λ' ἔχει ἔτη, αὐτὸς δύο πληρώσας εἰς τὴν τρίτην κατελέγετο, ὥστε δύο γενεαὶ ἀνθρώπων ἐφθάρησαν. οὐχ ὅτι δὲ ἀνθρώπων δύο ἀπέθανον γένη, τοῦτό φησιν, ἀλλ' ὅτι δύο περιοδικαὶ γενεαὶ ἤτοι τριακονταετίαι. οὕτω δὲ τούτου φρασθέντος, καίτοι εἰ ζῶσί τινες τῶν σὺν αὐτῷ γηρασάντων, ὅμως αἱ περιοδικαὶ δύο γενεαὶ διεφθάρησαν. αὐτὸς δὲ ναύαρχος ἦν τῶν ἐν τῇ τρίτῃ γενεᾷ γενομένων, οἳ ἦγον τὴν στρατεύσιμον ἡλικίαν καὶ πρὸς τὸ πολεμεῖν χρήσιμον.

μερόπων] ἀπὸ Μέροπος τοῦ Ὑάντος, ὃς μετὰ τὸν κατακλυσμὸν πρῶτος συνῴκισε τοὺς ἀνθρώπους. ἢ τῶν μοιρούντων περὶ τὴν ὄπα· ἢ τῶν παρεξηλλαγμένην φωνὴν ἐχόντων.

251. οἵ οἱ] οἱ μὲν εὐθεῖαν ἀντὶ γενικῆς, ὡς τὸ "οἱ δὲ δύο σκόπελοι" (Od. 12. 73), ἵν' ᾖ οἵτινες αὐτῶν, τῶν ἀνθρώπων δηλονότι· καὶ ἔστι τὸ δεύτερον οἱ ἀντὶ τοῦ αὐτῷ. οἱ δὲ πρὸς τὸ γενεαί, ὡς φάλαγγες ἱστάμενοι.

ἅμα τράφεν ἠδ' ἐγένοντο] ὡς ἀμφιέσασα καὶ λούσασα (Od. 5, 264), ἔσω εἰσήει (Od. 17, 30).

252. τριτάτοισιν] τοῖς ἀπὸ τῆς αὐτοῦ γενέσεως τρίτην ἡλικίαν ἄγουσιν.

254. ὦ πόποι] ὅταν τὸ πρᾶγμα προοίμιον ᾖ τῷ μεγέθει καὶ τῷ πάθει, οὐ δεῖ πορίζειν ἑτέρωθεν προοίμια. ἔχει δὲ τὴν προσοχὴν ἀπὸ ὀλοφυρμοῦ ἀρξάμενος. δημηγορικῶς δὲ τὰς δύο παρίστησιν ἠπείρους αὐτοῖς, τὴν μὲν πενθήσουσαν, τὴν δὲ χαρησομένην, πρὸς κατήφειαν ἄγων αὐτούς.

1. Ἡρακλέους—υἱῶν αὐτῶν] *Ἡρακλέους· οἱ δὲ συγγηράσαντες οὐ συνεστράτευσαν· αὐτὸς δὲ "οὔ μιν ἐπέτρεπε γήραϊ λυγρῷ" (Il. 10, 79). τῶν οὖν υἱῶν αὐτῶν ἦρχεν

255. ἦ κεν γηθήσαι Πρίαμος] ἐρεθιστικὸς ὁ τῶν ἐχθρῶν ἔπαινος· καὶ διὰ μὲν Πριάμου Ἀγαμέμνονα, διὰ δὲ Ἕκτορος Ἀχιλλέα ἐρεθίζει, οὗ τὸ ὄνομα ἐφυλάξατο, ἵνα μὴ δοκῇ συνηγορεῖν Ἀχιλλεῖ.

257. τάδε πάντα] αὔξησιν ἔχει ἡ δεῖξις καὶ οἱ ἀριθμοί. τὸ δὲ μαρναμένοιιν διὰ τὴν ξιφουλκίαν.

258. φυλάττεται τῆς περὶ ὁ τόνος, κἄν τε ἀντὶ τῆς ὑπέρ ἐστι, κἄν τε πρὸς τὸ ἐστέ φέρηται. τὸ δὲ βουλήν διὰ τοῦ ῡ καὶ οὐ διὰ τοῦ ῐ, ὥς φησιν Ἡρωδιανός.

261. καὶ οὔ ποτέ μ' οἵ γ' ἀθέριζον] ἀνεπαχθὲς τοῦτο, παρὰ τοὺς ἀθέρας, οἳ εἰς οὐδὲν συντελοῦντες ἀνεμόφθορι γίνονται. σημαίνει δὲ τὸ ἀπεκήρυττον καὶ ἀδόκιμον ἔκρινον. μαλακτικώτατον δὲ τοῖς θυμουμένοις μῦθος, ὥσπερ καὶ Φοῖνιξ φησὶ πρὸς Ἀχιλλέα.

*ἀθέριζον] ἀπέκρινον, ἠτίμων ὡς οὐδενὸς ἄξιον, ἀπὸ τῶν ἀποκρινομένων ἀθερῶν. ὥσπερ οὗτοι ἀπὸ τῶν καρπῶν ἀποκρίνονται. οὔποτέ με ἐν ἀθερῶν μοίρᾳ εἶχον. ταυτὸν δέ ἐστι τῷ "οὔ τι ἀπόβλητον ἔπος ἔσσεται." καὶ τὸ οὐχ ἅλιον, καὶ ἴσον τῷ οὐκ ἀθερίζω, οὐκ ἀποβαλεῖν ἄξιον τῶν θαλάμων.

262. οὐδὲ ἴδωμαι] ἀπολογούμενος ὑπὲρ ὧν ἠλάττωσεν αὐτούς, οὐδὲ ἔσεσθαι τοιούτους λέγει· τοῖς γὰρ ἀποθανοῦσιν οὐδεὶς φθονεῖ, ἐπειδὴ τὸ ἀπὸν ἀνεμποδίστῳ εὐνοίᾳ τετίμηται. οὐ παρέθετο δὲ τὰ ἐν Πελοποννήσῳ πεπραγμένα ἑαυτῷ ἐν τῷ πρὸς Ἠλείους πολέμῳ. οὐ γὰρ οὕτω τὸν Ἀγαμέμνονα πείθειν προῃρεῖτο ὡς τὸν Ἀχιλλέα, ὃν εἶδε σπώμενον τὸ ξίφος. καλῶς οὖν ἀπὸ Θετταλικῶν παραινεῖ, ἐπειδὴ κἀκείνοις περὶ γυναικὸς ἦν ἡ στάσις, ἵν' ἐξ ἑτοίμου τῷ μύθῳ τούτῳ πείσῃ αὐτόν.

264. παρὰ μὲν τῷ ποιητῇ ἀπὸ τοῦ ε ἄρχεται τὸ Ἐξάδιον, ὃ καὶ ἄμεινον, παρὰ δὲ τοῖς νεωτέροις ἀπὸ τοῦ ξ.

266. κάρτιστοι δὴ κεῖνοι] κάρτιστοι μὲν οὗτοι τῶν ἀνδρῶν· ἐκεῖνοι δὲ κράτιστοι πρὸς τὰ λοιπὰ συγκρινόμενοι θηρία. ἐκ Στίλβης μὲν οὖν τῆς Πηνειοῦ κόρης καὶ Ἀπόλλωνος γέγονε Λαπίθης, ἀφ' οὗ Λαπίθαι. ἑξήκοντα δὲ τοὺς ἐπισημοτάτους αὐτῶν καταλέγει Πορφύριος. οἱ δὲ Κένταυροι κατὰ μὲν τοὺς ποιητὰς λέγονται Ἰξίονος καὶ νεφέλης· τινὲς δὲ Δουλίδι Ἰξίονα μιγῆναι, ἅμα δὲ καὶ Πήγασον τὸν πτερωτὸν κατὰ τὴν αὐτὴν νύκτα, ἐξ ὧν γενέσθαι Κένταυρον, ἀφ' οὗ πολὺ πλῆθος γίνεται· ὁ δὲ Χείρων δοκεῖ ἐκ Κρόνου γεγενῆσθαι. ἀσελ-

17. θαλάμων] θαλ$^{\alpha}$

γεῖς δὲ λίαν γεγόνασιν. ἐκ Φολόης δὲ αὐτοὺς Ἡρακλῆς ἐδίωξεν· εἶτα ἦκον εἰς τὸ Πήλιον.

268. θηρσὶν Αἰολικῶς· ἢ φυηρέσιν, τοῖς τὴν φύσιν ἡρμοσμένοις. ᾤκουν δὲ περὶ τὸ Πήλιον καὶ τὴν Οἴτην. τὸ δὲ ἀπώλοντο, ἵνα μὴ ζητῶμεν τὸ γένος αὐτῶν.

269. ὁμίλεον] οὐκ εἶπεν ἐπεκούρουν οὐδὲ συνεμάχουν· οὐ γὰρ ἂν αὐτοῖς συνεμάχει μὴ ὢν καὶ παρόμοιος.

270. τηλόθεν ἐξ ἀπίης] τῆς πόρρωθεν οὔσης, ἐκ τοῦ ἵημι.

καλέσαντο γὰρ] ἐπεὶ ἐνδέχεται τὸν ἄποθεν οἰκοῦντα αὐτεπάγγελτον ἥκειν, δόξης ἕνεκέν φησιν ὅτι μετεπέμψαντο καὶ οὕτως ἦκεν.

271. κείνοισι δ' ἂν οὔτις] παρεισάγει τοὺς πάντας ἠσσωμένους αὐτοῖς, ἵνα τῇ συμβουλῇ δοκοῖεν καὶ τῶν κρειττόνων περιγεγενῆσθαι. Πηλέως δὲ οὐκ ἐμνήσθη ὡς Ἀγαμέμνονος φίλος, καὶ ἵνα μὴ δοκῇ Ἀχιλλέα μᾶλλον ἐλέγχειν, εἴ γε ὁ πατὴρ αὐτοῦ τι ἠπίστατο, αὐτὸς δὲ οὔ.

273. διὰ τοῦ ε̄ τὸ ξύνιεν, ὡς τὸ "αὐτὰρ ἐπεὶ κόσμηθεν" (Il. 3, 1).

275. μήτε σὺ τόνδ' ἀγαθός περ ἐών] διὰ τῆς δευτέρας συλλαβῆς δίδωσιν ὑπόνοιαν ὡς οὐδὲ τὸν ἄλλον ἀνυθέτητον ἐάσει. ἤρξατο δὲ ἀπὸ Ἀγαμέμνονος, ὅτι αὐτὸς ἦρξε τῆς στάσεως καὶ τὰ δοθέντα ἀφῃρεῖτο, καὶ μᾶλλον συνήθης ἦν τῶν ἄλλων τῷ Νέστορι (διὸ παρρησιάζεται), καὶ διὰ τὸ θυμῶδες Ἀχιλλέως. προκαταστέλλει δὲ τὸν θυμὸν διὰ τοῦ ἀγαθός, ὅ ἐστι, μὴ θελήσῃς ἀνάξια σαυτοῦ ποιῆσαι.

277, 278. Πηλείδη θέλ'] Ἀρίσταρχος ὀξύνει τὴν δ̄η̄, τὸ πλῆρες λέγων ἔθελε· ἀεὶ γὰρ τὸ ἐθέλω παρὰ τῷ ποιητῇ ἀπὸ τοῦ ε̄ ἄρχεται. ἐνταῦθα δὲ διὰ τὸ μέτρον ἀποκοπὴ μὲν τοῦ ὀνόματος ἐγένετο, μετάβασις δὲ τοῦ ε̄ εἰς η̄.

ἐριζέμεναι βασιλῆϊ ἀντιβίην] πολλάκις πολλαχοῦ ἀγαθὸν ἡ ἔρις· διὸ ἀντιδιαστέλλων ἐπήνεγκε τὸ ἀντιβίην, τὸ μετὰ βίας καὶ φιλονεικίας δηλῶσαι θέλων. ἐν γὰρ ταῖς μέσαις τῶν λέξεων τὸ μὲν ἀγαθὸν δίχα ἐπιθέτου φησί, τὸ δὲ φαῦλον μετὰ ἐπιθέτου. καὶ τὸ μὲν ἀγαθὸν, ὡς τὸ "δῶκε μένος καὶ θάρσος" (Il. 5, 2), τὸ δέ

1. Φολόης correxi pro Φλόης.
10. *μετεπέμψαντο] μετεπέμψατο
12. *δοκοῖεν] δοκοῖτο
14. ἠπίστατο] *πέπεισται
24. Hoc scholion (numero notatum ιγ') legitur post proximum (ιβ').

κακόν "καὶ σὺ κακοῖσι δόλοισι κεκασμένε" (Il. 4, 339)· πρόσκειται γὰρ τὸ κακοῖσιν. ἔστι δὲ καὶ ἄμφω εὑρεῖν ἐν ἑνὶ στίχῳ· "ἀλλ' ἐπεὶ οὖν δὴ ἔργα κάκ' ἔμαθεν, οὐκ ἐθελήσει ἔργον ἐποίχεσθαι" (Od. 17, 226)· ἰδοὺ γὰρ τὸ ἔργον χωρὶς ἐκτέθειται.

πρῶτα μὲν καὶ πρῶτον τὰ ἐπιρρήματα, τὸ δὲ πρώτως ἀντὶ τοῦ ἐξόχως.

279. σκηπτοῦχος βασιλεύς] τὰ μὲν Ἀχιλλέως πλεονεκτήματα πλείονα, τὸ δὲ Ἀγαμέμνονος ἓν, ὅπερ δὴ πολυλογῶν ἀντισηκοῖ τοῖς ἄλλοις.

*πῶς τοῦτο ὁ Νέστωρ εἴρηκεν; ἆρα δύναταί τις βασιλεῖσαι χωρὶς τῆς τοῦ θεοῦ βουλῆς; ῥητέον οὖν ὅτι καλῶς τοῦτο εἴρηκεν· οὐ γὰρ ἅπαντες παρὰ τοῦ Διὸς ἔχουσι τὸ σκῆπτρον οὐδὲ τὴν ἀρχὴν ταύτην, ἀλλὰ μόνοι οἱ ἀγαθοί. εὐλόγως δὲ εἶπεν ὅτι τὸ μὲν ἄρχειν ἀπὸ θεοῦ ἐστὶν, οὐ μέντοι καὶ πᾶς ἄρχων καταθύμιός ἐστι τῷ θεῷ ὡς παραχρώμενος τῇ ἰδίᾳ ἐπιθυμίᾳ ἀπρεπῶς, τοῦ θείου παραχωροῦντος αὐτῷ καὶ ἀφροντιστοῦντος τοῦ τοιούτου.

281. ἀλλ' ὅδε φέρτερός ἐστι] οὐ γὰρ γενναῖός τις ὢν ἢ εὐσθενής τε καὶ εὐγενὴς ἄρξει βασιλέως, τοὐναντίον δὲ, ἐπειδὴ καὶ θείας λήξεως ὁ βασιλεὺς τυγχάνει.

282. αὐτὰρ ἔγωγε] πρὸς δυσώπησιν μὲν ἰδίαν ὁρίζεται χάριν, ὡς ὑπερέχοντα δὲ παρακαλεῖ. ὑψοῖ δὲ καὶ Ἀχιλλέα ὡς δίχα αὐτοῦ οὐδὲν ὄντων τῶν ἄλλων Ἀχαιῶν.

283, 284. μέγα πᾶσιν ἔρκος] πιθανῶς προσέθηκε τὸ μέγα, ἐπεὶ ἔρκος φησὶ καὶ τὸν Αἴαντα.

289. πᾶσι δὲ σημαίνειν] ἴδιον τῶν θυμουμένων ἐπανακυκλεῖν τὰ αὐτά· οὐδέποτε γὰρ οἴονται ἱκανῶς εἰρηκέναι. καλεῖται δὲ τὸ σχῆμα ἐπιβολὴ, ἐν μιᾷ περιόδῳ ἀρχὰς πλείους ἐπιφερόμενον. οὕτως ἔχει καὶ τὸ "ἐν δ' ἔρις, ἐν δὲ κυδοιμὸς ὁμίλεον, ἐν δ' ὀλοὴ κήρ" (Il. 18, 535). ἐκτὸς εἰ μὴ τὸ κρατεῖν σημαίνει τὸ νικᾶν, ἄρχειν δὲ τὸ ἀνάσσειν, ἐπιτάσσειν δὲ τὸ σημαίνειν. κινεῖ δὲ τῷ Ἀχιλλεῖ φθόνον ὡς οὐχ ὑπὲρ τῆς Βρισηΐδος, ἀλλ' ὑπὲρ τῆς ἀρχῆς πρὸς αὐτὸν διαφερομένῳ.

ἅ τιν' οὐ πείσεσθαι οἴω] ἦθος ἔχει ὁ δισταγμός.

290. ἦθος ὑποφαίνει ὁ λόγος, εἰ κατ' ἐρώτησιν ἐκφέροιτο.

7. σκηπτοῦχος—] Scholion ιδ', v. 294. Scholion ιε' nullum est. post quod sequitur scholion ις' ad

292. ὑποβλήδην] σύμβολον θυμοῦ μὴ ἀνέχεσθαι διεξοδικῶς κατηγορίας.

293. δειλός] μέγιστον ὄνειδος ἄριστος ὢν οἴεται τὴν δειλίαν.

294. εἰ δὴ σοί] ὀρθοτονεῖ Ἡρωδιανὸς τὴν σοί· δῆλον γὰρ κἀκ τῆς γραφῆς. εἰ γὰρ ἦν ἐγκλιτικὴ, ἐγράφετο ἄν διὰ τοῦ τ. 5

295. ταῦτ'] ταῦτα ἃ ἐμοὶ ἐπιτάττεις. τὸ δὲ ἐμοί διὰ τὴν ἀντιδιαστολὴν τοῦ ἄλλοισιν ὀφείλει ὀρθοτονεῖσθαι.

296. ἔγωγ' ἔτι] ἐὰν μὲν ἔτι, ἠθικῶς, ἐὰν δὲ τί, ἀποφατικῶς λέγει. ἄμεινον δὲ ἔτι διὰ τὸ καὶ τὸ οἴω ἠθικὸν εἶναι.

298. οὗτοι ἔγωγε μαχέσσομαι] ἔγνω οὐκ ἐνδόντα Ἀγαμέμνονα, 10 καὶ δὴ αὐτὸς μεγαλοφυῶς εἴκει· πέπεισται γὰρ μετανοήσειν αὐτόν. ἑτοίμως δὲ ἀποδιδοὺς διαβάλλει τὸν μόγις δόντα Χρυσηΐδα ὑπὲρ πάντων.

ὁ μὲν τυραννικὸν αὐτόν φησιν, ὁ δὲ τὸ ἐναντίον παύσεσθαί φησιν ὑπεικόμενος. 15

μαχήσομαι] ὁ μὲν Ἀρίσταρχος διὰ τοῦ η̄ γράφει, ὁ δὲ Ἡρακλέων τὰ μὲν ὀνόματα διὰ τοῦ η̄, ὡς τὸ "μαχητὴς Τυδεύς" (Il. 5, 801), τὰ δὲ ῥήματα διὰ τοῦ ε̄ καὶ τῶν δύο σσ̄, ὡς τὸ "Σολύμοισι μαχέσσατο" (Il. 6, 148)· ὃ καὶ ἄμεινον.

299. οὔτε τῳ ἄλλῳ] ἵνα μὴ νομισθῇ πρὸς ἕνα μόνον ἀξιόχρεως 20 εἶναι μάχεσθαι. ἢ ὡς κοινωνοὺς τῆς ὕβρεως τοὺς Ἕλληνας συμπεριείληφεν, οὐκ ἐπαμύνοντας αὐτῷ στερουμένῳ τῆς δωρεᾶς, καὶ πρὸς τὸ μὴ δοκεῖν βίᾳ, ἀλλ' ἐθελοντὴς δεδωκέναι

*τὸ τω̄ σημαίνει πέντε, ὄνομα, ἄρθρον, ἀντωνυμίαν, σύνδεσμον αἰτιολογικὸν καὶ ῥῆμα. ὄνομα μὲν ὡς τὸ "οὔτε σοὶ οὔτε τῳ ἄλλῳ" 25 ἔστι γὰρ ἀντὶ τοῦ τινί. ῥῆμα δὲ ὡς τὸ "Κύκλωψ τῆ, πίε οἶνον" (Od. 9, 347)· (ἔστι γὰρ τὸ τῆ ἀντὶ τοῦ λαβέ.) ἄρθρον δὲ οὕτως ὡς τὸ ἔοικε τῷ δεῖνι (Il. 11, 613). ἀντωνυμίαν δὲ ὡς "τῷ μιν ἐεισάμενος" (Il. 2, 22). σύνδεσμον δὲ αἰτιολογικὸν ὡς τὸ "τῷ

8. *ἀποφατικῶς] ἀποφαντικῶς

14. *παύσεσθαι] παύσασθαι

15. ὑπεικόμενος] Sic etiam Lips.

20—23. ἵνα μὴ—δεδωκέναι] Post hoc primae manus scholion, numero λ' notatum, sequuntur verba scholii versus 300 extrema μὴ ἀκρατὴς εἶναι δοκῇ—τὸ δὲ ἀνανδρίας, quasi haec scholii λ' pars sit posterior. Animadvertit errorem scriba secundus qui ante μὴ ἀκρατὴς in margine supplevit, haud dubio ex alio codice, verba nunc in initio scholii ad versum 300 posita διὰ τί ὁ Ἀχιλλεὺς—ῥητεὸν οὖν ὅτι ὅπως

σε καὶ οὐ δύναμαι" (Od. 13, 351)· ἀντὶ τοῦ διό· ὅταν μέντοι ἄρθρον σημαίνῃ ἑνικὸν μόνης δοτικῆς πτώσεως, περισπᾶται, δυϊκὸν δὲ εὐθείας καὶ αἰτιατικῆς βαρύνεται.

300. *Πορφυρίου. διὰ τί ὁ Ἀχιλλεὺς τὴν μὲν Βρισηΐδα φησὶ δώσειν "χερσὶ μὲν οὔτι ἔγωγε μαχέσσομαι εἵνεκα κούρης," "τῶν δ' ἄλλων ἅ μοί ἐστι θοῇ παρὰ νηῒ μελαίνῃ" οὐδὲν προΐεσθαί φησιν ἄνευ πολέμου, καίτοι περὶ τὴν Βρισηΐδα τῶν ἄλλων μᾶλλον σπουδάζων; ῥητέον οὖν ὅτι ὅπως μὴ ἀκρατὴς εἶναι δοκῇ, ἀποδοῦναι, εἰ καὶ πλείω τῶν ἄλλων, ὧν φησὶ φείδεσθαι, προσίετο· καὶ ὅτι νόμος ἦν τῷ βασιλεῖ ἐξαιρεῖσθαι τὰ πρῶτα. ἐγένετο δ' ἂν πάντα τὰ τῶν αἰχμαλωτίδων ἀναδάσιμα τῆς Χρυσηΐδος ἀποδοθείσης, ὥστε παρηνόμει μὴ δοὺς τὴν αἱρεθεῖσαν ὑπὸ τοῦ βασιλέως. ἐξῆν γὰρ αὐτῷ ὅ τι βούλοιτο λαβεῖν· διό φησιν "ἢ τεὸν ἢ Αἴαντος ἢ Ὀδυσῆος," καὶ πάλιν "αὐτὰρ ἐμοὶ γέρας." ὥστε εἰς μὲν τὸ τῶν αἰχμαλωτίδων ἀναγκαῖον ἦν εἴκειν· τῶν δὲ ἄλλων εἴ τι ἐλάμβανεν, ὡς ὑβρίζοντι οὐκ ἐπέτρεπεν. οὔτε γὰρ ἀδικεῖν δεῖ οὔτε ἀδικεῖσθαι· τὸ μὲν γὰρ πονηρίας ἐστί, τὸ δὲ ἀνανδρίας.

301. ἀνελών] ὑφ' ἓν τὸ ἀνελών· προείρηται γὰρ "οὐκ ἄν τι φέροις."

ἀέκοντος] δασυντέον τὸ ἀέκοντος· κατὰ στέρησιν γάρ ἐστι τὸ ᾱ.

302. πείρησαι] προπαροξύνεται· προστακτικὸν γάρ ἐστιν ὡς τὸ "σὺ δὲ φράσαι" (83).

303. ἐρωήσει] παρὰ τὴν ἐρωὴν, ἤτοι ὁρμήσει. ἐναργῶς δὲ πέφανται τὸ περὶ τὸ δόρυ μεθ' ὁρμῆς ἐκχεόμενον αἷμα. καὶ ταύτας ἐμψύχους ἔλεγεν εἶναι παρ' αὐτῷ λέξεις Ἀριστοτέλης.

304. ὣς τώ γ'] ὁ τρόπος παραγραφή· μετιὼν γὰρ ἐπὶ ἑτέραν διήγησιν τούτῳ χρῆται.

305. ἀνστήτην] ὥσπερ ἀνασχεθέειν ἀνσχεθέειν, οὕτως ἀναστήτην ἀνστήτην.

307. εἰκότως τῷ Ἀχιλλεῖ θυμικῷ ὄντι ἤπιος ὢν Πάτροκλος πάρεστι πρὸς τὸ τὸν θυμὸν αὐτοῦ μαλάσσειν. ὅτι δὲ πρᾶός ἐστι δῆλον ἐξ ὧν οἰκτείρει τοὺς Ἀχαιούς· Εὐρύπυλον μὲν γὰρ ἰᾶται, καὶ περὶ τῶν λοιπῶν Ἀχιλλεῖ παρακλαίει. καὶ Μενέλαος περὶ αὐτοῦ φησὶ "νῦν τις ἐνηείης Πατροκλῆος" (Il. 17, 670). κατ' ἐξοχὴν δὲ

4. *Πορφυρίου] om.
5. οὔτι] οὔτοι corr. a m. sec.
16. *ἀνανδρίας] ἀνδρίας
19. στέρησιν] στέρρησιν

ἰδιαζόντως εἶπε περὶ αὐτοῦ καὶ νῦν, ἵνα ἀξιόχρεως ᾖ, ὅταν τελευταῖον αὐτὸν εἰς τὴν μάχην ἐγείρῃ.

308. Ἀτρείδης δ' ἄρα] αὐτεπαγγέλτους ἔχουσι τὰς ἐννοίας οἱ στίχοι, ὧν ἀφελών τι ἢ προσθεὶς μᾶλλον ἀδικήσεις. δῆλον δὲ ὅτι οὐκ ἐθαλάσσευόν τινες τῶν νεῶν, ἐπεὶ τίς χρεία νεουλκίας; ἔστι δὲ ὁμοιοτέλευτον τὸ σχῆμα· προέρυσσεν, ἔκρινεν, βῆσεν, εἶσεν ἄγων.

311. εἶσεν ἄγων] ἀναγαγὼν τὴν Χρυσηΐδα εἶσεν. ὁ μετὰ δώρων δὲ αὐτὴν μὴ διδοὺς μετὰ προσθήκης ἀποδίδωσιν, ἐξυπηρετούμενος πρὸς δυσώπησιν τοῦ θεοῦ.

312. κέλευθα] τὰς ὁδούς. ὡς ἀπὸ τοῦ δίφρους δίφρα, οὕτως ἀπὸ τοῦ κέλευθος κέλευθα· καὶ ἔστι μεταβολὴ γένους. διὰ τί δὲ μὴ καθαροὺς ἐκπέμπει; ὅτι προυργιαιτέρα τῷ θεῷ ἡ ἀπόδοσις. ψυχαγωγεῖ δὲ διὰ τούτου καὶ τὸ πλῆθος, ὡς ἤδη καθαρθέντες εἶεν διὰ τὴν τοιαύτην ἀπόδοσιν.

314. οἱ δ' ἀπελυμαίνοντο καὶ εἰς ἅλα λύματα βάλλον] ἀπεκαθαίροντο καὶ εἰς τὴν θάλατταν τὰ περιττώματα καὶ καθάρματα ἔβαλλον. Ἰακῶς δέ ἐστι τὸ βάλλον, κατὰ ἀποκοπήν· τὸ δὲ ὄνομά ἐστιν ὁλόκληρον.

316. ἀξιοπρεπὴς ἡ παρὰ τὸν αἰγιαλὸν θέα. μεγαλοφυεῖς δὲ καὶ αἱ ἐπιτελούμεναι θυσίαι· τοῦτο γὰρ δηλοῖ τὸ τελησσας.

317. κνίση δ' οὐρανὸν ἶκεν] ὑπ' ὄψιν ἤγαγεν ἅμα τῷ μέλανι τοῦ καπνοῦ συναναμισγομένην τὴν λευκότητα τῆς πιμελῆς φανταστικῶς.

320. Εὐρυβάτης] ἄλλος ὁ κατὰ Ὀδυσσέα Εὐρυβάτης (Il. 2, 184) καὶ ἄλλος οὗτος.

321. ὀτρηροί] παρὰ τὸ ὄρω τὸ ὁρμῶ. θεράποντες δὲ οἱ τοὺς κρείσσονας δι' ὠφέλειαν θεραπεύοντες, ὡς Ἐτεωνεὺς καὶ Μηριόνης. ὁμωνύμως δὲ καὶ οἱ δοῦλοι θεράποντες λέγονται.

322. ἔρχεσθον κλισίηνδε] ὑβριστικὸν τοῦτο. οὐ γὰρ ἐντυχεῖν Ἀχιλλεῖ κελεύει, ἀλλ' ὡς ἑαυτοῦ οὖσαν ἄγειν. βασιλικὸν δὲ καὶ τοῦτο, τὸ δι' ἄλλων πειρᾶσθαι, καὶ οὕτως ἐπιχειρεῖν.

324, 325. δώσιν ἀπὸ τοῦ δώω, ἐπεὶ δύο δεῖ λαμβάνειν τὰς ἐπεκτάσεις, ἐάν ἐστιν ἀπὸ τοῦ δῶ. τὸ δὲ ἕλωμαι ἀντὶ τοῦ ἑλοῦμαι ἢ ἑλοίμην.

20. * αἱ] om. 33. ἐάν ἐστιν] Soloece pro ἐὰν ᾖ

323. βδελυρώτερον τὸ ἐπὶ πλειόνων ἀσχημονεῖν· "πάντες δέ με πεφρίκασιν" (Il. 24, 775) ἀντὶ τοῦ βδελύσσονται.

326. κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλε] ἐπέτελλεν, συνεχῶς ἐπέταττεν.

327. τὼ δ' ἀέκοντε] εἰκότως· καὶ τὸν Ἀγαμέμνονα γὰρ δεδοίκασι, καὶ πρὸς ὃν ἀποστέλλονται.

329. παρά τε κλισίῃ] πλησίον τῆς σκηνῆς.

νηὶ μελαίνῃ] διὰ τῆς μελαίνης νηὸς τὸ σκυθρωπὸν τῆς ἕδρας δηλοῖ.

330. οὐδ' ἄρα τώ γε ἰδὼν γήθησεν] μεμετρημένη ἡ διάθεσις, οὔτε πλέον λυπουμένου, ἀγενὲς γάρ, οὔτε ἧττον, ἀσυμπαθὲς γάρ. εὖ δὲ τὸ αἰδεσθῆναι, καὶ μάλιστα τοὺς ἐπὶ τοιαύτην χρείαν ἐληλυθότας. δύο δὲ ταῦτα συμβαίνειν περὶ τοὺς χρηστοὺς ὁ ποιητὴς ἀεί, αἰδὼ καὶ φόβον, δηλοῖ· "αἰδοῖός τέ μοί ἐσσι, φίλε ἑκυρὲ, δεινός τε" (Il. 3, 172). τὸ δὲ ταρβήσαντε διὰ τὴν ξιφουλκίαν.

332. τὸ μὲν γὰρ εἰπεῖν τι παροξυντικὸν, τὸ δὲ θωπεῦσαι δουλοπρεπές. πρῶτος δὲ Ὅμηρος πρόσωπα κωφὰ εἰς τὴν τραγῳδίαν παρήγαγεν.

334. ἢ ὅτι τὰς ἑορτὰς αὐτοῦ ἀγγέλλουσιν, ἢ ὅτι ἀπὸ Ἑρμοῦ εἰσὶν, ὃς ἄγγελος Διός. καλῶς δὲ οὐκ Ἀγαμέμνονος ἔφη, ἀλλὰ ἀνδρῶν καὶ Διὸς, οἷς δικαίως ὑπηρετοῦσι· τούτῳ γὰρ ἀδίκως. κοινὸς δὲ ὁ νόμος μὴ ἀδικεῖσθαι κήρυκα· ἱεροὶ γὰρ οὗτοι καὶ τὰς θυσίας προετοιμάζοντες.

335. ἆσσον ἴτ'] διὰ σχήματος ἐδήλωσεν ὡς τῷ δέει οὐ προέκοψαν. τιμήσαντες οὖν ἀντιτιμῶνται.

ὔμμες ἐπαίτιοι] πεπαιδευμένως· οὐ γὰρ δεῖ τὰς αἰτίας ἐφ' ἑτέρους μετάγειν, ὡς κύνα κατὰ τοῦ βεβλημένου λίθου. τὸ δὲ ὔμμες ψιλοῦται· Αἰολικὸν γάρ ἐστιν, ὡς δηλοῖ καὶ ἡ συναλιφὴ "αἴ κ' ὔμμιν ὑπερσχῇ χεῖρα" (Il. 4, 249).

336. ὃ σφῶϊ] δι' ἑνὸς σ ὃ σφῶϊ, ὁμοίως τῷ "καὶ θώρηχ', ὃ γὰρ ἦν οἱ" (Il. 18, 460).

337. Πατρόκλεος ἐξαίρει πάλιν τὸ πρόσωπον· τοῖς γὰρ τῶν φίλων γνησιωτάτοις εἰώθαμεν πιστεύειν τὰ γύναια.

338. μάρτυροι ἔστων] μαρτυρεῖν αὐτοὺς ἐγκελεύεται, ὅπως μὴ δοκῇ προδότης εἶναι ὑπερορῶν τοὺς Ἀχαιοὺς ἀναιρουμένους. τὰ δὲ

3. * ἐπέτελλεν] ἐπὶ ἔτελλεν
7. * νηός] om.
13. * αἰδὼ] φειδὼ

ἄλλα οὐχ ἅπτεται Ἀγαμέμνονος, ὅπως μὴ δοκῇ μικροψυχεῖν ἐπὶ τῇ ἀφαιρέσει.

340. καὶ πρὸς τοῦ βασιλῆος] ἵνα ἐγκαλούμενος καὶ ὑπὸ θεῶν καὶ ὑπὸ ἀνθρώπων καὶ ὑπὸ Ἀγαμέμνονος, εὔλογον ἔχῃ τὴν ἀφορμὴν τῆς ἀπηνείας ἕνεκεν. ἐμφαντικῶς δὲ τὸ θυμῶδες καὶ λυσσῶδες καὶ ἄλογον τῆς παραπληξίας αὐτοῦ παρέστησεν. μάρτυρας οὖν τούτους ἔξω τῆς αὐτοῦ ἀνοίας, ὅτι οὐδὲ στρατιᾶς οἷδε προνοήσασθαι.

πρότερον τῶν Πυθαγορικῶν Ὅμηρος μέσην ἀνθρώπου καὶ θεοῦ φύσιν ἀνθρωπίνην τέθεικεν. τὸν μὲν γὰρ ἁπλῶς ἄνθρωπον τοῦ βασιλέως κατ' ἀμφότερά φησιν ἐλάττονα, καίπερ ἀνθρώπου καὶ αὐτοῦ ὄντος· θεοῦ δὲ ἥττονα τὸν βασιλέα εἶναί φησι διὰ τὸ φθαρτόν.

*Πορφυρίου. οἱ Πυθαγόρειοι κατὰ θεὸν καὶ κατὰ ἀνθρώπειον γένος ὅλον τρίτον ἐτίθευτο σεβάσμιον τὸν βασιλέα ἢ σοφὸν ἄνδρα, Ὁμήρου πρώτου μεταξὺ θεῶν τε καὶ ἀνθρώπων θέντος τὸν βασιλέα, καὶ πάλιν τὸν βασιλέα προτιμῶντα ποιήσαντος αὐτοῦ τὸν σοφὸν ἄνδρα. καὶ περὶ μὲν τοῦ βασιλέως τοιαῦτα λέγει· τὸ δὲ ἀπηνέος προσέθηκε διὰ τὴν ὀργήν. αὐτὸς δὲ ὁ βασιλεὺς οὐ μεταπέμπεται Νέστορα σκοπούμενον περὶ τῶν συμφερόντων, ἀλλ' αὐτὸς ἄπεισιν· "ἦδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή, Νέστορ' ἔπι πρῶτον Νηλήϊον ἐλθέμεν ἀνδρῶν" (Π. 10, 17). παρ' Ἰνδοῖς τε τοὺς Βραχμᾶνας, οἵπερ εἰσὶ παρ' αὐτοῖς οἱ φιλόσοφοι, λόγος ἐστὶ τοὺς βασιλέας ἁπάντων προσκυνεῖν.

εἴ ποτε] καλῶς οὐκ εἶπεν ὁπότε· νεμεσητὸν γὰρ ἦν. τὸ δὲ ἀεικέα τὸν ὑβριστικόν. "ἀεικίζει μενεαίνων" (Il. 24, 54).

341. χρειὼ] ὄνομά ἐστιν ὡς Κλειώ· καὶ γὰρ "χρειοῖ ἀναγκαίῃ" (Π. 8, 57).

343. δεῖ γὰρ τὸν ὅλως ἔχοντα γνῶσιν μὴ τὰ παρόντα μόνον σκοπεῖν, ἀλλὰ καὶ τὰ μέλλοντα καὶ τὰ ἀποβησόμενα. μέγιστον δὲ τοῦτο πρὸς κατηγορίαν ἡ ἀπρονοησία καὶ τῷ ψιλῷ ἀνθρώπῳ, ὡς πού φησι "νήπιοι ἀγροιῶται, ἐφημέρια φρονέοντες" (Od. 21, 85).

344. μαχέοιντο] μάχοιντο. πλεονασμὸς δέ ἐστι τοῦ ε̄.

345. Πάτροκλος δὲ] τὸ ἤπιον αὐτοῦ διὰ τῆς σιωπῆς τῆς νῦν

5. ἐμφαντικῶς] *ἐμφατικῶς
8. πρότερον] *πρότερος
22. ἐστὶ Cobetus] δὲ

κἀν ὅλῃ τῇ στάσει καὶ τῷ μηνιθμῷ δεικνύει. καὶ νῦν δὲ οὐ φθέγγεται, ἵνα μὴ ᾖ παροξυντικός.

346. *καλλιπάρῃον*] *εὖ τὸ ἐπίθετον εἴρηται. τὴν τοῦ ἐρῶντος διάθεσιν ἐμφαῖνον τῷ δηλοῦν οἵας ἐρᾷ.*

347. *τὼ δ' αὖτις ἴτην*] *οὔτε γὰρ ἐπαινεῖν οὔτε ψέγειν εἶχον τὸ λεχθέν. οὐ λαβόμενοι δὲ τῆς χειρὸς ἦγον, ὡς προσετάχθησαν.*

348. *ἀέκουσα*] *ἔστι γὰρ φίλανδρος, ὡς ὁ τρόπος αὐτῆς δηλοῖ, καὶ ταύτην δευτέραν αἰχμαλωσίαν ὁρίζεται. διὰ μιᾶς δὲ λέξεως ὁλόκληρον ἡμῖν τοῦ προσώπου τὸ ἦθος νοεῖν καταλέλοιπεν.*

349. *ἕτοιμον τὸ ἡρωϊκὸν πρὸς δάκρυα. καὶ Ὀδυσσεὺς "ὡς δὲ γυνὴ κλαίῃσι" (Od. 8, 523). καὶ ἡ παροιμία "ἀεὶ δ' ἀριδάκρυες ἀνέρες ἐσθλοί." ἄλλως τε καὶ φιλότιμος ὢν ἀνιᾶται τῇ ὕβρει· παλαιᾶς τε γὰρ συνηθείας στέρεται καὶ τοῦ γυναίου ἀκουσίως ἀπαλλάττεται. ἄκρως δὲ ἐρῶντα χαρακτηρίζει· οὗτοι γὰρ ταῖς ἐρημίαις ἥδονται, ἵνα τῷ πάθει σχολάζωσιν. τὸ δὲ νόσφι, ὅπως μὴ γνώριμον τοῖς ἑτέροις ᾖ τὸ πρὸς τὴν μητέρα ἐντύχημα. τὸ δὲ ἄφαρ δηλοῖ καὶ τὸ ἔπειτα.*

350. *θῖν' ἐφ' ἁλὸς πολιῆς, ὁρόων ἐπὶ οἴνοπα πόντον*] *οἰκεῖον τῇ θινὶ τὸ πολιὸν, τῷ δὲ πόντῳ τὸ ἄπειρον καὶ τὸ οἰνοψ.*

ἐπ' ἀπείρονα πόντον] *ἱκανὴ παραμυθία τοῖς ἐπὶ ξένης λυπουμένοις ἀφορᾶν εἰς τὴν θάλατταν, δι' ἧς τῶν πατρίδων εἴργονται. καὶ Ὀδυσσεὺς "πόντον ἐπ' ἀτρύγετον δερκέσκετο" (Od. 5, 84). τάχα δὲ ὁ Ἀχιλλεὺς καὶ ὡς εἰς συγγενὲς τῇ μητρὶ χωρίον ἐπὶ τὴν θάλατταν ὁρᾷ.*

351. *χεῖρας ὀρεγνύς*] *ὥσπερ ἀσπαζόμενος ὀρέγει τὼ χεῖρε τῇ μητρί. καὶ ἐπὶ Πολυφήμου "εὔχετο χεῖρ' ὀρέγων" (Od. 9, 527).*

352. *μιννυθάδιόν περ ἐόντα*] *τοῦτο μάλιστα δύναται λυπῆσαι μητέρα, ὀλιγοχρόνιος υἱὸς, ὃ πρῶτον προβάλλεται. τὸ δὲ ἐόντα ἐσόμενον. ᾔδει δὲ δι' ὧν εἶπεν αὐτῷ ἡ μήτηρ "διχθαδίας κῆρας" (Il. 9, 411). παιδευτικὸν δὲ τὸ μὴ εἰς ῥᾳστώνην, ἀλλ' εἰς τὸ πρακτικὸν νεῦσαι τὸν ἥρωα. φιλοστοργίᾳ δὲ καὶ ἐλέῳ προκαλεῖ τὴν μητέρα. ἐν κεφαλαίῳ δὲ τὴν εὐχὴν ἐκθέμενος ὕστερον λεπτολογεῖ. ἔστι δὲ παρὰ τὸ μίννυθα. παραπληροῖ δὲ ὁ πέρ.*

353. *Ὀλύμπιος*] *οὕτω κατ' ἐξοχὴν τὸν Δία. καὶ Κρονίδην αὐτόν φησιν.*

11. *ἡ παροιμία*] Conf. schol. ad 19, 5.
21. **ἀφορᾶν*] om.
29. **εἰς τὸ πρακτικὸν νεῦσαι*] *εἰς πρακτικὴν κατανεῦσαι προκαλεῖ*] **παρακαλεῖ*
31. **κεφαλαίῳ*] *κεφαλαίοις*

354. ὑψιβρεμέτης] ὁ ἐν ὕψει βρέμων διὰ τῶν βροντῶν ἢ τῶν ἀνέμων. φιλεγκλήμονες δὲ κατὰ θεῶν οἱ ἀτυχεῖς.

355. εὐρυκρείων] ποιητικὸν τὸ ἐπίθετον.

356. ἔχει — αὐτὸς ἀπούρας] ἀντὶ τοῦ ἔλαβεν οὐ πειθοῖ, ἀλλ' ἀπουρίσας· "ἄλλοι γάρ οἱ ἀπουρίσσουσιν ἀρούρας" (Il. 22, 489).

357. δακρυχέων] τὸ δακρυχέων ὑφ' ἓν ἀναγνωστέον.

πότνια] σεπτή· οἱ γὰρ σεβόμενοι προσπίπτουσι τοῖς θεοῖς. καὶ ποτνιᾶσθαι δέ ἐστι τὸ προσπίπτειν καὶ παρακαλεῖν.

358. πατρὶ γέροντι] τοὺς ἐν θαλάσσῃ τιμωμένους ἁλίους γέροντάς φησιν, ὡς Πρωτέα Φόρκυνα Νηρέα.

359. καρπαλίμως δ' ἀνέδυ πολιῆς ἁλὸς ἠΰτ' ὀμίχλη] ἀντὶ τοῦ κραιπνῶς. ταχεῖα δὲ ἡ ἄνοδος ὡς μητρὸς καὶ θεᾶς. φαντασία δέ τις περίκειται τῇ θεῷ διὰ τῆς ὁμίχλης. ἢ ὅτι θαλασσία ἐστὶν ἡ θεός· τὴν γὰρ Ἥραν νῷ παρεικάζει· λεπτομερὴς γὰρ ὁ ἀὴρ ὡς πρὸς σύγκρισιν τῶν ὑδάτων.

360. δακρυχέοντος] οὐκ ἐξίσταται τοῦ κλαυθμοῦ, ἐπεὶ οὐ μεμπτέος· οὐδὲν γὰρ ἄτοπον, εἰ καὶ ἄλκιμος ἦν, ὅτι λελύπηται. ἐλεύθερος γὰρ ὢν καὶ ἁπλοῦς τοῦτο πεισεῖ, οὐ διὰ μικροψυχίαν.

362. τέκνον, τί κλαίεις] φυσικῶς φθέγγεται, καὶ τῶν κοινῶν ὀνομάτων οὐκ ἐξίσταται. ἕνα γὰρ ἔχουσα, καὶ τοῦτον ἄθλιον, πῶς ἂν αὐτὸν ἄλλως καλέσειεν; ἔστι δὲ καὶ ἡ πεῦσις σύντομος, ὡς ἂν μαθεῖν ἐπειγομένης.

363. εἴδομεν] ἀνθ' ὑποτακτικοῦ μέν ἐστιν, ἀλλ' ἡ συστολὴ ἀνέδωκε τὸν τόνον· οὐ γὰρ παροξύνομεν κατὰ τὸν Πάμφιλον. ἐν δὲ τῇ τοιαύτῃ τῶν λόγων ἀνακοινώσει κουφίζεται τοῦ βάρους ἡ ψυχή.

364. στενάχων] ὁ Σιδώνιος περισπᾷ, ὁ δὲ Ἀρίσταρχος βαρύνει. τὰ πολλὰ γάρ, φησί, κινήματα ὡς ἀπὸ βαρυτόνου γέγονεν· "βαρὺ δὲ στενάχοντος ἄκουσα" (Od. 8, 95)· "ἐπεστενάχοντο δ' ἑταῖροι" (Il. 4, 154).

365. οἶσθα] ἄκρως ἐνέφηνε τὸ βαρύθυμον διὰ τοῦ προοιμίου. καὶ πρὸς εἰδότας δὲ ἔθος λέγειν ἐπικουφίζοντας τὴν ὀδύνην.

366. ᾠχόμεθ'] ὁ τρόπος ἀνακεφαλαίωσις. τέσσαρα δὲ διηγήσεων εἴδη, ἃ καὶ ἰδέαι· ὧν τὸ μὲν ὁμιλητικόν, ὡς ὅταν παρά τινός τις ἀκούσας πάλιν αὐτὰ διηγῆται ἃ ἤκουσεν, ὡς τὸ "πολλάκι γὰρ σέο πατρός" (396). τὸ δὲ ἀπαγγελτικόν, ὅταν ἃ παρ' ἑτέρου ἤκουσεν

12. θεᾶς] *θεοῦ

34. *πάλιν αὐτὰ] αὐτῷ

ἑτέρῳ διηγῆται, ὡς τὸ "ἀγγελίην τινά τοι γαιήοχε" (Il. 15, 174). τὸ δὲ ὑποστατικόν, ὅταν τινὰ τῶν πραγμάτων ἀπαγγεῖλαι ὑποθέμενοι διηγώμεθα, ὡς τὸ "ὡς ὁπότ' Ἠλείοισι καὶ ἡμῖν νεῖκος ἐτύχθη" (Il. 11, 671). τὸ δὲ μικτὸν ἐξ ὁμιλητικοῦ καὶ ὑποστατικοῦ, ὡς τὸ "ἀλλὰ σὺ τόν γ' ἐλθοῦσα θεὰ ὑπελύσαο δεσμῶν" (401). εἰ γὰρ ἦν ὁμιλητικόν, οὕτως ἂν εἶπεν, ἀλλὰ σὲ τῶν δεσμῶν ἀπολῦσαι καλέσασαν τὸν ἑκατόγχειρον. ὁ δὲ ἐφ' ἑτέραν πτῶσιν μετελθών, ὡς ἴδιον ἤδη λόγον καὶ οὐχ ὡς παρ' ἐκείνης εἰρημένον διέξεισιν. ῥητορικὸς δὲ ὢν ὁ ποιητὴς, καὶ τρόπον ἀνακεφαλαιώσεως βουλόμενος διδάξαι ἡμᾶς, ταὐτὰ πάλιν διέξεισιν. ἡ δὲ Θήβη χωρίον ἔρημον πλησίον Λέσβου, ἀπὸ Θήβης τῆς Ἀδράμυος· ταύτην γὰρ ἆθλον ὁ πατὴρ προύθετο τῷ προύχοντι γυμνικῷ ἀγῶνι, λαβὼν δὲ αὐτὴν Ἡρακλῆς ἔκτισε τὴν πόλιν, ὀνομάσας ἐκ ταύτης. οἱ δὲ ἀθετοῦντες τοὺς στίχους οὐκ ἐῶσι μαθεῖν ἡμᾶς ὅθεν ἦλω Χρυσηΐς. ἔπλει μὲν πορθήσων Χρῦσαν Ἀχιλλεύς, Ἀθηνᾶ δ' οὐκ εἴα, φάσκουσα μὴ αἱρήσειν δι' Ἀπόλλωνα. εἰς Θήβας δὲ ἥκουσα ἡ Χρυσηὶς πρὸς Ἰφινόην τὴν Ἠετίωνος ἀδελφὴν, Ἄκτορος δὲ θυγατέρα, ἥλω ὑπὸ Ἀχιλλέως. μεγαλοφυῶς δὲ συντέμνει τὰ περισσὰ τῶν λόγων καὶ τῶν ἱστοριῶν.

368. δάσσαντο μετὰ σφίσιν] κοινωνὸν μὲν ἑαυτὸν ἐν τοῖς κατορθώμασί φησιν, ἐν δὲ τῷ δάσσαντο χωρίζει. τὸ δὲ σφίσιν ὀρθοτονητέον, ἐπειδὴ ὡς σύνθετον παραλαμβάνεται, καὶ ὅτι προθέσει συντέτακται.

374. ἐλίσσετο] οὐ προσέθηκε τοὺς λόγους οὓς οὗτος ἔφησεν· οὐ γὰρ ἀναγκαῖον νῦν. ἢ καὶ διὰ τὸ μῆκος ἀπέφυγεν.

383. ἐπασσύτεροι] παρὰ τὸ ἆσσον ἀσσύτεροι ὡς παῦροι παυρότεροι.

386. ἐγὼ πρῶτος] ὡς καὶ τῶν ἄλλων τοῦτον ἐχόντων τὸν σκοπόν.

393. εἰ δύνασαί γε] οὐ διστάζων, ἀλλὰ σχετλιάζων φησίν· εἴ γέ σοι κἂν τοῦτο χαριεῖται ὁ Ζεύς.

394. λίσαι] ἀπὸ τοῦ ἔλισα, ὅθεν καὶ ἐλισάμην.

396. πολλάκι γάρ σεο πατρὸς ἐνὶ μεγάροισιν ἄκουσα] δικαίως ἡ αἰτία ἡμῖν εἴρηται τῆς ἀποστάσεως Διὸς, ὅπως μὴ δοκῇ εἶναι μισέλλην ὁ Ζεύς· οἱ δὲ βασιλεῖς θεοποιοῦντες αὐτοὺς τοιαῦτα περὶ θεῶν

1. *διηγῆται] διηγοῖτο
2. *ὑποστατικὸν] ὑποτακτικόν
6. ἀπολῦσαι] *αὐτὸν ἀπολῦσαι
25. παῦροι παυρότεροι] *ἀφάρτεροι παροίτεροι ἢ ἑκάτεροι
32. *μισέλλην] ὡς ἕλλην

ἐφήμιζον, ὥστε ὅταν καὶ αὐτοὶ αὐχῶσι, μὴ ἀπιστεῖντο θεῶν εἶναι παῖδες. ἐστιχάσατο δὲ πάντων Ὅμηρος, ἐν μὲν τῷ προδιαλόγῳ οὐδὲν εἰπὼν, ὅπως μὴ ἐνειδίζειν δοκῇ, οὐ μὴν τὴν αἰτίαν ἐάσας ἄγνωστον. ἄξιον δὲ καὶ τοῦτο παρασημήνασθαι, ὅτι καθ' Ὅμηρον οὐ νεογνὸν κατέλιπεν Ἀχιλλέα ἡ Θέτις. Ἀρίσταρχος δὲ τὴν σέο ἐγκλίνει, λέγων ἁπλῆν τε εἶναι αὐτὴν καὶ ἀντιδιαστολὴν οὐκ ἔχειν. ὁ δὲ Ἡρωδιανὸς καίτοι, φησὶν, ὀφείλουσα ὀρθοτονεῖσθαι, ἵνα λέγῃ σοῦ καὶ οὐκ ἄλλης ἀκήκοα, ὅμως πεπεῖσθαί φησι τὴν ἀνάγνωσιν Ἀριστάρχῳ. ὁ δὲ νοῦς οὕτως, πολλάκις σου ἐν τοῖς τοῦ ἐμοῦ πατρὸς δόμοις ἤκουσα εὐχομένης.

397. κελαινεφέϊ] παρὰ τὸ μελαίνοντα τὸν ἀέρα νείφειν αὐτόν.

399. τί ποτε ἄρα βουλόμενος ταῦτα ἔπλασε, πολὺ ἔχοντα τὸ ἄλογον καὶ ἀνάρμοστον, εἴ γε Ἀθηνᾶ καὶ Ἥρα καὶ Ποσειδῶν ἐβούλοντο συνδῆσαι τὸν Δία, ἡ μὲν θυγάτηρ οὖσα, οἱ δὲ ἀδελφοί; διὸ καὶ ἀντὶ τῆς Ἀθηνᾶς τινὲς γράφουσι καὶ Φοῖβος Ἀπόλλων, ὥσπερ οὐ τοῦ αὐτοῦ μένοντος ἀτόπου. καὶ ἄλλοι πάλιν ἐναλλάσσουσι τὰ ἔπη· "οἵη ἐν ἀθανάτοισιν ἀεικέα λοιγὸν ἀμῦναι, Ἥρη τ' ἠδὲ Ποσειδάων καὶ Παλλὰς Ἀθήνη, ὁππότε μιν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι." ἵνα οὗτοι μὲν οἱ θεοὶ φαίνωνται βοηθήσαντες αὐτῷ μετὰ Θέτιδος, ἄλλοι δέ τινες οἱ ξυνδῆσαι θέλοντες· καὶ μύθους δὲ λέγουσιν ἐπὶ τούτοις πολλούς. μάχεται δὲ τοῖς ἐναλλάσσουσι τὸ "οἵη ἐν ἀθανάτοισι." πῶς γὰρ τοῦ ποιητοῦ λέγοντος ὅτι μόνη, ἐνδέχεται καὶ ἄλλους ἐπεισάγειν βοηθούς; τίνα δὲ καὶ τὸν Βριάρεων χρὴ νοεῖν; καὶ πῶς οὗτος βίᾳ τοῦ πατρὸς ἀμείνων; δεῖ τοίνυν φυσικόν τινα μᾶλλον ἐν τούτοις ὑπονοεῖν λόγον· Δία γάρ φησι τὴν ἄκρατον θερμασίαν, τὴν καὶ τοῦ ζῆν καὶ τοῦ εἶναι ἡμᾶς αἰτίαν, Ποσειδῶνα τὸ ὕδωρ, Ἥραν τὸν ἀέρα, Ἀθηνᾶν τὴν γῆν, Βριάρεων τὸν ἥλιον (πάντων γὰρ τῶν ἄστρων φωτεινότατός ἐστι), Θέτιν δὲ τὴν θέσιν καὶ φύσιν τοῦ παντός. τοῦ ἡλίου τοίνυν ἀφισταμένου ἐπὶ τὰ μεσημβρινὰ, ψύξεως γινομένης ἐν τοῖς καθ' ἡμᾶς μέρεσι, συμβαίνει τὸν ἀέρα, φύσιν ἔχοντα μεταβάλλειν εἰς ὕδωρ, τότε μάλιστα ἐξυγραίνεσθαι πλέον καὶ δυσχείμερον γίνεσθαι. Ποσειδῶνα οὖν καὶ Ἥραν καὶ Ἀθηνᾶν διὰ τοῦτο βουλομένους συνδῆσαι τὸν Δία φησὶν, ἐμφαίνων, ὡς ἔφην, τὴν χειμερινὴν κατάστασιν, ἐν ᾗ συμβαίνει τὸ ψυχρὸν ἐπικρατέστερον εἶναι τοῦ θερμοῦ. ἀλλ' ἡ Θέτις ἀνάγουσα τὸν ἥλιον ἐπὶ τὰ

8. * τὴν] κατὰ τὴν

25. * τοῦ εἶναι] τοῦ om.

βόρεια φαίνεται ὥσπερ βοηθοῦσα τῷ Διί. εἰκότως δὲ ἑκατόγχειρον τοῦτόν φησιν, ὅτι πάντα τρέφει καὶ αὔξει καὶ φύει, καθάπερ πολλαῖς ὁμοῦ χερσὶν ἐργαζόμενος. οὗ πατρὸς δὲ ἀμείνων, τοῦ Διός· Ἀπόλλωνα γάρ φησι τὸν ἥλιον.

399. * εἴποτε δή σε μετ' ἀθανάτοισιν ὄνησα ἢ ἔπει ἢ ἔργῳ — ὁππότε σε ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι, Ἥρη τ' ἠδὲ Ποσειδάων καὶ Παλλὰς Ἀθήνη] σκοπῶμεν οὖν εἴπερ ἐν τούτοις τοῖς ἔπεσιν ἡ κατὰ Διὸς ἐπιβουλὴ τῶν στοιχείων ἐστὶν ἀπαρίθμησις καὶ φυσικωτέρας ἅπτεται θεωρίας. φασὶ τοίνυν οἱ δοκιμώτατοι ταῦτα περὶ τῆς διαμονῆς τῶν ὅλων· ἕως μὲν ἀφιλόνεικος ἁρμονία τὰ τέσσαρα στοιχεῖα διακρατῇ μηδενὸς ἐξαιρέτως ὑπερδυναστεύοντος, ἀλλ' ἑκάστου κατ' ἐμμέλειαν ἣν εἴληχε τάξιν οἰκονομοῦντος ἀκινήτως ἕκαστα μένειν. εἰ δ' ἐπικρατήσει ἓν τῶν αὐτῶν καὶ τυραννῆσαν εἰς πλείω φορὰν παρέλθοι, τὰ λοιπὰ συγχυθέντα τῇ τοῦ κρατοῦντος ἰσχύι μετ' ἀνάγκης ὑπείξειν. πυρὸς μὲν οὖν αἰφνιδίως ζέσαντος ἁπάντων ἔσεσθαι κοινὴν ἐκπύρωσιν. εἰ δ' ἀθρόον ὕδωρ ἐκραγείη, κατακλυσμῷ τὸν κόσμον ἀπολεῖσθαι. διὰ τούτων οὖν τῶν ἐπῶν μέλλουσάν τινα ταραχὴν ἐν τοῖς ὅλοις Ὅμηρος ὑποσημαίνει. Ζεὺς γὰρ ἡ δυνατωτάτη φύσις ὑπὸ τῶν ἄλλων ἐπιβουλεύεται στοιχείων, Ἥρας μὲν τοῦ ἀέρος, Ποσειδῶνος δὲ τῆς ὑγρᾶς φύσεως, Ἀθηνᾶς δὲ τῆς γῆς, ἐπεὶ δημιουργός ἐστι τῶν ἁπάντων καὶ θεός. ταῦτα μὲν τὰ στοιχεῖα πρῶτον μὲν συγγενῆ διὰ τὴν ἐν ἀλλήλοις ἀνάκρασιν. εἶτα συγχύσεως παρὰ μικρὸν αὐτῶν γιγνομένης εὑρέθη βοηθὸς ἡ πρόνοια. Θέτιν δ' αὐτὴν εὐλόγως ὠνόμασεν. αὕτη γὰρ ὑπεστήσατο τὴν τῶν ὅλων εὔκαιρον ἀπόθεσιν ἐν τοῖς ἰδίοις νόμοις ἱδρύσασα τὰ στοιχεῖα. σύμμαχος δ' αὐτῇ γέγονεν ἡ Βριαρὰ καὶ πολύχειρ δύναμις. τὰ γὰρ τηλικαῦτα τῶν πραγμάτων νοσήσαντα πῶς ἂν ἄλλως δύναιτο πλὴν μετὰ μεγάλης βίας ἀναρρωσθῆναι; καὶ τὸ μὲν ἄφυκτον ἔγκλημα περὶ τῶν Διὸς ἀσεβῶν δεσμῶν οὕτω φυσικῆς ἀλληγορίας ἔχει θεωρίαν.

5. εἴποτε —] Scholion hoc excerptum est ex Heracliti Alleg. c. 25 p. 32 ed. Mehl.

9. οἱ δοκιμώτατοι] οἱ δοκιμώτατοι φιλόσοφοι Heracl.

10. διαμονῆς addidi ex Heracl. In B lacuna.

11. διακρατῇ] διακρᾶ

12. κατ' ἐμμέλειαν seclusit Mehl.

13. μένειν] μενεῖν Mehler.

ἐπικρατήσει ἓν τῶν αὐτῶν] ἐπικρατήσειεν ἕν τι τῶν ἄλλων Mehler.

14. παρέλθοι] παρελθ

15. ὑπείξειν Heracl.] ὑπείξει

17. ἀπολεῖσθαι Heracl.] ἀπολέσθαι

19. ἄλλων Heracl.] ὅλων

21. θεὸς] θεὸς ἐργάνη Heracl.

ταῦτα μὲν] ταῦτα δὴ Heracl.

27. ἂν Heracl.] om.

400. Ἥρη τ' ἠδὲ Ποσειδάων καὶ Παλλὰς Ἀθήνη] πιθανῶς τοὺς Ἀχαϊκοὺς θεοὺς ἠχθρευκέναι Διΐ φησιν, ἵν' ἀκούοιτο Θέτις. τινὲς δὲ ἀντὶ τοῦ Ἀθήνη γράφουσι καὶ Φοῖβος Ἀπόλλων· τοῦτον γὰρ εἰκὸς ἠχθρευκέναι Διὶ, μὴ φέροντα τὸν ζῆλον τῆς ἐκείνου τυραννίδος. ὅθεν Ἥραν μὲν δεῖ, τοὺς δὲ Λαομέδοντι ὑποτάσσει. οἱ δὲ Ἥραν μὲν διὰ τὸ πολλαῖς μίγνυσθαι, Ποσειδῶνα δὲ διὰ τὸ εἰς τὴν διανομὴν πεπλεονεκτῆσθαι, Ἀθηνᾶν δὲ διὰ τὸ ἀναγκασθῆναι ζευχθῆναι Ἡφαίστῳ. ἢ διὰ τούτου τὴν τῶν στοιχείων παλαιὰν σύγχυσιν δηλοῖ, Δία τὸ πῦρ, Ποσειδῶνα τὸ ὕδωρ, Ἥραν τὸν ἀέρα, Ἀθηνᾶν τὴν γῆν· ὀργανικὴ γάρ ἐστι καὶ ἐπινοητικὴ τῶν ἁπάντων. μόνον γὰρ τὸ πῦρ ἐν αὐτοῖς καθαρὰν καὶ ἀμιγῆ τὴν φύσιν ἔχει.

403. ὃν Βριάρεων] ὡς μυσοτραφὴς καὶ τὰς παρὰ θεοῖς ἐπίσταται λέξεις. ἢ τὰ τελεώτερα θεοῖς ἀνατίθησιν.

407. λαβὲ γούνων] κεφαλῆς μὲν λαμβανόμεθα, ἐπεὶ ἡγεμονικόν· τῆς δεξιᾶς δὲ ὅτι πρακτικόν· γονάτων, ὅτι δι' αὐτῶν ἐπικλᾶται τὸ σῶμα, εἶτα ἡ ψυχὴ καὶ οἱ λόγοι.

407. * διὰ τί εἰδὼς ὁ Ἀχιλλεὺς χάριν προσοφειλομένην τῇ μητρὶ ὑπὸ τοῦ Διὸς οὐκ εἰς τὴν νίκην τῶν Ἑλλήνων κέχρηται ταύτῃ, ὅτε, φησὶ, "πολλὰς ἀΰπνους νύκτας ἴαυεν, ἤματα δ' αἱματόεντα διέπρησσεν πολεμίζων" (Il. 9, 325), εἰς δὲ ἀπώλειαν αὐτῶν κατακέχρηται ταύτῃ, καίπερ οὐκ αἰτίων τῆς ἀτιμίας αὐτῷ γεγονότων τῶν Ἑλλήνων, ἀλλὰ τοῦ Ἀγαμέμνονος. εἴπερ οὖν ἔδει κατὰ φίλων ἀδικησάντων χρήσασθαι τῇ παρὰ Διὸς ἐπικουρίᾳ, κατὰ τοῦ Ἀγαμέμνονος δίκαιον ἦν τοῦτο, ἀλλ' οὐ κατὰ τῶν ἄλλων Ἑλλήνων. τὸ μὲν οὖν μὴ ὑπὲρ τῶν Ἑλλήνων χρήσασθαι τῇ τῶν χαρίτων παρὰ Διὸς ἀποδόσει οὐδὲν ἤπειγεν αὐτοῦ τοῦ Διὸς ἀστράπτοντος ἐπιδέξι' ἐναίσιμα σήματα φαίνοντος καὶ πάντων πεπεισμένων ὅτι κατένευσεν ὁ Ζεὺς τὴν Τρωϊκὴν ἀπώλειαν. εὐημερούντων οὖν τῶν οἰκείων οὐκ ἔδει χαρίτων ἀμοιβὰς ἀπαιτεῖν παρὰ τοῦ ἐπινεύσαντος τὴν ἧτταν τῶν πολεμίων, ὀργισθέντα δὲ τοῖς ἀδικήσασιν αὐτὸν μεταβαλεῖν τὴν τοῦ Διὸς γνώμην ἄλλως οὐκ ἐνῆν ἢ διὰ χαρίτων ὀφειλομένων ὑπομνήσεως καὶ τὸ μὲν νικῆσαι τοὺς Ἕλληνας εἰς τοὺς Ἀτρείδας ἔχει τὴν ἀναφοράν, τὸ δὲ ἀποστρέφειν τὴν τοῦ Διὸς συμμαχίαν ἐκ τῶν Ἑλλήνων εἰς αὐτὸν εἶχε τὸ τέλος. εἰς τὰ αὐτῷ τοίνυν

2. * Διὶ] om.
5. δεῖ] * δέει
15. γονάτων—οἱ λόγοι] * γονάτων (δι' αὐτῶν γὰρ ἐπικλᾶται τὸ σῶμα) ἐπικλᾶν οἰωνιξόμενοι τὴν ψυχὴν τοῖς λόγοις

διαφέροντα θησαυρίζειν τὰς ἀπαιτήσεις οὐδὲν παράλογον εἶχε κατὰ τῶν Ἑλλήνων ἡ τιμωρία, ὅτι κατ' αὐτὸν τὸν ποιητὴν τῷ βασιλεῖ κῦδος μὲν ἅμ' ἕψεται, εἴ κεν Ἀχαιοὶ Τρώων ἐκπέρσωσ' εὐναιόμενον πτολίεθρον, τούτῳ δ' αὖ μέγα πένθος Ἀχαιῶν δηωθέντων, καὶ τὸ ὅλον ἀγώνισμα δείξει τῷ Ἀγαμέμνονι κατὰ τὰς Νέστορος λόγους. αὐτὸς γὰρ τῷ ὄντι "ἔρκος Ἀχαιοῖσιν πέλεται πολέμοιο κακοῖο." καὶ γὰρ τοῦτο ὁμωμόκει ἐν τῇ ἐκκλησίᾳ "ὁ δέ τοι μέγας ἔσσεται ὅρκος ἢ ποτ' Ἀχιλλῆος ποθὴ ἵξεται υἷας Ἀχαιῶν" καὶ τὰ ἑξῆς. καὶ ἡ Ἀθηνᾶ "καί ποτέ τοι τρὶς τόσσα παρέσσεται ἀγλαὰ δῶρα" φησὶ καὶ ἄμφω ὁμῶς φιλεῖσθαι αὐτόν τε καὶ τὸν Ἀγαμέμνονα ὑπὸ τῆς Ἥρας, καὶ συμβουλεύει μηδαμῶς περὶ θανάτου διανοεῖσθαι τοῦ βασιλέως, κἀκεῖνος συναινεῖ χρῆναι συμβουλεύουσι θεοῖς πεπεῖσθαι. σώζεσθαι οὖν ἔδει τὸν Ἀγαμέμνονα διὰ πάντων, ἵνα καὶ τὰ ἀπειληθέντα πληρωθῇ, καὶ οὐκ ἄδικος ἡ κρίσις. ὑπὲρ ὧν γὰρ λοιμωσσόντων αὐτὸς τὴν ἐκκλησίαν συνήγαγε καὶ τὸ πρόσκρουσμα εἶχε πρὸς τὸν βασιλέα, τούτους οὐδαμῶς ἔσχεν ἀγανακτοῦντας ὑπὲρ αὐτοῦ ὑβριζομένου. διὸ κατ' ἀρχὰς μὲν ἐθεράπευεν αὐτοὺς λέγων "οὐδέ τι πω ἴδμεν ξυνήϊα κείμενα πολλὰ, λαοὺς δ' οὐκ ἐπέοικε παλίλλογα ταῦτ' ἐπαγείρειν" καὶ ἀπειλοῦντος τοῦ, Ἀγαμέμνονος ἀφελεῖν τὴν Βρισηΐδα οὐ παρ' αὐτοῦ φησὶν εἰληφέναι, ἀλλὰ παρὰ τῶν Ἑλλήνων "καὶ δή μοι γέρας αὐτὸς ἀφαιρήσεσθαι ἀπειλεῖς, ᾧ ἔπι πόλλ' ἐμόγησα, δόσαν δέ μοι υἷες Ἀχαιῶν," ὕστερον δὲ μηδὲν αὐτῶν δυσχεραινόντων μηδ' ὥσπερ ἐπὶ τοῦ Χρύσου τὴν αὐτὴν γνώμην ἐνδειξαμένων αἰδεῖσθαι δεῖν τὸν ἱερέα, ὅσῳ καὶ τὸν ἀριστέα καὶ μὴ ἀτιμάζειν εἰκότως, καὶ πόθεν αὐτοῦ ὁμοίως πρὸς πάντας ἀπειλεῖ καὶ τὴν ἀφαίρεσιν κοινοποιεῖ λέγων "χερσὶ μὲν οὔτι ἔγωγε μαχέσσομαι εἵνεκα κούρης, οὔτε σοὶ οὔτε τῳ ἄλλῳ, ἐπεί μ' ἀφέλεσθέ γε δόντες," ὥστε καὶ ἡ μῆνις λόγον εἶχε τὴν τιμωρίαν εἰσπραττομένη παρὰ πάντων, τῶν μὲν διὰ τῆς ἥττης, τοῦ δὲ διὰ τῆς ὑπὲρ τῶν ἡττωμένων λύπης.

καὶ πῶς ταύτην οὐκ ἤτει τὴν δόξαν, ὅτε φησὶ "πολλὰς ἀΰπνους νύκτας ἴαυον" (Π. 9, 325); ὅτι ἡ δόξα εἰς Ἀγαμέμνονα ἀνέτρεχεν. εὐημερούντων τοίνυν τῶν οἰκείων οὐκ ἔδει χαρίτων ἀμοιβὰς αἰτεῖν, ἐπεὶ δὲ ὠργίσθη, αἰτεῖ τὴν τοῦ Διὸς, καὶ εἰ ἔμελλε τρέψαι τὴν τοῦ Διὸς βουλὴν κατὰ τοῦ Ἀγαμέμνονος ὡς ἀδικήσαντος ἐχρῆν τρέψαι οὐχὶ κατὰ πάντων, ὅτι, φησὶ, διὰ τὴν ἀχαριστίαν αὐτῶν τοῦτο ποιεῖ

καὶ ὅτι ὑβρισθῆναι παρεῖδον· τὸ δὲ μνήσασα διὰ τὴν Ἥραν· διό φησιν, "αἴ κέν πως ἐθέλῃσιν ἐπὶ Τρώεσσιν ἀρῆξαι."

410. ἐπαύρωνται] ὅτι ἐπὶ κακοῦ τὸ ἀπολαῦσαι καὶ κατ' εἰρωνείαν εἴρηται παρ' αὐτοῦ.

414. ὥ μοι] οὐκ εὐθὺς τὴν διακονίαν ὑπισχνεῖται, προλοφύρεται δὲ εἰδυῖα τὴν αἴτησιν πρόξενον αὐτῷ οὖσαν θανάτου. τὸ δὲ ἑξῆς, αἰνὰ τεκοῦσα, ἐπεί νύ τοι αἶσα· τὸ δὲ αἴθ' ὄφελες διὰ μέσου. τὸ δὲ αἰνά ἀντὶ τοῦ αἰνῶς, ἤτοι ματαίως καὶ ἀπράκτως.

415. ὄφελες] ῥῆμά ἐστι κατὰ παντὸς ἀριθμοῦ φερόμενον· "ὡς δὴ μὴ ὄφελον νικᾶν" (Od. 11, 548) καὶ "ὥς μ' ὄφελ' Ἕκτωρ κτεῖναι" (Il. 21, 279). φησὶ δὲ ὅτι προεθέμην ἄν σε ἄπρακτον βίον ζῆσαι· ἐπὶ λύμῃ γὰρ ἐμῇ τοῦτον εἵλου τὸν βίον. διὸ καὶ δυσαριστοτόκειαν ἑαυτὴν ὀνομάζει.

416. μίνυνθα] ἐπ' ὀλίγον χρόνον, ἢ κατὰ ἀποκοπὴν τοῦ μινυνθάδιος· "μινυνθάδιος δέ τοι αἰών" (Il. 4, 478). παιδευτικὸν δὲ τὸ μηδὲ τὸν ὀλίγον τῶν ἀνθρώπων βίον ἄλυπον εἶναι. ἔστι δὲ περίφρασις ὁ τρόπος ἐν τῷ στίχῳ, ὡς τὸ "ἐπεί με κατ' αἶσαν ἐνείκεσας οὐδ' ὑπὲρ αἶσαν" (Il. 3, 59).

417. ὠκύμορος καὶ ὀϊζυρὸς περὶ πάντων] εἰ τοιαῦτα περὶ Ἀχιλλέως ὁ ποιητής φησι, τί περὶ τῶν ἄλλων εἴποιμεν;

419. τοῦτο δέ τοι ἐρέουσα] διὰ τὴν περίστασιν μὲν οὐκ ἀντιπράσσει τῷ παιδὶ, καιρὸν δὲ μετανοίας αὐτῷ δίδωσι. τερπικεραύνῳ δὲ τῷ τρέποντι τοῖς κεραυνοῖς, καθ' ὑπέρθεσιν.

420. * πρὸς Ὄλυμπον] ἄλογον τὸ μὴ πορεύεσθαι εὐθὺς εἰς τὴν Αἰθιοπίαν. λύεται δὲ ἐκ τοῦ καιροῦ· τοῖς γὰρ θεοῖς εὐωχουμένοις ἄτοπον ἐνοχλεῖν. καὶ ἄλλως διὰ τὸ τοὺς συμμάχους τῶν Ἑλλήνων ἐκεῖ τυγχάνειν.

*Πορφυρίου. διὰ τί ἡ Θέτις οὐκ ᾤχετο πρὸς τὸν Δία ἐν Αἰθιοπίᾳ ὄντα; οὐ γὰρ δὴ πόρρω Αἰθιοπία ἦν τοῦ Ὀλύμπου· καὶ γὰρ πᾶς χῶρος ῥᾴδιος οὔσῃ θεᾷ. ῥητέον οὖν ὅτι οὐδὲν ἀναγκαῖον ἐπείγεσθαι ἐν τῇ ὀργῇ ἐκτελέσαι τὰ θυμῷ φίλα τοῦ ὀργισμένου, ἀλλὰ μᾶλλον διδόναι τῇ μετανοίᾳ τόπον. ἔπειτα οὐκ ἐπιτήδειος ἦν ὁ τόπος περὶ ὧν ἔμελλε δεῖσθαι, παρόντων τῶν φίλων θεῶν τοῖς Ἀχαιοῖς, ἐπεὶ καὶ ὕστερον οὐ παραγενομένη, ἀλλ' ὑποπτεύσασα ἡ Ἥρα ἐπίστασθαι ἐπειρᾶτο. ὅτι δὲ παρῆσαν δηλοῖ· φησὶ γὰρ "θεοὶ δ' ἅμα πάντες

28. * Πορφυρίου] om.

ἕποντο." δοκεῖ δέ τισι καὶ ὅπως οἱ Τρῶες αἴσθωνται τῆς μήνιδος ὁ ποιητὴς ἐμβάλλειν τὰς ἡμέρας ταύτας, ἵνα θαρσήσαντες ἐξέλθωσι· πρότερον γὰρ οὐκ ἐξήεσαν "ἀλλ' ὅσον ἐς Σκαιάς τε πύλας" (Il. 9, 354).

ἀγάννιφον] τινὲς ἐπὶ τοῦ οὐρανοῦ, τὸν ἄγαν νίφοντα· τὰ γὰρ ὄρη νιφόεντα καλεῖ, ὡς Τήλεφος. τὸ δὲ αἴ κε πίθηται διὰ τὸ ἄδικα μέλλειν αἰτεῖν.

421. νῦν] τὸ νῦν ἀντὶ τοῦ δή· διὸ καὶ Τυραννίων ἠξίου ὀξύνειν αὐτό, οὐκ εὖ. τῆς ὀργῆς δὲ αὐτὸν οὐκ ἐπέχει, εἰδυῖα τὸ φιλόνεικον αὐτοῦ καὶ φιλότιμον. καλῶς δὲ λόγοις μὲν χαρίζεται αὐτῷ, ἔργοις δὲ ἀναβάλλεται.

423. Ὠκεανόν] νῦν μὲν τὸν ποταμὸν δηλοῖ, ἔστι δὲ ὅτε καὶ σωματοειδῆ τῶν θεῶν γένεσιν. τὸ δὲ ἐς ἀντὶ τοῦ πρός.

μετ' ἀμύμονας] ἡ μετά νῦν ἀντὶ τῆς ἐπί· ἔστι δὲ καὶ ἀντὶ τῆς ἐν· "ἔχε δὲ στεροπὴν μετὰ χερσίν" (Il. 11, 184). τὸ Αἰθιοπῆας ὁμοιόν ἐστι τῷ ἡνιοχῆας. εὐσεβῶς δέ φησι μηδὲ τῶν πόρρωθεν ἀνθρώπων ἀμελεῖν τὸ θεῖον. διττοὶ δέ εἰσιν οἱ Αἰθίοπες· οἱ μὲν πρὸς ἀνατολήν, οἱ δὲ πρὸς δύσιν, ὁριζόμενοι διχῆ ὑπὸ Νείλου.

424. χθιζὸς] ἐπιρρηματικῶς, ὡς καὶ τὸ τήμερος παρὰ τοῖς Ἀττικοῖς· τὸ δὲ πάντες συλληπτικόν, ὡς τὸ "ἀριστῆες Παναχαιῶν ἔδδυν παννύχιοι" (Il. 10, 1). καὶ γὰρ Ἀθηνᾶ πρὸ ὀλίγου ἐξ οὐρανοῦ κατῆλθε, πεμφθεῖσα ὑπὸ Ἥρας.

425. δωδεκάτῃ] φασὶν ἐν Διοσπόλει μέγιστον εἶναι Διὸς ἱερόν, ἀφ' οὗ λαμβάνοντας τὸ ξόανον Αἰθίοπας μετὰ καὶ τῶν ἄλλων ἐγχωρίων θεῶν κατά τινα χρόνον περινοστεῖν τὰ μέρη τῆς Λιβύης καὶ πολυτελεῖς ποιεῖν πανηγύρεις ἐπὶ δώδεκα ἡμέρας, ὅτι καὶ τοσοῦτοι οἱ θεοί.

426. χαλκοβατὲς δῶ] τὸ στερεὰν ἔχον τὴν βάσιν. οὐκ ἄπεισι δὲ εἰς Αἰθιοπίαν ἡ Θέτις, ὅτι ἐκεῖ ἦσαν οἱ Ἀχαϊκοὶ θεοί· καὶ τῷ υἱῷ καιρὸν μετανοίας διδοῦσα, καὶ αὐτοῖς τοῖς Ἕλλησι· καὶ ἵνα Τρῶες αἴσθωνται τῆς μήνιδος καὶ τολμήσωσι λοιπὸν εἰς τὴν μάχην.

427. καί μιν πείσεσθαι ὀΐω] ἀπιοῦσα ἐν χρηστῇ ἐλπίδι καταλιμπάνει τὸν παῖδα. ὅμοιον δέ ἐστι τῷ "αἴ κε πίθηται."

430. τήν ῥα βίῃ ἀέκοντος ἀπηύρων] ἐν τάξει ἀπολογίας τοῦτό φησιν, ὅτι οὐκ ἦν εὔλογον περὶ γυναίου θυμοῦσθαι αὐτόν. ἄλλως τε τὴν ἰδίαν ἀποφαίνει γνώμην ὁ ποιητής, ἠδικῆσθαι αὐτὸν ὁμολογῶν.

αὐτὰρ Ὀδυσσεύς] ὅπως μὴ τῇ Θέτιδος ἀπαλλαγῇ συνάψῃ τὴν ἐπάνοδον, διὰ μέσου βάλλει τὰ κατὰ τὸν Ὀδυσσέα, μόνον οὐχὶ λόγῳ καταμετρήσας τὸν ἐπὶ τὸν Χρύσην πλοῦν. ἑκατέροις δὲ μετρίως χρώμενος διαναπαύει τὸν ἀκροατήν, τῶν μὲν τὸν κόρον περιαιρῶν, τῶν δὲ τὴν ἐπιθυμίαν ἀποπληρῶν.

432. λιμένος πολυβενθέος] ἤδη καὶ λιμένων ἐπεσημήνατο φύσεις μιᾷ λέξει ὁ ποιητής. διαφέρει δὲ λιμὴν ὅρμου· λιμὴν μὲν γάρ ἐστι τὸ πᾶν, ὅρμος δὲ τὸ πρὸς τὴν γῆν.

434. ἱστοδόκῃ] διὰ τοῦ κ γράφεται, ἔστι δὲ παρὰ τὸ δέχω, ὡς ξεινοδόκος καὶ πανδοκεῖον. τὸ δὲ πέλασαν πελασθῆναι ἐποίησαν, ὡς τὸ "πάντας μέν ῥ' ἔλπει" (Od. 2, 91)· καὶ ἔστιν ὁ τρόπος μετωνυμία.

ὑφέντες] Ζηνόδοτος μὲν ὑφέντες, αἱ δ' ἄλλαι πᾶσαι ἐφέντες. πρότονοι δὲ τὰ ἀπὸ πρύμνης εἰς πρῷραν διήκοντα σχοινία. προερύουσι δὲ, ἐπειδὴ τῶν ἀνέμων ἤδεισαν τὸ παλίμβολον. ἄλλως τε ἐν Ἰλιάδι ταύτην μόνην ἔχων ἔκπλοιαν τρόπον ἐδίδαξε προσορμισμοῦ. πολλὴν δὲ ἔχει τὴν ἡδονὴν ἡ τῆς πρεθέσεως ἐπαγωγή. τὸ δὲ σχῆμά ἐστιν ἐπανάληψις.

436. * ἐκ δ' εὐνάς] τὰ σίδηρα, παρὰ τὸ εὐνάζειν τὴν ναῦν χαλώμενα εἰς τὸ ὕδωρ καὶ ποιεῖν ἵστασθαι. τρία δὲ σημαίνει ἡ λέξις παρὰ τῷ ποιητῇ, τὴν κοίτην, ὡς ὅταν λέγῃ "εὐνῇ ἔνι μαλακῇ" (Il. 9, 618)· τὴν ἄγκυραν, ὡς νῦν "ἐκ δ' εὐνὰς ἔβαλον"· τὴν διατριβήν, ὡς τὸ "ὄθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς" (Il. 2, 783).

437. ἐπὶ ῥηγμῖνι θαλάσσης] ἀλλαχοῦ ἡρμήνευκεν αὐτὸ διὰ τοῦ "χέρσῳ ῥηγνύμενον μεγάλα βρέμει" (Il. 4, 425). πάντα δὲ ἐν ὀλίγῳ πέφρασται.

440. πολύμητις Ὀδυσσεύς] τὰ ἐπίθετα Ὀδυσσέως δῖος Ὀδυσσεύς, πολύμητις Ὀδυσσεύς. ὅτε δὲ καιρὸς τῆς σοφίας, Διὶ μῆτιν ἀτάλαντόν φησι. προσάγει δὲ τὴν κόρην τῷ βωμῷ ὥσπερ ἀποδιδοὺς ἐπὶ θεοῦ μάρτυρος. ἡ δὲ ἐπί ἐστιν ἀντὶ τῆς παρά.

441. τίθει] οὐ μόνον τὸ τίθημι κέκλιται, ἀλλ' ἔστι καὶ περισπώμενον. καὶ ὅτι οὐκ ἐπὶ μόνων τῶν ἀψύχων τὸ τιθέναι.

442, 443. πρό μ' ἔπεμψεν] τὴν εἰς τοὔμπροσθεν δηλοῖ σχέσιν, οὐ χρονικήν. αὐτὰ δὲ τὰ ἀναγκαῖα συλλαβὼν λέγει ἁπλῶς· πανοῦργον

15. * ἐπειδὴ] ἐπεὶ μὴ ἤδεισαν] * ἤδεσαν

25. * βρέμει] βρέμεται

γὰρ οὐδὲν ἐπὶ θεοῦ. τὸ δὲ σοί ὡς ἀντιδιαστελλόμενον τῷ Φοίβῳ δεῖ ὀρθοτονεῖν, καὶ διὰ τὸν τέ.

444. ῥέξαι] σφάξαι μόνον· τὸ δὲ θῦσαι ἐπὶ τοῦ θυσιάσαι μόνως φησί. τὸ δὲ ἱλασόμεσθα πλεονασμῷ τοῦ σ̄.

445. ὃς νῦν Ἀργείοισι πολύστονα κήδε' ἐφῆκεν] ἐμφρόνως τὸ μὴ εἰπεῖν ὅτι Χρύσου εὐξαμένου ὁ λοιμὸς ἐπηνέχθη, ἵνα μὴ διατρέψῃ τὸν γέροντα ὡς κακῶν αἴτιον. καίτοι Ἀχιλλεύς φησι "τοῖο δ' Ἀπόλλων εὐξαμένου ἤκουσεν" (380).

446. ὁ δ' ἐδέξατο χαίρων] περιέτεμε τὸν λόγον τοῦ γέροντος· οὔτε γὰρ ἐπαινεῖν οὔτε ψέγειν ἦν τοὺς ἀποδόντας· τὸ μὲν γὰρ δουλοπρεπὲς, τὸ δὲ παροξυντικόν. ἀλλ' οὐδὲ τοσαύτην κίνησιν ἔχει τὰ ἡδέα λεγόμενα ὅσην τὰ λυπηρά.

448. ἑξείης] οἶμαι τὴν εῑ πεπλεονακέναι ὡς ἐν τῷ ἀδελφειός. εὔδμητον δὲ ἐκ τοῦ δέμω δμῶ δμήσω δέδμηται, δμητός, εὔδμητος, ὡς εὔννητος.

449. χερνίψαντο δ' ἔπειτα] δεῖ γὰρ προσιόντα θεῷ κατὰ τὸ δυνατὸν εἰκάζειν αὐτὸν θεῷ. διὰ τί δὲ μετὰ τὸ δεῖπνον οὐ ποιεῖ τοὺς ἀνθρώπους ἀπονίπτοντας τὰς χεῖρας; ὅτι οὐδὲ ὄψοις τοιούτοις ἐχρῶντο ὥστε δεῖσθαι ἀπονίψεως, καὶ ὅτι πανόμενοι τοῦ δειπνεῖν ἔσπενδον· μετὰ δὲ τὰς σπονδὰς οὐ δεῖ ἀπονίπτεσθαι. ῥητέον δὲ καὶ τοῦτο. ὅταν γὰρ λέγῃ "χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα νίψαθαι" (Od. 1, 136), φήσομεν, ἀλλ' οὐχὶ πρὸ τοῦ δείπνου μόνον· ἁπλῶς γὰρ τὰς ἀρχὰς μηνύσας οὐκέτι τὰ κατὰ μέρος διέξεισιν, ὥστε παρέκειτο τὰ χειρόνιπτρα ὅτε βούλοιντο νίπτεσθαι. καὶ γὰρ καὶ ἡ τράπεζα καὶ τὰ ἄλλα ἄχρις ὅτου βούλοιντο χρῆσθαι αὐτοῖς παρέκειτο. οὕτω καὶ τοὺς Πυλίους ἐν τῷ κατάπλῳ Τηλεμάχου εὐωχουμένους οὐκέτι δεδήλωκεν ὅπως τῆς ἠϊόνος ἀπηλλάγησαν. καὶ τὴν Ἀθηνᾶν Μέντῃ ὁμοιωθεῖσαν καὶ τὸ δόρυ δοῦσαν τῷ Τηλεμάχῳ, οὐκέτι φησὶ πῶς τοῦτο ἀπιοῦσα ἀπέλαβε. καὶ τὸ τόξον εἰς κατασκοπὴν ἀπιόντι Μηριόνης δίδωσιν Ὀδυσσεῖ· ὅπως δὲ τοῦτο ἀπέδωκεν, οὐκέτι ἐπεσημήνατο, διδοὺς τοῖς ἀκροαταῖς καθ' ἑαυτοὺς λογίζεσθαι τὰ ἀκόλουθα. καὶ πολλὰ τοιαῦτα ἔστι γνῶναι παρ' αὐτῷ· οὐ γὰρ μόνον τί εἶπη, ἀλλὰ καὶ τί μὴ εἶπη ἐφρόντισεν.

3. * μόνως φησὶ] μόνον ὥς φησι
15. εὔννητος] εὔνητος
16. * δεῖ γὰρ] γὰρ om.
20. * ἀπονίπτεσθαι] νίπτεσθαι
23. * οὐκέτι] οὐκ ἐπὶ διέξεισιν] * ἐπέξεισιν
27. τῆς ἠϊόνος] * ἐκ τῆς ἠϊόνος ἀναστάντες
29. * ἀπιοῦσα ἀπέλαβε] ἀντέλαβε

οὐλοχύτας] τινὲς τὰ κανᾶ δι' ὧν ἐπέχεον τὰς οὐλάς, αἳ πρὸς ἀντιδιαστολὴν μὲν εἴρηνται τῶν ψαιστῶν· ἀπαρχὴ δὲ τῆς προτέρας ζωῆς ἀπεδίδοντο τοῖς θεοῖς αἱ κριθαί· πρὸ τῶν πυρῶν γὰρ εὑρηνται, καὶ ἀπὸ τοῦ προκριθῆναι τῶν βαλάνων οὕτως ὠνομάσθησαν.

450. μεγάλ' εὔχετο] μεγάλως ἀνασχὼν τὰς χεῖρας· ἐπὶ σωτηρίᾳ γὰρ εὐχόμενος παρρησίαν ἄγει. ὅτε δὲ κατηρᾶτο, ἡσυχῇ ηὔχετο· ἐπ' ὀλέθρῳ γὰρ ἀνθρώπων ἡ αἴτησις.

453. ἤδη μέν ποτ' ἐμεῦ πάρος ἔκλυες] ἐλεύθερον καὶ προσακτικὸν τὸ χάριτας εἰδέναι. φησὶν οὖν, εἰ προήκουσάς μου, καὶ νῦν δίκαιος εἶ ἀκοῦσαι.

454. ὅτι κατὰ τὴν Πατρόκλου ἔξοδον (Il. 16, 237) οὐκ ὀρθῶς μετηνέχθη ἐντεῦθεν. οὐ γὰρ εἰκότως Ἀχιλλεὺς ἐπιχαίρει τῇ ἥττῃ τῶν Ἑλλήνων. ὁ δὲ Χρύσης βάρβαρος καὶ μισέλλην.

457. τοῦ δ' ἔκλυε Φοῖβος Ἀπόλλων] δεξιὸν καὶ παιδευτικὸν τὸ παραχρῆμα μετατίθεσθαι εἰς ἔλεον τὸν θεόν.

458. προβάλοντο] προεβάλοντο εἰς τὸν βωμόν· ἔστι δὲ τὸ σχῆμα ὁμοιοτέλευτον.

459. αὐέρυσαν] τὸ αὖ τὸ πάλιν δηλοῖ. Κυμαίων δὲ ἔθος τὸ αὐερύειν, αἰτούντων τὸν θεὸν ἀπὸ τῶν κάτω ἐπὶ τὰ ἄνω αὐτοὺς ἕλκειν. τηρεῖ δὲ τὰ Ἑλληνικὰ ἔθη.

460. μηρύς τ' ἐξέταμον] ἐπεὶ στάσεως αἴτια μᾶλλον τῶν ἄλλων ὀστῶν. τὸ δὲ λίπος ὡς λαμπρὸν, ἢ διὰ τὸ καίεσθαι δι' αὐτοῦ τὰ μηρία.

461. δίπτυχα ὡς ὑπόβρυχα· ὧν τῷ μὲν ἑνὶ ἐπετίθετο ὁ μηρὸς, θατέρῳ δὲ τὰ ἄκρα.

ἐπ' αὐτῶν δ' ὠμοθέτησαν] ἀλλαχοῦ ἡρμήνευσε τί ἐστι τὸ ὠμοθέτησαν· "ὁ δ' ὠμοθετεῖτο συβώτης, πάντοθεν ἀρχόμενος μελέων ἐς πίονα δημόν" (Od. 14, 428).

462. * καῖε δ' ἐπὶ σχίζης] ἠγνόησάν τινες τὸν θυοσκόον, ἀποδιδόντες τὸν αὐτὸν μάντιν. δοκεῖ δέ μοι ἱερέα αὐτὸν ἀποδιδόναι, ἀπὸ τοῦ

1. οὐλοχύτας] Hoc lemma est in B.

2. * μὲν εἴρηνται] om.

11. Huius scholii pars prior ὅτι—μετηνέχθη Aristonici est in Veneto A sic scripta in margine interiore, ὅτι κατὰ τὴν Πατρόκλου ἔξοδον οὐκ ὀρθῶς λέγεται ἐντεῦθεν μέχθεις, quod μεταχθεὶς vel μετενεχθεὶς esse potest.

26. ὠμοθέτησαν] * ὠμοθετῆσαι

27. * ὠμοθετεῖτο] ὠμοθέτει

καίειν τὰ θύη. λέγει γὰρ "καῖε δ' ἐπὶ σχίζης ὁ γέρων." ὁ οὖν καίων τὰ τεθυμένα τοῖς θεοῖς θυοσκόος. "θεοῖσι δὲ θῦσαι ἀνώγει Πάτροκλον" (Il. 9, 219)· καὶ "τὸν πῦρ κῆαι ἄνωγε" (Od. 15, 97)· καὶ "πῦρ μέγα κηάμενος" (Od. 23, 51). καὶ ὁ Χρύσης δὲ λέγει "ἢ εἰ δή ποτέ τοι κατὰ πίονα μηρί' ἔκηα" (40). ἀπὸ συμβεβηκότος οὖν θυοσκόος ὁ ἱερεύων τοῖς θεοῖς ἐκ τῶν ἰδίων, καὶ εἴ τις ἄλλος βούλοιτο. πῶς οὖν ὁ Λειώδης φησὶν "αὐτὰρ ἐγὼ μετὰ τοῖσι θυοσκόος οὐδὲν ἐοργὼς κείσομαι" (Od. 22, 318); πρὸς ὃν ἀποκρίνεται "εἰ μὲν δὴ μετὰ τοῖσι θυοσκόος εὔχεαι εἶναι, πολλάκι μου μέλλεις ἀρήμεναι ἐν μεγάροισι τηλοῦ ἐμοὶ νόστοιο τέλος γλυκεροῖο γενέσθαι." τοὺς γὰρ ἱερέας ποιεῖ καὶ καταρωμένους, ὥσπερ τὸν Χρύσην, οὐ τοὺς μάντεις. ὅταν οὖν εἴπῃ "ἢ οἳ μάντιές εἰσι θυοσκόοι ἢ ἱερῆες" (Il. 24, 221), οὐ δεῖ συνάπτειν τῷ θυοσκόοι ἢ ἱερῆες, ἀλλ' ἢ θυοσκόοι ἢ ἱερῆες, ἵν' ᾖ ἐπίθετον τῶν ἱερέων τὸ θυοσκόοι, τὰ τεθυμένα καίοντες· ὁ γὰρ διαζευκτικὸς ἄλλους καὶ ἄλλους δηλοῖ, ὡς τὸ "ἀλλ' ἄγε δή τινα μάντιν ἐρείομεν ἢ ἱερῆα ἢ καὶ ὀνειροπόλον" (62). περὶ τριῶν γὰρ ἔφη, περὶ μάντεως, ὃς ἐκ σημείων ἢ τεράτων ἢ οἰωνῶν ἢ ἔκ τινων συμβόλων ἢ ἀποβάντων λέγει καὶ μαντεύεται, ὡς ὁ Κάλχας ἐκ τοῦ λειμοῦ τὴν Ἀπόλλωνος μῆνιν, ἐκ τοῦ δράκοντος καὶ τῶν στρουθῶν τὰ περὶ τὴν πόρθησιν τοῦ Ἰλίου· ὁ δὲ Θεοκλύμενος ἐξ οἰωνῶν, ἀετὸν θεασάμενος τίλλοντα πέλειαν (Od. 15, 529)· καὶ ἡ Ἑλένη ἐπὶ τῶν ἁρπασάντων τὸν ἦμερον χῆνα ἐκ τῆς αὐλῆς "κλῦτέ μοι, αὐτὰρ ἐγὼ μαντεύσομαι, ὡς ἐνὶ θυμῷ ἀθάνατοι βάλλουσιν" (Od. 15, 172). ὁ μὲν οὖν μάντις τοιοῦτος. ὁ δὲ ἱερεὺς ἀρᾶται καὶ εὔχεται τῷ θεῷ, οὗπερ καὶ τὴν ἱερωσύνην ἔχει, ὡς ὁ Χρύσης καταρᾶται μὴ τυχὼν τῆς θυγατρὸς, καὶ πάλιν τυχὼν ὑπερεύχεται. ὁ δ' ὀνειροπόλος ἔμπειρός ἐστιν ἀποκρίνεσθαι ὀνείρατα, ὥσπερ Πηνελόπη (Od. 19, 535) τὸν Ὀδυσσέα καὶ τοὺς χῆνας ὁραθέντας ἐπερωτᾷ ἐνύπνια διελέσθαι καὶ σαφηνίσαι. καί τινα Εὐρυδάμαντα ὀνειροπόλον γέροντά φησι μὴ κρίνασθαι τοῖς ἑαυτοῦ παισὶν ὀνείρους, ὁπότε ἤρχοντο ἐπὶ τὸν πόλεμον (Il. 5, 150), οὐ μὰ Δία θεασάμενος αὐτός. οὐδὲ μὴν ἐκείνους ἰδεῖν ἔφη, ἐξ ὧν καὶ ἔμελλεν ὁ πατὴρ κρίνειν αὐτοῖς τὸ μέλλον. ὅτι δὲ διέζευκται ὁ θυοσκόος ἱερεὺς τοῦ μάντεως δῆλον "τῶν οἳ μάντιές εἰσι θυοσκόοι ἢ ἱερῆες."

13. ἀλλ' ἢ] ἀλλὰ ἢ

463. πεμπώβολα] διὰ τὸ μὴ συμπεσεῖν τῷ πεντώβολον. καὶ τοὺς μὲν ἄλλους τρισὶν ὀβελοῖς πείρειν, Κυμαίους δὲ πέντε φασίν.

464. μῆρ'] ἀπὸ τοῦ μηρία συνεκόπη καὶ ἐγένετο μῆρα, καὶ κατὰ ἀποκοπὴν μῆρ'. δηλοῖ δὲ τὰ ἐναγίσματα τῶν θεῶν. Ἰακῶς δὲ τὸ πάσαντο προενεκτέον. σπλάγχνα δὲ ἀντὶ τοῦ τῶν σπλάγχνων, ὅ ἐστι τῶν ἐντοσθιδίων, ἥπατος, νεφρῶν καὶ τῶν ἐξῆς. τούτων δὲ πάντων ἀπεγεύοντο, ἀπὸ σπλάγχνων καὶ ψυχικῆς σπουδῆς δίδοντες τὰς θυσίας.

* ἐπάσαντο] ἔστι μέσος ἀόριστος πρότερος· τὸ θέμα πατῶ, ὃ σημαίνει τὸ ἐσθίω, ὁ μέλλων πατήσω καὶ κατὰ συγκοπὴν πάσω. ἐντεῦθεν γέγονε καὶ φάτνη, ὁ τόπος ἐν ᾧ ἐσθίουσι τὰ ἄλογα. τὸ δὲ πατῶ, ὃ σημαίνει τὸ ἐσθίω, γίνεται παρὰ τὸ μασσῶ τὸ μαλάσσω. ὅθεν καὶ πασᾶσθαι παρὰ τὸ μασᾶσθαι, τροπῇ τοῦ μ̄ εἰς π̄, καὶ ἀναδρομῇ τοῦ τόνου πάσασθαι.

465. μίστυλλόν τ' ἄρα τἆλλα] παρὰ τὸ μεῖον, μείως ἔτιλλον, καὶ κατὰ συγκοπὴν μίστυλλον. οὐκ ἔχει δὲ τὸ ε̄ ὡς οὐδὲ τὸ ο̄ μικρόν, παρὰ τὸ μεῖον ὄν. τὸ δὲ τἆλλα κατὰ συναλοιφήν ἐστιν, ὡς τἄργα. ὁ δὲ Ἡρῳδιανὸς τὸν τέ παραπληρωματικὸν ἀποδέχεται· καὶ λείπει τὸ ἄρθρον Ὁμηρικῷ ἔθει.

466. ὤπτησάν τε περιφραδέως] ἐμπειρίας γὰρ δεῖ τοῖς ὀπτῶσι· καὶ ὀπτᾶν δὲ εἴρηται διὰ τὸ πυκνότερον ἐποπτεύειν τὸν ὀπτῶντα.

467. πόνου] τοῦ τῆς ἱερουργίας πόνου, ἤτοι τῆς ἐνεργείας· οὐδέποτε γὰρ πόνον τὴν ἀλγηδόνα φησὶν ὁ ποιητής. ἐνίοτε δὲ καὶ τὴν ταλαιπωρίαν δηλοῖ· "ἦ μὴν καὶ πόνος ἐστί" (Il. 2, 291). νῦν δὲ τὴν περὶ τὴν ἱεροποιίαν σπουδήν.

τετύκοντο] τεύχω ἔτυχον ἐτυχόμην ἐτύχοντο· ποιητικὸς ἢ Ἰωνικὸς διπλασιασμὸς οἰκεῖος τοῖς δευτέροις ἀορίστοις μετὰ τροπῆς, καὶ γίνεται τετύκοντο, ὥσπερ παρὰ τὸ χάζω κεχάδοντο· "κεχάροντο δὲ πάντες Ἀχαιοί" (Od. 4, 344).

468. εἴσης] τῆς ἴσως πᾶσιν ἐπιγινομένης διὰ τὸν ἔρωτα. ἢ τῆς μεριζομένης, ἐπεὶ κἂν τοῖς εὐτελέσι τὴν ἰσότητα ἐτήρουν· δαιτρὸν γάρ φησι (Il. 4, 262) πίνουσιν.

1. * πεντώβολον] πεντώβολα
5. * προενεκτέον] προσενεκτέον
13. πασᾶσθαι παρὰ τὸ μασᾶσθαι] πάσασθαι παρὰ τὸ μασᾶσθαι
16. τὸ ο̄ μικρὸν] ο̄ om.
17. συναλοιφὴν] συναλοφὴν, ut solet.
21. * δὲ] om.
27. * δευτέροις ἀορίστοις] δύο ἀορίστοις

469. τὸ μὲν ἔρος ὡς Αἰολικὸν ψιλωτέον, ἢ καθὸ τὸ ε̄ καὶ α̅ πρὸ τοῦ ρ̄ φωνήεντος ἐπιφερομένου ψιλοῦται. τὸ δὲ ἔντο δασυντέον· ἔστι γὰρ παρὰ τὸ ἵημι, καὶ ὁ δεύτερος ἀόριστος ἦν, καὶ εἷς ἡ μετοχὴ καὶ ἀφείς, τὸ παθητικὸν ἕμαι, ἕμην ἕσο ἕτο ἕντο. ταῦτα δὲ καὶ πλεονάζουσι τῷ ι̅ πολλαχοῦ.

ἀστικὸν δὲ τὸ μὴ φάναι ὅτι μέχρι κόρου ἤσθιον· τοῦτο γὰρ δουλοπρεπὲς, ὡς ἐπὶ Εὐμαίου "πλησάμενος δ' ἄρα θυμὸν ἐδητύος ἠδὲ ποτῆτος βῆ ῥ' ἴμεναι μεθ' ὕας" (Od. 17, 603). λέγουσι δὲ τὸ μὲν ἔρος ἐπὶ πάντων λέγεσθαι, τὸ δὲ ἔρως ἐπὶ μόνων τῶν ἀφροδισίων.

470. κοῦροι μὲν κρητῆρας] ἀρχαῖον ἔθος οἰνοχοεῖν τοὺς νέους· οἰνοχόει δὲ υἱὸς Μενελάου. "ἐπὶ δ' ἀνέρες ἐσθλοὶ ὄρνυντο οἶνον ἐνοινοχοεῦντες" (Od. 3, 471). διὸ καὶ παῖδας μέχρι νῦν τοὺς δούλους φαμέν· καὶ Γανυμήδης καὶ Ἥβη ὑπηρέται θεῶν.

ἐπεστέψαντο ποτοῖο] ὑπὲρ τὸ χεῖλος ἐπλήρωσαν, ὡς δοκεῖν ἐστέφθαι τῷ ὑγρῷ· "κρητῆρας" γὰρ "ἐπιστεφέας οἴνοιο" διέδωκαν (Il. 8, 232).

471. νώμησαν] διέδωκαν. ἐπαρξάμενοι δὲ, ἐπιχέαντες. ὁ δὲ νοῦς οὕτως, τῇ οἰνοχοῇ ἐπιχέαντες τοῖς ποτηρίοις διέδωκαν πᾶσιν· ἢ ἀπαρξάμενοι σπονδὴν τοῖς θεοῖς, πᾶσιν ἐνώμησαν. νέμω δὲ νωμῶ ὡς τρέχω τρωχῶ. τὸ δὲ δεπάεσσι πλεονασμῷ τοῦ ε̄ ὡς πλέοσι πλεόνεσσι.

472. πανημέριοι] πᾶν τὸ λοιπὸν τῆς ἡμέρας εἰς τὴν ᾠδὴν ἀναλίσκοντες· οὐγὰρ δι' ὅλης τῆς ἡμέρας. ἡ δὲ μολπή ποτὲ καὶ ἐπὶ παιδιᾶς τίθεται· "ἤρχετο μολπῆς" (Od. 6, 101). κυνῶν τε μέλπηθρα τὰ ἐπορχήματά φησιν (Il. 13, 233).

473. καλὸν ἀείδοντες παιήονα] οὔτε τὸν Ἀπόλλωνα οὔτε τὸν ἰατρὸν τῶν θεῶν, ἀλλὰ τὸν ὕμνον· παιήων γὰρ καὶ παιὰν ὕμνοι εἰσὶν ἐπὶ καταπαύσει λοιμοῦ ᾀδόμενοι, πολλάκις καὶ προσδοκωμένου τοῦ δεινοῦ. πέντε δὲ αἱ παρὰ τοῖς ἥρωσιν ᾠδαὶ, σωφρονιστικόν, ὡς τὸ τοῦ ἀοιδοῦ Κλυταιμνήστρας (Od. 3, 267)· ἐγκωμιαστικόν, οἷον Ἀχιλλεὺς εὕρηται ᾄδων (Il. 9, 189)· παιανικόν, ὡς νῦν· θρηνητικόν, ὅπερ ἐπὶ γυναικῶν μᾶλλον τάσσει, καὶ ὑπορχηματικόν.

474. ὁ δὲ φρένα τέρπετ' ἀκούων] ὡς μουσηγέτης, ἢ ὅτι κάλλιστος τῶν εἰς θεοὺς δώρων ὁ λόγος. ἀθετεῖται δὲ ὁ στίχος.

5. * πολλαχοῦ] om.

11. * ὄρνυντο — ἐνοινοχοεῦντες] ὁρῶντο — οἰνοχοεῦντες

24. ἐπορχήματα (ἐπιορχήματα B)] * ὀρχήματα

33. * ἀ. δὲ ὁ στίχος] om.

* διδάσκει ἡμᾶς ὁ ποιητὴς ὅτι πλέον τῶν θυσιῶν τέρπονται οἱ θεοὶ ἕκαστος τοῖς οἰκείοις ὕμνοις.

475. ἦμος δ' ἠέλιος] ὅρος τοῦ κατὰ φύσιν ὕπνου καὶ παρὰ θεοῖς καὶ παρ' ἀνθρώποις ἡλίου δύσις. καὶ ἄλλως "οὐ γὰρ ἔοικε δηθὰ θεῶν ἐν δαιτὶ θαασσέμεν, ἀλλὰ νέεσθαι" (Od. 3, 335).

476. παρὰ πρυμνήσια νηός] ἵνα ἐὰν εὔφορος αὔρα γένηται, αἴσθωνται κινηθείσης τῆς νεώς.

477. ἠριγένεια] ἡ ἐκ τοῦ ἦρι γεννωμένη· "ἦρι μάλ' Ἑλλήσποντον" (Il. 9, 360)· ὡς λυκηγενής, τριτογενής· ὅλα γὰρ ταῦτα εἰς πάθος ἀναλύεται, οὐκ εἰς ἐνέργειαν. γίνεται δὲ ἐκ τοῦ ἀήρ ἄερος ἀέρι καὶ ἦρι. τὸ δὲ ῥοδοδάκτυλος συνεκδοχή ἐστιν· ἀπὸ γὰρ τοῦ μέρους τὸ ὅλον καλεῖ. λέγει δὲ τὴν πολύφωτον· τὴν δὲ πολύσκοτον κροκόπεπλον.

479. ἵκμενον] ἰκμάδος γὰρ ὑδάτων ἀτμιζομένης ἄνεμος γίνεται. διὸ ψιλωτέον· οὐ γὰρ ἀπὸ τοῦ ἱκνεῖσθαι. ἅμα δὲ φύσιν ἀνέμων διδάσκει· καὶ τὸ στυγνὸν σκεδάζει τοῦ λοιμοῦ.

* τοῖσιν δ' ἵκμενον οὖρον ἵει ἑκάεργος Ἀπόλλων] τὸ περὶ τὸν ἥλιον ἐσπουδακὼς ἰδίωμα δηλοῦν φησὶν ὁ ποιητὴς "τοῖσι δ' ἵκμενον οὖρον ἵει ἑκάεργος Ἀπόλλων." ἄχρι γὰρ οὐδέπω φλογώδης οὐδ' ἔμπυρος ὁ πρὸς μεσημβρίαν δρόμος αὐτοῦ νένευκεν, ἡ δροσώδης ἰκμὰς ὑγρὸν τὸ περιέχον ἀφεῖσα ἀμυδρὰ καὶ νωθῆ παραπέμπεται τὰ πρὸς ἕω πνεύματα. διὰ τοῦτο ὄρθριον ὁ ἥλιος αὐτοὺς ἐναυστόλησεν ἱκανὸν ἀποστείλας ἄνεμον τὸν ἐκ τῆς ἰκμάδος πνέοντα.

480. ἔστιν ἰδεῖν λυόμενον ἄρμενον καὶ ὑπὸ τοῦ ἀνέμου ἐπαιρόμενον.

481. πρῆσεν] ἐφύσησεν. ὑπέγραψε δὲ τὴν οὐριοδρομοῦσαν ναῦν. συγχαίρων. δὲ αὐτοῖς νῦν καλλιγραφεῖ τὸν ἀπόπλουν, οὐχ ὅτε ἀπήεσαν.

Ἀριστοτέλης φησὶν ὡς κινούμενα ὀνόματα γράφει ὁ ποιητής.

482. στείρῃ] τῇ τρόπιδι τῆς νεώς, ἐπεὶ στερεωτέρα τῶν σανίδων

18. φησὶν ὁ ποιητὴς—Ἀπόλλων] Verba haec omissa in fine scholii post πνέοντα supplevit librarius cum signo quod signo super δηλοῦν posito respondet. Sumtum autem hoc scholion est ex Heracliti Alleg. c. 16 p. 33 ed. Mehl.

22. ὄρθριον] ὄρθριος Mehlerus. ὁ ἥλιος Heracl.] ὁ om. ἱκμενὸν] ἵκμενον Pierson. Verisim. p. 117.

27. *ἀπήεσαν] ἀπήεισαν

29. * τρόπιδι] πρόποδι

ὑπάρχει· ἐπὶ γὰρ τῷ ξύλῳ τούτῳ ὥσπερ θεμελίῳ τινὶ ἐποικοδομεῖται τὰ ἄλλα ξύλα τῆς νεώς.

483. κατὰ κῦμα] ἀντὶ τοῦ κατὰ κύματος. τὸ δὲ πρὸς κῦμα ἐναντίωσιν σημαίνει.

486. ὑψοῦ ἐπὶ ψαμάθοις] καὶ ἡ ποταμία οὕτως καλεῖται· "κείμενον ἐν ψαμάθοις Αἰσήποιο."

διδάσκει πολὺ ἀπὸ θαλάττης νεωλκεῖν ὑφορωμένους τὴν πλήμμυραν.

ἕρματα] δασύνεται· τὰ γὰρ βραχέα πρὸ τοῦ ρ ἐπαγομένου τοῦ μ δασύνεται πλὴν τοῦ ἅρμενον.

*Πορφυρίου. ἕρματα ἐξηγοῦνται τὰ ὑπερείσματα. γέγονε δὲ ἀπὸ τοῦ ἐνεῖρθαι καὶ ἐρηρεῖσθαι τῇ γῇ. οὕτως οὖν καὶ τὰ ἐλλόβια ἕρματα εἴρηται, παρὰ τὸ ἐνεῖρθαι· "ἐν δ' ἄρα ἕρματα ἦκεν ἐϋτρήτοισι λοβοῖσιν" (Il. 15, 182). καὶ ἑρμίς ὁ κλινόπους, τὸ οἷον ἕρμα καὶ ἐρηρεισμένον κατὰ τῆς γῆς. καὶ "ἡμεῖς δ' ἕρμα πόληος ἀπέκταμεν" (Od. 23, 121), τὸ ἔρεισμα καὶ θεμέλιον, ἐκ τοῦ ἐρηρεῖσθαι ἐν τῇ ἔρᾳ. καὶ ὅρμος δὲ ὁ περιδέραιος κόσμος· "χρύσεον ὅρμον ἔχων." εἶτ' ἐτυμολογεῖ· "μετὰ δ' ἠλέκτροισιν ἔερτο" (Od. 15, 459).

487. αὐτοὶ δ' ἐσκίδναντο] περισσὸν τὸ ἀποπρεσβεύεσθαι πρὸς Ἀγαμέμνονα· φανερὸν γὰρ ἦν ἀπὸ τῆς παύσεως τοῦ λοιμοῦ.

490. οὔτε ποτ' εἰς ἀγορὴν —] δύο οἶδεν ἀνδρῶν ἀρετὰς, πρᾶξιν καὶ λόγον· προκρίνει δὲ τὸν λόγον. καὶ ἀλλαχοῦ "ἔργα οὔπω εἰδόθ' ὁμοίου πολέμοιο οὐδ' ἀγορέων, ἵνα τ' ἄνδρες ἀριπρεπέες τελέθουσιν" (Il. 9, 440).

εἰκὸς κατὰ τὸ σιωπώμενον καὶ ἐκκλησίαν καὶ πόλεμον πρὸς τοὺς περιοίκους γενέσθαι· ἐφ' ἑκάστης γὰρ συνήεσαν "νηῒ παρὰ πρυμνῇ Ἀγαμέμνονος" (Il. 8, 382). αὐτὸς δὲ ἦν ὁ ἐπὶ τοὺς πολεμίους ἐξάγων, ὅπερ οὐκ ἐποίει νῦν. εὖ δὲ τῶν γενναίων ψυχῶν φθορὰν εἶπε τὴν ἀργίαν· τοῖς πρακτικοῖς γὰρ ἡ ἀργία φθορά ἐστι· "κεῖτο γὰρ ἐν νήεσσί" φησι (Il. 2, 688), καὶ "κεῖτ' ἀπομηνίσας" (ib. 772).

493. ἐκ τούτου λέγει τοῦ χρόνου, τοῦ τῆς μήνιδος. εἶπε γὰρ ἡ Θέτις "χθιζὸς ἔβη μετὰ δαῖτα" (424).

5. Hoc scholion et proximum inverso ordine in B.

6. *Αἰσήποιο] om. Fortasse Callimachi verba: v. Schneider. vol. 2 p. 772.

27. *γενέσθαι] γίνεσθαι

497. ἠερίῃ] ἐπιρρηματικῶς. διδάσκει δὲ καὶ τῶν ἐντεύξεων τὸν καιρόν· ὁ γὰρ ἐωθινὸς ἥσυχος καὶ νηφάλιος.

οὐρανὸν] οὕτω καὶ τὸ στερέωμα καλεῖ ("οὐρανοῦ ἐκκατέπαλτο" Il. 19, 351) καὶ τὸν ὑπερνέφιον τόπον. αἱ δὲ κορυφαὶ τῶν ὀρέων ὑπερνέφιοί εἰσιν.

498. εὐρύοπα] ψιλῶς μεγαλόφωνον, ὡς τὸ ἐριβρεμέτης. ἢ μεγαλόφθαλμον, διὰ τὸ προνοητικόν. ἰδίᾳ δὲ κάθηται διὰ τὴν ἐξοχήν· "ὁ δ' ἀφήμενος οὐκ ἀλεγίζει" (Il. 15, 106). ἅμα δὲ καὶ πρὸς τὸ παρόν.

501. δεξιτερῇ δ' ἄρ' ὑπ' ἀνθερεῶνος ἑλοῦσα] εἰκόνα δεομένου ὡς ἐν γραφῇ προέβαλεν. ἱκανὸν δὲ τὸ σχῆμα ἐπικλάσαι αὐτόν. τὸ δὲ ὑπολαβοῦσα τὸν ἀνθερεῶνα ἀντιφράζων φησὶν "ἦ οἱ γούνατ' ἔκυσσε καὶ λάβε χειρὶ γενείου" (Il. 8, 371). ἀγαθὰ δὲ λεχθῆναι οἰωνιζομένῃ τοῦ γενείου αὐτοῦ προσελάβετο.

503. *ἀθανάτοισι] τὸ ἀθάνατον ἐπὶ ἐμψύχων, τὸ δὲ ἄφθιτον ἐπὶ ἀψύχων οἱ φιλόσοφοι τάττουσιν. ὁ δὲ Πλάτων, ἀθάνατον εἶναι λέγων τὴν ψυχήν, ἀθανάτοις ὁμώνυμον εἶναι ἐπιφέρει, διότι τὸ μὲν κυρίως ἀθάνατον καὶ κατ' οὐσίαν καὶ κατ' ἐνέργειάν ἐστιν ἀμετάβλητον, τὴν δὲ ψυχὴν κατ' οὐσίαν μὲν οἶδεν ἀθάνατον, οὐκέτι δὲ καὶ κατ' ἐνέργειαν. οὕτω δ' ἂν εἴποις καὶ τὰ οὐράνια ἀθανάτοις ὁμώνυμα· μεταβάλλει γὰρ καὶ αὐτὰ, εἰ καὶ μὴ κατ' οὐσίαν, ἀλλὰ κατὰ τόπον. ὅτι δὲ πάθος τῆς ζωῆς ἡ ἀθανασία καὶ σύμπτωμά τι (ἐπὶ ὑποθέσει γάρ τινι δείκνυται ἐκ θνητοῦ ἀθάνατον γίγνεσθαι), προεγράφη ἐν τῷ περὶ πάθους· ὁ δὲ τὴν ἀθανασίαν ὁριζόμενος στέρησιν θανάτου ἁμαρτάνει· οὐ γὰρ στέρησις θανάτου ἡ ἀθανασία, ἀλλ' ἐν ἕξει καὶ διαθέσει.

ὄνησα] πεφεισμένως ὠφέλειαν εἶπε τὴν τῆς ἀρχῆς σωτηρίαν· ὑπέμνησε μέντοι τῆς χάριτος, ἀλλ' οὐκ ὠνείδισεν.

504. ἔνιοι μέν φασιν ὅτι καὶ λόγῳ ὤνησε τὸν Δία καὶ ἔργῳ, λόγῳ μὲν βοηθὸν ἐλθεῖν πείσασα τὸν Βριάρεων, ἔργῳ δὲ διὰ τὸ μηκέτι δεθῆναι. ἄμεινον δὲ φάσκειν ὅτι προσέθηκε τὸ λόγῳ καὶ μὴ γενόμενον, ἵνα μὴ δοκῇ φανερῶς ὀνειδίζειν τὸ ἔργον.

505. τίμησόν μοι υἱὸν ὃς ὠκυμορώτατος ἄλλων] εἰς ἔλεον ἐπάγει τὴν ἀωρίαν τοῦ παιδὸς οἰκτισαμένη, καὶ δεικνύουσα ὅτι βίου πολυχρονίου προκρίνας τιμὴν καὶ ταύτης συνεστέρηται. ἐν βραχεῖ δὲ πάντα πέφρασται. καλῶς δὲ οὐκ εἶπε τίμησον Ἀχιλλέα· ἀγωγὸν

γὰρ πειθοῦς μᾶλλον τὸ τῆς φύσεως ὄνομα. καὶ ἐν τοῖς ἑξῆς "υἱὸν ἐμὸν τίσωσιν" (510).

εἰ ἐγὼ ἀλλοτρίους ὠφέλησα, πῶς οὐ δίκαιον ἐμὲ παρακαλεῖν ὑπὲρ τοῦ ἐμοῦ παιδὸς, καὶ ταῦτα ὑβρισθέντος καὶ δυστυχοῦντος; πλήρωσον οὖν μοι τὴν αἴτησιν.

508. σύ περ] ἠθικὸν τὸ σύ· ὃν ἐκεῖνος ὕβρισε, σὺ μὴ ὑπερόψει.

509. τόφρα δ' —] ἐλάχιστον ὁρίζει καιρὸν πρὸς πειθώ. κακῶς δὲ τὸ ἀναφορικόν. ἀλλαχοῦ δέ "ὄφρα μὲν ἠέλιος, τόφρα μάλ' ἀμφοτέρων βέλε' ἧπτετο" (Il. 16, 777).

510. ὀφέλλωσιν] αὐξήσωσιν αὐτὸν τῇ τιμῇ. εἰκότως δὲ τὸ τῆς τιμῆς ὄνομα πολλάκις ἀνακυκλεῖ. τοῖς γὰρ ἀγαθοῖς ἀνδράσι τιμὴ φίλον, ἀτιμία δ' ἐχθρόν.

511. τὴν δ' οὔ τι προσέφη νεφεληγερέτα Ζεύς] ὅτι μετ' ἐπισκέψεως ποιεῖσθαι τὰς ἀποκρίσεις δεῖ, ὅπου καὶ ὁ Ζεὺς σκέπτεται· ἅμα δὲ καὶ ὅτι περὶ πάσης ἐνθυμεῖται τῆς Ἰλιακῆς περιπετείας. τὸ δὲ τί περιττόν.

512. ὡς ἥψατο γούνων] ὥσπερ, ἀναφορικῶς. διδάσκει δὲ ἡμᾶς ὁ ποιητὴς μὴ ἀποκάμνειν ἐν ταῖς ἱκεσίαις.

513. ὣς ἔχετ' ἐμπεφυυῖα] οὕτως, ἀνταποδοτικῶς. ἐμφαντικὴ δὲ ἡ μεταφορὰ, ὥσπερ ἡνωμένης. διάστημα δὲ δίδωσιν, ἐπικλῶσα αὐτὸν εἰς ἔλεον τῷ σχήματι καὶ τῷ λόγῳ.

εἴρετο] ἔλεγεν· "εἴροντο δὲ κήδε' ἑκάστη" (Od. 11, 542).

515. ἐπεὶ οὔ τοι ἔπι δέος] ἐπεί σύνδεσμος, ἔπι πρόθεσις ἀναστραφεῖσα. οὐδένα φοβῇ ἀρνήσασθαι καὶ συγκαταθέσθαι. τοῦτο δὲ δυσωπητικόν· καὶ ὅτι ὁ τηλικαύτην ὀφειλήσας χάριν οὐδὲ τὴν τυχοῦσαν χαριεῖται.

516. ἀτιμοτάτη θεός εἰμι] ἣν ἔδει καὶ λίαν τιμιωτάτην εἶναι παρὰ σοί. πιθανῶς δὲ οὐκ εἶπεν ὅσον ἀχάριστος περὶ πάντας εἶ, ἑαυτὴν δὲ ἀτιμοτάτην ἔσεσθαι.

517. ὀχθήσας] εἰς ὕψος ἐπάρας τὸν θυμὸν, παρὰ τοὺς ὄχθους· ἢ μεγάλως ἀχθεσθεὶς, παρὰ τὸ ἄχθος. ἐντέχνως δὲ ηὔξησε τὴν χάριν, δι' αὐτὴν φάσκων τὴν εἰς τοὺς φιλτάτους παρορᾶν τιμήν.

519. Ἥρῃ, ὅτ' ἄν μ' ἐρέθῃσιν] Ἀρίσταρχος τὸ Ἥρη κατ' εὐθεῖαν

4. *ἐμοῦ] om.
8. *ἀμφοτέρων βέλε' ἧπτετο] om.
15. *καὶ] om.
22. *εἴρετο] om. B, qui reliqua scholio praecedenti adiungit.
*δὲ] δέ ἐ

φησιν, ἵν' ἦ ὅταν με ἐρέθῃσιν ἡ Ἥρα, τότε μ' ἐχθοδοπῆσαι ἐφήσεις.

520. αὖτως] μάτην, ψευδῶς, ἐμοῦ μὴ ταῖς ἀληθείαις ἐπικουροῦντος αὐτοῖς. ἄκρως δὲ γυναικεῖον ἦθος ἐξέθετο· ὑποπτεύουσι γὰρ ἅπαντα, καὶ τοῖς ἀνδράσιν ὀνειδίζουσιν ὡς οὐ πράττουσι τὰ αὐταῖς κεχαρισμένα.

523. ταῦτα μελήσεται] μελήσει δέ μοι πῶς ταῦτα τελέσω. τῆς δωρεᾶς δὲ ἐμφήνας τὸ μέγεθος, ὅτι τε τῇ γυναικὶ προσκρούσει δι' αὐτὴν, ὅμως ἐπὶ τέλει ἐπινεύει, διδάσκοντος τοῦ ποιητοῦ ὡς μέγιστόν ἐστιν ἀποδιδόναι χάριν ὀφείλοντα.

524. κεφαλῇ] τὸ λογιστικὸν περὶ κεφαλὴν, τὸ θυμικὸν περὶ καρδίαν ("κραδίη δέ οἱ ἔνδον ὑλάκτει" Od. 20, 13), τὸ ἐπιθυμητικὸν περὶ ἧπαρ. "ἧπαρ ἔκειρον" (Od. 11, 578).

*Πορφυρίου. διὰ τί ὑποσχόμενος ὁ Ζεὺς τῇ Θέτιδι ἐπικρατεστέρους ποιῆσαι τοὺς Τρῶας οὐκ εὐθὺς τοῦτο τελεῖ, πολὺν δὲ φόνον πρότερον ἐπιτρέψας τῶν Τρώων γενέσθαι, ὡς εἰπεῖν τὸν ποιητὴν "ἔνθα κεν αὖτε Τρῶες ἀρηϊφίλων ὑπ' Ἀχαιῶν Ἴλιον εἰσανέβησαν ἀναλκείῃσι δαμέντες" (Π. 6, 73), τότε τῇ ὑποσχέσει προστίθεται; ῥητέον δὲ ὅτι τῶν ὅρκων παρὰ τῶν Τρώων συγχυθέντων τιμωρίαν δοῦναι πρότερον τοὺς παραβάντας ἠξίωσεν καὶ πολλῶν διὰ τοῦτο ἀνῃρημένων ὡς εἰς ἀπόγνωσιν τῶν πραγμάτων ἀφικέσθαι καὶ βουλὰς τοῦ δεῖν ἀποδοῦναι τὴν Ἑλένην. τότε λυσάντων τῶν Ἑλλήνων τὴν παράβασιν ἐκ τοῦ μὴ δέξασθαι τὰ πεμφθέντα ἐκ τῆς Ἰλίου ἐπαγγέλματα διὰ τοῦ Ἰδαίου ἔχοντα οὕτως. "ἠνάγει Πρίαμός τε καὶ ἄλλοι Τρῶες ἀγαυοὶ εἰπέμεν, αἴ κέ περ ὔμμι φίλον καὶ ἡδὺ γένοιτο, μῦθον Ἀλεξάνδροιο, οὗ εἵνεκα νεῖκος ὄρωρε· κτήματα μὲν ὅσ' Ἀλέξανδρος κοίλῃς ἐνὶ νηυσὶν ἠγάγετο Τροίηνδ', ὡς πρὶν ὤφελλ' ἀπολέσθαι, ἅψ ἐθέλει δόμεναι καὶ ἔτ' οἴκοθεν ἄλλ' ἐπιθεῖναι, κουριδίην δ' ἄλοχον Μενελάου κυδαλίμοιο οὔ φησι δώσειν· ἦ μὴν Τρῶές γε κέλονται" (Π. 7, 386–393). τοιαύτης γὰρ πρεσβείας ἀφιγμένης προστίθησιν ὁ Διομήδης "μήτ' ἄρ τις νῦν κτήματ' Ἀλεξάνδροιο δεχέσθω, μήθ' Ἑλένην· γνωτὸν δὲ καὶ ὃς μάλα νήπιός

1. ἐρέθῃσιν] * ἐρεθίσῃ
5. * πράττουσι] πράττοντας
8. δι'] * δοὺς
14. Πορφυρίου] Nomen compendio πρ' expressum, de quo dixi in annotatione ad p. 1, 1.
22. ἀποδοῦναι Cobetus] ἀπογνῶαι

ἐστιν, ὡς ἤδη Τρώεσσιν ὀλέθρου πείρατ' ἐφῆπται" (Il. 7, 400–402). ἔπειτα τῶν Ἑλλήνων συμψήφων γενομένων "ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐπίαχον υἷες Ἀχαιῶν, μῦθον ἀγασσάμενοι Διομήδεος ἱπποδάμοιο" (Il. 7, 403. 404). καὶ τότ' Ἀγαμέμνονος εἰπόντος "Ἰδαῖ', ἦτοι μῦθον αὐτὸς ἀκούεις, ὥς τοι ὑποκρίνονται, ἐμοὶ δ' ἐπιανδάνει οὕτως." καὶ διὰ πάντων τῶν τε ἀρίστων καὶ τοῦ βασιλέως τοῦ τε ὄχλου διελθόντος ὅτι μηδ' ἐμμένουσι τοῖς ὅρκοις καὶ ἀποδιδόασι τὴν Ἑλένην καὶ τὰ κτήματα καὶ ὅσα ὡμολογήθη χρὴ πείθεσθαι, ἀλλὰ μόνον πολεμεῖν, συνέβη λύσιν γενέσθαι τῶν ὁρκίων καὶ τὴν ἐπιορκίας δυνάμει ἄφεσιν. οὗτοι γὰρ οὐκ εἰς ἀπαίτησιν τῆς Ἑλένης κατὰ τοὺς ὅρκους ἐτράπησαν, εἰς δὲ παραίτησιν μὲν ταύτης, πολέμου δὲ παρασκευήν. ὅθεν καὶ τεῖχος ταῖς ναυσὶ περιβάλλοντες φαίνονται, τοὺς μὲν ὅρκους ἐάσαντες, πρὸς ἄλλα δὲ τραπόμενοι. διὸ καὶ ἐπιλέγει ὁ Ἀγαμέμνων "ὅρκια δὲ Ζεὺς ἵστω ἐρίγδουπος πόσις Ἥρης," ἀνελὼν τὸ δεῖν τούτοις ἐμμένειν καὶ ἐπιτρέψας αὐτοὺς τῷ Διί. ἀνῃρημένου τοίνυν Πανδάρου τοῦ τοὺς ὅρκους παραβάντος καὶ θυσιῶν καὶ λιτανειῶν γεγονυιῶν καὶ ἐπιστροφῆς πρὸς τοὺς ὅρκους διὰ τοῦ ὁμολογεῖν καὶ λέγειν "δεῦτ' ἄγετ' Ἀργείην Ἑλένην καὶ κτήματ' ἄμ' αὐτῇ δώομεν Ἀτρεΐδῃσιν ἄγειν, νῦν δ' ὅρκια πιστὰ ψευσάμενοι μαχόμεσθα, τῷ οὔ νύ τι κέρδιον ἡμῖν ἔλπομαι ἐκτελέεσθαι, ἵνα μὴ ῥέξωμεν ὧδε." καὶ εἰκότως καὶ ἤττα γίνεται ὑπὸ τοῦ μὴ ἐκτελεσθῆναι τὰ εἰρημένα καὶ παύεται ἡ ἐκ τῆς παραβάσεως μῆνις τῶν Ἑλλήνων ἀρνησαμένων τὴν κατὰ τοὺς ὅρκους γινομένην ἀπόδοσιν καὶ εἰς πόλεμον παρεσκευασμένων.

526. ταῦτα παιδευτικὰ πρὸς πίστιν. τὰς δὲ αἰτίας εἶπε δι' ἃς οὐ τελοῦμεν τὰς ὑποσχέσεις, ἢ μετανοήσαντες, ὅπερ δηλοῖ τὸ παλινάγρετον ἤτοι τὸ εὐμετάτρεπτον· ἢ παραλογιζόμενοι τοὺς δεηθέντας, ὅπερ ἐν τῷ ἀπατηλόν νοεῖται· ἢ οὐ δυνηθέντες ἐκτελεῖν τὰς ὑποσχέσεις, ὅπερ εἶχε τὸ ἀτελεύτητον.

528. κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε] ἐπένευσε ταῖς ὀφρύσι· μέρος γὰρ καὶ αὗται τῆς κεφαλῆς. κυάνεαι δὲ αἱ μέλαιναι καὶ αἱ καταπληκτικαί.

530. μέγαν δ' ἐλέλιξεν Ὄλυμπον] κατὰ συλλογισμὸν ὁ ἔπαινος· οἷος γάρ ἐστιν ἐδήλωσε, καὶ ὅτι νεύματι τὸν Ὄλυμπον κινεῖ. περὶ δὲ τῆς Ἥρας μετριώτερον· "σείσατο δ' ἐνὶ θρόνῳ, ἐλέλιξε δὲ

9. λύσιν Cobetus] λῆσιν 35. *σείσατο] εἴσατο

μακρὸν Ὄλυμπον" (Il. 8, 199). τὸ μέντοι μέγαν οὐκ ἀργὸν, ἀλλ' ὅτι καὶ τοσοῦτος ὢν τῷ νεύματι ἐσείσθη. τῷ δὲ τάχει τῶν συλλαβῶν τὸν τρόμον τοῦ ὄρους διαγράφει καὶ τὸ ταχὺ τῆς κινήσεως δηλοῖ.

531. διέτμαγεν] διεχωρίσθησαν. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν τεμνομένων σωμάτων.

532. εἰς ἅλα] πρὸς τὸν παῖδα γὰρ ἀπιοῦσα ὑπόνοιαν ἂν ἔδωκε τῇ Ἥρᾳ. τὸ δὲ ἅλτο ψιλῶς· τὸ γὰρ ᾱ καταλῆγον εἰς λ̄ ἑνὸς τῶν τῆς τρίτης συζυγίας ἐπαγομένου ψιλοῦται.

534. ἐξ ἑδέων] δασύνεται παρὰ τὸ ἕζω. οἱ δὲ μετὰ τοῦ ρ̄, ἐξ ἐδρέων. τὸ δὲ σφοῦ συγκοπῇ τοῦ σφετέρου. ἔνθεν καὶ Λυκοῦργος ἐθέσπισεν ἐπανίστασθαι τοῖς γεραιτέροις. τοιοῦτος καὶ Τηλέμαχος.

535. ἐπερχόμενον — ἔσταν] ἀντὶ τοῦ ἐπερχομένου. ἄμεινον δὲ καὶ ἦλθον γράφειν· τοῦτο γὰρ ἐναντίον τῷ μεῖναι καὶ πλείονος τιμῆς ἐχόμενον.

538. ἀργυρόπεζα] κόσμον περὶ τὰς ὥας ἔχουσα· ἢ διὰ τοὺς αἰγιαλούς. ἁλίοιο δὲ γέροντος ἄδηλον Πρωτέως ἢ Φόρκυνος, εἰ μὴ διὰ τὸ "κλῦτε κασίγνηται Νηρηΐδες" (Il. 18, 52).

539. αὐτίκα κερτομίοισι] τοῖς τὸ κέαρ μειοῦσι, κατὰ ἀποκοπὴν τοῦ ε. γυναικεῖα δὲ ἄμφω, τό τε ὑπονοῆσαι καὶ τὸ μὴ ἐπισχεῖν τοὺς λόγους.

540. δολομῆτα] τὰ εἰς ης̄ βαρύτονα τῷ η̄ παραληγόμενα καὶ τὴν κλητικὴν εἰς ᾱ ἔχοντα προπερισπᾶται. ἀγκυλομῆτα, πεδῆτα, πλὴν τοῦ ἀκάκητα.

541. ἀπὸ νόσφιν ἑόντα] τὸ ἐξῆς ἀπεόντα· διὸ οὐκ ἀναστρεπτέον τὴν ἀπό. ἡ δὲ φράσις συνήθης ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν ἔρχεσθαι. "σφῶϊν μέντ' ἐπέοικε μετὰ πρώτοισιν ἐόντας" (Il. 4, 341) ἀντὶ τοῦ ἐοῦσιν.

542. δυσχεραίνουσιν αἱ γυναῖκες, εἰ μὴ πάντα αὐταῖς ἀνακοινοῦντο οἱ ἄνδρες. ἀρχοντικὸν δὲ τὸ δικάζειν.

544. πατὴρ ἀνδρῶν τε θεῶν τε] διὰ τί τὸν Δία μόνον τῶν θεῶν οὕτω καλεῖ; ὅτι τὸ συναμφότερον ἔχει οὗτος μόνος· θεῶν μὲν γάρ ἐστι πατὴρ καθ' Ὅμηρον Ἀπόλλωνος, Ἡφαίστου, Ἄρεως, Ἑρμοῦ, Διονύσου, Χαρίτων, Μουσῶν, Ἀφροδίτης, καὶ πολλῶν θνητῶν, Σαρ-

17. γέροντος] om. 32. * οὗτος] om.

πηδόνος, Αἰακοῦ, Ζήθου, Ἀμφίονος, Μίνωος, Ῥαδαμάνθυος, Ἡρακλέους, Περσέως καὶ ἑτέρων πολλῶν. οἱ δὲ ἄλλοι πολλῶν πατέρες εἰσὶ καθ' Ὅμηρον, ἀλλ' οὐ θνητῶν, οἷον Κρόνος μὲν Διὸς, Ἥρας, Ἅιδου, Ποσειδῶνος, θνητοῦ δὲ οὐδενός· καὶ Ποσειδῶν πάλιν θεοῦ μὲν οὐδενὸς, θνητοῦ δὲ τοῦ Κύκλωπος, τοῦ Ἐφιάλτου, τοῦ Ὤτου.

545. μὴ δὴ πάντας] θεσπίζει μὴ πάντα ὀφείλειν αὐταῖς κοινοῦσθαι, ὅπως εἰ καί τι μάθοιεν, ἀγαπῷεν. ἀκόλουθα δὲ τούτοις καὶ τὰ παρὰ Ἀγαμέμνονος πρὸς Ὀδυσσέα λεγόμενα "ἀλλὰ τὸ μὲν φάσθαι ἔπος, τὸ δ' ἐνὶ φρεσὶ κεύθειν" (Od. 11, 443).

547. πράως διαλεγόμενος ὡς τιμὴν αὐτῇ περιάπτει. ἔστι δὲ καὶ βιωτικῶν μιμητικὰ, πρῶτον ἠπίως ἀρξάμενον ἐπάγειν τὰς ἀπειλὰς ὕστερον.

552. ποῖον τὸν μῦθον] τὸν ποῖον μῦθον, Ἀττικῶς προσελθόντος τοῦ ἄρθρου τῷ πύσματι.

553. ἄμφω διὰ τοῦ τ, ἵν' ᾖ ἐμφαντικὸν δὶς λεγόμενον. καὶ ἐν τῇ ἀπολογίᾳ δὲ μέμφεται ὡς ἀεὶ ἰδιάζοντος αὐτοῦ. ἔθος δὲ γυναιξὶν ἀρνεῖσθαι ὅτι ποτὲ παρηνώχλησαν τοῖς ἀνδράσιν.

554. εὔκηλος] ἡ εὖ πρὸ συμφώνου ψιλοῦται, πλὴν τοῦ εὕδω, εὑρίσκω. τὸ γὰρ εὖσεν ἀπὸ τοῦ εὔω.

ὥσσ'] φασὶ τρία σημαίνειν τὴν λέξιν, τὸ τινά, τὸ ἄτινα, τὸ ὅσα. καὶ ἀεὶ ψιλοῦται, πλὴν τοῦ ὅτε δηλοῖ τὸ ἄτινα· τότε γὰρ δασύνεται, καὶ ἔστι κατὰ Ἡρωδιανὸν δύο μέρη λόγου, τὸ ἃ ἄρθρον καὶ τὸ σά Μεγαρικὸν, δηλοῦν τὸ τινά. ἐν δὲ τῷ προκειμένῳ στίχῳ ψιλοῖ τὸ ἄσσα, καὶ ἀξιοῖ δηλοῦν τὸ ὅσα.

557. ἠθικῶς δεδοικέναι φησὶ μὴ πλεονεκτηθῇ ὑπὸ Θέτιδος. τὸ δὲ κατανεῦσαι καὶ τὸ ἠερίῃ ἐλεγχούσης εἰσίν.

561. δαιμονίη] μακαρία, ἐν σαρκασμῷ. τὸ δὲ οἴεαι ἀπὸ τοῦ οἴει. ἔχει δὲ διαιρέσεις δύο.

563. ῥίγιον ἔσται] ἡ γὰρ ἄγνοια οὐ τοσοῦτον λυπεῖ ὅσον τὸ ἀποθύμιον εἶναι.

564. εἰ δ' οὕτω] εἰ συνεθέμην δὲ, πάντως τοῦτο κατὰ τὸ ἐμοὶ ἀρέσκον ἐποίησα. ἀρχοντικῶς δὲ οὔτε συντίθεται οὔτε ἀρνεῖται.

566. μή νύ τοι] νῦν μὲν λόγοις αὐτὴν ἀποκρούεται, ἑτέρωθι δὲ

10. πράως] *πραύνως
11. *βιωτικῶν] βιωτικὰ μιμητικὰ] *μιμήματα
13. *ποῖον] ὁποῖον
15. *δὶς] δεύτερον

καὶ ἔργοις κολάζει, διδάσκοντος ἴσως τοῦ ποιητοῦ ὅτι ἀφόρητον ἂν εἴη γυνὴ μὴ καθ' ὥραν ἐπιτιμωμένη. ἀποπαύει δὲ διὰ τούτου καὶ τὴν τῶν λοιπῶν πολυπραγμοσύνην.

568. ἀάπτους] Ἡρωδιανὸς παρὰ τὸ ἰάπτω, ὃ σημαίνει τὸ βλάπτω, κατ' ἔλλειψιν τοῦ ῑ καὶ πλεονασμὸν τοῦ ᾱ, ἀάπτους, ἃς οὐδεὶς βλάψαι δύναιτο, ἢ κατ' ἐπίτασιν τὰς δυναμένας μεγάλως βλάψαι. τινὲς δὲ, ὧν οὐδεὶς ἅψαιτο. ἢ ἀπτοήτους.

569. καθῆστο] τοῦ ἕζω ἐστὶν ἡ κλίσις, ἕζω ἧσμαι ἥσμην ἧσο ἧστο, οἱ δὲ τοιοῦτοι παρακείμενοι καὶ ὑπερσυντέλικοι δισύλλαβοι, ἔχοντες δύο σύμφωνα, ἐν τῇ συνθέσει φυλάσσουσι τὸν τόνον, κατῆρμαι κατῆρτο. οὕτως καθῆστο. ἐπιγνάμψασα δὲ τὸ ἀκουσίως πεισθεῖσα δηλοῖ. φίλον δὲ τὸ ἴδιον, ὡς "φίλα εἵματα" (Il. 2, 261). διδάσκει δὲ ὡς καὶ τὰ λίαν ἀσθενῆ μὴ κολαζόμενα λίαν εἰσὶν ἀφόρητα.

571. *Ἥφαιστος] Ἥφαιστος ὁ θεὸς καὶ τὸ πῦρ. ὅτι Ἑρμοῦ βασιλεύσαντος εἰς Αἴγυπτον καὶ θανόντος Ἥφαιστος παραλαμβάνει τὴν βασιλείαν ἡμέρας ᾱχπ, ὡς γίνεσθαι ἔτη δ', μῆνας ζ', ἡμέρας ή. οὐκ ἤδεισαν γὰρ τότε Αἰγύπτιοι ἐνιαυτοὺς μετρῆσαι, ἀλλὰ τὴν περίοδον τῆς ἡμέρας ἐνιαυτὸν ἔλεγον. ἦν δὲ μυστικὸς καὶ πολεμικὸς, διὸ καὶ θεὸν αὐτὸν ἐκάλουν· ὅστις πολεμῶν ἐπλήγη τὸν πόδα καὶ γέγονε χωλός. ἔθηκε δὲ καὶ νόμον τοῖς Αἰγυπτίοις σωφροσύνης· οὐκ ἤδεισαν γὰρ μοναύδρειν αἱ τούτων γυναῖκες. ὑπὸ δὲ μυστικῆς εὐχῆς τὴν ὀξυλάβην ἀπὸ τοῦ ἀέρος ἐδέξατο, δι' ἧς κατεσκεύασεν ἀπὸ σιδήρου ὅπλα πολεμικὰ καὶ γεωργικὰ ἐργαλεῖα· πρὸ γὰρ αὐτοῦ μετὰ ῥοπάλων καὶ λίθων ἐπολέμουν.

εἰ μὲν ἄνθρωποι ἦσαν, διὰ πρεσβυτικοῦ προσώπου τὴν στάσιν ἔλυεν· ἀλλ' ὅρα τὸ ἀξίωμα τοῦ Διός. Ποσειδῶν γὰρ συμβουλεύων ἔδοξε παραλέγειν δι' Ἕλληνας· ἄλλως τε καὶ αἰτίαν ἔχει εἰς Θέτιν. ὁμοίως καὶ Ἀθηνᾶ. βιωτικῶς οὖν διὰ τοῦ παιδὸς λύει τὴν στάσιν καὶ τὸ κατηφὲς τοῦ συμποσίου, γελώμενον παρεισάγων τὸν Ἥφαιστον. καιρὸν δὲ δίδωσι Διὶ, χάριτας εἰδὼς τῇ Θέτιδι· "εἰ μή μ' Εὐρυνόμη τε Θέτις θ' ὑπεδέξατο κόλπῳ" (Il. 18, 398).

6. *ἐπίτασιν] ἔλλειψιν τοῦ στερητικοῦ

10. κατῆρμαι κατῆρτο] *εἶργμαι καθεῖργμαι ἦγμαι κατῆγμαι

11. οὕτως] *οὕτως οὖν καὶ τὸ

23. ὀξυλάβην] V. ad 18, 477.

27. ἔλυεν] *ἔλυσεν

γὰρ—ἔδοξε παραλέγειν] *μὲν γὰρ ἔδοξεν ἂν θωπεύειν

572. ἔρανον καὶ ἤρανον, ὡς ἔχω ὄχανον· τὰ ἤρανα, καὶ κατὰ ἀποκοπὴν ἦρα. Ἀρίσταρχος δὲ ὑφ' ἓν φησιν. ἀντὶ δὲ τοῦ λευκωλένῳ Ἥρῃ ὤφειλεν εἶναι τετιημένῃ ἦτορ.

574. σφῷ] πρωτόθετον αὐτήν φησιν Ἡρωδιανὸς, οὐκ ἀπὸ τῆς σφῶϊ· διὸ ὀξύνεται· τὸ γὰρ ω̄ τῶν δυϊκῶν ἀπέστραπται τὴν περισπωμένην. τοῦτο δὲ πρὸς ἔμφασιν τῶν προσώπων. τὸ δὲ ἕνεκα θνητῶν πρὸς εὐτελισμὸν τῆς αἰτίας. τὸ δὲ ὧδε δι' αὔξησιν τῆς ἔριδος.

575. κολῳόν] παρὰ τὸ κολοιός. ὁ δὲ Φιλόξενος παρὰ τὸ κλῶ κλωός καὶ κολωός· καὶ οὐδὲ προσγράφει τὸ ϊ. τοῦ δὲ κλῶ παραγωγὸν τὸ κλάζω.

*ἀπὸ μεταφορᾶς τοῦ κολοιοῦ· θορυβῶδες γὰρ καὶ κραυγαστικὸν τὸ ὄρνεον.

576. τὸ ἦδος ψιλωτέον, ὡς τροχαϊκόν.

577. τὸ ἠμί φημί εἰμί ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον.

καὶ αὐτῇ περ νοεούσῃ] οὐ δεομένῃ παραινέσεώς τινος. ὁ δὲ κοινῇ μὲν ἀμφοτέρους ἐπιπλήττει ἕνεκεν ἀνθρώπων διαφερομένους, ἰδίᾳ δὲ τῇ Ἥρᾳ εἴκειν τῷ Διὶ παραινεῖ.

580. εἴπερ γάρ κ' ἐθέλῃσιν] θωπευτικῶς τὰ τῆς δυνάμεως αὐτοῦ προβάλλεται· ἅμα δὲ καὶ πρὸς κατάπληξιν τῆς μητρός. τὸ δὲ ὅλον· εἰ θέλοι καταβαλεῖν ἡμᾶς ὁ Ζεύς (δυνήσεται γὰρ), σὺ δὲ θωπεύσεις αὐτὸν, εὐθέως ἡμερωθήσεται. τοσαύτην δὲ τοῦ Διὸς δείκνυσι πρὸς τοὺς θεοὺς ὑπεροχὴν ὅση πρὸς ἀνθρώπους ἐστὶ θεῶν.

584. ἀναΐξας] γέλωτα κινεῖ τὸ ἀναΐξας ἐπὶ χωλοῦ τιθέμενον. γελοῖος δέ ἐστι μιμούμενος τοὺς καλλίστους οἰνοχόους, Ἥβην καὶ Γανυμήδεα, καὶ μεμνημένος πῶς ὁ Ζεὺς τοῦ ποδὸς λαβόμενος ἔρριψεν αὐτὸν οὐρανόθεν.

586. τέτλαθι, μῆτερ ἐμή] ὅτε κατεπράϋνε τὸν θυμὸν, τότε καὶ τὴν ἰδίαν παραίνεσιν ἐπήγαγεν.

591. *ἐγκαλοῦσιν Ὁμήρῳ περὶ τῆς τοῦ Ἡφαίστου ῥίψεως, τὸ μὲν πρῶτον ὅτι χωλὸν αὐτὸν ὑφίσταται τὴν θείαν ἀκρωτηριάζων φύσιν, εἶθ' ὅτι καὶ παρὰ μικρὸν ἦκε κινδύνου· φησὶ γὰρ "πᾶν δ' ἦμαρ φερόμην, ἅμα δ' ἠελίῳ καταδύντι κάππεσον ἐν Λήμνῳ, ὀλίγος δ' ἔτι θυμὸς ἐνῆεν." καὶ τούτοις οὖν ὑποκρύπτεταί τις Ὁμήρῳ φιλό-

30. ἐγκαλοῦσι—] Haec excerpta sunt ex Heracliti Alleg. c. 26 p. 54.

σοφὸς νοῦς. οὐ πλάσμασι γὰρ ποιητικοῖς τοὺς ἀκούοντας τέρπων αὐτίκα χωλὸν ἡμῖν παραδέδωκεν Ἥφαιστον οὐ τὸν ἐξ Ἥρας καὶ Διὸς μυθούμενον παῖδα (τοῦτο γὰρ ἀπρεπὲς ὄντως ἱστορεῖν περὶ θεοῦ)· ἀλλ' ἐπεὶ ἡ τοῦ πυρὸς οὐσία διπλῆ, καὶ τὸ μὲν αἰθέριον, ὡς ἔναγχος εἰρήκαμεν, ἐπὶ τῆς ἀνωτάτω τοῦ παντὸς αἰώρας οὐδὲν ὑστεροῦν ἔχει πρὸς τὴν τελειότητα, τοῦ δὲ παρ' ἡμῖν πυρὸς ἡ ὕλη πρόσγειος οὖσα φθαρτὴ καὶ διὰ τῆς ὑποτρεφούσης παρ' ἕκαστα ζωπυρουμένη, διὰ τοῦτο τὴν μὲν ὀξυτάτην φλόγα συνεχῶς ἥλιόν τε καὶ Δία προσαγορεύει, τὸ δ' ἐπὶ γῆς πῦρ Ἥφαιστον, ἑτοίμως ἁπτόμενόν τε καὶ σβεννύμενον. ὅθεν εἰκότως κατὰ σύγκρισιν ἐκείνου τοῦ ὁλοκλήρου τοῦτο νενόμισται χωλὸν εἶναι τὸ πῦρ. ἄλλως τε καὶ πᾶσα ποδῶν πήρωσις ἀεὶ τοῦ διαστηρίζοντος ἐπιδεῖται βάκτρου, τὸ δὲ παρ' ἡμῖν πῦρ ἄνευ τῆς τῶν ξύλων ἐπιθέσεως οὐ δυνηθὲν ἂν ἐπὶ πλέον παραμεῖναι συμβολικῶς χωλὸν εἴρηται. τὸν γοῦν Ἥφαιστον οὐκ ἀλληγορικῶς ἐν ἑτέροις, ἀλλὰ διαρρήδην φησὶν Ὅμηρος πῦρ εἶναι, ὡς τὸ "σπλάγχνα δ' ἂρ ἐμπείραντες ὑπείρεχον Ἡφαίστοιο" (Il. 2, 426) μεταληπτικῶς ὑπὸ τοῦ Ἡφαίστου τὰ σπλάγχνα φησὶν ὀπτᾶσθαι. ναὶ μὴν καὶ ἀπ' οὐρανοῦ ὑφίσταται ῥιπτόμενον αὐτόν· φυσικῶς γὰρ κατ' ἀρχὰς οὐδέπω τῆς τοῦ πυρὸς χρήσεως ἐπιπολαζούσης ἄνθρωποι χρονικῶς χαλκοῖς τισὶν ὀργάνοις κατεσκευασμένοις ἐφειλκύσαντο τοὺς ἀπὸ τῶν μετεώρων φερομένους σπινθῆρας, κατὰ τὴν μεσημβρίαν ἐναντία τῷ ἡλίῳ τὰ ὄργανα τιθέντες. ὅθεν οἶμαι δοκεῖ καὶ Προμηθεὺς ἀπ' οὐρανοῦ κλέπτειν τὸ πῦρ, ἐπειδήπερ τέχνῃ Προμηθέως ἐπενόησαν οἱ ἄνθρωποι τὴν ἐκεῖθεν ἀπόρροιαν αὐτοῦ. Λῆμνον δὲ πρώτως οὐκ ἀλόγως ἐμυθεύσαντο τὴν ἐπιδεξαμένην τὸ θεοπρίβλητον πῦρ· ἐνταῦθα γὰρ ἀνίενται γηγενοῦς πυρὸς αὐτόματοι φλόγες. δηλοῖ δὲ σαφῶς ὅτι τοῦτο θεόρρυτόν ἐστι τὸ πῦρ ἐξ ὧν ἐπήνεγκεν "ὀλίγος δ' ἔτι θυμὸς ἐνῆεν·" ἀπόλλυται γὰρ εὐθέως μαραν θέν, εἰ μὴ λάβοιτο τῆς διαφυλάττειν αὐτὸ δυναμένης προνοίας. καὶ ταῦτα μὲν περὶ Ἡφαίστου φιλοσοφητέον. ἐῶ γὰρ ἐπὶ τοῦ παρόντος ὡς τερατώδη τινὰ τὴν Κράτητος τοῦ Θηβαίου φιλοσοφίαν, ὅτι Ζεὺς ἀναμέτρησιν τοῦ

3. μυθούμενον Heracl.] μυθούμενος
7. ζωπυρουμένη Heracl.] ζωπυρούμενα
18. οὐρανοῦ Heracl.] οὐρανῶν, compendio expressum οὐνῶν.
25. ἐμυθεύσαντο — ἐπιδεξαμένην] ἐμύθευσε—ὑποδεξαμένην Heracl.
* θεοπρίβλητον] θεο . . . τον cum plurium litterarum lacuna. θεόβλητον Heracl.
31. Κράτητος τοῦ Θηβαίου] De hoc videndus Mehlerus p. 58.

παντὸς γενέσθαι ἐσπουδακὼς δύο πυρσοῖς ἰσοδρομοῦσιν, Ἡφαίστῳ τε καὶ Ἡλίῳ, διετεκμήρατο τοῦ κόσμου τὰ διαστήματα, τὸν μὲν ἄνωθεν ἀπὸ τοῦ βηλοῦ καλουμένου ῥίψας, τὸν δ' ἀπ' ἀνατολῶν εἰς δύσιν μεθεὶς φέρεσθαι. διὰ τοῦτ' ἀμφότεροι καὶ συνεχρόνισαν· ἅμα γὰρ ἠελίῳ καταδύντι κάππεσεν Ἥφαιστος ἐν Λήμνῳ. τοῦτο τοίνυν εἴτε κοσμικήν τις ἀναμέτρησιν εἴθ' (ὃ μᾶλλον ἀληθές ἐστιν) ἀλληγορικὴν τοῦ καθ' ἡμᾶς πυρὸς ἀνθρώποις εἴποι παράδοσιν, οὐδὲν ἀσεβές ἐστιν ὑπὲρ Ἡφαίστου παρ' Ὁμήρῳ λεγόμενον.

τινὲς κατὰ Χαλδαίους τὴν ἀνωτάτω τοῦ οὐρανοῦ περιφέρειαν, οἱ δὲ κατὰ Δρύοπας τὸν Ὄλυμπον. ἄμεινον δὲ τὸν βατῆρα λέγειν ἤτοι τὴν φλιὰν, ἀπὸ τοῦ βαίνειν.

*βηλός ἐστιν ὁ ἀνωτάτω τόπος τοῦ οὐρανοῦ. ἀπὸ γὰρ τοῦ βεβηκέναι τοὺς θεοὺς ἐν αὐτῷ, καὶ τοὺς ἀστέρας κεῖθι βαίνειν, εἴρηται. ἕτεροι δὲ βηλὸν εἶπον τὸν ἀνωτάτω τόπον καὶ περιέχοντα τὸν πάντα ἀέρα, ἄλλοι τὴν περίοδον τοῦ αἰθέρος καὶ τῶν ἄστρων. κοινῶς δὲ σημαίνει ὁ βηλὸς τὸν οὐδὸν τῆς θύρας, ἤτοι τὴν φλιάν· ὁ γὰρ ποιητὴς ὑποτίθεται τὸν οὐρανὸν πύλας ἔχοντα. εἴρηται δὲ βηλὸς ἀπὸ τοῦ βαίνεσθαι, ὡς καὶ ὁδὸς ἀπὸ τοῦ ὁδεύεσθαι. καὶ Πανύασις δὲ τὰ πέδιλα βηλὰ λέγει. Παρμενίων δὲ ὁ γλωσσογράφος φησὶν Ἀχαιοὺς καὶ Δρύοπας καλεῖν τὸν οὐρανὸν βηλόν. Κράτης δὲ περισπῶν τὴν πρώτην συλλαβὴν Χαλδαϊκὴν εἶναι τὴν λέξιν ἀποδίδωσιν. Ἀγαθοκλῆς δὲ τὴν πάντων περιοχὴν, καὶ βεβηκότας φέρειν τοὺς ἀπλανεῖς ἀστέρας.

592. πᾶν δ' ἦμαρ φερόμην] πῶς τῶν ἄλλων θεῶν ἀπὸ τοῦ οὐρανοῦ φερομένων ῥιπῇ ἐπὶ γῆς, Ἥφαιστος δι' ὅλης ἡμέρας φέρεται; φαμὲν οὖν ὅτι τὸ πᾶν δ' ἦμαρ οὐ δηλοῖ τὸν ἀπὸ πρωΐας μέχρις ἑσπέρας καιρὸν, ἀλλὰ τὴν πελάζουσαν τῇ νυκτὶ ὥραν, ὡς καὶ ἀλλαχοῦ (472) "οἱ δὲ πανημέριοι μολπῇ θεὸν ἱλάσκοντο" καὶ τὰ ἑξῆς (601) "πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα δαίνυντο."

593. ὀλίγος δ' ἔτι θυμὸς ἐνῆεν] εἰ ἐλαττοῦται, φασὶ, τὸ θεῖον, καὶ τέλεον ἐπιλείψει, ἀγνοοῦντες ὅτι πολλαὶ ἐν τῷ κόσμῳ φύσεις μειοῦνται μὲν, οὐκ ἐκλείπουσι δὲ τέλεον. καὶ γὰρ καὶ αὐχμῶν πλεοναζόντων μειοῦται τὸ ὑγρὸν, ἀλλ' οὐκ ἐπιλείπει. καὶ Ἄρης "μόγις δ' ἐσαγείρατο θυμόν" (Il. 21, 417).

1. παντὸς Heracl.] παρόντος
18. *ἀπὸ τοῦ ὁδεύεσθαι] om.
19. βηλά] *βίολα codices alii. Suidas βίολα: πέδιλα, ὑποδήματα.

594. Σίντιες] Φιλόχορός φησι Πελασγοὺς αὐτοὺς ὄντας οὕτω προσαγορευθῆναι, ἐπεὶ πλεύσαντες εἰς Βραυρῶνα κανηφόρους παρθένους ἥρπασαν, σίνεσθαι δὲ τὸ βλάπτειν λέγουσιν. Ἐρατοσθένης δὲ, ἐπεὶ γόητες ὄντες εὗρον δηλητήρια φάρμακα. ὁ δὲ Πορφύριος, ἐπεὶ πρῶτοι τὰ πολεμιστήρια ἐδημιούργησαν ὅπλα, ἃ πρὸς βλάβην ἀνθρώπων συντελεῖ· ἢ ἐπεὶ πρῶτοι λῃστείαν ἐξεῦρον.

595. μείδησεν] παρὰ τὸ μειδιῶ· τὸ δὲ μειδιῶ παρὰ τὸ τὸν μέσον διιέναι γέλωτα.

600. δασύνεται τὸ Ἥφαιστος· παρὰ γὰρ τὸ ἅπτω ἐστὶν, ὅθεν καὶ Ἥβη. τὸ δὲ ποιπνύοντα ἐκ τοῦ πονῶ, πονύω ποπνύω ποιπνύω.

601. πρόπαν ἦμαρ] τὸ ὑπόλοιπον πάσης τῆς ἡμέρας. τὸ δὲ "ἐς ἠέλιον καταδύντα" Ἀττικόν ἐστιν.

603. *ὁ λόγος· ὥσπερ τῆς εὐωχίας οὐκ ἦσαν ἐνδεεῖς οἱ θεοὶ, οὕτως οὐδὲ τῆς Ἀπόλλωνος μουσικῆς, ὁμοίως δὲ οὐδὲ τῆς τῶν Μουσῶν ᾠδῆς, αἵτινες καὶ αὐταὶ Ἀπόλλωνος κιθαρίζοντος ἐκ διαδοχῆς παρὰ μέρος ᾖδον. τέσσαρες δὲ ἀνατίθενται τῷ Ἀπόλλωνι τέχναι, μουσικὴ τοξικὴ μαντικὴ ἰατρική.

604. Μουσάων θ'] εὖ τὸ μὴ ἀπειροκάλως ἐπιμηκῦναι τὴν ᾠδήν, ἀλλ' αὐτὸν, εἶτα τὰς Μούσας ᾆσαι.

607. τὸ ἦχι χωρὶς τοῦ ι κελεύει γράφεσθαι Διονύσιος, καὶ παράγει Δωριεῖς ἄχι λέγοντας.

ἀμφιγυήεις] ὁ ἀμφοτέρωθεν βεβλαμμένος, παρὰ τὸ γυῶ τὸ τὰ μέλη διαλύω, ἐπειδὴ τὸ πῦρ πολλῆς δεῖται τῆς ὕλης.

611. ἔνθα καθεῦδ' ἀναβάς] ἀνέβη καθευδήσων, ἢ ἀντὶ τοῦ ἀνεκέκλιτο. τὸ δὲ καθεῦδε προπερισπωμένως· ἐφύλαξε γὰρ ἡ σύνθεσις τὸν τόνον. διδάσκει δὲ μὴ χωρίζεσθαι ἄνδρα γυναικὸς ἐν κοίτῃ, ὡς μὴ τῇ ἀπουσίᾳ λυπήσῃ αὐτόν.

*χρυσόθρονος] ἡ χρυσοῦν θρόνον ἔχουσα βασιλίς. μᾶλλον δὲ ἐπειδὴ τὰ πρὸς τῷ αἰθέρι μέρη τοῦ ἀέρος, γειτνιῶντα τῷ ἡλίῳ, πυρώδη εἰσίν. ὁ γὰρ ποιητὴς ἀλληγορῶν τὸν χρυσὸν ἀντὶ τοῦ πυρὸς λαμβάνει.

ΕΙΣ ΤΗΝ Β.

1. Ἄλλοι] Ἡγησίστρατος ἄλλοι γράφει, κακῶς· ἐλλείπει γὰρ ὁ ποιητὴς τοῖς ἄρθροις ἀεί.

θεοί τε καὶ ἀνέρες] ὅτι μετὰ θεὸν ὁ ἄνθρωπος· καὶ ἀπὸ τοῦ ἀνδρὸς τὸ λοιπὸν γένος ἅπαν.

ἱπποκορυσταί] ἱπποκορυστάς φησιν οὓς διὰ τὴν τοῦ πολέμου πρόνοιαν ἀγρυπνεῖν ἔδει. οἱ δὲ τοὺς βασιλεῖς ἤκουσαν.

2. *νήδυμος ὕπνος*] Ἀρίστταρχός φησιν ἐκ τοῦ δύνω δύμος καὶ ἐν ἐπεκτάσει νήδυμος· ὅθεν καὶ οἱ δίδυμοι δύο ἐκ μιᾶς καταδύσεως τῆς γαστρός. οὐ γὰρ παρὰ τὸ ἡδύς· λέξει γὰρ δασυνομένη οὐ συντίθησι τὸ νη. οἱ δὲ, ὃν οὐ δυνατὸν ἀποδύσασθαι, ἢ ὁ βαθύς, παρὰ τὴν νηδύν. ἢ ὁ ἀνώδυνος. μετὰ δὲ τοῦ ν̄ τὸ νήδυμος.

**ἀγνοοῦσί τινες οἱ τὸν νήδυμον ὕπνον ἀποδιδόντες τὸν ἡδύν. ἔστι δὲ νήδυμος ὁ μὴ δύνων μηδὲ περιεχόμενος, ἀλλ' αὐτὸς περιέχων. ἐξηγήσατο γὰρ τὴν λέξιν εἰπὼν "νήδυμος ἀμφιχυθείς." καὶ αὐτὸς ὁ Ὕπνος φησὶν "ὄφρ' ἔτι εὕδει Ζεύς, ἐπεὶ αὐτὸν ἐγὼ μαλακὸν περὶ κῶμα κάλυψα" (Il. 14, 359). καὶ ἔτι "περὶ δ' ἀμβρόσιος κέχυθ' ὕπνος" (19)· "τοῖσι δ' ἐφ' ὕπνον ἔχευε διάκτορος Ἀργειφόντης" (Il. 14, 445). διὸ καὶ οὕτως λέγει "οὐδέ μιν ὕπνος ἥρει πανδαμάτωρ" (ib. 4). τὸ δὲ νη στερητικὸν καὶ ἐν τῷ "νήγρετος, ἥδιστος, θανάτῳ ἄγχιστα ἐοικώς" (Od. 13, 80). καὶ ἐπ' ἄλλων δὲ περιεχόντων καὶ κατειληφότων τὸ ὅλον λέγει "ἀμφὶ δέ μιν θάνατος χύτο" (Il. 16, 114)· "τὸν δ' ἄχεος νεφέλη ἐκάλυψεν" (Il. 17, 591)· "θείη δέ μιν ἀμφέχυτ' ὀμφή" (41). "θεσπεσίην δ' ἄρα τῷγε χάριν κατέχευεν Ἀθήνη" (Od. 2, 12). κέχρηται δὲ τῇ συνθέσει τῆς λέξεως καὶ ἐν τῷ "λιμένες δ' ἔνι ναύλοχοι αὐτῇ ἀμφίδυμοι" (Od. 4, 846), δύο λέγων εἰς οὓς ἔστι δύνειν· ὅθεν καὶ οἱ δίδυμοι δύο ἐκ μιᾶς καταδύσεως . . . . . .*

καὶ πῶς φησὶν "ἔνθα καθεῦδ' ἀναβάς;" λύοιτο δ' ἂν κατὰ λέξιν· τὸ γὰρ εὕδειν ἰαύειν κεῖσθαι καὶ ἐπὶ ψιλῆς ἀνακλίσεως λαμβάνονται, οἷον "πολλὰς μὲν ἀΰπνους νύκτας ἴαυον" (Il. 9, 325) καὶ "ἔνθ' Ὀδυσεὺς μνηστῆρσι κακὰ φρονέων ἐνὶ θυμῷ κεῖτ' ἐγρηγορέων" (Od. 19, 6). ἢ οἱ μὲν ἄλλοι παννύχιοι εὗδον, Ζεὺς δὲ οὐ παννύχιος. διδαχὴ δέ ἐστιν ὅτι καὶ θεοῖς πρὸς σκέψιν εὔθετον νὺξ, τούς τε ἄρχοντας οὐ παννυχίζειν δεῖ ("οὐ χρὴ" γὰρ "παννύχιον εὕδειν βουλη-

9. * *ὁ*] om.

13. *ὄφρ' ἔτι εὕδει Ζεὺς, ἐπεὶ*] *ὄφρα ἔτι ζεὺς, ἐπεὶ*

26. *καὶ πῶς φησὶν "ἔνθα καθεῦδ' ἀναβάς"*] **ἐναντία δοκεῖ ταῦτα "ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταὶ εὗδον παννύχιοι Δία δ' οὐκ ἔχε νήδυμος ὕπνος" τῷ "ἔνθα καθεῦδ' ἀναβάς, παρὰ δὲ χρυσόθρονος Ἥρη.*

29. *ἐγρηγορέων*] *ἐγρηγορύων*

φόρον ἄνδρα" 24), ἀλλὰ καὶ παντὶ τρόπῳ τὰς ὑποσχέσεις πληροῦν. διὰ τοῦτο οἱ μὲν περὶ Θέτιδα τοῦ Διὸς δεηθέντες καθεύδοντες αὐτῷ πεποίηνται, ἀγρυπνῶν δὲ ὁ ὑπεσχημένος τιμῆσαι Ἀχιλλέα.

*ἐναντίον δὲ δοκεῖ τὸ "Δία δ' οὐκ ἔχε νήδυμος ὕπνος" τῷ "ἔνθα καθεῦδ' ἀναβάς." λύοιτο δ' ἂν κατὰ λέξιν. καὶ γὰρ τὸ καθεύδειν ἐνίοτε δηλοῖ τὴν ψιλὴν κατάκλισιν ἐπὶ τῆς εὐνῆς, εἴπερ καὶ τὸ κοιμηθῆναι καὶ τὸ . . . . "ἐγὼ πολλὰς μὲν ἀΰπνους νύκτας ἴαυον." καὶ πάλιν "Εὐρυνόμη δ' ἄρα χλαῖναν βάλε κοιμηθέντι" (Od. 20, 4). τὸ δὲ παννύχιοι ἐστὶ δι' ὅλης νυκτός. ὥστ' . . . . τὸν μὲν Δία μέρος ὑπνῶσαι, τοὺς δὲ . . . . βαθὺς, ὥστε δύναιτ' ἂν ὑπνῶσαι μὲν, μὴ βαθεῖ δὲ ὕπνῳ.

3. μερμήριζε] διδάσκει μηδὲν ἀπερισκέπτως ποιεῖν, ὥσπερ αὐτὸς ὑπὸ Ἥρας ἐν τῷ Ξ ἁλίσκεται, καὶ τοὺς ἄλλους, εἰ μὴ προγυῖεν, ταυτὸν πάσχειν οἰόμενος. καὶ πρῶτον μὲν ἐδίσταζεν ἐπὶ Θέτιδι, εἰ πρακτέον· νῦν δὲ τὸ πῶς πρακτέον. τὸ δὲ μερμήριζεν ἀντὶ τοῦ ἐμερίζετο εἰς μέρη. καὶ διάνοια μὲν ἡ ἑβραία καλεῖται, μέριμνα δὲ ἡ μεριζομένη.

4. τιμήσει'] τοῦτο εὐκτικὸν, τὸ δὲ ὀλέσῃ ὑποτακτικόν. στικτέον δὲ ἐν τῷ Ἀχαιῶν· μόνους γὰρ τούτους ἀνελεῖν ἤθελεν. διό φησιν "ὑπὲρ αἶσαν οἱ Ἀχαιοὶ φέρτεροι ἦσαν" (Il. 16, 780), ὥστε διωχθῆναι μέχρι νεῶν.

5. ἀρίστη φαίνετο βουλή] πολλὰ προσκεψάμενος ταύτην εὗρε χρειώδη βουλήν. ἔστιν οὖν ὡς τὸ "αἱ δευτεραί πως φροντίδες σοφώτεραι" (Eurip. Hipp. 438). καὶ "ἕτερος δέ με θυμὸς ἔρυκεν" (Od. 9, 302).

6. οὖλον ὄνειρον] τοῦτο κατὰ συμπάθειαν, ὡς τὸ οὐλομένην (Il. 1, 2), καὶ ἵνα ποθοῦμεν μαθεῖν τί εἴργασται ὁ οὖλος ὄνειρος. Ἕκτορι δὲ ἡ Ἶρις πέμπεται, ἀλλ' οὐχὶ νῦν, ὅπως μὴ πρὸ τοῦ καταλόγου ἡ ναυμαχία γένηται. ἢ οὖλον τὸν ἀσαφῆ καὶ ὕπουλον· εἰ μὴ ἄρα τὸν μαλακὸν λέγει, ἐπεὶ καὶ πρὸς αὐτὸν διαλεγόμενος οὕτω φησί "βάσκ' ἴθι, οὖλε ὄνειρε" (8).

*οὖλος ὄνειρος ὁ ἀσαφὴς καὶ ὕπουλος, εἰ μὴ ἄρα τὸν μαλακὸν λέγει, ἐπεὶ καὶ πρὸς αὐτὸν διαλεγόμενος οὕτω φησί. δηλοῖ δὲ καὶ τὸν προσηνῆ, καὶ τὸν ὁλόκληρον, ὡς ἐν Ὀδυσσείᾳ (17, 343) φησὶν

4. ἐναντίον —] Est scholion Porphyrii scriptura in fine folii 19 a partim obliterata. Cohaeret cum p. 84, 25.

5. δ' ἂν κατὰ] δὲ κατὰ

15. *νῦν δὲ τὸ πῶς πρακτέον] om.

25. *τὸ] om.

29. *βάσκ' ἴθι, οὖλε ὄνειρε] om.

"οὖλον ἄρτον ἑλών" δηλοῖ δὲ καὶ τὴν τῶν τριχῶν δασύτητα. οὖλον δὲ ἔνειρόν φησιν οὐκ αὐτὸν ὀλέθριον ὄντα, ἀλλ' ἐπ' ὀλέθρῳ πεμπόμενον. ἢ οὖλον τὸν ὑγιῆ, ὥσπερ λέγεται οὐλὴ τραύματος. σημαίνει δὲ ἡ λέξις καὶ τὸ ὑγίαινε, ὡς ἐν ἐκείνῳ "οὖλέ τε καὶ μάλα χαῖρε, θεοὶ δέ τε ὄλβια δοῖεν" (Od. 24, 403).

8. *βάσκ' ἴθι*] Τυραννίων ὑφ' ἓν, ὡς ἄπιθι. ἄμεινον δὲ ταυτολογίαν εἶναι, ἐμφαίνουσαν τὴν ἔπειξιν. καὶ ἀλλαχοῦ "ἔλθοι καὶ ἵκοιτο" καὶ "ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν." καὶ πάνυ σφόδρα φασὶν Ἀττικοί. δύναται δὲ τὸ ἴθι ἐπίρρημα παρακελεύσεως εἶναι, ἀντὶ τοῦ ἄγε, ὡς τὸ "ἴθ' ἐκκάλυψον, ὡς ἴδω τὸ πᾶν κακόν" (Soph. Ai. 1003).

10. *πάντα μάλ' ἀτρεκέως*] διδάσκει τοὺς ἀγγέλους μὴ περαιτέρω τῶν ἀκουομένων περιεργάζεσθαι. ἀσύνδετος δέ ἐστι καὶ ἀρχοντικὸς ὁ λόγος.

11. *θωρῆξαί ἑ κέλευε*] ἐγκλιτέον τὴν ἕ. θωρήσσεσθαι καὶ κορύσσεσθαι δὲ ἀπὸ τῶν ἡγεμονικῶν, ὡς "ὄμματα καὶ κεφαλήν, Ἄρει δὲ ζώνην" (478). καὶ ὁπλίζεσθαι δέ πού φησιν ὁ ποιητής.

κάρη κομόωντες] κομῶσι γὰρ Λάκωνες, ἀφ' ὧν τὸ πᾶν Ἑλληκικὸν, ἢ διὰ τὸ πρὸς τοὺς πολεμίους βλοσυρὸν, ἢ πρὸς τὸ μὴ ὁμοιοῦσθαι τοῖς βαναύσοις, ἢ διὰ τὸ μὴ θλίβεσθαι ταῖς κόρυσι· Τρῶες γὰρ τιάρας ἐφόρουν. Σκύθαι δὲ πρῶτοι ἐκείραντο· διὸ καὶ ἀπεσκυθισμένοι λέγονται.

12. *νῦν*] τὸ νῦν τοὺς τρεῖς δηλοῖ χρόνους, ἐνεστῶτα "νῦν γὰρ δὴ γένος ἐστί," παρεληλυθότα "νῦν ὤλετο πᾶσα κατ' ἄκρης," μέλλοντα "νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει" (Il. 20, 307).

* *ἀποροῦσί τινες πῶς ὁ Ἀγαμέμνων ἀκούσας "θωρῆξαί σε κέλευσε καρηκομόωντας Ἀχαιοὺς πανσυδίῃ· νῦν γάρ κεν ἕλοις πόλιν εὐρυάγυιαν," καὶ πιστεύσας τῷ ὀνείρῳ "φῆ γὰρ ὅγ' αἱρήσειν Πριάμου πόλιν ἤματι κείνῳ"* (37). *ὡς τῶν πολεμίων ἁλίσκεσθαι μελλόντων καὶ τῆς πόλεως καταλαμβανομένης, τὰ μὲν πρὸς ἄλωσιν οὐ ποιεῖ ἐξαγαγὼν τὴν στρατιὰν, ἐπὶ ὅρκους δὲ ἔρχεται καὶ συνθήκας, αἷς ἐπεφώνησεν "οἱ δ' ἐχάρησαν Ἀχαιοί τε Τρῶές τε, ἐλπόμενοι παύ-*

5. τε] * τοι recte.
9. ἐπίρρημα] * καὶ ἐπίρρημα
22. λέγονται scripsi ex codice Scorialensi. In B est εἴρηται, spiritu in λ mutato, ut sit λείρηται. Deest verbum in Townleiano et Lipsiensi.
25. * δὲ δὴ] δ'
26. ἀποροῦσι —] Hoc scholion et duo proxima sunt Porphyrii.

σασθαι ὀϊζυροῦ πολέμοιο" (Π. 3, 111). ῥητέον οὖν ὅτι μήποτε οὐ παντελῶς ἐπίστευσε τῇ περὶ τὸν ὄνειρον φαντασίᾳ· διόπερ εὐγνώμοσι τοῖς περὶ τῆς συνθήκης λόγοις ὑπάρχουσιν εἰκότως συγκατατίθεται.

*ἀπρεπὲς δὲ τὸ λέγειν "πανσυδίῃ, νῦν γάρ κεν ἕλοις Τρώων πόλιν εὐρυάγυιαν·" τὸ γὰρ ψεύδεσθαι τὸν Δία αἱρήσειν μέλλοντα τὴν πόλιν ἄτοπον. ἡ δὲ λύσις ἀπὸ τῆς λέξεως· οἱ μέν, ὅτι τὸ νῦν δηλοῖ πλείω, ἐν οἷς περιέχεται οὐ μόνον τὸ τήμερον, ἀλλὰ καὶ ἐν τούτῳ τῷ χρόνῳ. οἱ δέ, ὅτι τὸ πανσυδίῃ σημαίνει μετὰ πάντων, ὥστε παραλιπὼν τὸν Ἀχιλλέα ἥμαρτεν. οἱ δὲ ἀπὸ τοῦ ἔθους· καὶ γὰρ στρατηγοῖς καὶ βασιλεῦσι συγκεχώρηται εἰς τὸ πρόσφορον ψεύδεσθαι. καὶ δὴ καὶ τὸν Δία εἰσάγει τοιοῦτον, τῷ ἔθει ἑπόμενον.

*ἀποροῦσι πῶς καὶ ὁ Ζεὺς οὐκ ἀληθεύει ὑπισχνούμενος "νῦν γάρ κεν ἕλοι πόλιν εὐρυάγυιαν" καὶ ὁ Ἀγαμέμνων ἀπατᾶται, καὶ ὁ ὄνειρος ὀλοός. ὀλοὸς μὲν οὖν ὁ ὄνειρος, ὅτι οὐ σαφής· Ἀγαμέμνων δὲ νήπιος, ὅτι ἀφροσύνης ἡ ἀπάτη γίνεται. τὸ γὰρ "νῦν κεν ἕλοι Πριάμοιο πόλιν" εἰς μίαν περιέστη ἡμέραν. καὶ ὅτι οὕτως ὑπέλαβε καὶ ἤκουε τὸ νῦν, δηλοῖ τὸ ἐπιρρηθὲν αὐτῷ "φησὶ γὰρ ὅγ' αἱρήσειν Πριάμου πόλιν ἤματι κείνῳ, νήπιος" (37). Ζηνόδοτος δὲ παριστὰς τὴν τοῦ Διὸς ἀλήθειαν φησὶ κατ' ἐκείνην ἑαλωκέναι τὴν ἡμέραν τὴν Ἴλιον· ὅτε γὰρ οἱ ὅρκοι συνεχύθησαν, ἡ πόλις ἀπώλετο· ἐν γὰρ τῷ παρασπονδῆσαι τὸ μηκέτι σωθῆναι κατεψηφίσθη. Ἀπίων δέ φησιν ὅτι πρότερον ἐνδιάζων ὁ Ζεὺς κατ' ἐκείνην τὴν ἡμέραν ἐπέτρεψε τῇ Ἥρᾳ τὸν τῆς Τροίας ὄλεθρον· διὸ καὶ κατῆλθεν ἡ Ἀθηνᾶ, τῇ τῶν ὅρκων ἀνατροπῇ συναναστρέφουσα τοὺς Τρῶας. ἔπειτα ἐρρήθη πανσυδίῃ ἐξάγειν τοὺς Ἕλληνας· ὁ δὲ παρῆκεν οὐ μικρὰν μερίδα τὴν τοῦ Ἀχιλλέως. πῶς οὖν ἀληθεύει καὶ ἐν τῷ "ἐπέγναμψε γὰρ ἅπαντας Ἥρη λισσομένη;" καὶ τοῦτο ἀληθές· πέπεικε γὰρ ἡ Ἥρα· φησὶ γάρ "ὃς πρὶν ἔμοιγε καὶ Ἥρῃ στεῦτ' ἀγορεύων Τρωσὶ μαχήσεσθαι" (Π. 5, 832). τὸ οὖν νέφος τοῦ Ἄρεως ἔταξε κατὰ πλήθους.

13, 14. *οὐ γὰρ ἔτ' ἀμφὶς—φράζονται] τουτέστιν οὐκέτι γὰρ οἱ τὸν Ὄλυμπον κατοικοῦντες θεοὶ διχογνωμονοῦσι περὶ τῆς Ἰλίου, ἤγουν διάφορα φρονοῦσιν, οἱ μὲν τὰ ὑπὲρ Τρώων, οἱ δὲ τὰ ὑπὲρ τῶν Ἑλλήνων.

16. περιέστη] περιέ$\overline{\eta}$
21. *παρασπονδῆσαι] παρασπονδίσαι
26. μικρὰν Vill.] μικροῦ
30. ἔταξε] ἔτ$\overline{\alpha}$

19. ἀμβρόσιος] ἥδιστος αὐτῷ ἐστὶν ὁ ὕπνος διὰ τὴν κατάπαυσιν τοῦ λοιμοῦ, ἐπεὶ ἐν ταῖς χρείαις ἀεὶ διαγρυπνεῖ.

20. στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς] ὑπὲρ κεφαλῆς ἵσταται ὡς τῶν αἰσθήσεων φθεγγόμενος πλησίον· αἱ δὲ αἰσθήσεις ἀπὸ τῆς βάσεως τοῦ ἐγκεφάλου τὴν ἀρχὴν ἔχουσιν τῷ δὲ Νέστορι ὅμοιος ὡς συμβούλῳ καὶ φιλεταίρῳ.

23. δαΐφρονος] τοῦ συνετοῦ, παρὰ τὸ δαῆναι, ὡς "δαΐφρονι Πηνελοπείῃ" ἐπὶ δὲ Τυδέως (Il. 5, 181) πολεμικοῦ. δυσωπεῖ δὲ τοῖς ἐγκωμίοις τοῦ πατρός. ἢ ὅτι ἡ πατρωνυμία τοὺς εὐγενεῖς ἤδει, ὡς τοὐναντίον οὐ χρή. τῶν δὲ οἰκείων ἐστὶ τὸ ἐγκαλεῖν, ὡς καὶ ἀλλαχοῦ γνωμολογεῖ ὁ Νέστωρ "τί πάννυχον ὕπνον ἀωτεῖς;" (Il. 10, 159). ταῦτα δὲ πρὸς τὸ πεῖσαι· "ἐσθλὸν" γὰρ "καὶ τὸ τέτυκται" (Il. 15, 207). ἀλλ' οὐδὲ Νέστορι εἰκασθῆναι ἐκελεύσθη.

26. ξύνες ὥκα] αὔξησιν ἔχει τὸ μὴ πολλὰ εἰπεῖν, ἀλλὰ δεῖξαι τὴν προσοχὴν ἣν ἐργάζεται τὸ τοῦ προστάσσοντος ἀξίωμα.

27. δυσωπεῖ τοῦτον νυστάξαντα. ἠλέηται δὲ διὰ τὸν χρόνον τῆς ξενιτείας, διὰ τὸν λοιμὸν, διὰ τὴν πρὸς Ἀχιλλέα στάσιν. τὴν δὲ σεῦ ὀρθοτονητέον· ἀντιδιέσταλται γὰρ πρὸς τὸν Ἀχιλλέα· ἢ ὅτι πρόκειται τοῦ ῥήματος ἡ ἀντωνυμία.

29. ἐκείνη γὰρ ἡ ἡμέρα πεπόρθηκε τὴν πόλιν διὰ τὴν τῶν ὅρκων παράβασιν.

33. ἔχε — λήθῃ] τὸ ἔχε τὸ φύλασσε δηλοῖ. τὸ δὲ λήθῃ προστέθειται, ἵνα μὴ πάλιν τῷ ὕπνῳ μαλακισθεὶς ἐπιλάθηται. τῷ οὖν τέλει τοῦ ὁράματος καὶ ἡ ἔγερσις ἕπεται, καὶ διὰ τοῦτο παννυχίζειν αὐτὸν οὐκ εἴασεν.

34. ἀνήῃ] διαίρεσίς ἐστι τῆς τοῦ ῥήματος τοῦ ἔω κλίσεως, ὡς καὶ Πλάτων "ἐπεὶ ἤδη με ἀνῆκεν ὁ ὕπνος" (Protag. p. 310, d).

36. ἔμελλεν] ὁ μὲν Ζηνόδοτος διὰ τοῦ ε̄ γράφει, ὃ καὶ ἄμεινον· οἱ δὲ ἄλλοι διὰ τοῦ ο̄. διδάσκει δὲ ὁ ποιητὴς μὴ ἐπαίρεσθαι ταῖς ὄψεσι τῶν ὀνείρων.

6. * φιλεταίρῳ] φιλαιτάτῳ

16. * νυστάξαντα] διστάσαντα

ἠλέηται] * ἐλεεῖται

29. διὰ τοῦ ō] Id est ἔμελλον. Idem in scholio codicis Veneti A traditur, sed omisso Zenodoti mentione, ἔμελλον] ἡ διπλῆ πρὸς τὸ σχῆμα ὅτι ἔμελλον· ἡμεῖς δὲ ἐροῦμεν ἔμελλεν ἐνικῶς, καὶ ὅτι τὸ ἔμελλον ἀντὶ τοῦ ἐῴκεσαν. Cum B consentit codex Townleianus et Lipsiensis ἔμελλεν : ἡ Ζηνοδότειος γραφὴ διὰ τοῦ ε̄, οἱ δὲ διὰ τοῦ ō. Pervertit haec Bekkerus, qui οἱ δὲ ἄλλοι διὰ τοῦ ᾱ scripsit et ad ἀπεβήσετο vel ἀπεβήσατο rettulit.

38. νήπιος] νήπιος ὁ Ἀγαμέμνων, ὅτι τὸ νῦν ἐπὶ μιᾶς ἡμέρας ἐνόμισεν.

39. θήσειν γὰρ ἔτ' ἔμελλεν ἐπ'] τὸ ἑξῆς ἐπιθήσειν ἄλγεα. ἡ δὲ προαναφώνησις ἐγερτική. πείθεται δὲ ὀνείρῳ ὁ Ἀγαμέμνων σφαλλόμενος ὑπὸ Διός. τὸ δὲ ὑσμίνας αἰτιατικὴ ἀντὶ γενικῆς, ἤτοι διὰ τῶν ὑσμινῶν.

41. θείη δέ μιν ἀμφέχυτ' ὀμφή] ὀμφὴ ἡ τὸ ὂν φαίνουσα. λέγει δὲ ὅτι ἔναυλον εἶχε τὴν τοῦ ὀνείρου φωνήν. ἐμφαντικὸν δὲ τὸ ἀμφέχυτο πρὸς τὸ μηδὲν αὐτῆς ἐπιλελῆσθαι.

42. ὀρθωθείς] ὀρθωθεὶς ἐκ τῆς ἀνακλίσεως, ὡς τὸ "ὀρθωθεὶς δ' ἐπ' ἀγκῶνος" (Il. 10, 80). καὶ τὸ ἐπὶ γόνατα δὲ ἐνεχθῆναι στῆναί φησιν (Il. 8, 329).

χιτῶνα] χιτὼν εἴρηται τὸ λεπτότερον ἱμάτιον, ὃ προφορεῖται παρὰ τὸ οἱονεὶ περιχεῖσθαι τῷ σώματι. ἱστέον δὲ ὅτι ἐπὶ μὲν ἀνδρὸς χιτῶνα λέγει, ἐπὶ δὲ γυναικὸς πέπλον.

43. νηγάτεον] ἢ ἀγέννητον, ἢ λεπτὸν, ἢ νεήγατον νεωστὶ γεγονότα. δηλοῖ δὲ ὁ χιτὼν καὶ τὸν σιδηροῦν παρ' αὐτῷ.

περὶ δὲ μέγα βάλλετο φᾶρος] τῷ τοῦ ἱματίου μεγέθει καὶ τὸ τοῦ φοροῦντος συνεμφαίνεται μέγεθος. πρεπώδης δὲ ἡ στολὴ τῷ ἐπὶ βουλὴν ἐξιόντι· ἐπὶ δὲ κατασκοπὴν (Il. 10, 29) ἡ λεοντῆ καὶ τὸ δόρυ. ἀφαιρεῖται δὲ τὸν τῦφον, ἑαυτοῖς λέγων διακονεῖσθαι· καὶ μὴ θαυμάσῃς τὸν Τηλέμαχον ὀρφανὸν καὶ νησιώτην ὄντα. φᾶρος δὲ παρὰ τὸ φέρεσθαι, ἢ τῇ ὑφῇ ἀρηρέναι. καὶ ἐπὶ γυναικὸς δὲ τάσσεται ταὐτό· "αὐτὴ δ' ἀργύφεον φᾶρος" (Od. 5, 230). καὶ τὸ ἔσθος δὲ καὶ ἡ λώπη ἐν διαφόροις γλώσσαις εἰσίν.

44. πέδιλα] παρὰ τὴν ἕλην, τὰ τοὺς πόδας θερμαίνοντα.

46. ἄφθιτον αἰεί] τὸ μηδέπω φθαρέν· οὔπω γὰρ ἦν ὑπὸ Ἡρακλειδῶν ῥηρημένον. ἢ ὅτι ἡφαιστότευκτον. οὐκ ἀκριβολογεῖται δὲ νῦν περὶ αὐτοῦ, ἀλλ' ἑξῆς.

48. ἠώς] νῦν τὸν ὄρθρον λέγει. σημαίνει δὲ καὶ τὴν θεὰν, ὡς τὸ "ἦρπασεν Ἠώς" (Od. 15, 250), καὶ τὸ ἑωθινὸν κατάστημα "ὄφρα μὲν ἠὼς ἦν" (Il. 8, 66), καὶ τὴν ἀνατολήν "πρὸς ἠῶ τ' ἠέλιόν τε" (Od. 9, 26), καὶ τὴν ἡμέραν "ἠὼς εἶσι δυσώνυμος" (Od. 19, 571). τὸν ὄνειρον δὲ εὐθὺς διεδέξατο ἡ ἡμέρα. οἱ δὲ πρὸς ἕω ὄνειροι ἀληθεῖς, πεττομένων τῶν σιτίων. μακρὸν δὲ Ὄλυμπον, ἐπειδὴ αἱ ἀκρώρειαι πρᾶται φωτίζονται.

49. φόως] τὸν ἥλιον· τοῦτον γὰρ ἀγγέλλει, ὡς καὶ αὐτὴν ὁ ἑωσφόρος. κατ' ἐξοχὴν δὲ ὁ ἥλιος φῶς λέγεται.

53. βουλήν] τὸ κενὸν τῆς συναγωγῆς ἀνεπλήρου τὸ πλῆθος. ἐμφαίνει δὲ τὴν Λακώνων ἐν τῇ δημηγορίᾳ πολιτείαν, βουλὴν γερόντων καὶ δύο βασιλεῖς καλῶν. βουλὴν δὲ αἱ μὲν πλείους καὶ χαριέστεραι δίχα τοῦ ν̄ γράφουσιν, Ἀρίσταρχος δὲ καὶ Ζηνόδοτος διὰ τοῦ ν̄. εἰσὶ δὲ Ἰδομενεὺς μὲν καὶ Αἴας Βοιωτοὶ, Φιλοκτήτης δὲ καὶ Πρωτεσίλαος Λοκροὶ, Ἐπειὸς δὲ Ἠλεῖος, Ἀθηναῖοι δὲ Μαχάων, Εὐρύπυλος, Μενέλαος, Ἀγαμέμνων, Νέστωρ, Ὀδυσσεὺς, Διομήδης. συνεχῶς δὲ ὁ ποιητὴς τοὺς γερασμίους φησὶ, διδάσκων ὅτι δεῖ τοὺς ἡγεμόνας οὐ μόνον καθ' ἡλικίαν, ἀλλὰ καὶ πρὸ ἡλικίας φαίνεσθαι γέροντας τοῖς ἤθεσι. τὸν δὲ ἔντιμον ἐνικῶς οὐδέποτε ὠνόμασεν. Ἀρίσταρχος δὲ τὸ ἶζε ἐκτείνει· ἡ δὲ κοινὴ συστέλλει.

54. Νεστορέῃ παρὰ νηὶ Πυλοιγενέος] εἰκότως παρὰ τῇ νηὶ Νέστορος· τούτῳ γὰρ ὁ ὄνειρος εἴκασται. Πυλοιγενέος δὲ ὡς ὀδοιπόρος καὶ χοροιτύπος. σημαίνει δὲ τὸν ἐν Πύλῳ τὸ γένος ἔχοντα.

55. ἠρτύνετο] ἥρμοζε, παρὰ τὸ ἀρῶ. ὡς ὀργιζόμενος δὲ Κάλχαντι οὐκ ἀναφέρει αὐτῷ· ἢ ὡς αὐτοκρίτου ὄντος· ἢ ὅτι τῶν ὀνείρων τὰ χρηστὰ φίλοις λέγομεν. οὐκ ἄποθεν δὲ μαντικῆς ὁ γέρων Νέστωρ.

56. ἐνύπνιον ὀνοματικὸν ἐπίρρημα, ἀντὶ τοῦ ἐνυπνίως. ἔστι δὲ καὶ ὄνομα. δεῖ κρατεῖν ὡς δραπετεύοντος τοῦ ἐνυπνίου. τὸ δὲ διὰ νύκτα ἀντὶ τοῦ διὰ νυκτός.

58. τὸ ἐκ σωματικοῦ καὶ ψυχικοῦ εἴδους σύγκραμα φυὴν ἴσως ὀνομάζει.

72. αἴ κέν πως] δισταγμὸς ὁ τρόπος. οὐ περιμένει δὲ κρίσιν· οὐ γὰρ ἐπὶ τούτῳ συνῆξεν αὐτοὺς, ἀλλ' ὅπως εὐέλπιδας ποιήσῃ.

73. οἶδεν αὐτοὺς ἀποκαμόντας τῷ χρόνῳ καὶ τῷ λοιμῷ καὶ τῇ ἀποστάσει Ἀχιλλέως. παρακαλεῖν δ' οὐκ ἐνῆν τὸν πρώην φοβερὸν καὶ λέγοντα "στυγέῃ δὲ καὶ ἄλλος" (Il. 1, 186), ἀλλ' οὐδὲ ἐπιτάσσειν, ὅπως μὴ ἀντιλεγόντων καὶ ἑτέρα στάσις γένηται. ἄλλως τε τῇ παραδόξῳ καὶ χαρᾷ καὶ λύπῃ τὴν ποίησιν ἐκτραγῳδεῖ, φίλτρον τε πορίζεται ἑαυτῷ· μισεῖ γὰρ τοὺς ῥιψοκινδύνους στρατηγοὺς ὁ στρατός. καὶ εἰ μὲν κατεθέξαντο φυγεῖν, εἶργε διὰ τῶν βασιλέων,

3. ἀνεπλήρου τὸ πλῆθος] * τοῦ πλήθους ἀναπληροῖ
5. αἱ — χαριέστεραι] οἱ — χαριέστεροι
6. Aristarchus βουλή scripserat.
25. * δισταγμὸς] δισταγμοῦ
29. οὐδὲ] οὔτε
32. * ἑαυτῷ] αὐτῷ

εἰ δὲ μὴ, ἐλάνθανε τὸ βούλευμα. ἄλλως δ' ἀπέβη· βλάπτει γὰρ ὁ Ζεύς.

*Πορφυρίου. διὰ τί ὁ Ἀγαμέμνων ἀπεπειρᾶτο τῶν Ἀχαιῶν, καὶ οὕτως ἔπραξεν ὥστε ὀλίγου τὰ ἐναντία συμβῆναι ἢ ἐβουλεύετο; καὶ τὸ κώλυμα ἀπὸ μηχανῆς· ἡ γὰρ Ἀθηνᾶ ἐκώλυσεν· ἔστι δὲ ἀποίητον τὸ μηχάνημα λύειν ἄλλως εἰ μὴ ἐξ αὐτοῦ τοῦ μύθου. φησὶ δὲ ὁ Ἀριστοτέλης ποιητικὸν μὲν εἶναι τὸ μιμεῖσθαι τὰ εἰωθότα γίνεσθαι, καὶ ποιητῶν μᾶλλον τὸ κινδύνους παρεισάγειν. εἰκὸς δὲ καὶ ἐκ λοιμοῦ πεπονημένους καὶ τῷ μήκει τοῦ χρόνου ἀπαυδήσαντας, καὶ τοῦ Ἀχιλλέως μετὰ τῆς οἰκείας δυνάμεως ἀποστάντος, καὶ αὐτοῦ ἀφαιρεῖσθαι ἐν τῇ ἐκκλησίᾳ τὴν Βρισηΐδα λέγοντος εἰς φόβον τῶν ἄλλων "στυγέῃ δὲ καὶ ἄλλος ἶσον ἐμοὶ φάσθαι καὶ ὁμοιωθήμεναι ἄντα" (Il. 1, 186), καὶ θορύβου τε ἐκ τῆς ἐξαναστάσεως τοῦ Ἀχιλλέως γεγονότος, μὴ εὐθὺς παρακαλεῖν ἐπὶ τὴν ἔξοδον, ἀλλὰ πειραθῆναι ἠγήσασθαι δεῖν εἰ οὕτως ἔχουσιν. εἰ γὰρ ἄνευ πείρας πολεμεῖν ἐκέλευε τοὺς οὕτω διακειμένους, συνέβη δὲ ἀντειπεῖν τινὰς, ἀνάστατον ἐγίνετο τὸ πᾶν ἔργον καὶ ἐπανάστασις πάντων, καὶ λοιπὸν ἡ δέησις τοῦ βασιλέως, ἡ κόλασις τῶν ἀπειθούντων. ἀναγκαία οὖν ἡ πεῖρα μετὰ τοῦ ἐναντιοῦσθαι παραγγεῖλαι τοὺς ἡγεμόνας, ἐν ᾧ αὐτοὺς φθάσας ἐναντίους παρακαλεῖ γενέσθαι τῇ αὐτοῦ εἰς ἀπόστασιν τοῦ πολέμου πείρας. προληφθέντες γὰρ ταῖς πρὸς αὐτὸν ὁμολογίαις, ἄτοποι εὑρίσκονται μὴ κωλυταὶ γινόμενοι, ὥσπερ συνέθεντο, συμπράκτορες δὲ τῶν φευγόντων. ὅθεν καὶ τῷ Ὀδυσσεῖ εὐλόγως λείπεται ἡ πρὸς τοὺς τοιούτους ἐπίπληξις, ἐπὰν λέγῃ "ἐν βουλῇ δ' οὐ πάντες ἀκούσαμεν οἷον ἔειπεν" (194). τὸ μὲν οὖν αὐτὸν παρακαλεῖν οὕτως ἔχοντας πολεμεῖν ἐπίφθονον ἦν· ἐκέλευσε δ' αὐτοῦ λέγοντος ὡς δεῖ ἀπιέναι, τοὺς ἄλλους κωλύειν· "ὑμεῖς δ' ἄλλοθεν ἄλλος ἐρητύειν ἐπέεσσιν" (75). συνέβη δὲ ἃ εἰκὸς ἦν, διά τε τὸ ὀργᾶν καὶ τὸ μὴ εἰδέναι εἰ ἀπεπειρᾶτο, ἀσμένως ἀκοῦσαι καὶ φθάσαι ἀναστάντας πρίν τινα τῷ Ἀγαμέμνονι ἀντειπεῖν. ὁ οὖν Ἀγαμέμνων ὀρθῶς ἐβουλεύσατο· οὐ γὰρ δεῖ ἐκ τῶν ἀποβαινόντων κρίνειν τὸ ὀρθῶς, ἀλλ' ἐκ τοῦ

3. Πορφυρίου praescripsi pro Ἀριστοτέλους, quod est in B hic et alibi interdum ab librario positum, quia Porphyrius Aristotelem memoravit: de quo dixit Rosius in Aristotele pseudepigr. p. 153.

4. συμβῆναι Bekkerus] συμβουλεύειν

5. ἐκώλυσεν] ἐκωλ

6. εἰ edidit Vill.

12. στυγέῃ] στυγέει hic et supra p. 90, 29.

πῶς κατὰ λόγον ἦν ἀποβῆναι· πολλὰ γὰρ παραλόγως ἐπιτυγχάνει, εἴπερ γε καὶ κατορθοῦται· καὶ οἱ Ἀχαιοὶ ἀνέστησαν πρίν τινα ἀντειπεῖν. τί γὰρ ἔφη; ἐγὼ μὲν ἐρῶ ὅτι δεῖ φεύγειν, ὑμεῖς δ' ἄλλοθεν ἄλλος ἀντιλέγετέ μοι πρὸς τοῦτο· οὐ προσδοκήσας ὅτι πρὶν ἀντειπεῖν αὐτῷ ἔσται τι τῶν ἀτόπων, οὐδ' ὅτι τὸ πλῆθος ἅμα τῷ φάναι αὐτὸν αἴξει ἐπὶ τὸ ῥηθέν. ἅμα δὲ καὶ ὁ ποιητὴς ἀγωνιᾶσθαι πεποίηκε τὸν ἀκροατήν· τό τε γὰρ ἀποβῆναι καὶ τὸ πάλιν εἰς ὀρθὸν ἐλθεῖν τραγικόν, καὶ τοῦ ποιητοῦ ἐπιβολὴ ἔνογκος. ἡ δὲ λύσις οὐκ ἀπὸ μηχανῆς· ὅταν γὰρ διὰ τῶν εἰκότων γίγνηται, οὐ μηχανὴ τοῦτ' ἐστίν, ἅμ' ὅτε πρόσκειται θεός. ἀλλὰ τοῦτ' εἰπὼν ὃ εἰκὸς ἦν αὐτοῖς γίνεσθαι εἰς θεὸν, ἀντέθηκε τὸν Ὀδυσσέα διανοηθῆναι ταῦτα δρᾶν ἃ πρᾶξαι ἂν εἰκός ἐστιν, ὡς τὸ "καὶ φεύγειν ἐν νηυσὶ πολυκλήϊσι κελεύσω· ὑμεῖς δ' ἄλλοθεν ἄλλος ἐρητύειν." ἢ οὐ τοὺς φεύγοντας ἐρητύειν κελεύει (οὐδὲ γὰρ ἤλπιζε τοῦτ' ἔσεσθαι), ἀλλ' ἐμοὶ ἀντιλέγειν, ἐπέχειν καὶ μένειν συμβουλεύοντας, καὶ τοῦτο ποιοῦντας πρὸς ἐμὲ διδάσκειν ὡς χρὴ μένειν καὶ μὴ τοῖς ὑπ' ἐμοῦ ῥηθεῖσι περὶ φυγῆς πείθεσθαι.

*Πορφυρίου. ἄλογον τὸ πειράζειν· εἰ γὰρ ἑτέρως, ὥσπερ καὶ ἐγένετο, τὸ πλῆθος ἔνευσεν, ἀπώλετο ἂν πάντα τὰ πράγματα. λύεται δὲ ἐκ τῆς λέξεως· προησφάλισται γάρ· "ὑμεῖς δ' ἄλλοθεν ἄλλος ἐρητύειν ἐπέεσσιν" (75). συνέφερε γὰρ ἡ πεῖρα διὰ τὸν καιρὸν, ἀφεστῶτος τοῦ Ἀχιλλέως καὶ τοῦ πλήθους ὑποπτευομένου.

74. πολυκλήϊσι] παρὰ τὸ κλᾶσθαι καθεζομένους ἐπ' αὐτῆς.

75. ἐρητύειν] οὐκ ἐκείνους φεύγοντας, ἀλλ' ἐμὲ ταῦτα λέγοντα· οὐ γὰρ ᾤετο τοσοῦτον ταχέως ἀναπτερωθῆναι πρὸς φυγὴν αὐτούς.

76. τοῖσι δ' ἀνέστη] ἔθος γὰρ ἦν αὐτοῖς ἵστασθαι καὶ δημηγορεῖν.

77. ἠμαθόεντος] παραθαλασσίας· ἢ Ἡμαθόεις ποταμὸς Πύλου.

79. μέδοντες] πρόβουλοι, παρὰ τὸ μήδεα. τὸ δὲ ῥῆμα καὶ ὡς περισπώμενον· "Ἰδηθεν μεδέων" (Il. 3, 276).

81. νοσφιζοίμεθα] ἐχωριζόμεθα τῆς πίστεως. τὸ δὲ μᾶλλον ἢ Ἀττικῶς παρέλκει, ἢ ἐπεὶ φύσει ψευδεῖς οἱ ὄνειροι, ἐξαιρέτως ἂν ἐχωρίσθημεν.

82. *ἀπρεπὲς εἶναι δοκεῖ τὸ οὕτω κολακεύειν ὡς τὰ μὲν τῶν ἄλλων ὀνείρατα ψευδῆ λέγειν, μόνον δὲ τὸ τοῦ Ἀγαμέμνονος ἀληθές. λύεται

5. οὐδ'] οὔθ'
18. *Πορφυρίου] καὶ ἄλλως
27. Ἡμαθόεις scripsi pro ἠμαθόης.
V. Thes. vol. 4 p. 144.

δὲ κατὰ λέξιν. οὐ γὰρ εἶπεν, εἴ τις εἶδεν, ὅτι ψευδὴς ἐθεάσατο, ἀλλ' εἴ τις εἶπε, τάχ' ἂν πρὸς χάριν ἐδόκει πλάσαι νῦν· δὲ αὐτὸς ἑαυτὸν οὐκ ἂν ἐξαπατῴη.

84. βουλῆς ἐξῆρχε νέεσθαι] ἐκ τοῦ βουλευτηρίου, ὥστε νεῖσθαι. τοῦτο δὲ ἡ ἡλικία καὶ ἡ τιμὴ ἡ παρὰ Ἀγαμέμνονος αὐτῷ δίδωσιν.

85. οἱ δὲ πανέστησαν] ἀντὶ τοῦ πάντες ἀνέστησαν.

ποιμένι λαῶν] δεῖ γὰρ τὸν ἄρχοντα τοσοῦτον εἶναι τῶν ἀρχομένων προυσύστερον ὅσον ποιμένα προβάτων. λέγει δὲ τὸν Ἀγαμέμνονα.

86. σκηπτοῦχοι βασιλῆες] καὶ γὰρ καὶ οἱ γέροντες καὶ οἱ ἱερεῖς ἐσκηπτροφόρουν.

ἐπεσσεύοντο δὲ λαοί] ὁρῶντες ἤδη συνιόντας τοὺς ἐν τέλει καὶ αὐτοὶ ἠκολούθουν ἅμα.

87. ἔθνεα] πρὸς τοὺς εἰκαζομένους Ἕλληνας. σημήνεα ἔδει εἰπεῖν. πρώτη δὲ αὕτη παραβολὴ τῷ ποιητῇ. συγγενὲς δὲ ποιητικῇ τὸ ζῷον διὰ τὸν μόχθον καὶ τὸ γλυκὺ καὶ τὴν σύνθεσιν τοῦ κηρίου. ἡ μὲν οὖν φαλαγγηδὸν γινομένη πρόοδος εὖ ἔχει· ὡπλισμέναι τε κέντροις εἰσὶν, ὑπήκοοί τε καὶ αὐταί εἰσι καὶ ἐπ' ἔργῳ ἐξίασιν, οὐχ ὡς αἱ γέρανοι. φιλάλληλοί τέ εἰσι, μεταβαίνουσαί τε πολλὰς ἀρχὰς πτήσεως ποιοῦνται. τὸ δὲ εἶσι καὶ ἑνικὸν δύναται εἶναι, ὡς τὸ "δοῦρα σέσηπε" (135), καὶ πληθυντικὸν τρίτον, ὡς "σπάρτα λέλυνται." ἀδινάων δὲ παρὰ τὸ ἄδην· διὸ δασύνεται.

88. αἰεὶ νέον ἐρχομενάων] οἱ μὲν πρὸς τὸ πλῆθος τοῦτο εἰρῆσθαι βέλτιον, ὅτι συνεχῶς οὕτω προΐασι πολλαὶ ὡς δοκεῖν αὐτὰς νεωστὶ ἄρχεσθαι τῆς ἐξόδου· οἱ δὲ νέον τὸ ἔαρ φασίν. ἄμεινον δὲ λέγειν ὅτι τοῖς μὲν ἄλλοις ζῴοις αἱ πτήσεις ἀποτεταμέναι γίνονται, αἱ δὲ μέλισσαι βραχύ τι πτᾶσαι ἐφιζάνουσι τοῖς ἄνθεσι καὶ πάλιν ἐφ' ἕτερα μετίασιν ἄνθη.

*τὸ νέον ἐρχομενάων ἀποδεδώκασιν ἀντὶ τοῦ νεωστὶ ἐρχομένων ἀεὶ, ὡς τὸ "κεῖνος γὰρ νέον ἄλλοθεν εἰληλούθει" (Od. 3, 318). τί οὖν ἐστι τὸ νεωστὶ ἐξηγούμενοί φασιν ὅτι τὰς πτήσεις οὐ διηνεκεῖς ποιοῦνται, ἀλλ' εἰς βραχὺ, ὥστε φαντασίαν ἀεὶ παρέχεσθαι ὡς ἀρτίως ἐξορμωμένων· ἐμοὶ δὲ δοκεῖ τὴν ὥραν μηνύειν μᾶλλον ὅτε πέτονται· πέτονται δὲ τοῦ ἦρος ἀεί· νέον δὲ τὸ ἔαρ ἐκάλουν, καὶ νέον ἔτος ἀπὸ τοῦ ἦρος προσηγόρευον. αὐτός τε ἐν ἄλλοις ἐκ πλήρους

2. πλάσαι] πλ^{a}
3. ἐξαπατῴη] ἐξαπατοίη
4. *νεῖσθαι] γενέσθαι
17. αὐταί] αὖται

ἔφη "ἔαρος νέων ἰσταμένοιο" (Od. 19, 519)· πατέρα τε τῶν καιρῶν τὸν χειμῶνα Πυθαγόρας καλεῖ. αὗται οὖν κατὰ τὸ νέον ἔαρ ἔρχονται. ὅτι γὰρ τὸ ἔαρ δηλοῖ, ἐπάγει "βοτρυδὸν δὲ πέτονται ἐπ' ἄνθεσιν εἰαρινοῖσιν." θαυμάσαι δὲ ἔστι Ζηνόδοτον τὸ βοτρυδὸν ἐκλαβόντα ἐοικότως βότρυϊ τῷ ὀρνέῳ, ὅπερ αὐτὸ συστρέφει ἐν τῇ πτήσει· οὐδεὶς γὰρ τῶν παλαιῶν, οὐδ' Ἀριστοτέλης, βότρυν ζῷον ἔγραψε. κέχρηται δὲ Ὅμηρος ἐπ' ἀμπέλου τῷ βότρυος ὀνόματι· "μέλανες δ' ἀνὰ βότρυες ἦσαν" (Il. 18, 562). βοτρυδὸν οὖν τὸ ἐοικότως βότρυϊ σταφυλῆς· κατὰ συστροφὰς γὰρ πέτονται· τάχα δὲ καὶ ὅτι ἐν σχήματι βοτρύων ἐκκρέμανται τῶν ἀνθέων, τῶν ῥαγῶν τὴν τραχύτητα μιμούμεναι τῷ πολλὰς καθ' ἑνὸς ἐκκρέμασθαι. ἐπὶ μὲν οὖν τῶν μελισσῶν τὸ βοτρυδὸν λέγει, ἐπὶ δὲ τῶν Ἑλλήνων, οἷς τὰς μελίσσας παραβέβληκεν, ἰλαδὸν εἰς ἀγορήν, κατὰ ἴλας καὶ συστροφὰς, ὅτι ὡς συνηθείας καὶ τῆς πρὸς ἀλλήλους ἑταιρείας εἶχοντο. ἰσοδυναμεῖ οὖν ἄρα τὸ ἰλαδὸν τῷ βοτρυδόν.

89. βοτρυδὸν] πυκναὶ καὶ ἐξηρτημέναι ἀλλήλων ὡς ῥᾶγες. οὕτω δὲ ἵπτανται σκιάζειν θέλουσαι ἀλλήλας, ὀχλούμεναι ὑπὸ τοῦ ἡλίου.

εἰαρινοῖσιν] τότε γὰρ γλυκέα καὶ τῆς ἰκμάδος πλήρη τὰ ἄνθη διὰ τὸ εὔκρατον τοῦ ἀέρος.

92. ἠϊόνος προπάροιθε βαθείης ἐστιχόωντο] οὐ λέγεται ὁ τῶν κυμάτων κτύπος, ἀλλ' αὐτὸς ὁ αἰγιαλός. βαθείης δὲ οἱ μὲν μακρᾶς, ἐπεὶ καὶ "φρείατα μακρὰ νάουσιν" (Il. 21, 197) ἀντὶ τοῦ βαθέα· ἢ ὅτι τοῖς μὲν ἀπὸ γῆς βαθεῖα δοκεῖ, τοῖς δὲ ἀπὸ θαλάσσης ὑψηλή. τὸ δὲ προπάροιθεν καὶ ἐπὶ τόπου καὶ ἐπὶ χρόνου λαμβάνεται. καὶ ἐστιχόωντο δὲ ἐκ τοῦ στείχω στιχῶ, ὡς πείθω πιθῶ, καὶ φείδω φιδῶ.

93. ἰλαδόν] ὁμοίως τῷ βοτρυδόν, ᾧ καὶ ἀκολουθεῖ· σημαίνει δὲ τὸ μετὰ συστροφῆς καὶ εὐκινησίας.

94. Διὸς ἄγγελος] πανομφαίως γὰρ ὁ Ζεὺς λέγεται, ὅτι τὰ αὐτομάτως γινόμενα εἰς αὐτὸν ἀναφέρεται. ἄγγελος δὲ ἡ θεία κληδὼν, ἢ περὶ ἀπόπλου λέγειν ἔμελλεν. δεδήει δὲ ἀντὶ τοῦ ἐξήπτετο παρὰ τὸ δαίω.

95. τετρήχει] ἐθορυβεῖτο καὶ ἀσύμφωνος ἦν. ἐκ τοῦ ταράσσω. ἀγορὴ δὲ τὸ πλῆθος.

96. ὅμαδος] ὁμάυδός τις ὢν, ἢ ὄπαδος, παρὰ τὴν ὄπα. πιθανῶς

17. * ἀλλήλας] om.

δὲ ἐν μὲν ταύτῃ τῇ ἐκκλησίᾳ κήρυκές εἰσιν οἱ τὴν βοὴν παύοντες, ἐν δὲ τοῖς ἑξῆς Ἀθηνᾶν Ὀδυσσεῖ παρέστησε· πλείων γὰρ ἦν ὁ θόρυβος. ἐννέα δὲ κήρυκες οἱ τῶν ἐννέα γερόντων, Ὀδίος Αἴαντος, οἱ περὶ Ταλθύβιον καὶ Εὐρυβάτην Ἀγαμέμνονος, Εὐρυβάτης Ὀδυσσέως, Ἀσφαλίων καὶ Ἐτεωνεὺς Μενελάου, Θοώτης, Στέντωρ Νέστορος, Μηριόνης Διομήδους.

99. σπουδῇ] μόγις. δηλοῖ δὲ ἡ λέξις καὶ τὸ ταχέως "σπουδῇ νῦν ἀνάβαινε" (Od. 15, 209).

100. ἀνὰ] τὸ ἑξῆς ἀνέστη. ἅμα δὲ καὶ τὸ σκῆπτρον ἀνέτεινε κατ' ἔθος.

101. κάμε τεύχων] καμὼν ἔτευξεν. ἀντιστροφὴ ὁ τρόπος.

102. Ἥφαιστος μέν] ὁ τρόπος κλῖμαξ· τὸ λῆγον γὰρ τῆς διανοίας ἀρχὴ γίνεται τῶν ἑξῆς. ἕκαστος δὲ στίχος τὸ γένος, τὸν δόντα, τὸν εἰληφότα φησί. μέγα δέ ἐστι καὶ θεῖον ὂν καὶ ὑπὸ θεῶν διακονούμενον. ὃ ὁ μὲν Ἥφαιστος τῷ Διὶ κατεσκεύασεν ὡς χειρῶναξ κελευόμενος· ὁ δὲ Ἑρμῆς εἴληφε παρὰ Διὸς κομίσαι κατὰ διακονίαν Πέλοπι· ὁ δὲ Πέλοψ καταλείπει Ἀτρεῖ πρεσβυτάτῳ ὄντι τῶν υἱῶν· Ἀτρεὺς δ' ἐπὶ μικροῖς τελευτῶν τοῖς παισὶ διαδόχῳ χρῆται τῷ ἀδελφῷ. ὁ δὲ οὐ τῷ ἑαυτοῦ παιδὶ Αἰγίσθῳ τὴν ἀρχὴν ἐνεχείρισεν, ἀλλ' ὡς ἀγαθὸς ἐπίτροπος διαφυλάξας ἀπέδωκεν Ἀγαμέμνονι.

103. αὐτὰρ ἄρα Ζεύς] καλῶς ὅτε μὲν ἀπὸ τοῦ ὀνόματος, ὅτε δὲ ἀπὸ τοῦ συνδέσμου ἄρχεται, τὸ ὁμοειδὲς ἐκκλίνων.

ἀργειφόντῃ] ἀργῷ φόνου· "μηδέ τί τοι θάνατος καταθύμιος ἔστω· τοῖον γάρ τοι πομπόν" (Il. 24, 152). καὶ δώτορα δὲ ἑάων αὐτόν φησιν. ἢ ἀργεφόντης ἢ ἀργεφόντης καὶ ἀργειφόντης, ὡς πλέον πλεῖν. τὸν δὲ Ἰοῦς ἔρωτα οὐκ οἶδεν ὁ ποιητής, πέπλασται δὲ τοῖς νεωτέροις τὰ περὶ Ἄργον. ἐκ δὲ τοῦ Πέλοπι πληξίππῳ ὁ ἱππικὸς ἀγὼν Πέλοπος καὶ Οἰνομάου δηλοῦται. τὸ δὲ ἐπίθετον Θυέστου, ὅτι πολύαρνος ὢν ἐγέννησε τὸν μῦθον τὸν περὶ τῆς χρυσῆς ἀρνός.

104. Πέλοπι πληξίππῳ] πλήξιππόν φασιν εἰρῆσθαι τὸν Πέλοπα διὰ τὸ μετὰ θάνατον Μυρτίλου αὐτὸν ἡνιοχῆσαι τοὺς ἵππους ἀπὸ Εὐβοίας μέχρι Πελοποννήσου.

105. Πέλοψ δῶκ' Ἀτρεΐ] φασὶν Ἀτρέα καὶ Θυέστην ἐπιβουλεύσαντας Χρυσίππῳ νόθῳ ἑαυτῶν ἀδελφῷ ἐκβεβλῆσθαι ὑπὸ τοῦ πατρός, μετὰ δὲ θάνατον Πέλοπος Ἀτρέα ἐπιστρατηγήσαντα εἰς Ἦλιν κρατῆσαι τῶν σκήπτρων τοῦ πατρός.

1. * παύοντες] ποιοῦντες

10. * ἀντιστροφὴ] ἀναστροφὴ

106. Ἀτρεὺς δὲ θνήσκων ἔλιπεν πολύαρνι Θυέστῃ] ὅτι Ὅμηρος οἶδεν αὐτοὺς ἄχει τέλους ἀδελφικὴν εὔνοιαν φυλάξαντας· εἰ δὲ ἦν αὐτοῖς ἔχθρα, οὔθ' ὡς Αἴγισθον Ἀγαμέμνων κατήγετο, οὔτ' ἂν οἱ θεοὶ ἐπέστελλον Αἰγίσθῳ μὴ ἀμύνασθαι Ἀγαμέμνονα· οὔτε Ὅμηρος πικρῶς οὕτως ἐλοιδόρει αὐτὸν ἄναλκιν καλῶν καὶ δολόμητιν, εἰ μὴ τὰ τὴν συγγένειαν πρῶτος ἐλυμήνατο. Λικύμνιος δὲ παραδηλοῦσθαί φησι λεληθότως τὴν ἔχθραν, ἵνα μὴ λοιδορήσῃ τὸ γένος· τὸ μὲν γὰρ δῶκε φιλίας τεκμήριον. τὸ δὲ καταλιπεῖν ἀνάγκης, διὸ ἐφ' ὧν μὲν τῷ ἔδωκεν ἐχρήσατο, ἐφ' ὧν δὲ τῷ ἔλιπεν.

107. λεῖπε φορῆναι] μεγάλη καὶ πολυχρόνιος πρὸς ἀρχὴν ἡ τοιαύτη κατασκευὴ καὶ τὸ παλαιὸν ἀξίωμα. ἐξαίρει δὲ τὸν φορεῖντα.

108. πολλῇσιν νήσοισι] τούτῳ τοῦτο συνέβη διὰ τὴν ἐπὶ Ἴλιον στρατείαν· Ῥόδιοι γὰρ καὶ Αἰγινῆται καὶ οἱ λοιποὶ λαοὶ Ἀτρείδεω Ἀγαμέμνονος λέγονται. τινὲς δὲ ἐννέα κώμας φασὶν ἐν Ἄργει, αἳ ὑπέκειντο αὐτῷ, ἃς καλοῦσι καὶ νήσους.

109. ἐρεισάμενος] ἀπερείδων ἑαυτὸν καὶ ἀναπαύων.

110. ἥρωες Δαναοί] προεπαίρει τοῖς ἐγκωμίοις, ὅπως αἰδοῖντο φεύγειν. οὐ λέγει δὲ αὐτοῖς τὸ ὄναρ, ὅπως μὴ δοκῇ σκευώρημα, ἢ ἑτέρως ἀποβῇ καὶ θεομισὴς εἶναι δόξῃ.

111. ἄτῃ] ἄτη ἡ ἑκούσιος ἁμαρτία, καὶ ἀτηρός, καὶ ἴσα ἄτῃσιν. οἱ δὲ ζημία· τοῦτο δὲ ἀναπόδεικτόν ἐστιν.

112. ὑπέσχετο καὶ κατένευσεν] προτρεπτικὸν τοῦτο πρὸς τὸ μένειν τοὺς Ἀχαιούς· οὐ γὰρ ἀτελεύτητον ὅ τί κεν κεφαλῇ κατανεύσει (Il. 1, 527). ἀνάγει δὲ ἐπὶ τοὺς νεοσσοὺς καὶ τὰς διοσημίας.

113. ἐκπέρσαντ'] τὸ ἐντελὲς ἐκπέρσαντι, ὡς "χρυσείῃ κερκίδ' ὕφαινεν" (Od. 5, 62). καὶ "Αἴανδ', ὃς βελέεσσι βιάζετο καὶ οὐ χάζετ' ὄπισθεν" (Il. 15, 727).

114. κακὴν ἀπάτην] ἔστι γὰρ καὶ δικαία, ὡς καὶ Αἰσχύλος (fr. 287.) "ἀπάτης δικαίας οὐκ ἀποστατεῖ θεός." καὶ τίς πείθοιτο θεὸν ἐναντία ἑαυτῷ βουλεύσασθαι;

115. δυσκλέα] ἐκ τοῦ δυσκλεής δυσκλεέα· ἔστι δὲ ἔλλειψις τοῦ ε, οὐ συναλοιφή· οἱ δὲ νεώτεροι ἐκτείνουσι καὶ περισπῶσιν ὡς ἀπὸ τοῦ δυσκλεής. τοῦτο δὲ εἶπεν οἰόμενος ὡς οὐ πείσονται οἱ Ἕλληνες δυσκλεεῖς ὑποστρέψαι.

3. *οὔτ'] οὐκ

33. συναλοιφή] συναλιφή

ἐπεὶ πολὺν ὤλεσα λαόν] ἀντὶ τοῦ ὅτε. οἰκειοῦται δὲ τὴν ἀπώλειαν τοῦ στρατοῦ παραμυθίας ἕνεκα.

116. μέλλει ἀντὶ τοῦ ἔοικε· διὰ τούτου δὲ διστάξιμον αὐτὸ ἐποίησεν.

117. ὃς δὴ πολλάων πολίων] ἄδηλον εἴτε καθολικῶς αὐτὸ λέγει, εἴτε περὶ τῶν εἰκοσιτριῶν πόλεων ὧν περὶ Ἴλιον ἐπόρθησαν. ὑπόνοιαν δὲ δίδωσι καὶ περὶ Ἰλίου· πιθανὸν γὰρ ἐκ τῶν ὑποκειμένων τὴν δύναμιν δεῖξαι τοῦ Διός.

118. τοῦ γὰρ κράτος] Πυθαγόρας τί ἐστι θεῖον ἐρωτηθεὶς τὸ πάντων ἔφη κρατοῦν, τῷ αἰτίῳ καὶ τοῖς ἄλλοις, ὥστε καὶ πολέμων ἔχειν ἐξουσίαν· τίς ἂν οὖν εἴην ἐγὼ, φησὶν Ἀγαμέμνων, πρὸς τὸ κράτος ἐκείνου;

120. τοιόνδε τοσόνδε τε λαὸν Ἀχαιῶν] διὰ τῶν ἐγκωμίων μείζων ἡ κατηγορία· καὶ ὅτι ἀΐδιος ἔσται αὐτοῖς ἡ ὕβρις, τὸν πόλεμον ἀτελῆ καταλιποῦσιν.

122. ταχεῖα οὖν ἐλπὶς τῆς νίκης, εἴ γε καὶ πλείους καὶ ἰσχυρότεροι καὶ Δία ἔχοντες σύμμαχον, καὶ τῆς ἥττης πολλὴ ἡ αἰσχύνη.

τέλος δ' οὔ πώ τι πέφανται] τὸ δέ ἀντὶ τοῦ γάρ. κρίσις γὰρ νίκης ἢ ἥττης οὐ πέφανται. πῶς οὖν πρὸ τέλους ὑποχωρήσουσιν; ἐκδεκτέον οὖν τὸ τῆς μάχης πέρας.

125. Τρῶας μὲν λέξασθαι ἐφέστιοι ὅσσοι ἔασιν] οὐχ ὁμοίως ἐσχημάτισε τῷ Τρῶας τὸ ἡμεῖς· ἀντίστροφον δὲ τοῦτο καὶ κατὰ τὰς πτώσεις· "ἦ ἐθέλεις ὄφρ' αὐτὸς ἔχῃς γέρας, αὐτὰρ ἔμ' αὖτως" (Il. 1, 133). τὸ δὲ λέξασθαι δηλοῖ ε', τὸ λέγειν, ὡς τὸ "λέξασθαι δὲ περὶ τῶν οὐ δύναται·" τὸ κοιμᾶσθαι, ὡς τὸ "λέξομαι δ' εἰς εὐνήν" (Od. 17, 102)· τὸ ἐκλέγεσθαι, ὡς τὸ "λέξασθαι κούρους" (Il. 21, 27)· τὸ ἀριθμεῖν, ὡς τὸ "λέγε κήτεσσι" (Od. 4, 452)· τὸ οἰκοδομεῖν, ὡς τὸ "αἱμασιὰς λέξονται" (Od. 24, 223). ἐφέστιοι δὲ οἱ ἔποικοι, συναριθμουμένων παιδίων καὶ γερόντων· οὗτοι γάρ εἰσιν οἱ προθύμως ὑπὲρ τῆς σφετέρας ἀμυνόμενοι.

126. ἐς δεκάδας διακοσμηθεῖμεν] ἔθος πλείονας τῶν δέκα μὴ συνεσθίειν, ὡς καὶ Ἀριστοτέλης ἐν Πολιτείαις φησίν. τὸ δὲ διακο-

33. *διακοσμηθῆμεν] διακοσμηθεῖμεν

σμηθῆμεν ἀντὶ τοῦ διακοσμηθῆναι, ἵν' ᾖ ἀπὸ κοινοῦ τὸ ἐθελήσομεν. οἱ δὲ διακοσμηθεῖμεν, ἵν' ᾖ διακοσμηθείημεν εὐκτικόν.

127. οἰνοχοεύειν] πιθανῶς κἀν τῷ ἀριθμεῖν αἰχμαλωσίαν οἰωνίζεται Τρωσίν. ἢ ὡς φιλοίνοις, ἢ ὡς ἐν συμποσίοις ἀλαζονευομένοις. ἢ διαπαίζει τὸν Γανυμήδους μῦθον.

129. πλέας] ἀπὸ τοῦ πλέονας τὸ πλέας συγκέκοπται.

130. ἀλλ' ἐπίκουροι] καὶ γάρ φησι "κέκλυτε μυρία φῦλα περικτιόνων ἐπικούρων" (Il. 17, 220). ἐπίκουροι δὲ οἱ ἐξ ἀλλοδαπῆς ἥκοντες πρὸς συμμαχίαν.

131. ἄνδρες ἔασιν] διὰ τούτου ὑποχωρεῖν κελεύει, καὶ ὀνειδίζει τὸ ἴδιον συμμαχικόν. τὸ δὲ ἔασι τινὲς ἔνεισιν, ὡς τὸ ἔνειμεν.

* ἐγχέσπαλοι δὲ εἴρηται ἀπὸ τοῦ τὰ ἔγχη πάλλειν καὶ κινεῖν τὰ δόρατα. ἔσειον δὲ αὐτὰ πρὸ τῆς ἀφέσεως, μήποτε ἄρα εἶεν κεκλασμένα.

132. οἵ με μέγα πλάζουσι] ἀποσφάλλουσι τῆς ὁρμῆς. εὖ δὲ τὸ οἰκειοῦσθαι τὴν ἧττταν καὶ μὴ τὸ κοινὸν ἐλέγχειν. ἐθέλοντα δὲ τὸ δυνάμενον· Ἰλίου δὲ πτολίεθρον ἄμεινον ἦν εἰπεῖν Ἴλιον ἦπερ Ἰλίου· ἀλλὰ συνωνυμικῶς εἶπεν, ὡς Ἀργοῦς νηὸς σκάφος. (Euripid. Med. 1).

134. βεβάασι Διός] ἀντὶ τοῦ διῆλθον, διεπορεύθησαν, ὡς τὸ "βῆ δ' ἄρ' ἐπ' Ἀτρείδην" (18) ἀντὶ τοῦ ἐπορεύθη. Διὸς δὲ τοῦ ἡλίου, ἢ τοῦ διερχομένου χρόνου.

ἐν ἑνὶ στίχῳ τέθεικε τὴν Ἀθίδα καὶ κοινὴν χρῆσιν. ταῦτα δὲ ἀμφοτέροις συνάδει, τῷ μὲν ἀπιέναι, πρὶν διαφθαρῆναι τέλεον τὰς νῆας, καὶ τῷ μένειν διὰ τὸ τέως σεσηπέναι καὶ μὴ δύνασθαι πλεῖν. Θεόπομπος δὲ ταύτην αἰτίαν αὐτοῖς τοῦ ναυαγίου φησὶν, ὡς καὶ τοὺς περὶ Κάλχαντα καὶ Ἀμφίλοχον πεζοὺς ἀπαλλάττεσθαι. ἔστι δὲ πρὸς μὲν τὸ ἀπιέναι διεγερτικὸν ὡς ἐκεῖ καθημένων ἀπράκτων χρόνον τοσοῦτον, πρὸς δὲ τὸ μένειν ὡς τοῦ τῆς ἁλώσεως χρόνου πληρωθέντος· τῷ γὰρ δεκάτῳ ἔτει τὸ Ἴλιον ἔφη Κάλχας ἁλώσεσθαι. ἐλπίδα δὲ τοῦ τέλους ὑπογράφων αὐτοῖς οὐκ ἐνεστηκέναι τὸν ἔνατον ἐνιαυτὸν εἶπε (καίτοι οὕτως ἦν τὸ ἀληθὲς, ὅπερ καὶ Ὀδυσσεύς φησιν "ἡμῖν δ' εἰνατός ἐστι περιτροπέων ἐνιαυτός" 295). φασὶ δὲ ὅτι παρεληλύθεισαν οἱ ἐννέα οὗτοι ἐνιαυτοί. λέγει δὲ ὅτι ὡς παρὰ γυναι-

2. * οἱ δὲ—εὐκτικόν] Pro his in B nihil praeter οἱ δὲ διακοσμηθείημεν.

5. * τὸ πλέας] τὸ πολέας

κῶν καὶ παίδων πεθούμενοι ἀπαλλαττόμεθα, ἢ ὡς μηδὲν τῆς προσδοκίας ἄξιον εἰργασμένοι.

140. φεύγωμεν σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν] ἐνῆν εἰπεῖν στείχωμεν· ἀλλὰ τῷ αἰσχρῷ ὀνόματι ἀποτρέπει τοῦ ἀπόπλου. φίλην δὲ τὴν ἰδίαν· "φίλους λήθοντε τοκῆας" (Il. 14, 296). πατρίδα δὲ, τουτέστιν ἕκαστος εἰς τὴν ἰδίαν· ἔδει δὲ εἰπεῖν πατρίδ' ἐς αἶαν.

142. θυμὸν ἐνὶ στήθεσσιν ὄρινεν] τὸ αἰφνίδιον τῆς τῶν ἀνθρώπων ὁρμῆς ἐσήμανε, περὶ τῶν οἴκοι τερπνῶν ἀκουσάντων. τὸ δὲ μετὰ πληθύν ἀντὶ τοῦ ἐν τῷ πλήθει ἢ κατὰ τὸ πλῆθος. ἐπάκουσαν δὲ ἀντὶ τοῦ ἤσθοντο τῆς τοῦ Ἀγαμέμνονος γνώμης.

144. κινήθη] ὥρμησε. μακρὰ δὲ τὰ ὑψηλὰ, ἤτοι τὰ ἐκ βάθους κινούμενα· συνωθοῦνται γὰρ ἄλλα ἐπ' ἄλλοις, ὡς ὅλης ἐκ βυθοῦ ταρασσομένης τῆς θαλάττης.

διὰ τί δὲ προειπόντος τοῦ Ἀγαμέμνονος ἐν τοῖς προβεβουλευμένοις (75) "ὑμεῖς δ' ἄλλοθεν ἄλλος ἐρητύειν ἐπέεσσιν," ὁρμησάντων τῶν Ἑλλήνων ἐπὶ τὰς ναῦς οὔτε Ὀδυσσεὺς οὔτε ἄλλος οὐδεὶς τοῦτο ἐποίησε ταχέως, ἀλλ' ὁ μὲν ἔστηκεν ἁπλῶς μόνον οὐχὶ ἁπτόμενος τῆς νηὸς, οἱ δὲ ἐπὶ τῆς ἐκκλησίας μένουσι, καὶ παραγίνεται ἡ Ἀθηνᾶ ὥσπερ καθεύδοντα ἐγείρουσα τὸν Ὀδυσσέα; ἢ ὅτι οὐχ οἷόν τε ἦν ὁρμησάντων παραχρῆμα ἐπέχεσθαι αὐτοὺς, θορύβου κατέχοντος τοσούτου· θεατὰς γοῦν ἡμᾶς ποιῶν τῆς τότε ἀταξίας αὐτῶν, ἐπιτραγῳδεῖ ταῦτα τὰ ἔπη "κινήθη δ' ἀγορὴ ὡς κύματα." διὸ ὁ Ὀδυσσεὺς, μετὰ Νέστορα συνέσει προὔχων, ἵσταται μὴ καθέλκων τὴν ναῦν, διὰ τούτου δεικνὺς ὃ ἐβούλετο καὶ τοὺς ἄλλους ποιεῖν. ἔστι δὲ Ὀδυσσεὺς ἱκανώτερος Νέστορος πάντα πρᾶξαι τὰ διὰ σώματος, τῶν δὲ ἄλλων συνετώτερος· διὸ πρὸς τοῦτον ἡ Ἀθηνᾶ ἥκει· οὐ γὰρ πιθανὸν θεοῦ δίχα παυθῆναι τοιοῦτον θόρυβον.

146. ὦρορ'] ἀπὸ τοῦ ὄρωρε Ἀττικοῦ ὑπέρθεσις ἐγένετο τοῦ χρόνου. ἐπαίξας δὲ, ἄνωθεν αἰγιδώδης πνεύσας.

147. πρὸς συμπλήρωσιν τῶν ἀσταχύων οἱ ζέφυροι πνέουσιν. λήϊῳ δὲ τὴν ἠϊόνα παρεικάζει. ἠπειρωτικὴ δὲ ἡ παραβολὴ, ὅπερ ἄμεινον ἐνταῦθα· ἡ πρώτη μὲν γὰρ τὸν τάραχον, ἡ δὲ δευτέρα τὴν ὁμοθυμαδὸν ὁρμὴν παρίστησιν.

148. πυκνοῖ τὸ λήϊον τοῖς στάχυσιν, ὡς "ἔφριξε δὲ μάχη ἐγχείῃσιν." οἱ δὲ στάχυες ὑπὸ τοῦ ἀνέμου συνειλούμενοι πυκνοῦσι τὸ λήϊον.

150. νῆας ἐπ' ἐσσεύοντο] οὐκ ἀναστρεπτέον· αἱ γὰρ συναλειφόμεναι οὐκ ἀναστρέφονται, ἐπεὶ μὴ ἐπὶ τέλους κέωνται ῥῆμα δηλοῦσαι. ὑπένερθε δὲ ἤτοι ὑπὸ τῶν ποδῶν αὐτῶν νέρθεν ἐγειρομένη ἀνίστατο ἡ κόνις.

152. ἅπτεσθαι—δῖαν] ἐπιλαμβάνεσθαι, ὡς τὸ "ἑανοῦ ἁπτομένη" (Il. 16, 9). τὸ δὲ δῖαν Δωρικῶς συνέστειλεν.

153. οὐρούς] ἐκ τοῦ ὀρούειν· δι' αὐτῶν γὰρ αἱ νῆες ὀρούουσιν. τῷ δὲ χρόνῳ πολλή τις ὕλη περὶ αὐτοὺς ἦν, ἣν καὶ ὑφεῖλκον.

ἀϋτὴ δ' οὐρανὸν ἶκεν] μεγαλοφυῶς ηὔξησε τὴν ταραχήν, ἣν καὶ Ἀριστοφάνης ἐν Ἀχαρνεῦσιν ἐλεπτολόγησεν.

155. νόστος] ἡ εἰς τὸν οἰκεῖον τόπον ὑποστροφή· "νόστου δὴ μνῆσαι" (Il. 10, 509) καὶ "νοστήσαντα ἄνακτα" (Il. 13, 38). τὸ δὲ ὑπέρμορα ὀνοματικόν ἐστιν ἐπίρρημα.

156. εἰ μὴ Ἀθηναίην Ἥρη] εἰς τοσοῦτον ἄγει τὰς περιπετείας, ὡς μὴ δύνασθαι αὐτὰς ἀλλ' ἢ μόνον μεταθεῖναι τὸ θεῖον. πρῶτος δὲ καὶ τὰς τραγικὰς τοῖς τραγικοῖς εἰσηγήσατο μηχανάς.

τὸ τῆς Ἀθηνᾶς ἄγαλμα δόρυ κρατεῖ διὰ τὸ σταθηρὸν καὶ ἀνδρεῖον· ὁμοίως καὶ ἀσπίδα παρὰ τὸ πᾶσαν ἐπιβουλὴν διὰ τῆς σοφίας ἀπωθεῖσθαι· ἡ αὐτὴ γάρ ἐστι τῷ νῷ. καὶ περικεφαλαίαν διδόασιν αὐτῇ διὰ τὸ εἶναι τῆς σοφίας τὸ ἀκρότατον ἀθέατον καὶ ἐλαίαν ὡς καθαρωτάτης οὔσης οὐσίας· φωτὸς γὰρ ὕλη ἡ ἐλαία. καὶ Γοργόνα διδόασιν ἐπὶ τοῦ στήθους αὐτῇ διὰ τὸ ταχὺ τοῦ νοῦ.

157. ὦ πόποι] καὶ τῷ σχετλιασμῷ καλῶς κέχρηται, καὶ τὴν αἰσχύνην τῶν φίλων προβέβληκε, καὶ τῶν πολεμίων τὴν χαρὰν ἐπάγει. συμφέρεσθαι δὲ ἀλλήλαις Ἥραν καὶ Ἀθηνᾶν λέγων, δείκνυσιν ὅτι οὔτε μητρυιὰν πρόγονον δεῖ μισεῖν οὔτε πρόγονον μητρυιᾷ διαφέρεσθαι, ἀλλ' ἢ μᾶλλον συμφέρεσθαι.

161. Πριάμῳ καὶ Τρωσί] καλῶς οὐκ Ἀλεξάνδρῳ, ἀλλὰ Πριάμῳ καὶ Τρωσί φησι, τῆς Ἑλληνικῆς Ἑλένης αὖξων τὸ ἐγκώμιον.

163. ἀλλ' ἴθι νῦν] οὐκ ἄτοπον γὰρ καὶ τοῖς ἐνδόξοις ἡ χρειώδης ὑπηρεσία.

164. ἀγανοῖς] προσηνέσι, πράοις, ἐπάγεσθαί τε καὶ ὑπάγεσθαι

2. ἐπεὶ] * εἰ, recte.

10. Ἀχαρνεῦσιν] οὐρανομήκη φωνήν dixit Nub. 357.

11. * δὴ] δέ μιν

15. * τραγικὰς—τραγικοῖς] στρατηγικὰς—στρατηγικοῖς

δυναμένοις· οὕτω γὰρ ἔδει μαλάσσειν, τὸ σφριγῶδες τῆς ὁρμῆς. τὸ δὲ ᾱ πρὸ τοῦ γ̄ ψιλοῦται, πλὴν τοῦ ἁγνός.

165. ἀμφιελίσσας] ἀμφοτέρωθεν στρεφομένας καὶ ἐρεσσομένας.

169. Διὶ μῆτιν ἀτάλαντον] εἰ μὴ δεξιὰ Ὅμηρος περὶ θεῶν ἐφρόνει, οὐκ ἂν τὸν Ὀδυσσέα Διὶ μῆτιν ἀτάλαντον ἔλεγε καὶ θεοῖς ἐναλίγκια μήδε' ἔχοντα. πῶς γὰρ οἱ θεοὶ δοκοῖεν ἂν ἄφρονες, ὁπότε ὁ ἔπαινος τῶν ἀγαθῶν ἀνδρῶν ἐπὶ τούτους ἀναφέρει τὴν εἰκόνα; ὃ δὲ κεκέλευσται ποιεῖν ἡ Ἀθηνᾶ, ὡς σοφὸς ἀρχιτέκτων, διὰ δραστηρίου τοῦ ὑπηρέτου ποιεῖ· οὗτος γὰρ μετὰ τοῦ λόγου καὶ τὸ πρακτικὸν ἔχει, ἀλλ' οὐχ ὡς Νέστωρ τὸ ἕν.

*Πορφυρίου. λύων ὁ Ἀριστοτέλης τὸ τάλαντον οὔτε ἴσον φησὶ τότε καὶ νῦν εἶναι, οὔτε ἀφωρισμένῳ χρῆσθαι σταθμῷ, ἀλλὰ μέτρον τι μόνον εἶναι, ὡς καὶ φιάλη σχῆμά τι ἀφωρισμένον ἔχον σταθμὸν, μέτρον δὲ οὐκέτι. καὶ τὸ τάλαντον δὲ μέτρον τί ἐστι, ποσὸν δὲ οὐκέτι ἀφωρισμένον· διὸ καὶ τὸ ἀντικείμενον αὐτοῖς ὑπερφίαλον καὶ ἀτάλαντον. ὥσπερ γὰρ τὸ ὑπερφίαλον τὸ πολὺ σημαίνει καὶ ἄμετρον, ὡς τῆς φιάλης ἀμέτρου οὔσης (ὑπερφίαλος γὰρ ὁ ὑπερβάλλων τῇ ἀμετρίᾳ τὸ μέτρον τῆς φιάλης), οὕτω καὶ ἀτάλαντος ὁ ἐξῃρημένος τοῦ μέτρου τοῦ κατὰ τὸ τάλαντον. ὁ δὲ ἐκ τῶν ἀνίσων ἐκβεβηκὼς ἴσος ἂν εἴη· ὁ γὰρ οὐκ ἄνισος, οὗτος καὶ ἀτάλαντος, ὁ τὸ ἄνισον τῶν ταλάντων μὴ ἔχων· διὸ καὶ ἴσος· ὃ γὰρ ἐν ἄλλοις ἔφη "ἶσος Ἐνυαλίῳ," τοῦτο δεδήλωκεν ἐν τῷ "ἀτάλαντος Ἀρηϊ."

170. οὐδ' ὅγε νηός] ὃ οἱ ἄλλοι βασιλεῖς μὴ ἐποίουν, οὐδὲ αὐτὸς ποιεῖ.

171. ἐπεί μιν ἄχος] τὸ μίν ἀντὶ τοῦ αὐτόν. ἄχος δέ ἐστιν ἡ ἄφωνος ἀνία, οἵαν καὶ ἡ Νιόβη ἔσχεν.

173. διογενὲς Λαερτιάδη] τὸ σχῆμα ὁμοιόπτωτόν ἐστι καὶ κλητικὸν προσαγορεύεται. τὸ δὲ πολυμήχανέ τινες ταυτὸν τῷ πολύτροπέ φασιν.

11. Πορφυρίου] Repetitum hoc scholion ad 13, 295, ubi in initio omissum est λύων. λύων qui delevit non animadverterat deesse initium ζητήματος, quod in aliis libris servatum est ad 23, 269 διὰ τί ὁ Ἀχιλλεὺς ἐν τῷ τετάρτῳ ἀγῶνι πλεῖστον ἀποδίδωσιν ἆθλον; τὰ γὰρ δύο τάλαντα τοῦ χρυσοῦ πλεῖον ἵππου καὶ γυναικός. ὅτι δὲ οὐκ ὀλίγον ἦν σημεῖον ὅτι ἐν λιταῖς προτίθησι δέκα τάλαντα χρυσοῦ πρὸς πολλῇ προικί. λύων οὖν ὁ Ἀριστοτέλης cet.

13. Verba σχῆμά τι ἀφωρισμένον —μέτρον τί ἐστι delet Thurot. *Revue critique* 1870 p. 152.

17. ἀμέτρου] μέτρου Thurot. Aliter Rosius in Aristot. pseudepigr. p. 155.

25. * αὐτὸν] αὐτοῦ

175. φεύξεσθ' ἐν νήεσσι πολυκλήϊσι] εὖ τὸ καὶ τὸν Ὀδυσσέα συμπεριλαβεῖν τῇ φυγῇ· παρώξυνε γὰρ αὐτὸν πρὸς τὸ τοὺς ἄλλους ἐπέχειν, ἐπαγαγοῦσα τῷ ἥρωϊ δειλίας ἐγκλήματα. πολυκλήϊσι δὲ ταῖς πολλὰς τὰς τάξεις ἐχούσαις. τὰ δὲ τῷ η παραληγόμενα μακροκατάληκτα ἐν τῇ συνθέσει ἀναδιδόασι τὸν τόνον, οἷον μελάμψηφις μελάγκρηπις εὔκνημις· οὕτως καὶ τὸ πολύκληϊς. τὸ δὲ πεσόντες σύμβολόν ἐστιν ἀτάκτου φυγῆς· οὐ γὰρ δηλοῖ τὸ ἐμβάντες.

179. ἀλλ' ἴθι νῦν] ἴσον ἐποίησε τῇ Ἀθηνᾷ τὸν Ὀδυσσέα, τοῦτο παραγαγὼν αὐτὸν ὑπ' αὐτῆς κελευόμενον, ὅπερ ἐκείνη ὑπὸ τῆς Ἥρας ποιεῖν ἐπετέτακτο.

182. ξυνέηκε θεᾶς ὅπα φωνησάσης] συνῆκε τὴν ὅπα φωνησάσης τῆς θεᾶς.

183. βῆ δὲ θέειν] ἀφείλετο τὴν ἀπόκρισιν ἡ ἔπειξις τοῦ καιροῦ. ἔστι δὲ ὅτι ὥρμησεν ἐπὶ τὸ θέειν. ἢ Ἀττικῶς λείπει τὸ ὥστε. ἢ ἀπαρέμφατον ἀντὶ μετοχῆς. ἀπέβαλε δὲ τὴν χλαῖναν ἢ διὰ τὸ εὐπερίσταλτον, ἢ διὰ τὸ ἐπιστρέφειν τῇ παραδόξῳ θέᾳ τοὺς πολλούς, ἢ ἵνα ταπεινὸς ὑπηρέτης εἶναι δοκῇ τῶν βασιλικῶν δογμάτων. οἱ δὲ, ὅτι ἀπὸ τῆς σπουδῆς αὐτομάτως πέπτωκεν. καὶ περὶ Ἀγαμέμνονος δὲ ἑτέρωθί φησι "πορφύρεον μέγα φᾶρος ἔχων" (Π. 8, 221).

* Πορφυρίου. ἀπὸ δὲ χλαῖναν βάλε] ἀπρεπὲς εἶναι δοκεῖ τὴν χλαῖναν ἀποβαλόντα μονοχίτωνα θεῖν τὸν Ὀδυσσέα διὰ τοῦ στρατοπέδου, καὶ μάλιστα οἷος Ὀδυσσεὺς εἶναι ὑπείληπται. φησὶ δ' Ἀριστοτέλης, ἵνα διὰ τὸ τοῦτο θαυμάζειν ὁ ὄχλος ἐπιστρέφηται, καὶ ἐξικνῆται ἡ φωνὴ ὡς ἐπὶ μεῖζον ἄλλου ἄλλοθεν συνιόντος, οἷον καὶ Σόλων λέγεται πεποιηκέναι, ὅτε συνῆγε τὸν ὄχλον περὶ Σαλαμῖνος. ἄλλοι δὲ, ὅτι ἐμπόδιον ἦν αὐτῷ πρὸς τὸν δρόμον ἡ χλαῖνα. οἱ δὲ, ὅτι ταπεινὸν αὑτὸν καὶ ὑπηρέτην τῶν Ἀγαμέμνονος προσταγμάτων δεῖξαι βούλεται. οἱ δὲ, ὅτι τὸ σκῆπτρον λαμβάνει μετιὼν τὸ τοῦ Ἀγαμέμνονος, ὥστε τὴν ἐξουσίαν ἔχων τὴν βασιλικὴν τὸ οἰκεῖον σχῆμα τῆς ἀξίας περιεῖλεν. οἱ δὲ, ὅτι τρέχοντος αὐτοῦ πεσεῖν αὐτομάτως συνέβη. οἱ δὲ, ὅτι τὴν σπουδὴν ἐπιδεῖξαι θέλων διὰ τῆς πτώσεως

5. μελάμψηφις] μελαμψῆφις pariterque κρῆπις εὔκνημις—πολυκλῆϊς

20. * Πορφυρίου] Ἀριστοτέλους hic ut p. 101, 11 et alibi. V. ad p. 91, 3.

24. Σόλων] Conf. Plutarchi V. Solon. c. 8.

27. * προσταγμάτων] πραγμάτων

31. * συνέβη. οἱ δὲ] συνέβη. βῆ δὲ θέειν, ἀπὸ δὲ χλαῖναν βάλε, τὴν δ' ἐκόμισε κῆρυξ Εὐρυβάτης. οἱ δὲ

τῆς χλαμύδος, ἥτις ἐγεγόνει. οἱ δὲ μᾶλλον συντίθενται, ὅπως ἐπιστρέψῃ τὸ πλῆθος πρὸς ἑαυτὸν ἀπὸ τῆς περὶ τοῦ φεύγειν ταραχῆς, ἐπέχων διὰ τοῦ ξενισμοῦ, ὡς καὶ τὸν Ἀγαμέμνονα ἐτέρωθί φησι πορφύρεον μέγα φᾶρος ἔχοντα παρακελεύεσθαι τοῖς Ἕλλησιν. τὸ δὲ σκῆπτρον λαμβάνειν ἔοικε παρὰ τοῦ Ἀγαμέμνονος ἤτοι ἵνα τὰ τῷ βασιλεῖ δοκοῦντα φαίνηται πράττων καὶ παρὰ τοῦ βασιλέως λαβεῖν τὴν ἐξουσίαν, ἢ ἵνα ἀντὶ βασιλέως φαίνηται ποιεῖν καὶ τὴν τοῦ αὐτοκράτορος εἰς τοὺς πλημμελοῦντας εἰληφέναι ἐξουσίαν, ἢ ὅτι ἄλλως οὐκ ἐξῆν δημηγορεῖν ἢ τὸ σκῆπτρον ἔχοντα.

186. τὸ σκῆπτρον δέχεται, ἵνα δοκῇ παρὰ τοῦ βασιλέως εἰληφέναι τὴν τοῦ κοσμεῖν ἐξουσίαν, καὶ μὴ χολῷεν ἐπιτιμώμενοι. ἡ ἔπειξις δὲ τοῦ καιροῦ περιεῖλε τοὺς Ἀγαμέμνονος λόγους. τὸ δὲ ἄφθιτον πέπλασται ποιητικῶς. τὸ μὲν γὰρ ἀθάνατον ἐπὶ τῶν ἐμψύχων οἱ φιλόσοφοι τάσσουσι, τὸ δὲ ἄφθιτον ἐπὶ τῶν ἀψύχων.

189. τὸν δ'] δύο μέρη λόγου εἰσίν. ὁ δὲ δέ ἀντὶ τοῦ δή. οὐκ ἐγκλιτέον δὲ αὐτόν. χρῆται γὰρ αὐτῷ συνήθως ὁ ποιητὴς περιττῷ.

190. οὔ σε] ἡ μὲν ἀκρίβεια ὀρθοτονεῖ, ἐγκλίνει δὲ ἡ συνήθεια. δειδίσσεσθαι δὲ ἀντὶ τοῦ εὐλαβεῖσθαι. θωπεύων δὲ δυσωπεῖ.

191. κάθησο] τοῦτο οἱ Ἀττικοὶ κάθου λέγουσιν. διὰ δὲ τῶν ἐμφανῶν καὶ τὸ πᾶν ἱδρύει πλῆθος.

193. ἀπὸ τοῦ "νῦν μὲν" ἕως τοῦ "τιμὴ δ' ἐκ Διός ἐστι" τὸ νόημα εἴρηται. ἀθετοῦνται δὲ τὰ ἔπη ὡς εἰς καταστολὴν οὐ προτρεπτικά. τὸ δὲ τάχα διστακτικόν ἐστιν.

εἰς ὑπόνοιαν αὐτοὺς ἄγει, καὶ οὐ δοκεῖ ἐκφαίνειν τὰ τοῦ βασιλέως ἀπόρρητα, ἀλλὰ συγκαλύπτει τὸν τοῦ λόγου νοῦν.

194. ἐν βουλῇ δ' οὐ πάντες] μετρίως τοῦτό φησιν, ἵνα μὴ καταισχύνῃ τοὺς ἄλλους. τινὲς δὲ ἐν ἐρωτήσει· μὴ οὐκ ἠκούσαμεν πάντες οἱ βασιλεῖς τί εἶπεν ἐν τῇ βουλῇ Ἀγαμέμνων; ἵν' ᾖ μὴ διστακτικόν.

*διὰ τί τὸ ὄναρ οὐδεὶς τῶν ἐν τῷ προβουλίῳ ἀκούσας παρὰ Ἀγαμέμνονος ἐξεῖπε τοῖς ἄλλοις Ἕλλησιν; ἓν μὲν αἴτιον, εὐλάβεια γὰρ ἦν μὴ ὑπονοήσωσιν οἱ Ἕλληνες ὅτι διὰ τὴν πρὸς Ἀχιλλέα στάσιν τὸν ὄνειρον πλάσσει, ὅπερ οὐ βασιλικόν· ἕτερον δὲ, ὅτι τὰ τῶν ὀνείρων οὐ βεβαίως πιστεύεται, δι' ἣν αἰτίαν οὐκ ἐξεῖπε· τρίτον δὲ, ὅτι

1. ἐπιστρέψῃ] ἐπιστῤ
3. *ὡς] ὦ
11. τοῦ κοσμεῖν] *κατὰ τῶν ἀκοσμούντων
32. πλάσσει Cobetus] πράσσει

τὰ ἐν ταῖς βουλαῖς βασιλικὰ σκέμματα καὶ διηγήματα τοὺς ἀκούοντας οὐ προσῆκεν ἐκκαλύπτειν.

196. μέγας] ἐπηρμένος καὶ φοβερός. ἀλλὰ καὶ μεγαλήτορας τοὺς βασιλέας φησίν. καλῶς δὲ ταῦτα προστέθειται, ἵν' ὧσι μὲν δεδοικότες ὡς μεγαλόφρονα, τιμῶσι δὲ ὡς θεοφιλῆ τὸν βασιλέα, ἐπειδὴ καὶ θεὸν τιμᾷ ὁ μετ' αἰδοῦς πειθαρχῶν βασιλεῖ.

198. βοώωντά τ' ἐφεύροι] ἐπειδὴ περὶ Ἀχιλλέως ὀργισθέντες ἤθελον ἑαυτῶν ἄρχειν, οὗ χάριν καὶ βοὴν ἐκίνουν. ἢ ἐπεί φησι "τοὶ δ' ἀλλήλοισι κέλευον ἅπτεσθαι νηῶν" (151).

199. τὸν σκήπτρῳ ἐλάσασκε] δόξειεν εἶναι τοῦτο ἄλογον, ὅτι τῆς Ἀθηνᾶς εἰπούσης "σοῖς δ' ἀγανοῖς ἐπέεσσιν ἐρήτυε φῶτα ἕκαστον" τύπτει τινάς· ταῦτα γὰρ παρακούοντος τῆς θεοῦ, ὅπερ ἁρμόζον οὐδαμῶς Ὀδυσσεῖ. ἐροῦμεν δὲ ὅτι ἡ μώμησις ἄλογος· εἰκὸς γὰρ ἦν ἐν τῷ τοσούτῳ θορύβῳ σφάλλεσθαι πολλάκις καὶ Ὀδυσσέα· πάντες γὰρ ἐν τοῖς τοιούτοις καιροῖς συνταραττόμεθα παρηχούμενοι ὥστε πολλὰ ἐπιλανθάνεσθαι. οὐ μὴν ἀλλὰ καὶ οἱ θρασεῖς κολακευόμενοι πτεροῦνται, μᾶλλον δὲ πληγαῖς ὑπείκουσι.

200. ἀτρέμας ἧσο καὶ ἄλλων μῦθον ἄκουε] ἐν ἡσυχίᾳ κάθησο καὶ τῶν βασιλέων ἄκουε. τοῦτο δέ φησιν, ἵνα ἔκδηλος τοῖς πολλοῖς ἡ βουλὴ γένηται.

203. οὐ μέν πως πάντες βασιλεύσομεν] οὐκ ἔσται δημοκρατία φησίν. εἰ δὲ τοῖς μείζοσι ταῦτα ἔλεγε, τὴν μάχην ἐξῆπτε τῶν σπουδαρχιδῶν καθαπτόμενος ἀνδρῶν ἐν τοσούτῳ θορύβῳ. ἀγαθὸν δὲ τὸ συμφέρον. δογματίζει δὲ περὶ πολιτειῶν.

205. ᾧ ἔδωκε Κρόνου παῖς] εἰ μὴ γὰρ ἦν, φησὶ, καλὸν, οὐδ' ἂν οἱ θεοὶ αὐτῷ ἐχρῶντο. δηλοῖ δὲ ὅτι μισητὸν αὐτοῖς τὸ περὶ βασιλείας φιλονεικεῖν καὶ διαφέρεσθαι. ἅμα δὲ καὶ σημαίνει ὅτι τὸ βασιλεύειν οὐκ ἔστιν ἄλλο ἢ θεόσδοτον.

207. κοιρανέων] ἀντὶ τοῦ βασιλικὰ διαπραττόμενος καὶ οἰονεὶ ὡς περὶ ἑαυτοῦ φροντίζων. δίεπε δὲ ἀντὶ τοῦ διὰ τοῦ στρατοῦ ἐνήργει.

209. κῦμα] τοῦτο μὲν πρὸς τὴν κίνησιν ἔλαβε τὸ εἰκόνισμα, πρὸς δὲ τὴν ἀπήχησιν τὸν βρόμον.

210. αἰγιαλῷ μεγάλῳ βρέμεται] συμφυῶς τῷ ὑποκειμένῳ τετράχυνται τὸ ἔπος ταῖς ὀνοματοποιίαις. καλῶς δὲ καὶ τὸ μεγάλῳ, ἐμφῆναι θέλων τὴν τῶν κυμάτων παράτασιν.

10. δόξειεν et p. 110, 16. λύοιτο] 24. * δογματίζει] δοκιμάζει Adde ἄν

212. Θερσίτης] ἐπίτροπον τοῦ ποιητοῦ φασὶν αὐτὸν, σφετερισάμενον τὴν οὐσίαν, ὃν δὴ κακῶς λέγει. τῶν ἀκόσμων δὲ εἰδὼς τὴν ὀργὴν ἐπιπλήξεσιν ἢ γέλωτι παυομένην, πρὸς μὲν τὸ ἐπιπλήσσειν Ὀδυσσέα, πρὸς δὲ τὸ γελᾶν καὶ γελᾶσθαι Θερσίτην ἔλαβεν, ὡς καὶ ἐπὶ τῶν θεῶν ἐν τῇ Α, ὅτε περὶ τῆς Ἥρας λέγει, παρίστησι μὲν ἀπειλοῦντα Δία, Ἥφαιστον δὲ γελοῖον φαινόμενον. καὶ νῦν οὖν τὸν Θερσίτην ὁ ποιητὴς παρέλαβε πρὸς τὸ διαλῦσαι τὸ στυγνὸν τῆς ἐκκλησίας καὶ ὑβρίσαι τὸν Ἀγαμέμνονα· δίκαιον γάρ· ἀλλ' οὐ λυπεῖ ἀνάξιος ὤν. ἤδη δὲ οὐ Ξενοφάνει, ἀλλ' Ὁμήρῳ πρώτῳ σιλλοὶ πεποίηνται, ἐν οἷς αὐτόν τε τὸν Θερσίτην σιλλαίνει καὶ ὁ Θερσίτης τοὺς ἀρίστους. οὐκέτι δὲ μέμνηται αὐτοῦ, ἐπεὶ σεσωφρόνισται τοῦ λοιποῦ νεικείειν βασιλῆας.

Φερεκύδης δὲ καὶ τοῦτον ἕνα τῶν ἐπὶ τὸν Καλυδώνιον κάπρον στρατευσάντων φησίν· ὑποδείσαντα δὲ καὶ τὴν τοῦ συὸς ἐκκλίνοντα μάχην ὑπὸ Μελεάγρου κατακρημνισθῆναι, διὸ καὶ λελωβῆσθαι τὸ σῶμα. Ἀγρίου δὲ καὶ Δίας τῆς Πορθάονος αὐτόν φησιν. εἰ δέ γε συγγενὴς ἦν Διομήδους, οὐκ ἂν αὐτὸν ἔπληξεν Ὀδυσσεύς· τοὺς γὰρ ἰδιώτας μόνους ἔτυπτεν. εὖ δὲ καὶ οὐκ ἀπὸ πατρὸς αὐτὸν συνέστησεν, οὐδ' ἀπὸ πατρίδος, ἀλλ' ἀπὸ τοῦ τρόπου μόνου καὶ τῆς μορφῆς, ὧν νῦν χρεία.

*διὰ τί μηκέτι μέλλων ὁ ποιητὴς τοῦ Θερσίτου μνημονεύειν ἅπαξ αὐτοῦ ἐδεήθη; καὶ τίς ἡ χρεία τοῦ δεηθῆναι ἐν τῷ θορύβῳ τῷ γεγονότι ἐκ τῆς Ἀγαμέμνονος τῶν Ἑλλήνων πείρας; ῥητέον δὲ ὅτι παραλόγως γεγουνίας τῆς Ἑλληνικῆς στάσεως διὰ τὸ ἄλλως ἐκδέχεσθαι τοῦ βασιλέως τοὺς λόγους καὶ μὴ συνιέναι ὅτι πείρας ἕνεκα εἴρηκε τοὺς πολλοὺς καὶ συρφετώδεις, καὶ μάλιστα τῆς ἀγνοίας ἐν τῷ χυδαίῳ πλήθει γεγουνίας—τοῖς γὰρ ἡγεμόσι προείρητο ἡ τοῦ βασιλέως γνώμη, οἷς ἐν τῷ προβουλίῳ ἐρρήθη "καὶ φεύγειν σὺν νηυσὶ πολυκλήϊσι κελεύσω, ὑμεῖς δ' ἄλλοθεν ἄλλος ἐρητύειν ἐπέεσσιν"—, ἐκ τῶν πολλῶν ἔδει καὶ χυδαίων γενέσθαι τὴν μέμψιν· οὐ γὰρ ἐκ τῶν βασιλικὴν καὶ ἀναπολόγητον ἐσχηκότων τῆς στάσεως τὴν αἰτίαν. ἅπαξ δὲ ἐκ τῶν χυδαίων ὀφειλούσης γενέσθαι τῆς ἀταξίας, τοιοῦτον πρόσωπον εἰκότως ἐδέξατο, ὃ προσυνίστησιν ὅτι "ἐπὶ φρεσὶν ἧσιν ἄκοσμά τε πολλά τε ἤδει, μαψ, ἀτὰρ οὐ κατὰ κόσμον ἐριζέμεναι βασιλεῦσιν, ἀλλ' ὅ τι οἱ εἴσαιτο γελοίιον Ἀργείοισιν ἔμμεναι."

28. ἐρρέθη] ἐρήθη

31. βασιλικὴν Vill.] βασιλικῶν

εἰδὼς δὲ ὅτι ὀργαὶ χυδαίων καὶ πλήθους ἀνοήτου ἢ φόβῳ κρατοῦνται ἢ γέλωτι διαχέονται, ἀμφοτέροις κέχρηται, φόβῳ μὲν διὰ τοῦ Ὀδυσσέως, διαχύσει δὲ καὶ γέλωτι οὐκ ἂν ἄλλως ἔσχε χρήσασθαι ἢ διὰ τοῦ τοιούτου προσώπου, ὥστε τὸ αὐτὸ παρέλαβεν εἰς ἔνδειξιν τῆς τοῦ χυδαίου πλήθους στάσεως, οἵα τις ἦν, καὶ εἰς τὴν τοῦ γέλωτος ὑπόθεσιν. καὶ μετὰ τοῦτο ἐξεῖλεν αὐτὸν τῆς ποιήσεως, ὅτι καὶ πᾶσαν τοιαύτην στάσιν ἐν τοῖς μετὰ ταῦτα τῶν ποιημάτων ἐξώρισε. τοιοῦτόν τι καὶ ἐν στάσει θεῶν καὶ ἔριδι, ἐν ᾗ ἔφη "ὄχθησαν δ' ἀνὰ δῶμα Διὸς θεοὶ οὐρανίωνες" (Il. 1, 570), ἐπενόησε διὰ τῆς Ἡφαίστου οἰνοχοΐας, ὃν κυλλοποδίωνα καὶ ἀμφιγυήεντα ἔφη, διὰ τῆς τούτου οἰνοχοΐας τὴν στάσιν βουληθεὶς εἰς γέλωτα περιτρέψαι. τὰ γὰρ ἐναντία τῶν ἐναντίων ἰάματα πρῶτος ὑπέβαλεν εἶναι καὶ τὰς παρὰ τῶν ἀνθρώπων ὀργὰς θεῶν διαλύεσθαι καὶ διὰ γέλωτος ὡσανεὶ γέλωτος ἀξίων τῶν ἀνθρώποις προσηκόντων πραγμάτων.

ἀμετροεπής] "πάντων" γάρ φησι "κόρος ἐστίν" (Il. 13, 636), ὃν οὐκ ἤδει οὗτος. οἱ δὲ μέτρον τὴν τάξιν. ἡμεῖς δὲ ἀπεραντολόγον τοῦτόν φαμεν. ἴσως δὲ στάσεως ῥυόμενοι τὴν πατρίδα ἤγαγον μετ' αὐτῶν αὐτόν. Θερσίτης δὲ παρὰ τὸ θάρσος Αἰολικῶς θέρσος. θάρσος γὰρ ἐκ θράσους εἶχεν ἀκόσμου.

213. ὅς ῥ' ἔπεα φρεσὶν ἧσιν ἄκοσμά τε πολλά τε ἤδη] τοῦτο πάντων ἄτοπον, κἂν δοκῇ τισὶ βραχὺ εἶναι.

215. ὅ τι] τὸ ὅ τι ἀναφορικόν ἐστι. εἴσαιτο δὲ ἀντὶ τοῦ φανείη, ἢ δόξειεν. ἀπὸ κοινοῦ τὸ ἐδόκει. ἔστι δὲ εὐκτικὸν ἀντὶ ὁριστικοῦ ὡς τὸ "καί νύ κεν ἔνθ' ἀπόλοιτο Ἄρης" (Il. 5, 311).

217. φολκὸς ἔην] ὡς ἀνδριαντοπλάστης ἀπὸ τοῦ καλλίστου ἄρχεται, ὡς "ὄμματα καὶ κεφαλήν" (478)· "καρηκομόωντες·" "ὄψιν τ' ἀγαθὴν καὶ μῦθον" (Il. 24, 632). γίνεται δὲ παρὰ τὸ ἐφέλκεσθαι τὰ φάη. ὁ γὰρ τυφλὸς μᾶλλον ἐλεεῖται. σημείωσαι δὲ ὅτι ἅπαξ εἴρηται αὐτῷ.

ἕτερον πόδα] οἰκείως, ἐπεὶ δύο, ἢ τὸν ἀριστερὸν ἢ τὸν δεξιόν. ὃ καὶ πρὸς τὸ γελωτοποιεῖν ἄμεινον· ἧττον γὰρ ἂν ἐγελᾶτο, εἰ ἄμφω ἦν ὅμοιος τὼ πόδε.

218. συνοχωκότε] ἀπὸ τοῦ συνέχεσθαι, ὅ ἐστι συμπεπτωκέναι.

2. διαχέονται Vill.] διαδέχονται
16. *ἀπεραντολόγον] ἀπέραντον τὸν λόγον
21. πάντων ἄτοπον] *πάντων om.
30. *ἐπεὶ] ἐπὶ

καὶ "ξυνοχῇσιν ὁδοῦ" (Il. 23, 330) ταῖς ἀπὸ πλάτους εἰς στενὸν συμπτώσεσιν. ἐπὶ στῆθος δὲ, ἵν' ὁρᾷτο τὸ κυρτὸν ἔμπροσθεν.

219. φοξὰ κυρίως εἰσὶ τὰ πυρίρραγῆ ὄστρακα, φλοξά τινα ὄντα.

ψεδνή] πιθανῶς τοῦτο, ὅπως μὴ λανθάνῃ τὸ φοξὸν τῇ κόμῃ καλυπτόμενον. τὸ δὲ ἐπενήνοθεν ἀπὸ τοῦ θέω, ἐν ὑπερβιβασμῷ ἔθω, ἀναδιπλασιασμῷ ἐνέθω, ἤνοθα καὶ ἐνήνοθα.

220. τοῦτο τὸ ἔπος δηλοῖ ὅτι ἐν τῷ πρώτῳ ζυγῷ τῶν ἀριστέων ἐτέτακτο Ὀδυσσεύς. ἄκρως δὲ ὑπογράφει τὸ μισοπόνηρον αὐτῶν, ὡς οὐκ ἠνείχοντο γελώντων πονηρῶν ἀνθρώπων· καὶ τὸ παροιμιῶδες δὲ συνᾴδει τούτοις· "συνετὸς συνετὸν φιλεῖ, ἄφρονα δ' ἄφρων." τοῖς οὖν καλλίστοις ἐναντίος ὁ ἔχθιστος.

221. τότ' αὖτ' Ἀγαμέμνονι] αἱ τῶν μεγάλων ἀτυχίαι ὑψοῦσι τοὺς ταπεινούς. αἴτιος δὲ αὐτὸς ὡς τὸν ἀριστέα ὑβρίσας· διὸ οὐδὲ τολμᾷ σωφρονίσαι.

225. Ἀτρεΐδη, τέο δ' αὖτ' ἐπιμέμφεαι] τὸ ἄμετρον ἐπιδείκνυσιν· ἃ δὲ ἐπὶ τῆς προτέρας ἐκκλησίας λέγειν ἔδει, ὅτε ἔλεγεν Ἀγαμέμνων "ἀγέραστος ἔω" (Il. 1, 119) καὶ "ἧστθαι δευόμενον" (ib. 134), νῦν προβάλλεται, ἴσως τότε τῷ πρὸς Ἀχιλλέα φθόνῳ νικώμενος. τοιαῦτα δὲ ἦν καὶ τὰ παρὰ Ἀχιλλέως "ἀτὰρ ἦν ποτε δασμὸς ἵκηται, σοὶ τὸ γέρας πολὺ μεῖζον" (ib. 166)· τοῦτον δὲ τὸ ἄκαιρον μετὰ τῆς πηρώσεως εἰς καταφρόνησιν ἄγει.

228. πρωτίστῳ] φωνὴ ὑπερθετικὴ, ὡς ἐλευθερώτατος καὶ μονώτατος. οὗτος μὲν οὖν ἕλωμέν φησιν, ὁ δὲ Ἀχιλλεὺς "Τρώων ἐκπέρσω'" (Il. 1, 164)· οὗτος γὰρ καὶ ἑαυτῷ ἐπιγράφει τοὺς πολεμίους.

229. ἦ ἔτι καὶ χρυσοῦ ἐπιδεύεαι ὄν κέ τις οἴσει] οἶμαι τὸ ἔτι τὴν παράτασιν τῆς ἀπλήστου αὐτοῦ δηλοῦν ἀδικίας.

231. ἐνταῦθα καὶ τῶν ἄλλων προῦθηκεν ἑαυτὸν, ὃ δὴ δείκνυσιν αὐτὸν καὶ γελοῖον παρὰ πᾶσιν ὑπὲρ πάντα.

232. ἠὲ γυναῖκα νέην] ἐλεεινὸς παρ' αὐτοῦ καὶ ἐφύβριστος διὰ Χρυσηΐδα ὁ βασιλεὺς δείκνυται. τὸ δὲ ἄγω ἀπὸ κοινοῦ.

234. ἀρχὸν ἐόντα] ἄρχοντα ὄντα τῶν Ἀχαιῶν· ἀπὸ κοινοῦ γάρ ἐστι. κακῶν δὲ διὰ τὸν λοιμὸν καὶ τὴν Ἀχιλλέως ἀπόστασιν δι' αὐτόν.

235. ὦ πέπονες] τὸ πέπονες ἀντὶ δύο παραλαμβάνεται, ἐπαίνου καὶ ψόγου. καὶ ἐνταῦθα μὲν ἐπὶ ψόγου· ἡ δὲ μεταφορὰ ἀπὸ τῶν

πεπαινομένων καρπῶν, οἱ μετρίως πεπανθέντες εὔχρηστοι καὶ εὐαπόδεκτοι, ὑπερπεπανθέντες δὲ ἔκλυτοι καὶ σεσηπότες· διὸ ἡ λέξις τὰ ἐναντία σημαίνει. ἐπὶ δὲ τοῦ ἐπαίνου, ὡς τὸ "ὦ πέπον ὦ Μενέλαε" (Il. 6, 55).

ὁ πέπων καὶ ἡ πέπων κοινὸν καὶ τὰ πέπονα. ὅμοιον δέ ἐστι τῷ "ἐπεὶ οὐτιδανοῖσιν ἀνάσσεις" (Il. 1, 231). γέλωτα δὲ κινεῖ κακὰ ἐλέγχεα ἀποκαλῶν τοὺς Ἀχαιοὺς ὁ καὶ τῷ σώματι καὶ τὴν ψυχὴν ἐπονείδιστος.

236. σὺν νηυσὶ νεώμεθα] σὺν τῷ στόλῳ. κακοήθως δὲ τοὺς Ἕλληνας ὑπέμνησε τοῦ νόστου, εἰς ὅπερ ὁρμήσαντες ἐπεσχέθησαν· καὶ τὸ φεύγωμεν διὰ τοῦ νεώμεθα ἰάσατο.

237. κυβεύειν, περιφέρειν, ἢ κατέχειν, ὡς τὸ "χόλον θυμαλγέα πέσσων" (Il. 9, 561).

241. οὐκ Ἀχιλῆϊ χόλος] οὕτω τὴν ἐκ χολῆς γινομένην τοῦ θυμοῦ κίνησιν ὀνομάζει. τοῦτο δὲ πρὸς τὸ ἀτελὲς τῆς ξιφουλκίας φησίν.

243. Ἀγαμέμνονα ποιμένα λαῶν] μεθ' ὑποκρίσεως ἀντιπαρέθηκε τὰ ὀνόματα, ἐμφαίνων ὅτι τὸν ἄριστον ὁ αἴσχιστος ὠνείδιζεν. διὰ τοῦτο οὖν ἠθικὴ ἡ ἀνάγνωσις ἔσται.

244. τῷ δ' ὦκα παρίστατο δῖος Ὀδυσσεύς] μεταξὺ τοῦ αὐτὸν λέγειν παρέστη καὶ αὐτός. ἀναφέρεται δὲ τοῦτο ἐπὶ τὸ "ὃν δ' αὖ δήμου ἄνδρα ἴδοι βοόωντα" (198). οὐκοῦν οὐ τῶν βασιλέων Θερσίτης· βασιλικῶς δὲ ὑπερφρονεῖ οὐ μόνον τῶν ἄλλων, ἀλλὰ καὶ αὐτοῦ Ἀγαμέμνονος· φασὶ δὲ καὶ τὸν Ἀλεξάνδρου κύνα μικρὸν ὄντα τὰ μὲν μικρὰ θηρία παρορᾶν, ἐπὶ σῦς δὲ καὶ λέοντας ὁρμᾶν. οἷον καὶ τοῦτον ἐλέγχει. ἐνεχυριάζει δὲ δι' αὐτοῦ καὶ τὴν τῶν λοιπῶν γνώμην. ὁμώνυμον δὲ ἔρις καὶ νεῖκος.

245. *ἠνίπαπε] ἐκ τοῦ ἐνίπτω τὸ ἐπιπλήσσω. τοῦτο ἐκ τοῦ ἐνέπω τὸ λέγω· κυρίως γὰρ τὸ διὰ λόγων ἐπιπλήσσειν. ἐνίπτω γοῦν ἐνίψω, ὁ παρακείμενος ἤνιφα, ὁ μέσος ἤνιπα καὶ ἠνίπαπα, ἐξ οὗ καὶ ἐνιπή, ὡς τὸ "μάλα πώς με καθίκετο θυμὸν ἐνιπή" (Il. 14, 104).

246. ἀκριτόμυθε, λιγύς] μετ' εἰρωνείας, ὡς καὶ τὸ λιγύς. οἱ δὲ, ἀκριτόμυθε ἀντὶ τοῦ ἀμετροεπὲς, πρὸς τὴν τῶν εἰρημένων κατάγνωσιν.

248. χερειότερον] ὡς μειζότερον καὶ βελτιώτερον.

250. ἀνὰ στόμ' ἔχων ἀγορεύοις] διὰ συνεχοῦς μνήμης, ἢ ἀντὶ

27–30. Haec maximam partem ex Etym. M. p. 431, 52.

29. ἠνίπαπα] ἠνίπᾱ

σκήπτρου τὸ στόμα ἀνέχων. ἀγορεύοις δὲ, ὀνομαστὶ περιφέροις, ἢ ὑβρίζοις.

251. νόστον τε φυλάσσοις] τὴν πρὸς τὴν φυγὴν εὐκαιρίαν παρατηροῖς.

252. οὐδέ τί πω σάφα ἴδμεν] ἐντέχνως πάνυ, ὡς πρὸς τὸν Θερσίτην λέγων, πρὸς τοὺς Ἕλληνας ἀποτείνεται· μέσης γὰρ αὐτῷ δεῖ γνώμης, στοχαζομένῳ τὸ πλῆθος. φησὶν οὖν ὡς οὐκ ἴσασιν εἰ ἐπ' ἀγαθῷ τὰ τῆς ἐπανόδου αὐτοῖς ἔσται. ἀδήλου δὲ ὄντος τοῦ νόστου, σὺ τὸν βασιλέα ἐπισκώπτεις, λέγων ὡς πολλὰ παρὰ τῶν Ἑλλήνων λαμβάνει.

254, 255. ἀθετοῦνται ὡς περιττοὶ οὗτοι οἱ δύο. ἔχουσι δέ τι καὶ ψεῦδος. πάντων γὰρ καθεσθέντων ἐκεῖσε μόνος Θερσίτης ἀκοσμεῖ· ἐνταῦθα δὲ ὡς περὶ καθημένου λέγει. ἢ τὸ ἧσαι ἀντὶ τοῦ προεδρεύεις καὶ προηγῇ τῆς ὕβρεως.

255. ὅτι οἱ] τοῦτο ἐν μιᾷ προενεκτέον ὀξείᾳ· πᾶσα γὰρ δίβραχυς λέξις πρὸ ἐγκλιτικοῦ οὐκ ἐπιδέχεται ἐπάλληλον ὀξεῖαν, εἰ μὴ ἀντωνυμία ἐπιφέροιτο διὰ τοῦ σφ, σεσημειωμένου τοῦ "ἔνθ' ἔσάν οἱ πέπλοι" (Od. 15, 105).

258. ὁ μὲν Ἀρίσταρχος εἰ δέ τί σε, ὁ δὲ Ζηνόδοτος εἴ κ' ἔτι, ὃ προκριτέον. ἡ δὲ Σινωπικὴ εἶχε κιχήσομαι ὡς τὸ πάρος περ· ἡ δὲ Μασσαλιωτικὴ ὕστερον αὖτις· ἡ δὲ κατὰ Φιλήμονα ἐν Δαναοῖσιν.

259. Ὀδυσῆϊ κάρη ὤμοισιν ἐπείη] οἱ γὰρ πολέμιοι δειροτομοῦσιν οὓς λήψονται, ὡς τὸ "ἶν' ἀπ' ὤμοιιν κεφαλὴν τάμοι" (Il. 17, 126) καὶ "σὺν σφῇσι κεφαλῇσιν" (Il. 4, 162).

260. μηδ' ἔτι Τηλεμάχοιο πατὴρ κεκλημένος εἴην] οὐχ ἑαυτῷ νῦν ἁρᾶται, ἀλλὰ τῷ παιδί. καὶ ἔστιν ἡ μὲν πρώτη κατάρα κατὰ Ὀδυσσέως, ἡ δὲ δευτέρα κατὰ Τηλεμάχου· εἰ γὰρ ἀπόλοιτο ὁ παῖς, οὐκέτι πατήρ ἐστιν Ὀδυσσεύς. ἅμα δὲ καὶ τοῖς Ἕλλησιν ἐμφαίνει ὅτι καὶ αὐτὸς υἱὸν μονογενῆ ἔχων οὐ σπεύδει ἐπ' αὐτόν. προσυνίστησι δὲ καὶ τὰ κατὰ τὴν Ὀδύσσειαν ὁ ποιητής.

262. αἰδῶ] ἢ τὴν τοῦ ὅλου σώματος, ἢ τὴν τῶν μορίων· ὅπερ καὶ ἄμεινον.

6. * ἀποτείνεται] ἀποφαίνεται
7. τὸ πλῆθος] * τοῦ πλήθους
* εἰ ἐπ' ἀγαθῷ — ἔσται] μὴ ἐπ' ἀγαθὸν — ἔσεσθαι
9. * παρὰ τῶν Ἑλλήνων] om.
17. * διὰ — πέπλοι] om.
20. ὃ Vill.] ὃν

264. πεπληγὼς] τινὲς πεπληγὼν, ὡς τὸ "πέπληγον δὲ χορὸν ποσσίν" (Od. 8, 264). ἢ ὅτι τὸ πεπληγώς ἀντὶ τοῦ πλήσσων.

266. πλῆξεν] πῶς ἠπείλησε μὲν περὶ τῶν ἔπειτα, νῦν δὲ τὴν ἀπειλὴν ἐκτελεῖ; ἀλλ' οὐχ ἃ ἠπείλησεν ἐτέλεσεν, ἀλλὰ διὰ τῆς βραχείας πληγῆς πιστοῦται ὅτι μὴ σωφρονιζόμενος καὶ ταῖς μείζοσιν αἰκίσεται πληγαῖς. ἢ ἀπόπειραν διὰ τῆς ἀπειλῆς ποιεῖ, ἵπως οἱ πολλοὶ ἐπισχεθῶσι δι' αὐτοῦ, εἶτα ἰδὼν αὐτοὺς βουλομένους ταῦτα οὐχ ὑπερέθετο τὴν κόλασιν, ἀλλὰ παίει τὸν κυρτὸν, ἐκ τούτου γέλωτα κινῶν. ἢ νῦν μὲν ἐνδεδυμένον παίει, ὕστερον δὲ γυμνὸν πλήξειν ἀπειλεῖ. δικαίως δὲ τιμωρεῖται βραχείᾳ πληγῇ· κολάζεται γὰρ ὁ μὲν εὐφυὴς νουθεσίᾳ, ὁ δὲ ἄκοσμος, ὑγιὴς δὲ βασάνοις ἢ χρημάτων εἰσφοραῖς, ὁ δὲ λελωβημένος, οἷος ὁ Θερσίτης, βραχείᾳ πληγῇ καὶ τῇ μεθ' ὅρκων ἀπειλῇ.

*Πορφυρίου. ἐναντίον ἐστὶ τὸ εἴ κ' ἔτι σ' ἀφραίνοντα κιχήσομαι (258) τῷ ὣς ἄρ' ἔφη, σκήπτρῳ δὲ μετάφρενον ἠδὲ καὶ ὦμω πλῆξεν· μεταξὺ γὰρ οὐχ ὑπερβαλλόμενος αὐτὸν παίει. λύοιτο δὲ τῇ λέξει· προεῖπε γὰρ "εἰ μὴ ἐγώ σε λαβὼν ἀπὸ μὲν φίλα εἵματα δύσω" καὶ γυμνὸν αἰκιοῦμαι, ὧν οὐδὲν φαίνεται δρῶν τὰ νῦν.

ἰδνώθη] ἀνεκλάσθη, ὅπως τέλειον προκύψῃ τὸ κυρτόν. θαλερὸν δὲ τὸ ἔνικμον, ἀπὸ τῆς τῶν φυτῶν μεταφορᾶς. τινὲς δὲ γράφουσιν ἔκφυγε δάκρυ, διὰ τὸ τάχος δηλοῦν τὴν λέξιν.

267. σμῶδιξ—ἐξυπανέστη] σμῶδιξ καλεῖται τὸ ἐκ πληγῆς οἴδημα, παρὰ τὸ σμᾶξαι· οὕτω γὰρ ἔλεγον Ἴωνες τὸ πατάξαι. ἐμφαντικῶς δὲ πυκνὰς τὰς προθέσεις ἔλαβεν ἐν τῷ ἐξυπανέστη ὡς ἐν τῷ ὑπεξαναδὺς (Il. 13, 352)· καὶ διὰ μὲν τῆς ὑπὸ τὴν κάτωθεν, διὰ δὲ τῆς ἔξ τὴν εἰς εὐθὺ, διὰ δὲ τῆς ἀνὰ τὴν εἰς ὕψος σχέσιν. ἢ ὑποτρέχοντος τοῦ αἵματος κατ' ὀλίγον ἔξω διῆρεν.

268. ἕζετο] δηλοῖ ὅτι νῦν καθέζεται. μάτην οὖν ἄρα ἔλεγε τὸ ἧσαι ὀνειδίζων (255) ὄπισθεν.

269. ὀργιζομένου καὶ μὴ δυναμένου ἀμύνασθαι διαγράφει βλέμμα. ἔστιν οὖν ἀκαίρως ὑποβλέψας, ὡς τὸ "ἀχρεῖον δ' ἐγέλασσεν." ἢ τὸ πρόσωπον ἀμορφώσας, "ὡς αἰσχρόν ἐστι μὴ καλῶν ἀπ' ὀμμάτων

5. *σωφρονιζόμενος] σωφρονιζόμενον
14. *Πορφυρίου] om.
19. τέλειον] *πλεῖον
23. *παρὰ—πατάξαι] om.
27. ἔξω διῆρεν] ἐξῴδηκεν
32. ὡς—] Versus, ut videtur Euripidei.
μὴ] *καὶ

κλᾶον πρόσωπον καὶ δακρυρροοῦν ὁρᾶν." ἄκρως δὲ τὸ τῶν θρασυδείλων εὐτελὲς κωμῳδεῖ. τὸ δὲ ἀχρεῖον παρὰ μὲν τῷ ποιητῇ περισπᾶται, παρὰ δὲ Ἀττικοῖς παροξύνεται.

δάκρυ] δάκρυον, ἀποκοπῇ τοῦ ον. ἀχνύμενοι δὲ διὰ τὸν τῶν οἴκοι ἔρον. στασιάζον δὲ πλῆθος πληγαῖς ἢ γέλωτι παύεται, οἷς ἀμφοῖν ἐχρήσατο ὁ ποιητής.

272. πῶς εἰπὼν αὐτοὺς γεγελακέναι σπουδαῖα καὶ οὐ γελοῖα παράγει λέγοντας; τάχα οὖν τοῖς ἐπὶ Θερσίτου περιῄρηται τὸ θρασὺ καὶ παρρησιαστικὸν αὐτῶν Ὀδυσσεύς. ἄλλως τε προοικονομεῖ τὴν εἰς ὅλην τὴν ποίησιν ἀμνηστίαν Θερσίτου διὰ τοῦ "οὔ θήν μιν πάλιν αὖτις ἀγήσει θυμὸς ἀγήνωρ" (276).

*διὰ τί ἐπὶ τῷ Θερσίτῃ πληγὰς λαβόντι καὶ γελοίως δακρύσαντι, καὶ τοὺς Ἕλληνας, καίπερ ἐφ' οἷς ἐπεπόνθεισαν ὑπὸ τοῦ Ἀγαμέμνονος λελυπημένους, γελάσαι ποιήσας ἐπὶ τῷ Θερσίτῃ αἰσχρῶς δακρύοντι, οὐκ ἠρκέσθη ὁ ποιητὴς εἰπὼν "οἱ δὲ καὶ ἀχνύμενοί περ ἐπ' αὐτῷ ἡδὺ γέλασσαν," ἀλλὰ καὶ προστίθησι καὶ λόγους λεγομένους τοιούτους· "ἦ δὴ μυρί' Ὀδυσσεὺς ἐσθλὰ ἔοργε, βουλάς τ' ἐξάρχων ἀγαθὰς πόλεμόν τε κορύσσων" καὶ τὰ ἑξῆς; οὐ γὰρ ἀκόλουθον τῷ γέλωτι γνωμολογεῖν, ἀλλὰ μᾶλλον ἐπισκώπτειν ἤ τι τοιοῦτον διασύροντας καὶ ἐπιτωθάζοντας λέγειν. φαίνεται δὲ ὁ ποιητὴς ἐνδείκνυσθαι διὰ τοῦ λόγους ὡς λεγομένους τοιούτους ἀνακειμένου τῷ πλήθει ὅτι πᾶν τὸ ἄκοσμον τῶν πολλῶν ἤδη κατέσταλται καὶ τὸ στασιῶδες αὐτῶν ἐξῄρηται καὶ ὅλως τὸ κατεξανίστασθαι τοὺς φαύλους τῶν κρειττόνων, καὶ νομίζειν αὐτοῖς ἐξουσίαν εἶναι τοῦ καὶ λέγειν ὃ βούλονται καὶ ποιεῖν, πεπαυμένου ἤδη ὑβριστοῦ καὶ ἐπεσβόλου τοῦ ἐκ τοῦ τολμᾶν ἐκκλησιάζειν, ἀλλὰ δὴ καὶ ἄλλο τι προσοικονομεῖσθαι. ἐπεὶ γὰρ οὐκέτι μνησθήσεσθαι Θερσίτου ἔμελλεν, ἀλλὰ πρὸς ὀλίγον χρησάμενος ἐξαιρήσειν πᾶσαν αὐτοῦ μνήμην ἐκ τῆς ποιήσεως, πιθανῶς τὴν μηκέτι μέλλουσαν αὐτοῦ πάροδον ἀνατέθεικε τῇ τότε παιδεύσει, καὶ προεῖπεν ἡμῖν τοῦτο τῷ παντὶ πλήθει χρησάμενος κήρυκι τοῦ μέλλοντος. διὸ ὧν ἔφη "οὔ θήν μιν πάλιν αὖτις ἀνήσει θυμὸς ἀγήνωρ νεικείειν βασιλῆας ὀνειδείοις ἐπέεσσιν." εἰ γὰρ προσῆν μὲν αὐτῷ τὸ μὴ κατὰ κόσμον ἐριζέμεναι βασιλεῦσιν,

2. περισπᾶται—παροξύνεται] Hoc est προπερισπᾶται—προπαροξύνεται.
8. *περιῄρηται (vel παρῄρηται)] περιαιρεῖται
11. *αὖτις—ἀγήνωρ] om.
14. ποιήσας Vill.] om.
31. κήρυκι Vill.] κήρυκί τε

οὐκέτι δὲ φαίνεται τοῦτο δρῶν, ἀναγκαία ἡ τῆς αἰτίας ἀπόδοσις, ὅτι σωφρονισθεὶς ἐπαύσατο, ὡς μηδ' ἂν ἐπιθυμῆσαι πάλιν ἀκοσμεῖν. τοῦτο γὰρ ἠπείλητο αὐτῷ ὑπὸ τοῦ Ὀδυσσέως "εἴ κ' ἔτι σ' ἀφραίνοντα κιχήσομαι ὥς νύ περ ὧδε" (258), μεθ' ὅρκου τὴν κόλασιν ἐπανατειναμένου εἰς κώλυσιν πάσης τοιαύτης μελλούσης ἀκοσμίας. ὁ μὲν οὖν εὐφυὴς λόγῳ ἁμαρτάνων νουθετεῖται, ὁ δὲ κακοφυὴς πλουτῶν μὲν χρημάτων ζημίᾳ, ῥώμῃ δὲ σώματος θαρρῶν δεσμοῖς καὶ ταῖς τοῦ σώματος βασάνοις· ὁ δὲ οἷος ἦν ὁ Θερσίτης, ἀσθενής τε καὶ λελωβημένος πάντοθεν τὸ σῶμα, πληγαῖς τε καὶ μεθ' ὅρκων ἀπειλαῖς αἰκισμοῦ μέλλοντος μετὰ γυμνώσεως καὶ πάσης ἐνδείξεως τῆς τοῦ σώματος αἰσχύνης. ταῦτα γὰρ γενόμενα ὑπὸ τοῦ πολιτικοῦ ἀνδρὸς τὰ μέτρα τῶν κολάσεων καὶ τοὺς τρόπους καὶ τὸ κατ' ἀξίαν ἑκάστου ἁμαρτήματος ὑπέδειξεν.

273. βουλάς τ' ἐξάρχων] οὕτως φησὶν Ἴων ὅτι "βουλὴ μὲν ἄρχει, χεὶρ δ' ἐπεξεργάζεται." τὸ δὲ κορύσσων Αἰολικὸν ἀπὸ τοῦ κόρυς, ὃ δηλοῖ τὴν περικεφαλαίαν.

275. λωβητῆρα] τὸν ψεύστην, ἢ τὸν λωβηθέντα. ἀγοράων δὲ ὡς συνεχῶς αὐτοῦ παρρησιαζομένου. ἐπεσβόλον δὲ ὡς ἐγχέσπαλον, ἤτοι τὸν ἔπεσι βάλλοντα τοὺς πολλούς. σημειοῦνται δέ τινες τὸ λωβητῆρα καὶ ἐπεσβόλον, ὅτι ἕν ἐστιν ἐξ ἀμφοτέρων. τὸ μὲν οὖν πάλιν τὸ ἐκ τοὐπίσω δηλοῖ. τὸ δὲ αὖτις χρονικόν ἐστιν.

278. ἀνὰ δ' ὁ] ὁ μὲν Ἀρίσταρχος μετὰ τοῦ ἄρθρου, τινὲς δὲ χωρὶς, κακῶς.

279. πρὸς τὸ σχῆμα. ψῆφον λαβὼν παρὰ τοῦ πλήθους ἀνίσταται, παρῆλθε δὲ καὶ Ἀθήνῃ πρὸς ἡσυχίαν καὶ πειθώ· πῶς γὰρ ἄλλως ἡσύχασαν, οὓς πρώην ἐννέα μόγις ἐπεῖχον κήρυκες; ἔθος δὲ ἦν τοῖς δημηγόροις παρίστασθαι κήρυκα, ὅπως νοήσωσι καὶ σιωπήσωσιν. διὰ τί δὲ ὁ Ὀδυσσεὺς πρὸ τοῦ Νέστορος πρεσβύτου ὄντος λέγει; ὅτι αὐτὸς συνήγαγε τὴν ἐκκλησίαν· καὶ θορύβου τοσούτου ὄντος ὡς καὶ τὴν Ἀθηνᾶν εἰδομένην κήρυκι σιωπᾶν λαὸν ἀνώγειν, ἔδει τὸν πρῶτον δημηγοροῦντα γεγωνότερον βοᾶν, ὡς ἅμα οἱ πρῶτοί τε καὶ ὕστατοι μῦθον ἀκούσειαν. ὁ μὲν οὖν Νέστωρ, ὡς γέρων, βοᾶν οὐκ ἠδύνατο, ὁ δὲ Ὀδυσσεὺς μεγάλην ὄπα ἐκ στήθεος ἵει (Il. 3,

3. ἠπείλητο Vill.] ἠπειλεῖτο
9. μεθ' addidit Vill.
15. * ἐπεξεργάζεται] ἐπεργάζεται
30. * ὄντος—ὁ μὲν] ὄντος ἔδει γεγωνότερον βοᾶν. ὁ μὲν

221). διὰ τοῦτο ὁ μὲν ἔτι τεταραγμένων αὐτῶν δημήγορεῖ, ὁ δὲ Νέστωρ ἤδη ἡσυχίαν ἀγόντων. τρία δὲ ῥητορικῆς εἴδη, συμβουλευτικὸν, ὅ ἐστιν ἐκ προτροπῆς καὶ ἀποτροπῆς, ὡς νῦν· δικανικὸν, ὃ ἐκ κατηγορίας καὶ ἀπολογίας, ὡς τὸ "δύο δ' ἄνδρες ἐνείκειν εἵνεκα ποινῆς" (Il. 18, 498)· πανηγυρικὸν, ἐξ ἐγκωμίου καὶ ψόγου, ὡς "ὦ μάκαρ Ἀτρείδη" (Il. 3, 182) καὶ "οἰνοβαρὲς κυνὸς ὄμματ' ἔχων" (Il. 1, 225).

284. Ἀτρείδη, νῦν δή σε] ἀντὶ τοῦ γάρ. ἔθος δὲ τῷ ποιητῇ ἀπὸ τοῦ γάρ ἄρχεσθαι, ὡς τὸ "πολλοὶ γὰρ τεθνᾶσι" (Il. 7, 328) καὶ "νῦν γὰρ καὶ πόνος ἐστί." τὸ δὲ θέλουσιν, ὡς ἐξ εὐδεμιᾶς αἰτίας τοῦτο προαιρούμενοι. διασύρει δὲ αὐτοὺς ὡς οὐ νοήσαντας τὴν πεῖραν. εἰ γὰρ ἐπονείδιστοί εἰσι φεύγοντες, πῶς ἂν αὐτοὺς προτρέποιτο φεύγειν; ἡῦξηται δὲ καὶ τῷ πᾶσι βροτοῖσιν, ἀλλὰ μὴ μόνοις Ἕλλησιν εἰπεῖν. ἐντέχνως δὲ κατ' αὐτῶν πρὸς αὐτὸν λέγει, ὡς συναχθόμενος αὐτῷ. πικρὸν δὲ ἦν τὸ φάναι ἐπονείδιστον ὦ Ἀχαιοὶ ποιήσετε τὸν βασιλέα. κἀκεῖνο δὲ πικρὸν, τὸ ὡς νήπιοι παῖδες ἢ ὡς κόραι ἀποδύρεσθε. ἅμα δὲ ἐμφαίνει ὅτι κατέχει αὐτοὺς ἐκείνου θέλοντος.

286. οὐδέ τοι ἐκτελέουσιν ὑπόσχεσιν] τοῦτο ἀνελεύθερον καὶ δουλοπρεπές. καλῶς δὲ ἀπὸ τῶν ὁμολογημένων ἤρξατο, ὃ μάλιστα δυσωπεῖ. οὐκ οἶδε δὲ τοὺς πρὸς τοὺς Τυνδαρίδας ὅρκους· καὶ γεῦν Ἰδομενεύς φησιν "ὡς τὸ πρῶτον ὑπέστην καὶ κατένευσα" (Il 4, 266).

289. ἢ παῖδες νεαροὶ χῆραί τε γυναῖκες] ἄμφω παρέτεινε, τὸ μὲν τῷ νεαροί, τὸ δὲ τῷ χῆραι. οἱ μὲν γὰρ εὐθὺς κόρυν τῆς ἀγορᾶς λαβόντες ἵενται οἴκαδε, αἱ δὲ τὸν οἶκοι φυλάσσοντα μὴ κεκτημέναι. κωμῳδεῖ δὲ τὸ ἀσύνετον καὶ ἀγεννὲς, ὡς οὐ διὰ τὴν ὑπερτέλειαν τῶν πολεμίων, διὰ δὲ τὸ ἴδιον μαλακὸν αὐτῶν θελόντων τοῦτο ποιεῖν.

291. πόνος ἐστίν] πολὺς μὲν οὖν ἐστὶν ὁ πόνος, ὥστε λοιπὸν ἀκηδιάσαντα ἀνιᾶσθαι. ἀνίησι δὲ τὴν ἐπιτίμησιν τῇ συγγνώμῃ. δυνάμεως

1. * ἔτι] om.
2. * Νέστωρ, ἤδη] om.
4. * ἐνείκειον εἵνεκα ποινῆς] om.
5. * καὶ ψόγου, ὡς] καὶ et ὡς om.
13. * τῷ] τὸ
14. * εἰπεῖν] om.
17. * ἀποδύρεσθε] ἀποδύρεσθαι
25. * εὐθὺς] εὐθὺ
27. ἀγεννὲς] ἀγενὲς cum rasura ante ν.
28. ἴδιον μαλακὸν] * ἰδιομάλακον

δὲ ῥητορικῆς ἀπὸ τοῦ αὐτοῦ πράγματος πρὸς ἑκάτερον ἐξ ἐναντίου λαμβάνειν τὰς ἀφορμάς.

292. καὶ γάρ τις] καλῶς τὴν συγγνώμην τῇ ἐπιτιμήσει ἀνίησι· πάντες γὰρ ἀγαπῶμεν τοὺς ὑπὲρ ὧν ἡμάρτομεν ἀπολογουμένους. δύναται δὲ καὶ ἀνάγκην μείζονα ἐπιτιθέναι διὰ τούτων τοῦ μένειν αὐτοὺς, αἰσχρὸν δεικνὺς τὸ ἐπανελθεῖν ἀπράκτους καὶ ὀφθῆναι διὰ τοσούτου χρόνου τοῖς οἰκείοις ἐπονειδίστως· διὸ καὶ ἐπάγει "αἰσχρόν τοι δηρόν τε μένειν κενεόν τε νέεσθαι." ἀναγκαίως δὲ ἐνδίδωσιν, ὅπως μικρὰ θεραπευθέντες μεγάλα χαρίσωνται.

ἀπὸ ἧς ἀλόχοιο] τοῦτο καὶ τὴν Ὀδυσσέως καὶ Πηνελόπης προανακρούεται στοργήν. ἅμα δὲ ὅτι καὶ αὐτῷ τὸ γύναιον ὑπολέλειπται, οὐ μόνον δὲ, ἀλλὰ καὶ νήπιος ἔτι παῖς τῇ ἡλικίᾳ. τότε δὲ πιθανοὶ οἱ λέγοντες, ὅταν τοῖς ἀκούουσιν ὁμοιοπαθεῖς καὶ αὐτοὶ τυγχάνωσιν.

294, 295. τὸ δυσχερὲς τῆς ἀνακομιδῆς πρὸ ὀφθαλμῶν αὐτοῖς ἄγει, καὶ τὴν τοῦ ὡρισμένου χρόνου συμπλήρωσιν. περιτροπέων δὲ ἀντὶ τοῦ τροπὰς λαμβάνων, τουτέστι συμπληρούμενος.

296. μιμνόντεσσι] ἀργοῦσιν, ἀπράκτοις καθημένοις, ἐπεὶ ἐνῆν αὐτῷ φάναι καὶ τὸ μαρναμένοισιν.

298. αἰσχρόν τοι δηρόν τε μένειν κενεόν τε νέεσθαι] ἀνιαρὸν τὸ χωρίζεσθαι τῶν οἴκοι ἐπὶ πολὺ καὶ ὑποστρέφειν ἄπρακτον. τὸ δὲ κενεόν ἤτοι διὰ κενῆς πολεμήσαντα ἢ κενὸν λαφύρων. δέλεαρ δὲ τοῦ μένειν ὑποβάλλει αὐτοῖς λαφύρων ἐλπίδα.

299. τλῆτε φίλοι] καταμαλάξας τὸ πλῆθος πρότερον νῦν ἀποστρέφει πρὸς αὐτοὺς τὸν λόγον, καὶ ἀντὶ Ἀχαιῶν φίλους καλεῖ.

300. ἦ ἐτεὸν Κάλχας] δικαίως ἀπὸ τοῦ ἔναγχος εὐδοκιμήσαντος Κάλχαντος τὴν πίστιν λαμβάνει. ὅτι δὲ ἠγάπητο τῷ πλήθει, Ποσειδῶν καὶ Ἀθηνᾶ καθ' ὁμοιότητα αὐτοῦ προτρέπονται τὸ πλῆθος (Il. 13, 45). στρατὸς δὲ ἐπὶ ξυροῦ τυγχάνων ψυχαγωγεῖται διοσημίαις, τὴν ἐλπίδα τῆς σωτηρίας ἔχων εἰς θεούς. ἄκρως δὲ κατηγορεῖ αὐτῶν, ὅτι τότε μὲν τὸ μῆκος ἀκούσαντες οὐκ ὤκνησαν στρατεύειν, νῦν δὲ πρὸς τὸ τέλος ἐκλέλυνται.

302. κῆρες] αἱ τοῦ λοιμοῦ κῆρες. ὁ δὲ Ζηνόδοτος μάρτυρές φησιν, Ὁμήρου σχηματίζοντος ἀπὸ τοῦ μάρτυρος. πιστὸς δὲ ὁ λόγος γίνεται, ὅταν τοὺς ἀκούοντας μάρτυρας ἔχῃ τῶν λεγομένων.

303. χθιζά τε καὶ πρώϊζ'] τοσοῦτον χρόνον χθιζά φησιν, ὅπως τὸν ἐπερχόμενον ὡς μηδὲν ἡγήσωνται.

305. *"ἡμεῖς δ' ἀμφὶ περὶ κρήνην ἱεροὺς κατὰ βωμούς" μέχρι τοῦ "τῷ δεκάτῳ δὲ πόλιν αἱρήσομεν εὐρυάγυιαν" (329). περὶ τούτων τῶν ἐπῶν ἠπόρησεν ὁ Ἀριστοτέλης τοιαῦτα. διὰ τί ὁ Κάλχας, εἰ μὲν οὐδὲν ἦν τέρας τὸ γινόμενον, ἐξηγεῖται ὡς τέρας; τί γὰρ ἄτοπον ὑπὸ ὄφεως στρουθοὺς κατέδεσθαι, ἢ τούτους ὀκτὼ εἶναι; περὶ δὲ τοῦ λίθου γενέσθαι οὐδὲν λέγει, ὃ ἦν μέγα, εἰ μὴ ἄρα εἰς τὸν ἀπόπλουν ἐσήμαινεν, ὥς τινές φασιν. οὐκ ἔδει δὲ ἀναμῆσαι· εἰκὸς γὰρ ἦν ὑπολαβεῖν· καὶ εἰ μή τις ἔλεγε, καὶ τότε ἀξίως ἔλεγε τοῦτο, ὅτι οὐδὲ ἀπέβωκεν ἂν εἴη τὸ τέρας· ἐνάτη γὰρ ἦν ἡ μήτηρ, δεκάτῳ δὲ τὸ Ἴλιον ἥλω. φησὶν οὖν μὴ εἰς τὸν νόστον εἰρῆσθαι τὰ περὶ τῆς ἀπολιθώσεως τοῦ δράκοντος, διὸ οὐδ' ἐποίησε λέγοντα· οὔτε γὰρ πάντες ἄνοστοι ἐγένοντο, γελοῖός τ' ἂν ἦν οὐκ ἀποτρέπων τοῦ πλοῦ, ἀλλὰ πλεῖν προτρεπόμενος οὓς ἐδήλου τὰ σημεῖα μὴ ἐπανήξειν. μήποτ' οὖν, φησί, τὸ σημεῖον, τὸ λίθον γενέσθαι, βραδυτῆτος σημεῖον ἦν, ὅπερ ἤδη ἐγεγόνει καὶ οὐκέτ' ἦν φοβερόν. ἐλήφθη δὲ ἐν ἔτεσιν ἐννέα· τοῦ δεκάτου γὰρ ἔτους ἀρχομένου ἐγένετο, ἀριθμεῖ δὲ τὰ ὁλόκληρα ἔτη, ὥστε συνάδει ὀρθῶς ὁ ἀριθμὸς τῶν ἀπολωλότων καὶ τῶν ἐτῶν. οἱ δὲ τὰ περὶ οἰωνιστικῆς τῆς καθ' Ὅμηρον γράψαντες τὴν μὲν νεοττιὰν, ὡς ἂν ἐπ' ἄκρων τῆς πλατάνου κειμένην τῶν κλάδων οὖσαν ἐνάερον, εἰλῆφθαί φασι πρὸς τὴν ἠνεμόεσσαν πόλιν· τοὺς δ' ἐνοικοῦντας ἐν αὐτῇ στρουθοὺς στρατὸν εἶναι ἀλλοεθνῆ· πολλοὶ γὰρ ἐπίκουροι πολλέων ἐκ πολίων κατῴκουν τὴν πόλιν. πτηνοὶ γὰρ ἀέρι μᾶλλον ἢ χώρᾳ οἰκειότεροι. τὸ δὲ ξύλον τῆς πλατάνου, νεαροῦ ξύλου καὶ ὑδρηλοῦ, δι' οὗ ὁ δράκων ἐπίγειον ἀνύει πορείαν ἐπὶ τοὺς στρουθούς. ἐδήλου οὖν διότι πολὺς στρατὸς πορείαν ποιησάμενος διαπόντιον, νηίτης περάσας, διὰ τῆς χώρας ἐπιπεσεῖσθαι τοῖς Τρωσὶν ἔμελλεν. ἐπίγειος γὰρ ὁ ὄφις· διὰ ξύλου οὖν ἕρπων ὑδρηλοῦ τὴν διὰ νηῶν πορείαν ἐδήλου, εἶτ' ἀπόβασιν καὶ διὰ τῆς χώρας ἔφοδον τοῖς τὴν ἠνεμόεσσαν κατοικοῦσι πόλιν. τὸ δὲ πετάλοις ὑποπεπτηῶτας εἶναι τοὺς στρουθοὺς δηλοῦν τὸ ἀβέβαιον τῆς εὐθαλείας τῶν κατοικούντων τὴν πόλιν· φυλλορροεῖ γὰρ τὰ δένδρα. στρουθοὺς δὲ καὶ οὐκ ἄλλα

3. ἠπόρησεν] ἠποῖ
8. ἔλεγε τοῦτο Vill.] ἔλ τοῦτο. ἔλεξε τοῦτο Cobetus. Verba proxima vel corrupta sunt vel defecta.
13. οὗς Bekkerus] om.
19. νεοττιὰν Bekkerus] νεοττείαν hic et infra locis plerisque.
30. εὐθαλείας] εὐθᾶ/, ut incertum sit utrum εὐθαλείας voluerit an εὐθαλίας. De utraque scriptura v. Thess. vol. 3 p. 2265.

ὄρνεα παρείληφεν, ὅτι ἱερὰ μὲν Ἀφροδίτης ἡ στρουθός, κατωφερέστατον δὲ ζῷον καὶ λάγνιστον· οἰκεῖοι δὲ τῇ Ἀφροδίτῃ οἱ Τρῶες, καὶ λαγνείας εἵνεκα τὸν πόλεμον ἐνστησάμενοι, ὥσπερ τῆς Ἀθηνᾶς ἱερὸς ὁ δράκων. φίλοι δὲ Ἀθηνᾶς οἱ Ἕλληνες, οὓς τῷ σημείῳ ὁ δράκων ἐσήμανεν. ὁ δὲ τῶν στρουθῶν ἀριθμὸς τῶν ἐτῶν ἐδήλου τὸν ἀριθμόν. ἐτήσιος γὰρ ἡ γένεσις ὄρνισι. καὶ ὀκτὼ μὲν ἔτη ἐν οἷς ἦσαν ἀπόρθητοι μικρὰ ταῦτα, τὸ δὲ ἔνατον, ἐν ᾧ τὸ τέλος, τὸ κεφάλαιον ἂν εἴη τοῦ χρόνου, ὥστε οἰκεία ἡ μήτηρ τῷ χρόνῳ τούτῳ. ἐννέα δὲ καὶ οὐ δέκα ὁ ἀριθμὸς ὅτι τοῦ πολέμου ὁ χρόνος ἀριθμεῖται, οὐ τῆς ἁλώσεως. τί γάρ φησιν; "ὣς ἡμεῖς τοσσαῦτ' ἔτεα πολεμίζομεν αἶθι" ἐννέα ἔτεα, ὧν τὸ ἔνατον τὸ κεφάλαιον περιεῖχε τῶν κακῶν καὶ περιοχὴν τῶν παρελθόντων ὀκτὼ "τῷ δεκάτῳ δὲ πόλιν αἱρήσομεν." μετὰ γὰρ τὴν μητέρα τῶν στρουθῶν καὶ τὸ ἔνατον ἔτος ἑτοίμη ἦν ληφθῆναι ἡ νεοττιὰ καὶ ἡ πόλις ἡ τῶν Τρώων, ἡ ἰαχή τε τῆς μητρὸς καὶ τῶν τριζόντων νεοττῶν τὴν οἰμωγὴν ἐδήλου τῶν ἁλισκομένων. ἡ δὲ τοῦ δράκοντος ἀπολίθωσις κατὰ μὲν Ἀριστοτέλην τὴν βραδυτῆτα ἐδήλου καὶ τὸ σκληρὸν τοῦ πολέμου, κατὰ δὲ ἄλλους τὴν τῆς πόλεως ἐρήμωσιν, καὶ τοῦ μὲν ζωτικοῦ παντὸς κένωσιν, τῶν δὲ λίθων καὶ οἰκοδομημάτων κατάλυσιν τῶν Τρώων ἁλόντων Ἑλλήνων ἀποπλευσάντων. τὸ δὲ δέκατον ἔτος ὅπερ διὰ τοῦ δράκοντος δεκάτου ὄντος ἐν τοῖς σημείοις ἀριθμεῖται λαμβανόμενον τὸ αὐτό, εἰς μὲν τοὺς Ἕλληνας γίνεται λίθος μένων καὶ ἀρίζηλος πᾶσιν διακένωμα ὢν καὶ λίθους μεμενηκέναι τοῦ πολέμου καταλυθέντος· ὥστε τὸν δράκοντα ἐπιόντα μὲν δηλοῦν τὴν ἔφοδον τῶν Ἑλλήνων, διὰ δὲ τῆς πλατάνου τὴν διὰ τῶν νεῶν γινομένην, κατεσθίοντα δὲ τοὺς ἐννέα στρουθοὺς μετὰ τῆς μητρὸς σημαίνειν μὲν τὸν ἐνναετῆ πόλεμον, ἀπολιθούμενον δὲ δέκατον ἐν τοῖς σημείοις αὐτὸν ἐρημίαν δηλοῦν τὴν ἐν τῷ δεκάτῳ ἔτει τῶν Ἑλλήνων ἀποστάντων καὶ τῆς πόλεως ἐν λίθοις μόνοις καταλειφθείσης, παντός τε τοῦ ἐμψύχου ἔκ τε αὐτῆς καὶ τῶν περὶ αὐτὴν καθημένων κενωθέντος. ἐμήνυε δὲ ἡ εἰς παράδοξον καὶ θαυμαστὸν μεταβολὴ τὴν τῶν κατειργασμένων ἐπὶ πλεῖστον μνήμην. ἡ δὲ ἕδρα τῶν ὀρνίθων καὶ ἡ ἐν τῇ νεοττιᾷ τῶν στρουθῶν καθέδρα ἐδήλου τοὺς ἐνδομυχοῦντας καὶ ἐν τῇ πόλει κατακλείστους Τρῶας. οἱ δὲ βεβαιότερόν φασιν εἶναι τὰ διὰ τῶν καθεδρῶν ἢ ὅσα πετόμενοι σημαίνουσιν

2. λάγνιστον] Probabilius λαγνίστατον, quae usitata forma est: v. Thes. vol. 5 p. 21 et annot. ad Epiphan. vol. 3, 2 p. 612.

ὄρνιθες. ὥσπερ γὰρ πετόμενοι μηνύουσι ταχύτερον οὕτω πάντα ἔσεσθαι, οὕτω καθεζόμενοι ποιοῦσι χρόνια καὶ παράμονα. τὸ δὲ καὶ περιπέτεσθαι τὴν νεοττιὰν τὴν μητέρα ἀεὶ καὶ μὴ πόρρω ἀποχωρεῖν ἐδήλου ὅτι καὶ οἱ ἐκ τῆς πόλεως ἐξιόντες αὐτόθι περὶ τὴν πόλιν καὶ οὐ πόρρω χωρεῖν ἔμελλον, ἀλλὰ ζῆν περὶ αὐτὴν "χρειοῖ ἀναγκαίῃ πρό τε παίδων καὶ πρὸ γυναικῶν." τὴν δὲ νεοττιὰν οὐ διέφθειρεν ὁ δράκων ὅτι οὐκ ἐξηλίφη τέλος ἡ πόλις, ἀλλὰ μόνοι οἱ ἐνοικοῦντες. αὐτῆς μὲν μεινάσης, τῶν δ' ἐπελθόντων μετὰ τὴν ἀναχώρησιν καὶ πόρθησιν ἐρημίαν φοβερὰν καταλελοιπότων, καὶ πάντα εἰς λίθους περιστησάντων διὰ τὸ ἄπορον καὶ ἄψυχον τῆς χώρας ἐγκατάλειμμα καὶ τῆς πόλεως. ἅμα δὲ καὶ ὅτι ἡ ἀποστροφὴ τοῖς Ἕλλησιν ἀντιτυπής ἐστι καὶ σκληρὰ ἐδήλου ὁ ἀπολιθούμενος δράκων. ἀπαλλάσσεσθαι γὰρ μέλλων ἤδη τῆς νεοττιᾶς ἐγένετο λίθος καὶ ἐπὶ τῆς ὁδοῦ ἔτι ὤν. τὸ δὲ δένδρον οὖν ἡ ὁδὸς, ἀλλὰ καὶ ἡ πορεία τοῦ δράκοντος οὐκ οὖσα ὀρθὴ φύσει οὐδὲ εὐθεῖαν τὴν ὁδὸν τοῖς Ἕλλησιν ἐσήμαινεν, ὁποία ἐγένετο καὶ αὐτοῖς ἀπιοῦσί τε καὶ ὑποστρέφουσιν. οὐδὲ τὸ "ἐλελιξάμενος πτέρυγος λάβεν" ἐστὶν ὡς πρὸς μαντείαν ἄχρηστον· ἐδήλου δὲ τὸν τρόπον καθ' ὃν τὴν Ἴλιον ἔμελλον ἐκπορθήσειν οἱ Ἕλληνες. οὐ γὰρ ἐκ τοῦ εὐθέος ἐκράτησαν καὶ εἷλον, ἀλλ' ἀναχθέντες ἀπὸ τῆς Τρωάδος, εἶθ' ὑποστρέψαντες, ὃ ἔστιν εἰπεῖν ἐλελιξάμενοι. ἡ δὲ πλάτανος διὰ μὲν τὸ ὑδρηλὸν καὶ εὔμηκες ἐδήλου τὴν διὰ νεῶν καὶ ὕδατος μακρὰν πορείαν, διὰ δὲ τὸ ἄκαρπον φύσει ὅτι ἄκαρπος ἡ πορεία καὶ τοῖς ἐπελθοῦσιν Ἕλλησι καὶ τοῖς ἐνοικοῦσι τὴν πλάτανον τῶν Τρώων. τά τε γὰρ ληφθέντα λάφυρα ἐξ Ἰλίου ἄλλα ἄλλως ἀπώλετο καὶ οἱ Τρῶες οὐδένα καρπὸν ἔσχον μεινάσης αὐτοῖς τῆς νεοττιᾶς ἐν ἀκάρπῳ μὲν δένδρῳ, φύλλοις, δὲ πρὸς καιρὸν θάλλουσιν αὐτοὶ ἄρδην ἀπολόμενοι.

ἀμφὶ περί] οὐ διὰ τὸ μέτρον αἱ δύο προθέσεις, ἀλλὰ τὴν περὶ τὸν αὐτὸν τόπον συναγωγὴν παντὸς τοῦ στρατοῦ ἐσήμανεν. πιστοῦται δὲ τὸ τέρας, εἴ γε ἐπὶ τοσούτου πλήθους καὶ θυσιῶν ἔν τε ἱερῷ τόπῳ γέγονεν.

307. μόνον οὐχὶ καὶ χρώμασιν ἡμῖν τὸν λόγον ἐσήμανε. καὶ τὸ παραρρέον δὲ ὕδωρ φησί. διυδατίζεσθαι γὰρ θέλει ἡ πλάτανος, καὶ ἔστιν ἐπιτηδεία πρὸς γένεσιν στρουθῶν. οἶδε δὲ τὰς φύσεις ἁπάντων, καὶ ὠλεσικάρπους τὰς ἰτέας φησίν (Od. 10, 510).

308. ὁ δράκων Ἀθηνᾶς ἱερὸς, οἱ στρουθοὶ Ἀφροδίτης. χρόνον τε δηλοῦσιν, ἐπεὶ πτηνὸς ὁ χρόνος· ὁ δὲ λίθος, ἐπεὶ οὐκέτι κίνησιν

ἔλαβεν ὁ πόλεμος· ἢ τὸ μὲν ἐφ' ὕψους κεῖσθαι τὴν νεοττιὰν, τὴν ἠνεμόεσσαν Ἴλιον, οἱ δὲ ὑπὸ τοῖς πετάλοις νεοσσοὶ τὸ ὀλιγοχρόνιον τῶν Τρώων· μαραινομένων γὰρ ὅσον οὐδέπω τῶν φύλλων ἀποπεσεῖνται. ἡ δὲ ἐνάτη μήτηρ τῆς ἐνναετηρίδος τὸν ἔσχατον ἀγῶνα ἐσήμανεν, ἡ δὲ διὰ τοῦ ὕδατος πορεία τοῦ δράκοντος τὴν δι' ὕδατος ἄφιξιν τῶν Ἑλλήνων, τὸ δὲ περιλειφθῆναι τὴν νεοττιὰν τὸ μὴ παντελῶς ἠφανίσθαι τὸν τόπον· οἰκεῖται γὰρ μέχρι τοῦ νῦν. ἡ δὲ ἀπολίθωσις τὸ δυσδιεξόδευτον τῶν νόστων, ἢ ὅλου τοῦ ἀγῶνος παῦσιν (οὐ γὰρ ἠμύναντο ἔτι τοῦ λοιποῦ τοὺς Ἕλληνας οἱ Τρῶες), ἢ ὅτι εἰς λίθους περιστήσεται τοῦ πολέμου τὸ τέλος. ἔστι δὲ σημεῖον μὲν τὸ παρὰ τόπον γινόμενον, ὡς μέλισσαι ἢ πτηνοὶ μύρμηκες ἐν οἴκῳ, τέρας δὲ τὸ παρὰ φύσιν. τοῦτο οὖν ἄμφω εἶχε, σημεῖον μὲν τὸ ἐπ' ἄκρῳ τῷ φυτῷ εἶναι τὴν νεοσσιὰν, τέρας δὲ τὸ ὀκτὼ τετοκέναι· ἑπτὰ γὰρ τίκτει, ὧν τὸ ἓν οὔριον ἐᾷ.

309. αὐτὸς Ὀλύμπιος ἧκε φόωσδε] ἐπεὶ τὸ σημεῖον τὸ φανὲν δύναιτό τις ἀποφαίνειν καὶ ἄλλως γενόμενον (πολλὰ γὰρ τοιαῦτα συμβαίνει καὶ ἐν οἰκίαις γίνεσθαι), ἐξαίρειν δὲ αὐτὸ πειρᾶται ὡς μέγα καὶ θεῖον καὶ δηλωτικὸν τῶν τοῦ πολέμου ἀγαθῶν.

312. ὑποπεπτηῶτες] ὑφ' ἓν τοῦτο. εἴρηται δὲ διὰ τὴν τῶν νεοσσῶν ἀσθένειαν.

314. κατήσθιε] ἐπὶ δὲ λύκων "οἵ τ' ἔλαφον κεραὸν μέγαν οὔρεσι δηώσαντες" (Il. 16, 158), ἐπὶ δὲ λεόντων "ἔγκατα καὶ μέλαν αἷμα λαφύσσετον" (Il. 18, 583). ὥσπερ γὰρ καὶ ταῖς λέξεσιν ἐπαναβαίνει ὁ ποιητής.

316. ἐλελιξάμενος] ἐπιστραφείς. οὐδὲ τοῦτο δὲ ἄχρηστον πρὸς τὴν μαντείαν· οὐ γὰρ εὐθέως ἐκράτησαν αὐτοὺς καὶ εἶλον, ἀλλ' ἀναχθέντες ἀπὸ τῆς Τρωάδος, εἶτα ὑποστρέψαντες. ἀμφιαχυῖαν δὲ τελειοτέρᾳ φωνῇ ἐχρήσατο τοῦ τετριγότας.

320. καὶ ἀπὸ τῆς τῶν ὁρώντων διαθέσεως κινεῖ τὴν ἔμφασιν.

323. ἐπιτιμᾷ ὡς οὐ δεομένοις μαντείας. καλῶς δὲ οὐ περιέτεμε τὸν λόγον, ἀλλὰ τοῖς τοῦ μάντεως κέχρηται ῥήμασιν, ὅπως ψυχαγωγοῖντο δοκοῦντες αὐτοῦ ἀκούειν. τὸ δὲ ἄνεῳ ὧδε μὲν διὰ τοῦ ῑ, ἐπὶ δὲ τοῦ "οἱ δ' ἄνεω δὴν ἦσαν" (Od. 23, 93) χωρὶς τοῦ ῑ.

2. ὑπὸ τοῖς πετάλοις] * ὑποπετάλιοι (vel ὑποπετήλιοι)
3. * οὐδέπω] om.
13. * τὴν νεοσσιὰν (vel νοσσιὰν)
21. * μέγαν] om.
22. * δὲ] om.
27. * Τρωάδος] τρωΐδος

325. ὅου κλέος] τὸ τοῦ πολέμου κλέος, ἢ τὸ τοῦ σημείου. τοῦτο δὲ πρὸς τὸ πεῖσαι. τὸν δὲ λίθον οὐκ ἐξηγεῖται, ἢ πρὸς τὸ μὴ λυπῆσαι, ἢ ὅτι τέρας ἐστίν. προσέθηκε δὲ καὶ τὸ οὔποτ' ὀλεῖται, ἵνα μὴ διὰ τὸ μῆκος ἀπογνῶσι πρὸς τὴν μάχην.

328. ἔτεα] τρεῖς εἰσὶν οἱ χρόνοι δι' ων ὁ πᾶς αἰὼν ἀριθμεῖται, ἡμέρα, μὴν, ἐνιαυτός. καὶ ἡ μὲν ἡμέρα οὐρανοῦ ἐστὶν ἀποκατάστασις, ὁ δὲ μὴν σελήνης, ὁ δὲ ἐνιαυτὸς τοῦ ἡλίου. εἰ μὲν οὖν ἦσαν ἐν τῷ στελέχει, ἡμέρας εἶπεν, εἰ δὲ ἐν μέσῳ, μῆνας· ἐπεὶ δὲ πρὸς τὸ τέλος, ἐνιαυτούς.

τὸ αὖθι ἐν Ἰλίῳ, ἀλλ' οὐκ ἐν Αὐλίδι.

329. τῷ δεκάτῳ] ἱσταμένου γὰρ τοῦ δεκάτου ἐπόρθησαν.

*Πορφυρίου. μαχόμενον ἔχει τὸν ἐπιλογισμὸν τοῦ ἀριθμοῦ τῷ προκειμένῳ πλήθει τῶν στρουθῶν· προείρηκε γὰρ "ὀκτὼ, ἀτὰρ μήτηρ ἐνάτη ἦν, ἣ τέκε τέκνα." λύεται δὲ, ὅτι τὸ δέκατον τίθεται καὶ ἐπ' ἀρχῆς, ὥστε εἰ κατ' ἀρχὰς τοῦ δεκάτου γέγονεν ἡ ἅλωσις, οὐκ ἂν ἐπιβάλλοι καὶ τοὺς στρουθοὺς δέκα ποιεῖν.

διὰ τί οὐχὶ ἐνάτῳ ἔφη ἐνιαυτῷ ἔσεσθαι τὴν πόρθησιν, καίτοι τῆς ἀκολουθίας τῶν σημείων τοῦτο ἐχούσης "ὀκτὼ, ἀτὰρ μήτηρ ἐνάτη ἦν;" ἢ ὅτι τῶν ἐννέα πληρωθέντων ἀνάγκη νοεῖν τὸν ἐπέκεινα δέκατον· ἢ καὶ τὸν δράκοντα αὐτὸν δεῖ συναριθμεῖν, ὅς ἐστι δέκατος, ὡς ὅλου τοῦ ἀγῶνος ἐν τούτῳ μέλλοντος παύσεσθαι. ὁ λιθωθεὶς οὖν δράκων ἐσήμανεν ὅτι οὐκέτι κίνησιν ἔλαβεν ὁ πόλεμος.

330. κεῖνός θ' ὡς] ὀξυντέον τὴν ος διὰ τὸν τέ. οὕτως Ἀρίσταρχος καὶ Ἡρωδιανός.

νῦν πάντα τελεῖται] πρὸς τὸ χθιζά τε καὶ πρώϊζα καὶ τὸ νῦν φησὶ, καὶ τὸ τελεῖται ἀντὶ τοῦ τελεσθήσεται, εἴπερ ὁ ὄνειρος εἶπε "νῦν γάρ κεν ἕλοις πόλιν."

333. "οἷόν γέ πού 'στι γλῶσσα κἀνθρώπου λόγος," κατὰ Εὔπολιν· "ὁ μὲν γὰρ λέγων φεύγωμεν ἀναπτεροῖ, ὁ δὲ μένωμεν πείθει." ἅμα δὲ καὶ τὸ παλίμβολον τῶν δήμων ἐσήμανεν.

336. δεινῶς ἅμα καὶ εὐπόρως τὴν αὐτὴν ῥητορείαν ἑτέραις λέξεσι μεταφράζει ὁ ποιητής. παρρησιαστικὸς δὲ διὰ τὸ γῆρας ὁ Νέστωρ.

8. τὸ τέλος] *τῷ τέλει

12. *ἐπιλογισμὸν] ἀπολογησμὸν (sic)

28. *οἷόν γέ πού 'στι γλῶσσα] οἷον γάρ φησι πους τοῖον καὶ γλῶσσα. γλῶσσα etiam apud Eustathium: sed Eupolis γλῶττα scripserat. De duobus qui sequuntur trimetris metro solutis v. Meinek. Com. vol. 2 p. 554.

337. παισὶν ἐοικότες] καλῶς οὐκ εἶπε γυναιξὶν, ἀλλὰ παισίν. καὶ γὰρ ταύταις ἐστὶ φρόνησις.

ἀγοράασθε] τότε ὅτε συνετίθεσθε Ἀγαμέμνονι. ἢ μᾶλλον πρὸς Ὀδυσσέα ἀποτείνεται δημοχαριστικῶς παρελθόντα· ἔλεγε γὰρ "οὐ νεμεσίζομ' Ἀχαιούς."

339. πῆ δή] τινὲς ἐλεγκτικῶς ὅλα προφέρονται· ποῦ ἀπῆλθον αἱ συνθῆκαι καὶ αἱ σπονδαὶ καὶ αἱ δεξιαὶ καὶ οἱ ὅρκοι; ἵν' ᾖ καὶ τὸ βήσεται ἀντὶ τοῦ ἔβησαν, καὶ τὸ γενοίατο ἀντὶ τοῦ ἐγένοντο, καὶ τὸ ἀγοράασθε ἀντὶ τοῦ τότε ὅτε συνετίθεσθε Ἀγαμέμνονι. ἢ ἐν διαστάγμῳ· ποῦ ἄρα τελευτηθήσεται τὰ τῶν ὅρκων καὶ τῶν σπονδῶν; τὸ δὲ ἡμῖν ἀπολύτως ἀναγνωστέον.

*τῶν ἐκ τῆς Ἑλλάδος ἀρίστων ἐπὶ μνηστείαν τῆς Ἑλένης παρόντων διὰ γένος καὶ κάλλος, Τυνδάρεως ὁ πατὴρ αὐτῆς, ὡς τινές φασι, φυλασσόμενος μή ποτε ἕνα αὐτῶν προκρίνας τοὺς ἄλλους ἐχθροὺς ποιήσηται, κοινὸν αὐτῶν ὅρκον ἔλαβεν, ἢ μὴν τῷ ληψομένῳ τὴν παῖδα ἀδικουμένῳ περὶ αὐτὴν σφόδρα πάντας ἐπαμυνεῖν. διόπερ Μενελάῳ αὐτὴν ἐκδίδωσιν. καὶ μετ' οὐ πολὺν χρόνον ἁρπασθείσης ὑπὸ Ἀλεξάνδρου, ἐκοινώνησαν τῆς στρατείας διὰ τοὺς γενομένους ὅρκους.

340. ἐν πυρὶ δὴ βουλαί τε γενοίατο] οὐκέτι βουλῶν ὄνησις. ἀφανισθήσεται δὲ παντελῶς ἡ βουλὴ, μηδὲν ἀνίσχουσα τὸ ὠφελοῦν. οὐχ ὑποσχέσεις δὲ κατὰ τὸν Ὀδυσσέα, ἀλλ' αὐτὰ τῶν πίστεων τὰ ὀνόματά φησιν· ὅσα γὰρ ἐκεῖνος παρέδραμεν, οὗτος ἐπεξεργάζεται. ἐλέγχει δὲ ὡς ἐνεδρεύσαντας τὸν βασιλέα· οὐκ ἂν γὰρ ἐστράτευσε μὴ συνθεμένων αὐτῶν. εὖ δὲ τὸ μὴ εἰπεῖν τὰ ὑμῶν μήδεα, ἀλλὰ καθολικῶς τὰ τῶν ἀνδρῶν.

341. σπονδαί τ' ἄκρητοι] σημείωσαι, ὅτι ὅταν λέγῃ "κρητῆρι δὲ οἶνον ἔμισγον" (Il. 3, 269), οὐ λέγει σὺν ὕδατι, ἀλλ' ὅτι τῶν Τρώων καὶ Ἀχαιῶν οἶνον ἔμισγον.

344. Ἀτρείδη] ἐναντίως τῷ Ὀδυσσεῖ ἀπὸ τοῦ πλήθους εἰς τὸν βασιλέα μετῆλθεν.

ὡς πρίν] ἀντὶ τοῦ μηδὲν ἐνδιδοὺς, ὡς νῦν πρὸς φυγὴν ἐνδέδωκας.

345. ἄρχευ' Ἀργείοισιν] καταπλήττει διὰ τούτων τοὺς Ἕλληνας.

10. *ποῦ] τοῦ
19. ὅρκους] Additur *ἡ ἱστορία supra versum. παρὰ Στησιχόρῳ.
28. σημείωσαι om. Townl. ὅτι

346. *ὑφ' ἓν τὸ τούσδε ἀναφορικῶς. τὰ δὲ τοιαῦτα ἀεὶ δεικτικά ἐστιν. ἕνα δὲ, ὅτι τῷ ἐλαχίστῳ ἀριθμῷ κἀκείνους εὐτελίζει καὶ τοὺς λοιποὺς εὐέλπιδας ποιεῖ. Ἀχαιῶν δὲ καὶ οὐ σοῦ εἶπεν, ἀλλὰ κοινὴν αὐτῶν κατηγορίαν ποιεῖται, ἐφελκόμενος τὸ πλῆθος.*

347. *ἄνυσις] τὸ ᾱ πρὸ τοῦ ῡ ψιλοῦται, πλὴν τοῦ ἀνδάνω. φησὶ δὲ ὅτι οὐδὲν πρὸς τὸν ἀπόπλουν ἀνύσουσιν, ἄχρις ὅτου πέρας λάβῃ ἡ τοῦ Διὸς ὑπόσχεσις. Ὀδυσσεὺς δὲ αὐτοῖς ἐπέτρεπε, λέγων "τλῆτε φίλοι καὶ μείνατε."*

349. *ψεῦδος] ἀντὶ τοῦ ψευδής. ταῦτα δὲ παρὰ τοῖς Στωϊκοῖς λεκτὰ καλεῖται, τὰ πρὸς τὴν σημασίαν δι' ἄλλου φερόμενα. ψεῦδος γὰρ τὸ ἐπάγγελμα.*

350. *κατανεῦσαι Κρονίωνα] οἰκείως ὁ μὲν Ὀδυσσεὺς δημοχαριστικῶς δημηγορῶν τοῦ Κάλχαντος προβάλλεται τὰς μαντείας, ὃς ἦν ἐχθρὸς τοῖς Ἀτρείδαις, τῷ δὲ πλήθει γλυκύς· ὁ δὲ Νέστωρ τῷ βασιλεῖ χαριζόμενος τὰ τῶν θεῶν προβάλλεται. διὸ Ὀδυσσεὺς μὲν παρὰ τῶν Ἑλλήνων, Νέστωρ δὲ παρὰ τοῦ βασιλέως ἐγκωμιάζεται· "ἦ μὰν αὖτ' ἀρετῇ νικᾷς, γέρον, υἷας Ἀχαιῶν" (370)· ἐπὶ δὲ Ὀδυσσέως "ὣς ἔφαθ', οἱ δ' Ἀργεῖοι μέγ' ἴαχον" (333) καὶ τὰ ἑξῆς. τελειοτέρως δὲ τοὺς νεοσσοὺς ὁ Νέστωρ ἀφεὶς ἐπὶ τὸν βασιλέα τῶν θεῶν φέρεται. τὸ δὲ ἑξῆς, ὑπερμενέα Κρονίωνα ἀστράπτων, ἀντὶ τοῦ ἀστράπτοντα.*

352. *Τρώεσσι φόνον καὶ κῆρα φέροντες] καὶ Ὀδυσσεὺς ὁμοίως "ὅτ' ἐς Αὐλίδα νῆες Ἀχαιῶν ἠγερέθοντο κακὰ Πριάμῳ καὶ Τρωσὶ φέρουσαι" (303).*

353. *ἀστράπτων] ὅτι ἀκαταλλήλως εἴρηται (ἔδει γὰρ ἀστράπτοντα καὶ φαίνοντα), ὡς καὶ Εὐριπίδης ἐν Παλαμήδει "Λάϊε, πάλαι δή σ' ἐξερωτῆσαι θέλων σχολή μ' ἀπεῖργε." βραχὺ δὲ διασταλτέον εἰς τὸ ἐπιδέξι'· ἀσύνδετος γὰρ ὁ λόγος, λείποντος τοῦ καί.*

354. *μή τις πρὶν ἐπειγέσθω] ὁ δὲ Ὀδυσσεὺς ἐπιταγματικῶς "ἀλλ' ἄγε, μίμνετε πάντες" (331). οὗτος δὲ συμβουλευτικῶς.*

355. *ἐν τοῖς Ἀριστάρχου ὑπομνήμασι πρίν τινά περ, οὐ καλῶς. μέγιστον δὲ εἰς κόλασιν ᾤοντο οἱ παλαιοὶ τὸ τὰς γυναῖκας ὑπὸ πολεμίους γενέσθαι.*

356. *λείπει ἡ περί, ἵν' ᾖ τίσασθαι τὰ περὶ τῆς Ἑλένης ὁρμήματα. ὁρμήματα δὲ τὰ μεριμνήματα, ὡς αὐτῆς ἀκουσίως παρὰ τοῖς πολεμίοις οὔσης. ἵν' ἀξιόχρεως δὲ ᾖ βοηθεῖσθαι, τοῦτό φησιν.*

359. τοῦτο παρ' ὑπόνοιαν ἐπήγαγεν. ἀρετὴ δὲ ῥήτορος τὰ μὲν χαρίζεσθαι, τὰ δὲ καταπλήσσειν ἀπειλῇ κολάσεων.

360. φοβερώτερον καθίσταται τοῦτο τοῖς ἁμαρτάνουσι, τὸ τὸν Ἀγαμέμνονα ἄνακτα αὐτῶν καὶ οὐκ Ἀτρείδην καλεῖν. νόμον δὲ τοῖς βασιλεῦσι τίθησιν, εἰς δύο μερίζων αὐτῶν τὴν βουλήν, τήν τε ἰδίαν καὶ τὴν σὺν ἄλλοις γινομένην. ἄριστον γὰρ τὸ ἐπικρίνειν τὸ εὖ ἔχον· "οὗτος μὲν πανάριστος ὃς αὐτῷ πάντα νοήσει" (Hesiod. O. 291).

361. οὔ τοι ἀπόβλητον] ἐξ ἀποφάσεως τὴν κατάφασιν δηλοῖ τῶν ἐπαίνων, φεύγων τὸ φορτικόν· διὸ οὐκ εἶπεν ἐπαινέσεις τὴν βουλήν.

362. κρῖν' ἄνδρας κατὰ φῦλα] προοικονομεῖ ἑαυτῷ τὸν κατάλογον, ὅπως τὰς φυλὰς διεξιὼν ἀναγκάζηται τὸν τῶν νηῶν ἀριθμὸν λέγειν. περὶ τάξεως δὲ εἰσηγεῖται ὡς ἀναμφιβόλως δόξαντος αὐτοῖς μένειν· καὶ εἰς τοῦτο τρέπων λήθην ἐμποιεῖ τοῦ νόστου. ζητοῦσι δέ τινες τί δή ποτε οὐκ ἐν ἀρχῇ τοῦ πολέμου τὸ στράτευμα διατάττει ὁ Νέστωρ. ῥητέον δὲ ὅτι ἔχοντες πρώην Ἀχιλλέα τούτων οὐκ ἐδέοντο, ὡς οὐδὲ τοῦ πλήθους.

363. ὡς φρήτρη φρήτρηφιν] τοῦτο ἐξηγήσατο ἐν τῷ "ἐν θυμῷ μεμαῶτες ἀλεξέμεν ἀλλήλοισιν" (Il. 3, 9). τοῦτο δὲ, ἵνα μὴ περιορᾷεν τοὺς οἰκείους, καὶ εὐδοξεῖν σπουδάζοιεν γνωριζόμενοι. οὕτω δὲ τὸ βούλευμα χαρίεν τὸ τῆς διατάξεως, ὥστε καὶ τὸν Δία εἰσηγήσασθαι αὐτὸ τοῖς βαρβάροις διὰ τῆς Ἴριδος (805).

366. κατὰ σφέας] διακεκριμένοι. τοῦτο δὲ χαρίζεται Νέστορι τὸ γῆρας καὶ ἡ ἐμπειρία τῶν πολέμων.

*μαχέονται] ἔστι μὲν καὶ καθ' ἑαυτοὺς διακεκριμένοι, σημαίνει δὲ ἐκ τούτου ἕκαστον καθ' ἣν εἶχε δύναμιν· ὅμοιον γάρ ἐστι τῷ "καὶ μαχόμην κατ' ἐμαυτὸν ἐγώ" (Il. 1, 271), τουτέστι καθ' ἣν εἶχον δύναμιν.

367. θεσπεσίῃ] λείπει τὸ βουλῇ, ὡς Πίνδαρος "τὸν δὲ ἄνδρα δαιμονίᾳ γεγάμεν" (Ol. 9, 164). ἢ ἀπὸ κοινοῦ τὸ κακότητι, θεσπεσίῃ κατότητι ἢ ἀνδρῶν κακότητι.

368. ἦ] Πτολεμαῖος περισπᾷ τὸν η̄, ἵν' ᾖ τῇ ἰδίᾳ. οἱ δὲ περὶ Ἀλεξίωνα ὡς διαπορητικὸν ἢ διαζευκτικὸν ἐκδεχόμενοι ὀξύνουσιν, ἵν' ᾖ ἀντὶ τοῦ ἀλλ' ἤ.

370. *ἦ μὰν αὖτ' ἀγορῇ νικᾷς γέρον] διὰ τί Ὀδυσσέως καὶ κρατήσαντος τοὺς Ἕλληνας φεύγειν μέλλοντας καὶ τοὺς οἷος ὁ Θερσίτης

1. *παρ'] πρὸς 29. γεγάμεν ex Pindaro] γεγαμνέη

καταστασιάζοντας ἐπισχόντος καὶ ἀπειλαῖς καὶ πληγαῖς, ὁμοίως γὰρ τῷ Θερσίτῃ "ὃν δ' αὖ δήμου τ' ἄνδρα ἴδοι βοόωντά τ' ἐφεύροι, τὸν σκήπτρῳ ἐλάσασκεν ὁμοκλήσασκέ τε μύθῳ," ὅθεν καὶ τὸν Θερσίτην προήχθη τύψαι χείρονα ὄντα τῶν πληγὰς εἰληφότων, πρὸς δὲ τούτοις δημηγορήσαντος οὕτως ἐπιβοῆσαι αὐτῷ ἅπαντας ἐπαινοῦντας "ὣς ἔφατ', Ἀργεῖοι δὲ μέγ' ἴαχον, ἀμφὶ δὲ νῆες σμερδαλέον κονάβησαν ἀϋσάντων ὑπ' Ἀχαιῶν, μῦθον ἐπαινήσαντες Ὀδυσσῆος θείοιο," Ἀγαμέμνων μόνῳ Νέστορι τὰ πρωτεῖα δίδωσι καὶ τῆς νίκης παραχωρεῖ λέγων "ἦ μὰν αὖτ' ἀγορῇ νικᾷς, γέρον, υἷας Ἀχαιῶν," καὶ τοιούτους δέκα εὔχεται συμφράδμονας γενέσθαι. οὕτω γὰρ τάχα πορθηθῆναι τὴν Ἴλιον "χερσὶν ὑφ' ἡμετέρῃσιν ἁλοῦσαν." ῥητέον οὖν ὅτι οὐχ ἁπλῶς νικᾶν ἔφη καὶ ἐν πᾶσι τὸν Νέστορα, ἀλλὰ μόνον ἐν τῇ ἀγορῇ νικᾷς, γέρον, τὰ πρωτεῖα διδοὺς κατὰ τὴν δημηγορίαν καὶ αὐτὸς τῷ Νέστορι. καθάπερ οἱ Ἕλληνες τῷ Ὀδυσσεῖ. Ὀδυσσεὺς μὲν γὰρ εὐημαγώγησεν ὡς πρὸς δημοκρατίαν ἁρμόσας τὸν λόγον καὶ ὡς ἐπ' αὐτοῖς ὂν μένειν ἢ ἀποπλεῖν. τί γάρ φησιν ὑποτάξας τὸν Ἀγαμέμνονα τῇ τῶν Ἑλλήνων ἐξουσίᾳ "Ἀτρεΐδη, νῦν σε ἄναξ ἐθέλουσιν Ἀχαιοὶ πᾶσιν ἐλέγχιστον θέμεναι μερόπεσσι βροτοῖσι" καὶ τὰ ἑξῆς. ὁ δὲ Νέστωρ τὸν Ἀγαμέμνονα αὐτὸς ἄρχειν παρακαλεῖ καὶ μὴ φροντίζειν τῶν ἀποστατούντων. συμφέρειν γὰρ πᾶσι τὴν τούτου ἀρχήν, διὰ τὸ πάντας οὐχ ὑποσχέσεσιν ἁπλῶς, ὡς Ὀδυσσεὺς ἔφη, ὅρκοις δὲ καὶ συνθήκαις καὶ δεξιαῖς πιστώσασθαι τὴν τούτου ἡγεμονίαν, ἀπειθοῦσι δὲ αὐτοῖς καθὼς ἐξώμοσαν πάντες γενέσθαι τὴν παράβασιν. "Ἀτρεΐδη, σὺ δέ θ' ὡς πρὶν ἔχων ἀστεμφέα βουλὴν ἄρχευ' Ἀργείοισι κατὰ κρατερὰς ὑσμίνας," διὰ τοῦ "πῇ γὰρ αἱ συνθῆκαι καὶ καὶ ὅρκια βήσεται ἡμῖν σπονδαί τ' ἄκρητοι καὶ δεξιαὶ ᾗς ἐπέπιθμεν." διόπερ Ὀδυσσεὺς μὲν τοὺς Ἕλληνας εἰπὼν "ὥστε γὰρ ἢ παῖδες νεαροὶ χῆραί τε γυναῖκες ἀλλήλοισιν ὀδύρονται οἰκόνδε νέεσθαι" εὐθὺς ἐπιλαμβάνεται αὐτοῦ ἀνακαλούμενος τὸν λόγον διὰ τοῦ φάναι "ἦ μὴν καὶ πόνος ἐστὶν ἀνιηθέντα νέεσθαι," καὶ ἐκ τοῦ ἥττονος παραβάλλειν τὸ μέγεθος· τῆς Ἑλληνικῆς . . . . . εἰ γὰρ καὶ ὁ ἕνα μῆνα μένων ἀπὸ ἧς ἁλόχοιο ἀσχάλλει ὑπὸ ἀνέμων ἐναντίων ἐμποδιζόμενος, "ἡμῖν δ' εἰνατός ἐστι περιτροπέων ἐνιαυτὸς ἐνθάδε μιμνόντεσσι" (Il. 2, 291–296). τῆς . . . . . μεσήσαι ἀσχάλλουσι τοῖς Ἕλλησιν, ὁ δὲ Νέστωρ οὐχ Ἕλληνας φησὶν ἀξίους εἶναι ὡς παῖδας διασύρεσθαι, ἀλλ' αὐτοὺς τοὺς δημηγόρους τὰ τοῦ πολέμου ἔργα μὴ

σκοπουμε . . . . . ὧν μάλιστα ἥρτηται ἐκ τῆς πρὸς θεοὺς εὐσεβείας "ἦ δὴ παισὶν ἐοικότες ἠγοράασθε νηπιάχοις, οἷς οὔτι μέλει πολεμήια ἔργα." πῶς οὖν οὐ μέλλει . . . . . διὰ ἀφροσύνην τὰ τῶν πολέμων φρονεῖν, ὅτι δὴ φησὶν, "ἐν πυρὶ δὴ βουλαί τε γενοίατο" συνθεσίαι καὶ τὰ ὅρκια "σπονδαί τ' ἄκρητοι καὶ δεξιαὶ, ἧς ἐπέπιθμεν." τὸ θαρ- 5
ρεῖν γὰρ εὐορκοῦσι καὶ τηροῦσι τὰς διὰ θεῶν πίστεις ἀνδρῶν ἂν εἴη εὐφρόνων καὶ εἰδότων τὰ κοινὰ τῶν πολέμων εὐλαβεῖσθαι, καὶ τούτων ἀναμιμνήσκειν δεῖ, φησὶ, τοὺς συμβουλεύοντας ῥήτορας. ἀκολούθως δὲ τούτοις ἐπάγεται καὶ τὸ "ἕα φθινύθειν ἕνα καὶ δύο" τῶν ἀπει-
θούντων, οἳ οὐκ ἀνύουσι πρότερον τὸ εἰς οἶκον ἀπελθεῖν "πρὶν καὶ 10
Διὸς αἰγιόχοιο γνώμεναι εἴτε ψεῦδος ὑπόσχεσις εἴτε καὶ οὐκί." εἰ γὰρ ἐπὶ ὅρκοις καὶ σπονδαῖς καὶ τοῦ πολέμου παρασκευαῖς καὶ δεξιαῖς καὶ Διὸς ἐγένετο ἡ ὑπόσχεσις, κίνδυνος τοῖς ταῦτα παραβαίνουσι καὶ οὐ χρὴ θωπεύειν δημαγωγοῦντας, ἐπιπλήττειν δὲ μᾶλλον ἁμαρτάνουσι καὶ ἐπάγειν τὸν βασιλέα εἰς τὸ τῆς ἐξουσίας ἡγεμονι- 15
κὸν, ἀλλ' οὐκ ἀπέχεσθαι τῶν ἀρχομένων, ἐπισταμένων οἷς ἔκριναν μετὰ πίστεως ὡς χρεὼν ἐν πᾶσιν ὑπακούειν. διὸ Ὀδυσσεῖ μὲν ἀκόλουθον δημαγωγοῦντι καὶ Κάλχαντος χρήσασθαι μαντείαις. ὕβριστο μὲν γὰρ ὑπὸ Ἀγαμέμνονος, αἴτιος δὲ ἐδόκει ἔναγχος αὐτοῖς γεγονέναι τοῦ λοιμοῦ τῆς θεραπείας καὶ διὰ τοῦτο πρὸς αὐτῶν ἠγαπᾶτο καὶ 20
ἐπιστεύετο. Νέστορι δὲ τούτου μὲν ἀμελεῖν, εἰς δὲ τὰς Διὸς ἀνάγειν ὑποσχέσεις αἷς μετὰ τῆς τοῦ πολέμου κατορθώσεως καὶ τὸ ἡγεῖσθαι τοῦ πολέμου τὸν Ἀγαμέμνονα ἐκύρωσεν. "φημὶ γὰρ οὖν κατανεῦσαι ὑπερμενέα Κρονίωνα" (Il. 2, 350) καὶ τὰ ἑξῆς. γράφει δὲ περὶ τῶν δεξιῶν ἀστραπῶν Ἑρμόδημος, καὶ ὅταν "κατὰ δεξιὰ χειρὸς 25
ἀστράπτῃ νίκην καὶ ὑπέρτερον εὖχος ὀπάζει," καὶ ὅλως οἱ περὶ τούτων σκεψάμενοι φασὶν ἀστραπαὶ καὶ βρονταὶ δεξιαὶ τοῖς ἐπιχειροῦσιν ἄγεσθαι. φόβους γὰρ τοῖς πολεμίοις σημαίνουσιν ἐν δεξιοῖς γινόμεναι. διαφόρων τοίνυν οὐσῶν τῶν δημηγοριῶν καὶ τῆς μὲν Ὀδυσσέως δημοτικωτέρας, τῆς δὲ Νέστορος βασιλικωτέρας καὶ 30
ἀρχικῆς, εἰκότως ὁ μὲν θωπεύει "οὐ νεμεσίζομαι Ἀχαιοὺς λέγων ἀσχάλλειν παρὰ νηυσὶ καὶ ὅμως ἀξιῶν, τλῆτε, φίλοι, καὶ μείνατ' ἐπὶ χρόνον· αἰσχρὸν γὰρ δηρόν τε μένειν κενεόν τε νέεσθαι" (Il. 2, 296–298), ὁ δὲ ὀλίγον ἐνδοὺς καὶ τοσοῦτον θεραπεύσας ἐν τῷ φάναι "τῷ μή τις πρὶν ἐπειγέσθω οἴκονδε νέεσθαι, πρίν τινα πὰρ Τρώων ἀλόχῳ 35
κατακοιμηθῆναι" (Il. 2, 354), εὐθὺς μὲν ἐγείρει τὸν λόγον εἰς τὴν

ὑπὲρ τοῦ βασιλικοῦ ὅρκου μνήμην "τίσασθαι γὰρ Ἑλένης ὁρμήματά τε στοναχάς τε," εἰς ἀπειλὰς δὲ χωρεῖ οἰκείας βασιλικῷ φρονήματι, "εἰ δέ τις ἐκπάγλως ἐθέλει οἴκονδε νέεσθαι, ἀπτέσθω ἧς νηὸς ἐϋσσέλμοιο μελαίνης, ὄφρα πρόσθ' ἄλλων θάνατον καὶ πότμον ἐπίσπῃ." λοιπὸν δὲ οὐκ ὦ Ἀτρεΐδη λέγει; οὐδ' ὦ Ἀγάμεμνον, ἀλλ' ἄναξ ὦ βασιλεῦ λέγων ἀξιοῖ μὲν αὐτὸν κατάρχειν σκεμμάτων καλῶν, πείθεσθαι δὲ καὶ ἄλλῳ καὶ διατάσσειν ὡς χρὴ κατακοσμηθῆναι κατ' αὐτούς. εἰκότως οὖν τὸν μὲν πρὸς τὸ ἀρχόμενον καὶ δημοτικὸν ἁρμόττει λόγον, τοῦ δὲ πρὸς τὸν ἄρχοντα καὶ βασιλέα τῶν ἄλλων τὸν μὲν τὸ πλῆθος ἐπαινεῖ, τῷ δὲ τὸ νικᾶν ὁ βασιλεὺς ἀποδίδωσιν.

ἀγορῇ νικᾷς] ἐπιεικὴς ὁ βασιλεύς, ὃς οὐκ οἴεται δεῖν ἐν ἅπασι πάντων ὑπερέχειν. ἅμα δὲ καὶ πλέον Ὀδυσσέως αὐτὸν θαυμάζει, ὅτι ὁ μὲν εἰσηγήσατο ὡς μενετέον, ὁ δὲ Νέστωρ καὶ ὡς μένοντας πρακτέον. ἰσοστάσιος δὲ ὁ ἔπαινος, εἰ καὶ τὸν μὲν τὸ πλῆθος, τὸν δὲ αὐτὸς ἐπαινεῖ.

371. αἰ γάρ] πάτριοι γὰρ οὗτοι τοῖς Ἀθηναίοις θεοί.

372. τοιοῦτοι δέκα μοι συμφράδμονες] δῆλός ἐστιν ὁ ποιητὴς τῶν σωματικῶν τὰ ψυχικὰ προτιμῶν. ἐνθάδε μὲν γὰρ δέκα Νέστορες ἀρκοῦσιν αὐτῷ πρὸς τὴν τῆς Ἰλίου ἅλωσιν· τοὺς δὲ Αἴαντας ἐπὶ τὸν πόλεμον προτρέπων φησὶ "τοῖος πᾶσι θυμὸς ἐνὶ στήθεσσι γένοιτο" (Il. 4, 289). ἔνθεν Εὐριπίδης (fragm. 220) λαβὼν λέγει "σοφὸν γὰρ ἓν βούλευμα τὰς πολλὰς χέρας νικᾷ· σὺν ὄχλῳ δ' ἀμαθία, πλεῖστον κακόν." λέγει δὲ ὅτι εἰ πάντες συμβουλεύσειαν τὰ αὐτὰ τῷ Νέστορι, τάχα ἂν πορθηθείη ἡ πόλις. ἀπαρκεῖ οὖν τὸ χρηστὸν τῆς γνώμης μόνος ὁ Νέστωρ εἰσηγούμενος. ἀγνοοῦσι δὲ ὅτι οὐ τοὺς ἀλλήλων τοῖς λόγοις διαίσοντάς φησιν, ἀλλ' οἷς ἡ αὐτὴ ἕξις ἐστί· "πολλῶν δ' ἀγρομένων τῷ πείσεαι, ὅς κεν ἀρίστην βουλὴν βουλεύσει" (Il. 9, 74). τάχα δὲ εἰς ταύτην τὴν εὐχὴν κατηνέχθη, ἵνα τῇ ὑπερβολῇ τῶν τοῦ Νέστορος ἐπαίνων προτρέψῃ τὸ στράτευμα ταῖς παραινέσεσι πείθεσθαι.

373. ἠμύσειε] ἀπὸ τῶν ὀφθαλμῶν ἡ μεταφορά, οἳ σὺν τῷ μύειν τοῦ φωτὸς στερίσκονται.

375. ἀλλά μοι αἰγίοχος] εὐεπίφοροι κατὰ θεῶν οἱ ἀτυχεῖς. προ-

13. καὶ ὡς μένοντας πρακτέον] * καὶ τί χρὴ πράττειν μένοντας
21. * σοφὸν—νικᾷ] om.
23. * συμβουλεύσειαν] συμβουλεύσειεν
27. * πολλῶν—βουλεύσει] om.

μαλάσσει δὲ τὸ πλῆθος, τὴν αἰτίαν θεῷ ἀνατιθεὶς καὶ θυμῷ, ὡς μή τις ἐθελοκακοίη αὐτῷ. συγγνώμονες δὲ πάντες τοῖς ὁμολογοῦσι τὰ πταίσματα. πόρρωθεν δὲ ἑαυτῷ τὰς πρὸς Ἀχιλλέα διαλλαγὰς μνηστεύεται, τοὺς ᾠκειωμένους ἐκείνῳ ὑπερχόμενος.

379. εἰ δέ ποτ' ἔς γε μίαν βουλεύσομεν] καὶ πῶς οὐ παρακαλεῖ; αἰδεῖται χωρὶς ἀνάγκης, καὶ τῷ ὀνείρῳ πείθεται.

380. οὐδ' ἠβαιόν] ἀεὶ παρὰ τῷ ποιητῇ τὸ ἠβαιὸν ἐν ἑνὶ μέρει λόγου. ἔνθεν καὶ Καλλίμαχος (fr. 540) "ἠβαιὴν οὔτι κατὰ πρόφασιν."

381. δεῖπνον] τὸ ἐωθινὸν ἄριστον, ὃ δι' ἀνάγκην πρὸ τοῦ δέοντος ποιοῦνται· δόρπον δὲ τὸ ἑσπερινόν, δόρπόν τι ὂν, τὸ μετὰ τὴν παῦσιν τῶν δοράτων διδόμενον. τὸ δὲ δεῖπνον ἔσθ' ὅτε πᾶσαν τροφήν. Αἰσχύλος (fragm. 181.) δὲ κακῶς "ἄριστα δεῖπνα δόρπα θ' αἱρεῖσθαι." τρισὶ δὲ οὐδέποτε οὔτε μνηστῆρες οὔτε μὴν Κύκλωψ ἐχρῶντο τροφαῖς.

Ἄρηα] τετραχῶς τῷ Ἄρης κέχρηται ὁ ποιητής. ποτὲ μὲν ἐπὶ τοῦ πολέμου, ὡς ἐνταῦθα "νῦν δ' ἔρχεσθ' ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν Ἄρηα," ποτὲ δὲ ἐπὶ τοῦ σιδήρου "αἵματος ἆσαι Ἄρηα ταλαύρινον πολεμιστήν" (Il. 5, 289) καὶ "ἔνθα δ' ἔπειτ' ἀφίει μένος, ὄβριμος Ἄρης" (Il. 13, 444). ποτὲ δὲ ἐπ' αὐτοῦ τοῦ θεοῦ, ὡς τὸ "καὶ δ' αὐτὴ κυνάμυια ἄγει βροτολοιγὸν Ἄρηα" (Il. 21, 421) καὶ πάλιν "ἐς δὲ Τρῶας Ἄρης κορυθαίολος" (Il. 20, 38). ποτὲ δὲ ἐπὶ τῆς πληγῆς "ἔνθα μάλιστα γίνετ' Ἄρης ἀλεγεινὸς ὀϊζυροῖσι βροτοῖσιν" (Il. 13, 568).

382. εὖ μέν τις δόρυ θηξάσθω] κινητικὰ τοῦ μέλλοντος ἔσεσθαι πολέμου ταῦτα, καὶ τὴν πολεμικὴν παρασκευὴν διδάσκοντα τὸν ἀκροατήν. οἶδε γὰρ καὶ ταῦτα αἰτίας εἶναι τῆς ἥττης· "οὐδὲ διὰ πρὸ δυνήσατο" (Il. 13, 607)· "τῇ ὅγ' ἐνὶ βλαφθεὶς πέσεν ὕπτιος" (Il. 15, 647). δεῖ οὖν μὴ ἐξ ἡμῶν τὴν αἰτίαν εἶναι τοῦ κακοῦ. δύο δὲ συνέπλεξε σχήματα, ὁμοιοτέλευτον καὶ ἐπαναφοράν, ἐπανιὼν μὲν εἰς τὴν αὐτὴν λέξιν, καταλήγων δὲ εἰς τὸ ὁμοιοτελὲς τῶν ῥημάτων. ἔστι δὲ ἡ ἐπαναφορὰ ὡς τὸ "εὖ μὲν Μυρμιδόνας φάσ' ἐλθέμεν, εὖ δὲ Φιλοκτήτην" (Od. 3. 188)· "κλαῖε μὲν Ἀργείη Ἑλένη, κλαῖε δὲ Τηλέμαχος" (Od. 4, 184). ἰδὼν δὲ ὁ Ἀγαμέμνων τοὺς Ἀχαιοὺς

4. * ὑπερχόμενος] ἐπερχόμενος superscripto παρα.
26. * παρασκευὴν] κατασκευὴν, 29. *μὴ] φημὶ

καὶ τὸν Ὀδυσσέα ἐπαινέσαντας καὶ τὴν Νέστορος ἐπιτίμησιν πράως ἐνεγκόντας, τρέπεται ἐπὶ τὸ προστάσσειν.

θέσθω] ἀντὶ τοῦ περιθέσθω. τοῦτο δὲ καὶ ὁ Θουκυδίδης ἐν πολιτείαις φησὶ τὸ ὅπλισμα.

385. κρινώμεθ' Ἀρηϊ] ἀβέλτερος, φησίν, ὁ Ἀγαμέμνων μὴ συνορῶν ὅτι ἐν πολέμῳ οὐκ ἐπὶ τοῖς μαχομένοις κεῖται τὸ τούτου τέλος, ἀλλ' ὡς ἂν τύχῃ γενόμενον. ἀγνοοῦσι δὲ ὅτι καλόν ἐστι δυσχερῆ ἐλπίζειν, ἵνα ὡς ἐπὶ πλείονι πόνῳ προθυμότεροι παρασκευασθῶσιν. ἢ γὰρ ἀποβάντων ἧττον ἠχθέσθημεν, ἢ μὴ τελεσθέντων ὑπεράγαν ἐχάρημεν.

388. ἱδρώσει μέν τευ τελαμών] οὔπω γὰρ πόρπακες ἀλλὰ τελαμῶνες ἦσαν. εἴρηται δὲ τελαμὼν παρὰ τὸ τετάσθαι. ἱδρῶτα μὲν οὖν καὶ πόνον προβάλλεται, κίνδυνον δὲ οὐδαμοῦ. πρὸς ἕκαστον δὲ τῶν προτραπέντων αἰτίαν ἐπάγει. τὸ δὲ ἱδρώσει ὑγρανθήσεται ὑπὸ τοῦ ἱδρῶτος τοῦ πολεμοῦντος.

389. ἐν τῇ συνθέσει μὲν προσλαμβάνει τὸ μ̄ ὡς κεχρεωστημένον τὸ βροτός, ὡς τὸ ἄμβροτος καὶ τὰ ὅμοια· τοῦτο δὲ οὐχ οὕτως. ἴσως δὲ διὰ τὸ προεῖναι.

391. ὃν δέ κ' ἐγών] εὐτόνως κατέστρεψε τὸν λόγον· οὐ γὰρ τῆς πειθοῦς μόνης, ἀλλὰ καὶ ἀπειλῆς τῷ πλήθει προσδεῖ. πρῶτος δὲ τὸν κατὰ τῶν λιποτακτῶν συνεῖδε θάνατον, ὡς καὶ Ἕκτωρ "ἀλλὰ κύνες ἐρύουσιν" (Il. 15, 351). τοῦτο δέ, ὅπως τὸν εὐκλεᾶ ἀντὶ τοῦ δυσκλεοῦς καὶ τὸν ἄδηλον ἀντὶ τοῦ προδήλου θάνατον ἕλωνται.

393. ἄρκιον ἐσσεῖται] ἐπαρκοῦν αὐτῷ οὐκ ἔσται πρὸς τὸ φυγεῖν. τὸ δὲ ἐσσεῖται Ἀττικόν ἐστιν, ἔσσεται ἐσσεῖται ἔσται.

395. ἀκτῇ ἐφ' ὑψηλῇ, ὅτε κινήσει νότος] ἐξηγεῖται διὰ τούτου ὅτι ὁ νότος ὅπη πνεῖ, τὸ κῦμα μᾶλλον εἰδεῖ τῶν ἄλλων· καὶ ὅτι σκαιὸν ἐκεῖνο τὸ κῦμα καὶ χαλεπώτατον τῷ μετεώρῳ αἰγιαλῷ προσρηγνύμενον.

*ἔστι δὲ ἀκτὴ παραθαλάσσιος καὶ πετρώδης τόπος, ἀπὸ τοῦ περὶ αὐτὸν αἴσσεσθαι, ὅ ἐστι ῥήσσεσθαι καὶ περικλᾶσθαι, τὰ κύματα.

3. Θουκυδίδης ἐν πολιτείαις] ?

18. προεῖναι] πρόθεσιν εἶναι Bekkerus. In προεῖναι consentit cod. Lips., sed in Angelico apud Matrangam vol. 2 p. 475 est προϊέναι.

19. * κατέστρεψε] καταστρέψαι * οὐ γὰρ τῆς] οὐκ ἐπὶ πειθοῦς

21. λιποτακτῶν scripsi pro λειποτακτῶν, quod est in B, qui frequens librariorum error est in huiusmodi vocabulis ab aoristo λιπεῖν formatis.

397. γένωνται] γένωνται οἱ ἄνεμοι. οἱ δὲ ἀήθεις μεταγράφουσι γένηται.

400. 401. δείκνυσιν ὡς πολύκλητοι ἦσαν· ἕκαστος γὰρ τοῖς πατρίοις θύει. τὸ γὰρ θεῖον φύσει μὲν οὐ πολὺ, θέσει δὲ πολύ. Ἑλληνικὸν δὲ τὸ εἰς θεοὺς ἔχειν τὰς ἐλπίδας. ἀλλ' οἱ μὲν εὔχοντο μόνον τὸ ζῆν (ἤρκει γὰρ αὐτοῖς), ὁ δὲ βασιλεὺς τὸ εὐκλεῶς ζῆν· διὸ ἐκεῖνος πρεπόντως εὔχεται καταπρηνὲς βαλέειν Πριάμοιο μέλαθρον αἰθαλόεν (414).

402. αὐτὰρ ὅ] ἐπὶ μὲν τῶν ἄλλων τὴν θυσίαν ἐπὶ κεφαλαίου λέγων, πῶς καὶ τίνι ἔθυεν οὐκ εἶπεν ἐπ' οὐδενός· ἐπὶ δὲ τοῦ βασιλέως ἅπαντα ἀκριβῶς διέξεισι. καλῶς δὲ καὶ βασιλεῖ ὁ βασιλεὺς θύει, καὶ τῷ τελειοτάτῳ τῶν θεῶν, καὶ τὸ μέγιστον τῶν ζῴων.

404–407. κίκλησκε δὲ γέροντας] αἱ κατὰ τὰ τέλη τῶν τεσσάρων στίχων στιγμαὶ οὐ καλῶς κεῖνται· ἔδει γὰρ συνάπτειν ἕως τοῦ ἀτάλαντον· κοινὸν γὰρ καὶ αὐτοτελὲς ῥῆμα τὸ κίκλησκε κατὰ πάντων· ὅμως τὸ πρέπον διίστησιν. κοινωνικὸν δὲ τὸ συνθύειν τοῖς ἀρίστοις καὶ βασιλεῖ ἁρμόδιον.

405. Νέστορα μὲν πρώτιστα] ἄριστα τῇ τάξει ὁ πρεσβύτερος καὶ σύμβουλος πρῶτος καλεῖται· δεύτερος Ἰδομενεύς, καὶ οὗτος καθ' ἡλικίαν, καὶ ὅτι τῶν Ἀτρειδῶν γόνος· τρίτος δὲ Αἴας, ὅτι ἄριστος ἦν τῶν Ἑλλήνων μετ' Ἀχιλλέα, καὶ ὁ Λοκρὸς σὺν αὐτῷ, ὅτι ἴσον θυμὸν ἔχοντες (Π. 13, 704.). πέμπτος Διομήδης, τῷ Αἴαντι κατ' ἀλκὴν δεύτερος ὤν. ἕκτος Ὀδυσσεύς, οὐχ ὡς τῶν προειρημένων ἥττων (πῶς γὰρ ὁ βουλάς τ' ἐξάρχων ἀγαθὰς πόλεμόν τε κορύσσων 273;) ἀλλ' ὡς μᾶλλον αὐτὸν φίλον παρεῖδεν ὁ Ἀγαμέμνων. τὸν δὲ ἀδελφὸν οὐδὲ ἐκάλεσεν, ἀλλ' αὐτόματος ἦλθεν· "ἤδεε γὰρ κατὰ θυμὸν ἀδελφεὸν, ὡς ἐπονεῖτο" (409). ἅμα δὲ διδάσκει συμφέρεσθαι τοῖς ἀδελφοῖς ἐν ταῖς αὐτῶν σχολαῖς· καὶ ἵνα μὴ δόξῃ ἐπιλελῆσθαι αὐτοῦ ὁ ἀδελφὸς, αὐτόματος ἔρχεται, ἀπαλλάσσων ἐκεῖνον ὡς πονούμενον τοῦ ἐγκλήματος.

407. ἕκτον δ' αὖτ' Ὀδυσῆα] ἔσχατον ἐᾷ τοῦτον, ὅπως ὑψώσῃ τοῖς ἐγκωμίοις. ἄμεινον δὲ λέγειν ὅτι τὰ δύο ἄκρα τοῖς σοφωτάτοις ἀπένειμε, Νέστορι καὶ Ὀδυσσεῖ.

408. βοὴν ἀγαθός] διὰ τί τοὺς ἀνδρείους βοὴν ἀγαθοὺς ἀποκαλεῖ, νῦν μὲν Μενέλαον, ἀλλαχοῦ δὲ Διομήδην, πῆ δὲ "βοὴν ἀγαθὸς

28. συμφέρεσθαι—σχολαῖς] * συμπεριφέρεσθαι τῶν ἀδελφῶν ἀσχολίαις

βάλεν Αἴας" (Il. 13, 249) καὶ "Ἕκτορα δ' ἐφράσσαντο βοὴν ἀγαθόν" (ib. 671) καὶ ἑτέρους; ῥητέον δὲ ὅτι μή πω σάλπιγγος εὑρεθείσης βοῇ διώκουν τὰς τῆς μάχης ἐπιθέσεις τε καὶ ἀνακλήσεις, ἄλλως τε καὶ σημεῖον τοῦ θαρσεῖν τὸ βεᾶν· ἡ γὰρ δειλία θραύουσα τὸ πνεῦμα βραχίστην ἀπεργάζεται τὴν φωνήν. διὰ τοῦτο βοῶντας παρεισάγει τοὺς ἥρωας· "σμερδαλέον δ' ἐβόησεν" (Il. 8, 92). "ἤϋσε δὲ διαπρύσιον" (ib. 227).

412. κύδιστε] ἐν δόξῃ προὔχων. μέγιστε δὲ δυνάμει προὔχων.

413. ἐπ' ἠέλιον δῦναι καὶ ἐπὶ κνέφας ἐλθεῖν] ἀντὶ τοῦ δύναντος ἡλίου τὸ κνέφας ἐλθεῖν. λείπει δὲ τὸ δός. οἰκεία δὲ ἡ περίφρασις τοῖς ἐκτενῶς εὐχομένοις· ἐνδιατρίβομεν γὰρ ὡς οὐ διδάξοντες τἀληθῆ τὸ θεῖον. ἄπληστος δὲ ἡ ὄρεξις αὐτοῦ πρὸ τῆς τῶν φίλων σωτηρίας τὴν καταστροφὴν αἰτουμένου· διὸ ἀνανεύει ὁ Ζεύς.

414. κατὰ πρηνὲς βαλέειν] ἔμφασιν ἔχει ἡ ἀπὸ τῶν ἐμψύχων μεταφορά.

*τὸ δὲ πρηνὲς ἐκ τοῦ πρανές.

415. αἰβαλόεν] κατὰ πρόληψιν τὸ αἰβαλωθησόμενον, ἢ τὸ ἀφανές. μικροῖς δὲ λόγοις μεγάλα αἰτεῖ· ἀντὶ γὰρ Ἰλίου οἰκίαν μίαν πρῆσαι. ὁ δὲ θυμὸς ἄκρως διὰ τῶν προσώπων παρίσταται Πριάμου τε καὶ Ἕκτορος.

416. Ἑκτόρεον δὲ χιτῶνα] προσυνίστησιν ἡμῖν καὶ νῦν τὸν Ἕκτορα.

417. ῥωγαλέον] διερρωγότα, παρὰ τὸ ῥήσσω.

418. δάκω δάξω δάξ ὀδάξ. τοῦτο δὲ συμβαίνει τοῖς ὀδυνωμένοις.

419. οὐδ' ἄρα πώ] διὰ τοῦ πώ ἐλπίδα ὑπολείπει τῆς εὐχῆς. ἐπὶ δὲ Θεανοῦς "ἀνένευε δέ" (Il. 6, 311).

423. *Πορφυρίου. Ἀρίσταρχος τὰ κνίσση οὐδετέρως ἀκούει, καίτοι εἰπὼν οὐδὲν ἀδιαίρετον εἶναι τῶν εἰς ος ληγόντων οὐδετέρων παρ' Ὁμήρῳ κατὰ τὸ πληθυντικόν· τείχεα γὰρ καὶ βέλεα λέγει. ἀλλ' ὥσπερ τὰ τεμένη ἀδιαιρέτως εἴρηκεν, ὡς τὸ "Τηλέμαχος τεμένη νέμεται" (Od. 11, 185), οὕτω καὶ τὰ κνίσση. καὶ ἔστιν ἐν τῇ κωμῳδίᾳ τὸ ἐνικόν· "τὸ κνῖσσος ὀπτῶν ὀλλύεις τοὺς γείτονας." πλεονάζει δὲ Ὅμηρος τῇ θηλυκῇ προσηγορίᾳ. σημαίνει δὲ καὶ τὴν ἀναθυμίασιν τῶν κρεῶν, ὡς ὅταν λέγῃ "καὶ τότε μοι κνίσσης ἀμφήλυθεν ἡδὺς

27. *Πορφυρίου] om. κνίσση (alterum σ superscr.)] Rectum est κνίση et κνῖσος.

ἀϋτμή" (Od. 12, 369) καὶ "κνίσση δ' οὐρανὸν ἶκεν ἑλισσομένη περὶ καπνῷ" (Il. 1, 317). σημαίνει καὶ τὸ λίπος, ὡς ἐπὶ τῶν γαστέρων ἔφη "ἐμπλείην κνίσσης τε καὶ αἵματος" (Od. 18, 119). σημαίνει καὶ τὸν ἐπίπλουν, ὡς ὧδε "κατά τε κνίσσῃ ἐκάλυψαν, δίπτυχα ποιήσαντες." διπλᾶ γὰρ ποιήσαντες τὰ κνίσση τοὺς μηροὺς ἐπεκάλυψαν. δίπτυχα δὲ αὐτὰ τὰ κνίσση· ἐπεὶ γὰρ δύο εἰ μηροί, τὸν ἐπίπλουν εἰς δύο διελόντες ἑκάτερον αὐτῶν θατέρῳ μέρει τοῦ ἐπίπλου ἐκάλυπτον.

432. *τὸ ἔντο γίνεται παρὰ τὸ ἵημι τὸ πέμπω· τὸ παθητικὸν ἵεμαι, ὁ παρατατικὸς ἱέμην ἵεσο ἵετο ἱέμεθα ἵεσθε ἵεντο, καὶ ἐκβολῇ τοῦ ι ἔντο, καὶ μετὰ τῆς ἐξ προθέσεως ἐξέντο. γίνεται δὲ καὶ ἐκ τοῦ ἔω τὸ τελειῶ. τὸ δὲ ἔω σημαίνει ἑπτά. ἔω τὸ ὑπάρχω, ἐξ οὗ καὶ εὖς ὁ ἀγαθός· ὁ γὰρ ἀγαθὸς βέβαιος. ἔω τὸ περιπατῶ, ἐξ οὗ καὶ ὁδός. ἔω τὸ ἐνδύομαι, ἐξ οὗ καὶ τὸ ἐπιειμένε. ἔω τὸ τελειῶ, ὡς τὸ "ἐξ ἔρον ἔντο." ἔω τὸ καθέζομαι, ὡς τὸ "ἧσο παρ' αὐτὸν ἰοῦσα" (Il. 3, 406). ἔω τὸ εὐφραίνομαι, ἐξ οὗ καὶ ἥδω. ἔω τὸ κυρεννίω, ἐξ οὗ καὶ τὸ "ἐπεί κ' ἔωμεν πολέμοιο" (Il. 19, 402).

435. ἡ μὲν Ἀριστάρχου οὕτως εἶχεν, ἡ δὲ Ζηνοδότου μηκέτι ταῦτα, τινὲς δὲ δὴ αὖθι χωρὶς τοῦ ō, Καλλίστρατος δὲ μηκέτι δὴ νῦν. λεγώμεθα δὲ ἀντὶ τοῦ ἠθροισμένοι ὦμεν. στρατηγικὴ ἡ παραγγελία, χρόνου φείδεσθαι· ἐρωτηθεὶς γοῦν Ἀλέξανδρος πῶς τῆς Ἑλλάδος ἐκράτησε, μηδὲν ἀναβαλλόμενος, εἶπεν.

ἐγγυαλίξει] δώσει τὴν πόρθησιν, ἣν διὰ τοῦ ὀνείρου ἐπηγγείλατο.

439. ἡμεῖς δ' ἀθρόοι] θαυμαστῶς τὴν τάξιν Ἀχιλλέως ἀποπληροῖ· τὴν γὰρ στρατηγίαν πρώην εἶχεν.

444. τοὶ δ' ἠγείροντο μάλ' ὦκα] δύο ταῦτα τὰ μέγιστα μαρτυρεῖ αὐτοῖς, εὐταξίαν καὶ εὐψυχίαν.

446. ἵνα μὴ ἀπιστοῖτο, τὴν θεὸν παρέλαβεν, καὶ ὡς ἄξια τῆς θεοῦ μελλόντων αὐτῶν κατορθοῦν.

447. ἀγήρων] οὕτως καὶ Ἀρίσταρχος καὶ Ἀριστοφάνης, ὡς καὶ ἀλλαχοῦ "ὑμεῖς δ' ἐστὸν ἀγήρω τ' ἀθανάτω τε" (Il. 17, 444).

6. *δίπτυχα δὲ αὐτὰ τὰ κνίση] δίπτυχα ποιήσαντες
9. *τὸ παθητικὸν] ὁ παθητικὸς
18. μηκέτι] μηκέτι cum duplici accentu hic et infra.
21. *φείδεσθαι] μὴ φείδεσθαι
22. *ἀ. εἶπεν] εἶπεν ἀ.
28. ἀπιστοῖτο] *ἀπιστοῖτο τὸ τάχος
30. Ἀριστοφάνης] Ἀριστοτέλης. Correxi ex scholio Veneti A.

*ζήτει τὴν ἐξήγησιν τῆς αἰγίδος εἰς τὴν Βοιωτίαν, ἐν τῷ στίχῳ τᾷ οὕτως ἔχοντι "πὰρ Διὸς αἰγιόχοιο σὺν ἀγγελίᾳ ἀλεγεινᾷ" (787).

448. τῆς ἑκατὸν θύσανοι] ἀντὶ τοῦ πολλοί. τῷ δὲ πλήθει τοῦ ἀριθμοῦ πίστιν πεπόρισται.

450. σὺν τῇ παιφάσσουσα διέσσυτο] ἀναδιπλασιασμός ἐστι φάσσω παιφάσσω, οἱονεὶ φανερῶ, ὡς πάσσω πάλη πασπάλη. παιφάσσειν δέ ἐστι τὸ φανεροῦν ἑαυτὸν, ἀλλ' ἐν ἀγγέλου σχήματι μένειν.

452. εἰς τὸ καρδίῃ στικτέον, ἄληκτον δὲ ἀντὶ τοῦ ἀλήκτως.

453, 454. νῦν ἄμεινον κεῖται ἤπερ ἐν τῇ Λ· πρόσφατος γὰρ αὐτοῖς ἡ τοῦ νόστου μνήμη. καὶ ἡ αἰφνίδιος δὲ μεταβολὴ οὐκ ἄνευ θεῶν τινός.

455. ἠΰτε πῦρ] νῦν μάλιστα ἡ δύναμις τοῦ ποιητοῦ, ὅτε καθ' ἕκαστον πρᾶγμα διαφόρων εἰκόνων εὐπορεῖ. πρώτη δὲ εἰκὼν ἡ ἀπὸ τῆς τῶν ὅπλων λαμπηδόνος· μεγεθύνεται δὲ τῇ ἀσπέτῳ ὕλῃ, καὶ τῷ ὄρει ἔνθα καταιγίδες εἰσὶ, καὶ τῇ κορυφῇ. διὸ θαρρῶν ἐπάγει "ἔκαθεν δέ τε φαίνεται αὐγή."

460. χηνῶν ἢ γεράνων] μουσικὰ γὰρ καὶ ἥμερα καὶ συναγελαστικὰ ταῦτα· οἰκείως οὖν ἐπ' αὐτῶν καὶ ἔθνεά φησιν.

461. Ἀσίῳ] οἱ μὲν τῷ ᾶσιν ἔχοντι· ἀξιοπιστότερον δέ ἐστι τοῦτο κύριον αὐτῷ περιτιθέναι ὄνομα. ἐν γενικῇ δὲ αὐτὸ ἐκληπτέον καὶ χωρὶς τοῦ ῑ, ὡς τὸ "εὐμελίῳ Πριάμοιο" (Il. 4, 165). οὕτως Ἡρῳδιανὸς ἐν τῇ καθόλου καὶ Πτολεμαῖος ἐν τῷ περὶ συναλοιφῆς· κατὰ δὲ τὰς προχοὰς πηλώδη τόπον ὁ Κάϋστρος ἀπεργάζεται. ὅπου δὲ ὕδωρ καὶ βοτάνη, ἀφθονία ὀρνέων.

*ἄλλοι δὲ, ἐν τῷ τῆς Ἀσίας συμφύτῳ· ᾶσις γὰρ καλεῖται κατὰ διάλεκτον ἡ ἰλύς. ἄλλοι δὲ ἀπὸ Ἄσιου τοῦ Λυδοῦ, ὃς ἦρξε Λυδίας.

462. Ἀρίσταρχος ἀγαλλόμενα, ἵν' ᾖ πρὸς τὰ ἔθνη. ἀλλ' οὐδὲ τὸ ἀγαλλόμεναι ἄχαρι.

πρὸς τὸ νοητὸν ὑπήντησε τὸ ὄρνιθες, ὡς τὸ "κίνηθεν δὲ φάλαγγες ἐελπόμενοι παρὰ ναῦφιν" (Il. 16, 280).

463. κλαγγηδὸν προκαθιζόντων] ἄλλου πρὸ ἄλλου καθιπταμένων μετὰ βοῆς. ἢ πρὸ τοῦ καθίσαι βούντων· κέκραγε γὰρ τὰ ὄρνεα ἐπὶ

11. *κεῖνται] κεῖται
24. *συναλοιφῆς] συναλιφῆς
31. *ὑπήντησε—ἐελπόμενοι] ὑπέστησε—ἀελπόμενοι

τὴν γῆν καταφερόμενα. καὶ ὧδε μὲν κατέμιξε τὰς γεράνους μουσικοῖς ὀρνέοις, καὶ εἰς λειμῶνάς φησιν αὐτὰς ἐξιέναι· ἐπὶ δὲ τῶν Τρώων (Il. 3, 3) ἐπὶ φθορᾷ.

ὑποστιγμὴ ἐπὶ τὸ προκαθιζόντων, καὶ ἐπὶ τὸ λειμών· τὸ δὲ ἑξῆς, ὀρνίθων πετεηνῶν ἔθνεα πολλά, κλαγγηδὸν προκαθιζόντων, ἔνθα καὶ ἔνθα ποτῶνται ἀγαλλόμεναι πτερύγεσσι, σμαραγεῖ δέ τε λειμών· τὰ δὲ λοιπὰ διὰ μέσου.

τὸ τραχὺ τῆς ἀπὸ τοῦ σμαραγεῖ ὀνοματοποιίας τὸ τοῦ λειμῶνος παρέτεινε μέγεθος.

465, 466. αὐτὰρ ὑπὸ χθὼν σμερδαλέον κονάβιζε] ἡ ὑπό πρὸς τὸ ποδῶν ἀπηδοτέα. κονάβησε δὲ ἀντὶ τοῦ ἤχησεν, ἀλλ' οὐκ ἐσμαράγησεν· εἰς βραχὺ γὰρ τελευτῶσα τὸν ἦχον ἐμείου.

467. ἀνθεμόεντι] τῷ ἄνθη πρώην ἔχοντι, ἐπεὶ πῶς ἠχεῖ, ἢ πῶς ἀνθεῖ πατούμενα;

468. *Πορφυρίου. ἔσταν δ' ἐν λειμῶνι Σκαμανδρίῳ ἀνθεμόεντι μυρίοι ὅσσα τε φύλλα καὶ ἄνθεα γίνεται ὥρῃ· ἐν μὲν τῷ λίαν φύλλοισιν ἐοικότες ἢ ψαμάθοισιν (Il. 2, 800) ἐπίτασίς ἐστι κατὰ τὸ ἐπεγηγερμένον τοῖς φύλλοις τοῦ πλήθους τῶν ψαμάθων· ἐν δὲ τῷ περὶ Κικόνων ῥηθέντι "ἦλθον ἔπειθ' ὅσα φύλλα καὶ ἄνθεα γίνεται ὥρῃ" (Od. 10, 51) δόξειεν ἂν ἐλάττωσις εἶναι ἐκ τοῦ ἐπαγομένου· ἐλάττω γὰρ τὰ ἄνθη τῶν φύλλων. οὐκ ἔστι δέ· οὐ γὰρ τοῦ πλήθους παραστατικὰ παρείληπται ἄμφω, ὥσπερ ἐπὶ τῶν φύλλων καὶ τῆς ψάμμου, ἔσταν δ' ἐν λειμῶνι Σκαμανδρίῳ ἀνθεμόεντι, ἀλλὰ τὰ μὲν φύλλα παρίστησι τὸ πλῆθος, τὰ δὲ ἄνθη τὴν τοῦ πλήθους ποικιλίαν ἔν τε τῇ καθοπλίσει καὶ τῇ ἄλλῃ ἀμφιέσει τῶν Θρᾳκῶν. Σκαμανδρίῳ δὲ τῷ τῷ Σκαμάνδρῳ ποταμῷ παρακειμένῳ πεδίῳ. ὁ δὲ Σκάμανδρος καταφερόμενος ἀπὸ τῆς Ἴδης τέμνει μέσον τὸ ὑπὸ τῇ Ἰλίῳ κείμενον πεδίον, καὶ ἐπὶ τὰ ἀριστερὰ ἐκδίδει εἰς θάλασσαν, ὃς καλεῖται καὶ Ξάνθος.

469. μυιάων] τοῦτο πρὸς τὸ ἐπιθυμητικὸν τοῦ αἵματος. ἐπάγει γοῦν "τόσσοι ἐπὶ Τρώεσσιν." ἀδυνάων δὲ τῶν ἀθρόως ἱπταμένων.

470. σταθμὸν νυνὶ τὴν ἔπαυλιν. τρία δὲ δηλοῖ ἡ λέξις, τὸν στα-

1. κατέμιξε] ἐγκατέμιξε Bekkerus.
15. *Πορφυρίου] om.
22. *ὥσπερ] ὥσπερ ὡς
28. ἐκδίδει (*ἐκδίδωσι)] Novitia verbi forma, de qua v. Thes. vol. 2 p. 1423.

θμὸν, τὸν τῆς θύρας παραστάτην, καὶ τὸν ἀριθμὸν τοῦ μέτρου. τῷ δὲ δυσώδει καὶ τῷ θάλπει τῶν ἀερίων αὔξονται αἱ μυῖαι. τὸ δὲ ἠλάσκουσιν ἤτοι συνελαύνονται ἢ ἀποπλανῶνται· οὐ γὰρ διατέταται τῶν μυιῶν ἡ πτῆσις, ἀλλὰ περὶ τὸν αὐτὸν εἰλεῖται τόπον· ὡς πλανώμεναι οὖν εἰσίν.

474. αἰπόλια] αἰπόλιον αἰγῶν πλῆθος, ποίμνιον προβάτων, συβόσιον χοίρων, βουκόλιον βοῶν, ἱπποφόρβιον ἵππων. πλατέα δὲ, ὅτι διεσκεδασμένα νέμονται.

475. ἐπεί κε νόμῳ μιγέωσιν] ὅταν τὰ αἰπόλια ἀλλήλοις ἀναμιγῇ νεμόμενα, ἀπαλλαττόμενοι περὶ τὴν ἑσπέραν οἱ αἰπόλοι ἕκαστος ἐπιλαμβάνεται τράγου, ᾧ τὸ οἰκεῖον ἕπεται αἰπόλιον. εὐπειθὲς δὲ τὸ Ἑλληνικόν.

478. ὄμματα καὶ κεφαλὴν ἴκελος Διὶ τερπικεραύνῳ] συγγραφεῖς μὲν τὸ ἀληθὲς μεταδιώκουσι, τραγικοὶ δὲ τὸ σεμνότερον, κωμικοὶ δὲ τὸ ἔλασσον, ἅπερ ἅπαντα παρὰ τῷ ποιητῇ ἐστὶν, κωμῳδία μὲν ὡς ἐπὶ Θερσίτου, συγγραφικὴ δὲ ὡς ἐπὶ τοῦ "τῷ δ' ἔχεν Αὐτομέδων" (Il. θ. 209). ἐπὶ δὲ τοῦ Ἀγαμέμνονος νῦν καλλίων τῆς ἀληθινῆς καὶ μεγαλοπρεπεστέρα ἡ ὄψις ἀναπέπλασται.

ἱκανὸν μὲν ἦν ἑνὶ θεῷ εἰκάζειν αὐτὸν, ὁ δὲ τρεῖς παρέλαβεν, ἑκάστου τὸ διαπρεπὲς ἐκλεξάμενος, τοῦ Διὸς μὲν τὸ ἡγεμονικὸν καὶ ἐποπτικὸν, ἐννοσιγαίου τὸ ἰσχυρὸν, τὸ δὲ κόσμιον τῆς παντευχίας, ὅμοιον Ἄρει· οἱονεὶ τὸ ἀξιωματικὸν, τὸ γεραρὸν, τὸ πολεμικόν.

480. ἠΰτε βοῦς] πῶς μετὰ τοὺς θεοὺς βοῒ παρέβαλε τὸν Ἀγαμέμνονα; ἔνιοι μὲν οὖν φασὶν ὅτι διὰ τοὺς μὴ δυναμένους τὴν θείαν νοῆσαι φύσιν πάλιν ἑτέραν εἰκόνα ἀπὸ γνωρίμου ζῴου παρέλαβε, μὴ νοητὴν οὖσαν. ἡ γὰρ πρωτέρα τῶν θεῶν παραβολὴ ὅλως ἐστὶ νοητή. ἔστι δὲ εἰπεῖν ὅτι τὴν πορείαν αὐτοῦ ταύρῳ εἴκασε βαδίζοντι δι' ἀγέλης, ὅπερ ἐστὶ ζῷον ἡγεμονικόν. τὴν αὐτὴν δὲ εἰκόνα Ὀδυσσεῖ προσθεῖναι θέλων τὸ μὲν ὅμοιον ἐφύλαξε, τὸ δὲ μέγεθος ἐμείωσεν, ἀρνειῷ παρεικάσας. ἐπεὶ δὲ ἐν τῇ μάχῃ ταύτῃ Ἀγαμέμνων τι πλεονεκτῆσαι οὐκ ἔμελλε, κατὰ τὴν ὁδὸν αὐτὸν κοσμεῖ. οὐ γὰρ ἔδει εὐτυχεῖν, ἵνα δεηθῇ Ἀχιλλέως.

πάντων] τῶν ἄλλων ταύρων. εἰ γὰρ μὴ ὑπερεπαρθείη τῶν ἄλλων, οὐ γίνεται κήλων. ἐπεὶ δὲ τὸ βοῦς καὶ ἕξεχος κοινὰ τῷ γένει, καὶ τὸ ταῦρος προσῆψε τῷ λόγῳ.

1. τὸν—παραστάτην (παραστάδην B)] * τὴν—παραστάδα 26. *παραβολὴ] μεταβολὴ

482. *Πορφυρίου. τοῖον ἄρ' Ἀτρεΐδην θῆκε Ζεὺς ἤματι κείνῳ] ἀπρεπὲς δοκεῖ τὸ τὸν εἰκασθέντα τοῖς θεοῖς κατὰ τὴν μορφὴν νῦν ὅμοιον εἶναι βοΐ. λύεται δὲ ἐκ τῆς λέξεως· ὃν γὰρ τρόπον, φησὶ, ταῦρος ἐν βουσὶν, οὕτως ἐν τοῖς ἄλλοις ὑπῆρχεν ὁ Ἀγαμέμνων. διὰ τί δὲ ὄμματα καὶ κεφαλὴν τοῦ Ἀγαμέμνονος τῷ Διὶ ὡμοίωσε, στέρνον δὲ Ποσειδάωνι, τὸ δ' ἐν τῷ καθοπλισμῷ φοβερὸν τῷ περὶ τὸν Ἄρην δεινῷ τε καὶ λαμπρῷ, καὶ ἀπὸ τῶν θεῶν ὑπέβη ταύρῳ μετὰ θεοὺς αὐτὸν ἐξομοιῶν; τί δὲ καὶ βούλεται τὸ "στέρνον δὲ Ποσειδάων;" ῥητέον οὖν ὅτι τὸ μὲν σεμνὸν αὐτοῦ καὶ βασιλικὸν διὰ τῆς βασιλικῆς τοῦ Διὸς προλήψεως παρέστησεν, ὡς ἂν βασιλικὰ καὶ φρονοῦντος καὶ αἰσθομένου, τῆς μὲν φρονήσεως ἐκ τῆς ἡγεμονευούσης κεφαλῆς περισταμένης, τῆς δὲ αἰσθήσεως ἐκ τῶν ὀμμάτων. ὑπερβολὴ δὲ τὸ μὴ Διὸς κεφαλῇ καὶ ὄμμασιν ἐοικέναι τὴν κεφαλὴν αὐτοῦ φάναι καὶ τὰ ὄμματα, ἀλλὰ τῷ Διὶ ὅλῳ. οὐ τῷ σωματοειδεῖ οὖν ἀπείκασε θεῷ, ἀλλὰ τῇ δυνάμει τοῦ Διὸς τῇ βασιλικῇ τε καὶ ἀρχικῇ· ὀφθεὶς γὰρ μόνον διὰ τῆς κεφαλῆς καὶ τῶν ὀφθαλμῶν διέφηνε τὸ βασιλικὸν κράτος. τὸ δ' εὔρωστον καὶ δυναμικὸν αὐτοῦ, ὅπερ περὶ τὸν θώρακα καὶ τὸ στέρνον καθιδρῦσθαι λέγεται, Ποσειδῶνι ἀπείκασε τῷ ἐνοσίχθονι, οὗ καὶ ἐρχομένου, φησὶ, τρέμε δ' οὔρεα καὶ μακρὰ ὕλη· τὸ δὲ φοβερὸν τῆς καθοπλίσεως τῷ Ἄρει. ἦν οὖν τὴν μὲν κρίσιν καὶ τὴν φρόνησιν τὴν βασιλικὴν ἔχων τοῦ Διὸς, τὴν δὲ δύναμιν καὶ τὴν ῥώμην τοῦ Ποσειδῶνος, τὴν δὲ πανοπλίαν καὶ τὴν δι' ὅπλων χρῆσιν ὡς ὁ Ἄρης. λοιπὸν δὲ τὸ ἡγεμονικὸν καὶ ἔξαρχον τῶν ἄλλων ταύρῳ ἀπείκασεν οὐ μειώσας. οὐ γὰρ τὸ αὐτὸ εἶδος καὶ πρᾶγμα ἀπὸ τῶν θεῶν ἐπὶ τὸν ταῦρον κατήγαγεν, ἀλλ' ὅτι τὰ περὶ τὸν Ἀγαμέμνονα ἀπείκασε τῷ ἀγελάρχῳ ταύρῳ. ὥσπερ οὖν ἀπὸ τοῦ Διὸς εἰς τὸν Ἄρεα μεταβὰς οὐκ ἐμείωσε διὰ τὸ ἀπὸ ἄλλου εἰς ἄλλο τῶν περὶ τὸν Ἀγαμέμνονα μεταβῆναι, οὕτως οὐδὲ τὸν ταῦρον παρειληφὼς εἰς παράστασιν τῆς ἐξοχῆς τῶν ὁμογενῶν ἐμείωσε τὸν ἔπαινον, καὶ τὰ μὲν ἦν τὰ καθ' αὐτὸν προσόντα, ἐπαίροντα τὸν συγκριτικὸν, τὴν ὁμοίωσιν ἀπὸ ὁμογενῶν λαμβάνει εἰς ὁμογενεῖς. ταῦρος δὲ διαπρέπει ἐν ὁμογενέσι βουσὶ τῆς ἀγέλης ἐξάρχων.

Ζεὺς ἤματι κείνῳ] ἐπεὶ ἄπιστα τὰ τῶν εἰκόνων προσήρτησεν Ἀγαμέμνονι, πρῶτον αὐτὰ τῇ θείᾳ δυνάμει πεπίστωται, ἔπειτα καὶ πρὸς μίαν ἡμέραν αὐτὰ συμβῆναί φησιν.

1. *Πορφυρίου] om.
10. προλήψεως] προλή,
16. διέφηνε] διέφ῾ν

484. ἔσπετε νῦν μοι] τὸ ἔσπετε ἀπὸ τοῦ ἐνίσπετε κατὰ συγκοπήν. καὶ ἔνισπε φησὶν ἀλλαχοῦ. ἢ ἀπὸ τοῦ ἔπω τοῦ σημαίνοντος τὸ λέγω, κατὰ πλεονασμὸν τοῦ σ. ψιλωτέον οὖν αὐτό. ὁ δὲ λόγος τοιοῦτος· ἔσπετε νῦν μοι, Μοῦσαι, οἵτινες ἡγεμόνες. ἀρχηὺς γάρ, φησί, νηῶν ἐρέω, πληθὺν δὲ οὐκ ἂν ἐγὼ μυθήσομαι, οὐδ' εἰ δεκαπλασίων ἐμαυτοῦ γένωμαι· ὑμῶν γάρ ἐστι τὸ ἔργον τοῦτο. ὡς ἐπὶ ἐργώδη δὲ καὶ θαυμασίαν περιπέτειαν τὰς Μούσας παρακαλεῖ, ὅπως ὁ ἀκροατὴς ὄρεξιν ἔχῃ διὰ τὸ μέγεθος καὶ συγγινώσκῃ τοῖς ἐνδεέστερον λεγομένοις. εὐτελίζων δὲ τὴν ἰδίαν φύσιν, τὴν ἀπὸ τῶν ἀκουόντων ἐπεσπάσατο εὔνοιαν.

*ψιλωτέον δὲ τὸ ἔσπετε· ἀπὸ τοῦ ἔπω ἐστὶ τοῦ σημαντικοῦ τοῦ λέγω, ἐν πλεονασμῷ τοῦ σ. ἢ ἀντὶ τοῦ εἰπεῖν ποιήσατε.

486. εἴ φησιν ἀγνοεῖν τοὺς ἡγεμόνας, πῶς ὑποκατιών (493) φησιν "ἀρχοὺς αὖ νηῶν ἐρέω;" στικτέον οὖν εἰς τὸ ἴδμεν, καὶ τὸν λόγον οὕτως ἐκδεκτέον· δύο ὑποτίθεται. ὧν τὸ μὲν μηδόλως δύνασθαι διὰ τὸ πλῆθος εἰπεῖν, τὸ δὲ δύνασθαι μέν, χρῄζειν δὲ τῆς τῶν Μουσῶν συμμαχίας. ἔστιν οὖν οὕτω τὸ πᾶν· ἔσπετε νῦν μοι, Μοῦσαι, οἵτινες ἡγεμόνες· ἀρχοὺς δ' αὖ νηῶν ἐρέω νάς τε προπάσας. πληθὺν δ' οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω, εἰ μὴ αὐταὶ δι' ἑαυτῶν εἴποιτε. τὸ δὲ "ὑμεῖς γὰρ θεαί ἐστε" ἐμεσολάβησε τοῦ ἔσπετε νῦν μοι, Μοῦσαι, οἵτινες ἡγεμόνες, ὥσπερ αἰτίαν ἐπαγαγὼν τοῦ πρὸς τὰς Μούσας ἀπερεῖσαι τὸν λόγον.

488. καίτοι λέγει καὶ περὶ τοῦ πλήθους δι' ὧν φησιν "ἑρέται δ' ἐν ἑκάστῃ πεντήκοντα" (719), καὶ δῆλός ἐστι βουλόμενος ἐμφῆναι τὸ πλῆθος, ὡς ὀφειλόντων ἡμῶν ἐξ ἀμφοῖν τούτοιν συντιθεμένων τὸ μέσον σκοπεῖν· ἔστι γὰρ τὸ μέσον τὸ τοῦ πλείονος καὶ ἐλάττονος λαμβάνοντας κατὰ τὸν Θουκυδίδην (1, 10) τεκμαίρεσθαι πόσοι δύνανται εἶναι τῷ ἀριθμῷ. χρὴ οὖν νομίζειν ὅτι οὐ χαλεπόν φησι τὸ εἰπεῖν τὸν ἀριθμόν, ἀλλὰ τὸ περὶ ἑκάστου διελθεῖν ἀκριβῶς ὡς περὶ τῶν ἡγεμόνων τὸ τίς καὶ πόθεν καὶ τίνων πατέρων, καὶ τὰς πράξεις καὶ τὰ πάθη. ἃ καὶ ὑπὲρ διήγησιν. ὑπισχνεῖται δὲ τοὺς ἡγεμόνας μὲν εἰπεῖν Μουσῶν συλλαμβανομένων, τὸ δὲ πλῆθος οὐδὲ τῆς παρ' ἐκείνων βοηθείας τυχών. τὸ δὲ μνησαίατε ἀντὶ τοῦ αὐταὶ εἴποιτε καὶ διεξέλθοιτε.

5. *ἐγὼ] om.
6. *ἐμαυτοῦ] ἑαυτοῦ
26. *λαμβάνοντας] λαμβάνοντες

494. *Βοιωτῶν] διὰ τί τοῦ δεκάτου ἔτους τῆς μάχης ἐνστάντος νεῶν κατάλογον ποιεῖται Ὅμηρος; ἢ ὅτι καὶ ἡ ὑπόθεσις αὐτῷ περὶ τὸ δέκατον ἔτος τοῦ πολέμου εἴληπται. γνώριμον δὲ τῷ θεατῇ οὐκ ἦν γενέσθαι μὴ προκαταλεχθέντων τῶν ἀφικομένων. ἡ μέντοι πρόφασις εὔλογος· ὠργισμένου γὰρ τοῦ Ἀχιλλέως καὶ ἡ τοῦ τείχους οἰκοδομὴ εὔλογον ἔσχε πρόφασιν καὶ ἡ τῶν Ἑλλήνων κατὰ φυλὰς διάκρισις, ὅπως ἂν διάδηλοι γίγνοιντο οἱ ῥᾳθυμοῦντες. καὶ ὁ Τρωϊκὸς ὡσαύτως διάκοσμος ἐν πεδίῳ τότε παρατασσόμενος. καὶ ἄλλως τοῖς μὲν Τρωσὶ τὸ θαρσῆσαι, τοῖς δὲ Ἕλλησι τὸ εὐλαβεστέρους γενέσθαι· τοῦτο δὲ ἑκατέροις αἴτιον ἐγίγνετο τῆς διακοσμήσεως, καὶ τῷ ποιητῇ πρόφασιν ἐδίδου τῆς εὐλόγου ἐντάξεως τοῦ καταλόγου.

θαυμάσιος ὁ ποιητὴς μηδ' ὁτιοῦν παραλιμπάνων τῆς ὑποθέσεως, πάντα δ' ἐξ ἀναστροφῆς κατὰ τὸν ἐπιβάλλοντα καιρὸν διηγούμενος, τὴν τῶν θεῶν ἔριν, τὴν τῆς Ἑλένης ἁρπαγήν, τὸν Ἀχιλλέως θάνατον· ἡ γὰρ κατὰ τάξιν διήγησις νεωτερικὸν καὶ συγγραφικὸν καὶ τῆς ποιητικῆς ἄπο σεμνότητος. εὐκαίρου τοίνυν ἐπιθεὶς Νέστορι ῥητορείαν τὸν κατάλογον ἐμνηστεύσατο, ὅπως μὴ ἐν τῷ αὐτῷ λόγῳ λέγων τὰ πρακτικὰ καὶ γενεαλογικὰ τὴν ἀκοὴν ἐπιταράσσοι· τὸ γὰρ μὴ γνωρίζεσθαι τοὺς ἥρωας ζήτησιν ἐποίει. τρεῖς δέ φησιν ὁ Πλάτων λόγων ἰδέας, δραματικήν, ἔνθα ὁ ποιητὴς συνεχῶς εὐδοκιμεῖ τοῖς ἤθεσι τῶν ὑποκειμένων προσώπων, ἀμίμητον, ὡς τὴν Φωκυλίδου, μιμητικήν, ὡς τὴν Ἡσιόδου. ἐν τῇ οὖν ἀμιμήτῳ καὶ ψιλῇ τοῖς κεφαλαίοις ἀνάγκη τὸν ποιητὴν ἐπαγωνίζεσθαι, τοῖς σχήμασι καὶ ταῖς ἐναλλαγαῖς ἐπικαλλύνοντα τὴν φράσιν, ὅπερ ἐποίησε πρῶτα μὲν ἐν τοῖς τῶν πόλεων ἐπιθέτοις, καὶ τούτοις ἠκριβωμένοις· οὐ γὰρ ἀνεξέλεγκτος ἦν περὶ χωρίων Ἑλληνικῶν διεξιών. καὶ ποτὲ μὲν τῷ ἔναιον, ἄλλοτε δὲ τῷ εἶχον, ποτὲ δὲ τῷ ἐνέμοντο χρῆται· καὶ ποτὲ μὲν τοὺς ἄρχοντας προλέγων ἐπιφέρει τὰς πόλεις, ὁτὲ δὲ τοὐναντίον. καὶ ποτὲ μὲν διὰ τέλους ἐξαριθμεῖ τὰς πόλεις, ὁτὲ δὲ κατ' ἐπιτομήν. νεῶν δὲ κατάλογος ἀντὶ τοῦ ἐξαρίθμησις, ὡς κατάλογος στρατιωτῶν. ἤρκται δὲ ἀπὸ Βοιωτῶν κατὰ μὲν Ἀρίσταρχον οὐκ ἔκτινος παρατηρήσεως, κατὰ δὲ ἐνίους, ἐπεὶ ἐν μεσαιτάτῳ τῆς Ἑλλάδος ἡ Βοιωτία· ἔστι δὲ αὐτῆς ἐξ ἀνατολῶν μὲν Εὔριπος, ἐκ δυσμῶν δὲ Φωκίς, Βορείων δὲ Λοκρίς, ἀπὸ δὲ μεσημβρίας Ἀττική. ἢ ὅτι

6. *φυλὰς] φύλα 11. *ἐντάξεως] ἐκτάξεως 32. *ἐν] om.

μέγιστον εἶχε ναυτικὸν, ὡς Φοινίκων ἄποικος. ἢ ὅτι ἐν Αὐλίδι συνήχθη τὸ ναυτικόν. ἢ ὅτι Ἕλλην ὁ Δευκαλίωνος ἐν Βοιωτίᾳ ᾤκησεν. οὕτω δὲ ἡδὺς καὶ μεγαλοπρεπὴς ὁ κατάλογος, ὥστε καὶ πόλεις ἀμφισβητοῦσαι τοῖς Ὁμήρου ἔπεσι χρῶνται. Καλυδῶνα μὲν Αἰτωλοῖς ἐχαρίσατο, ἀμφισβητοῦσι πρὸς Αἰολέας, μνησθεὶς αὐτῆς ἐν Αἰτωλῶν καταλόγῳ. Ἀβυδηνοὶ δὲ Σηστὸν παρ' Ἀθηναίων ἐκομίσαντο διὰ τοῦτο τὸ ἔπος "καὶ Σηστὸν καὶ Ἄβυδον ἔχον καὶ δῖαν Ἀρίσβην" (836). Μιλησίοις δὲ πρὸς Πριηνεῖς ὑπὲρ Μυκαλησσοῦ διαφερομένοις ἤρκεσε πρὸς νίκην τὰ ἔπη ταῦτα "οἳ Μίλητον ἔχον Φθειρῶν τ' ὄρος ἀκριτόφυλλον, Μαιάνδρου τε ῥοὰς, Μυκαλησσοῦ τ' αἰπεινὰ κάρηνα" (868). καὶ Σόλων τὴν Σαλαμῖνα Ἀθηναίοις ἀπένειμε διὰ τὸ "Αἴας δ' ἐκ Σαλαμῖνος ἄγε δυοκαίδεκα νῆας" (557), προσθεὶς τὸ "στῆσε δ' ἄγων ἵν' Ἀθηναίων ἵσταντο φάλαγγες," καίτοι Μεγαρέων ἀντεχομένων τῆς νήσου.

Ἄρνης τῆς Αἰόλου καὶ Ποσειδῶνος Βοιωτὸς, ἀφ' οὗ ἡ Βοιωτία, οὗ Ἐτεωνὸς, οὗ Ἀρχίλυκος. Ἀλεκτρυὼν. Ἱππαλκμος, Ἀλεγήνωρ· Ἀρχιλύκου Ἀρκεσίλαος καὶ Προθοήνωρ, Ἀλεκτρυόνος Λήϊτος, Ἱππάλκμου Πηνέλεως. Ἀλεγήνορος Κλονίος. πάντες δ' ἅμα ᾦκουν.

495. Κλονίος] τὰ εἰς ος κύρια τριβράχεα παραληγόμενα τῷ ι παροξύνεται, πλὴν τοῦ Ἄνιος Ἅλιος καὶ Κρόνιος καὶ Ξένιος.

496. οἵ θ' Ὑρίην] ἀπὸ Ὑριέως. οἱ δὲ Θυρίην γράφοντες ἁμαρτάνουσιν.

Αὐλίδα] παρὰ τὸ τοὺς Ἀχαιοὺς ἐκεῖ αὐλισθῆναι.

497. Σχοῖνον] ἀπὸ Σχοινέως τοῦ πατρὸς Ἀταλάντης.

Ἐτεωνόν] ἀπὸ Ἐτεωνοῦ τοῦ ἀπογόνου μὲν Βοιωτοῦ, πατρὸς δὲ Ἐλεῶνος καὶ τῶν ἄλλων. ὀξυτόνως δὲ ὡς μελεδωνός. κολύκνημον δὲ ὀρεινὴν, ἢ τὴν πολὺ κνημὸν ἔχουσαν ἤτοι ὀρίγανον.

498. Θέσπειαν] ἀπὸ Θεσπειοῦ τοῦ Κηφέως, ᾧ θυγατέρες ἦσαν ν'. Μυκαλησσὸς δὲ παρὰ τὸ ἐκεῖσε τὰς Γοργόνας ἐλθούσας μυκήσασθαι. ἔστι δὲ καὶ ὄρος ἀντικρὺ Σάμου Μυκάλη.

Γραῖαν] ἀπὸ Γραίας τῆς Μεδεῶνος θυγατρὸς, Λευκίππου δὲ γυναικός. Ταναγραῖοι γὰρ οὐκ ἐστράτευσαν, ὡς Εὐφορίων "οἳ πλόον ἠρνήσαντο καὶ ὅρκον Αἰγιαλήων."

6. * καταλόγῳ] καταλόγοις

24. τοῦ πατρὸς] * τοῦ Ἀθάμαντος τοῦ πατρὸς

33. ὅρκον Αἰγιαλήων] ὅρμους αἰγιαλοῖο Eustathius p. 266, 20. Vera scriptura est ὅρκους Αἰγιαλήων: de quo dixit Meinekius ad Euphorion. p. 115.

499. Ἅρμ'] ὅτι ἐκεῖ κατεπόθη τὸ ἅρμα τοῦ Ἀδράστου, οἱ δὲ τὸ Ἀμφιαράου.

Ἐρύθρας] ὑπὸ τὸν Κιθαιρῶνα οὗτος ὁ τόπος. ἔστι δὲ ἀπὸ Ἐρυθρίου τοῦ νεωτέρου τῶν Ἀθαμαντιδῶν.

500. Ἐλεῶν'] ἀπὸ Ἐλεῶνος τοῦ Ἐτεωνοῦ.

ἐξέτεινε τὸ ῡ διὰ τὸ μέτρον· "Ὕλῃ ἔνι οἰκία ναίων." ἔστι δὲ καὶ Ὕλη ἑτέρα ἐν Λυδίᾳ· "Τμώλῳ ὕπο νιφόεντι, Ὕλης ἐν πίονι δήμῳ" (Il. 20, 385).

503. Κορώνειαν—Ἀλίαρτον] Κόρωνος καὶ Ἀλίαρτος Θερσάνδρου τοῦ Σισύφου παῖδες, ἀφ' ὧν ὠνομάσθησαν αἱ πόλεις.

504. Πλάταιαν] ἀντὶ τοῦ Πλαταιὰς, ἀπὸ Πλάτης τῆς Ὀγχήστου θυγατρός.

Γλίσαντ'] ἡ συνήθεια προπερισπᾷ τὸ ὄνομα, ἡ δὲ ἱστορία προπαροξύνει.

505. ὑπὸ Θήβας εἶχον ἐϋκτίμενον πτολίεθρον] πολίχνιον ἀνώνυμον· οὐ γὰρ εὔλογον στρατεύειν Θηβαίους νεωστὶ ὑπ' Ἀργείων πορθηθέντας. ἢ ὅτι νεωστὶ ἦν οἰκισθεῖσα· διό φησιν ἐϋκτίμενον.

506. Ὄγχηστον] οὗτος Βοιωτοῦ παῖς, ὃς ἐν τῷ τόπῳ πρῶτος Ποσειδῶνος ἱδρύσατο ἱερόν.

507. Ἄρνην] ἡ νῦν Χαιρώνεια. ἑτέρα δὲ ἡ Λεοντάρνη, ἡ ὑπὸ τὸν Ἑλικῶνα, ἀπὸ τοῦ αὐτόθι λέοντος.

508. Νῖσαν] Νῖσα Βοιωτίας, οὐ Μεγαρίδος. ἔστι δὲ ἐν Διονύσου ἐπιφανὲς ἱερόν. Ἀνθηδὼν δὲ παρὰ τὰ ἄνθη, ἢ Ἄνθιον τὸν Ποσειδῶνος· ἔστι δὲ παρὰ τὸν Εὔριπον.

509. πεντήκοντα νέες] ἀπὸ Φοινίκων εἰσί· καὶ Τῖφυς γὰρ Βοιωτὸς ὑπῆρχεν.

511. Ὀρχομενὸν Μινύειον] ἀπὸ Μινυοῦ τοῦ Σισύφου τοῦ Αἰόλου· ὁ δ' Ἀρκαδίας Ὀρχομενὸς πολύμηλος.

Ὄλμος Πορφυρίων Ἀθάμας οἱ Σισύφου παῖδες πρὸς τὸν Ἑλικῶνα πόλιν ᾤκησαν, ἣν ὠνόμασαν Ὄλμον. Ὄλμιον δὲ υἱὸς Μινυὸς, ὃς ἀφ' ἑαυτοῦ Μινύας αὐτοὺς ἐκάλεσεν. τούτῳ παῖς ἦν Ὀρχομενὸς, ὃς τὴν πόλιν ἀφ' ἑαυτοῦ ὠνόμασεν.

1. κατεπόθη] κατεπάγη. Correxit Meinek. ad Euphor. p. 139 ex scholiis minoribus, in quibus καταποθῆναι σὺν τοῖς ἵπποις dicitur.

13. προπαροξύνει ex Eustathio] περισπᾷ. Conf. Herodian. in schol. codicis Veneti A ad 12, 20.

24. * Εὔριπον] εὐριπίδην

25. Φοινίκων] * Φοινίκης

29. * τὸν] τὴν

517. Φωκήων] Ὄρνυτος ὁ Σισύφου, εἰς Ὑάμπολιν ἐλθὼν ἐπικουρῆσαι τοῖς αὐτόθι τοῖς Λοκροῖς πολεμοῦσι, καὶ νικήσας, ἦρξε τῆς χώρας αὐτός· οὗ υἱὸς Φῶκος, ἀφ' οὗ Φωκέας αὐτοὺς ὠνόμασαν, οὗ Ὀρνυτίων, οὗ Ναύβολος, οὗ Ἶφιτος, οὗ Σχεδίος. τὰ δὲ δυτικὰ τῆς Φωκίδος Ὀζόλαι καὶ Λοκροὶ οἰκοῦσιν.

δύο Σχεδίοι παρ' Ὁμήρῳ "Σχεδίου Περιμήδεος υἱόν" (Il. 15, 515) καὶ "Σχεδίου μεγαθύμου Ἰφίτου υἱόν" (Il. 17, 306). καὶ δύο Εὐρυβάται κήρυκες, ὁ μὲν Ἀγαμέμνονος, ὁ δὲ Ὀδυσσέως. πάλιν τε δύο Εὐρυμέδοντες, ὅ τε Ἀγαμέμνονος καὶ ὁ Νέστορος ἡνίοχος.

519. Κυπάρισσον] Κυπάρισσος ἡ νῦν Ἀπολλωνιὰς, ἀπὸ Κυπαρίσσου τοῦ υἱοῦ Μινυοῦ.

521. Ἀνεμώρειαν] ἀνεμώδη καὶ δυσχείμερον, παρὰ τὸ καταιγίζεσθαι ἀπὸ τοῦ κατοπτευτηρίου.

523. Λίλαιαν] τόπος παρὰ τὸν Παρνασσὸν, ἀπὸ Λιλαίας τῆς Κηφισοῦ θυγατρὸς, οὗ μέμνηται καὶ Ἡσίοδος.

πηγῆς ἔπι] ἐπὶ ταῖς ἀκροχθίοις βρύσεσιν, αἳ καλοῦνται ποτάμιοι. τοῦτο δὲ τὸ ὄνομα μέτρῳ οὐχ ὑπόκειται.

526. ἔμπλην] ἐμπελάθην. δηλοῖ δὲ καὶ τὸ χωρίς· "ἔμπλην αἰγιαλοῦ τε καὶ Ἄργεος."

527. Ὀϊλῆος] ψιλωτέον Ὀϊλῆος· οὐ γάρ ἐστιν ἄρθρον. ὁ δὲ Ἡσίοδος διχῶς.

532. Λύγειὰς ὡς παρειάς· ἡ γὰρ τοιαύτη ἀνάγνωσις Ἰωνικωτέρα οὖσα συνήθης Ὁμήρῳ ἐστίν.

536. οἱ δ' Εὔβοιαν ἔχον] ἐπὶ μὲν τῶν ἄλλων "Βοιωτῶν μέν," "αὐτὰρ Φωκήων·" ὧδε δὲ, ἐπεὶ διαφόρως ὡς πρὸς τὴν πόλιν ὀνομάζονται, διαφορὰν αὐτοῖς προσῆψεν· ἢ τὸ ὁμοειδὲς ἐκκλίνων τῆς φράσεως. γίνεται δὲ ἀπὸ μὲν Ἐρεχθέως Κέκροψ, οὗ Μητίων, ἀφ' οὗ οἱ Μητιονίδαι, οὗ Χάλκων, οὗ Ἄβας, ὃς Ἄβαντας αὐτοὺς ἐκάλεσεν, οὗ Χαλκώδων, οὗ Ἐλεφήνωρ.

537. Χαλκίδα] οὗτος ἀντικρύ ἐστιν Αὐλίδος παρὰ τὸν Εὔριπον ὁ τόπος.

Εἰρέτριαν] καὶ αὕτη πέραν τοῦ Εὐρίπου.

Ἱστίαιαν] αὕτη ἐστὶν ἡ νῦν Ὠρεὸς καλουμένη.

3. *αὐτοὺς] αὐτοὺς
19. Ἄργεος ex Callim. H. in Del. 73] ἄστεος
28. Χάλκων] Ἄλκων dicitur ab Ephoro apud Steph. Byz. s. v. Ἀθῆναι.

538. Κήρινθόν τ' ἔφαλον] τούτου γὰρ τὰ θεμέλια ὑπὸ θαλάσσης ἁλμίζεται. ἔστι δὲ περὶ τὴν παρὰ τὸ Αἰγαῖον πλευράν.

542. Ἀγχέμαχος ὁ Εὐβοεύς φησι τοὺς Κούρητας ἐν Χαλκίδι οἰκῆσαι· συνεχῶς δὲ τοῖς ἀστυγείτοσιν ἐπολέμουν. ἐπεὶ δὲ οἱ πολέμιοι τῆς κόμης ἁπτόμενοι κατέσπων αὐτούς, ὀπισθοκόμους γενέσθαι φησὶ, τὰ δὲ ἔμπροσθεν κείρεσθαι· διὸ καὶ Κούρητας ἀπὸ τῆς κουρᾶς κληθῆναί φησιν.

543. αἰχμηταί] καὶ ὁ χρησμὸς (Strab. 10 p. 689. c. schol. Theocriti 14, 48.) οὕτως περὶ αὐτῶν "ἄνδρες δουρίμαχοι ναίουσιν ὕδωρ καλῆς Ἀρεθούσης." ἦν δὲ παρ' αὐτοῖς αἰσχρὸν τὸ τοξεύειν.

547. ὅν ποτ' Ἀθήνη] ἐξαίρει τὴν χώραν τῇ γενέσει, τῇ ἀνατροφῇ, τῇ τῆς βασιλείας μεγαλειότητι.

548. ζείδωρος] κυρίως ἐπὶ Ἀττικῆς τὸ ζείδωρος. δοκεῖ γὰρ ἐκεῖσε πρῶτον ἀναδοθῆναι καρπός. διὸ νῦν ὡς ἐπιθέτῳ ἐχρήσατο αὐτῷ.

550. ἔνθα δέ μιν] ἡ θεὸς γὰρ ἔχρησε τοῦτον τιμᾶν. θήλεα δὲ τῇ Ἀθηνᾷ θύουσιν· διὸ τὸ μίν οὐκ ἐπ' αὐτῆς.

552. Πετεῶο] Πετεώ. πλεονασμὸς γάρ ἐστι τὸ ο, ὡς Ἡρῳδιανός.

553. τῷ δ' οὔ πώ τις ὁμοῖος] τοῦτο χαρίζεται αὐτῷ, ἐπεὶ μὴ εὐδοκιμήσει ἐν ταῖς μάχαις.

554. κοσμῆσαι] πρῶτος κόσμον πολέμου τὴν παράταξιν ὠνόμασεν.

557. δυσκαίδεκα] τὸ δυσκαίδεκα ὑφ' ἓν ἀναγνωστέον· καὶ ἔστι ποιητικὴ ἡ χρῆσις. γράφει δὲ καὶ τὸν Σόλωνος λόγον, ὥς τινες, παραλόγως, τὸ ἵν' Ἀθηναίων ἵσταντο. ἐν γὰρ τῇ πρώτῃ οὐκ εἶχε ποιήσει τοῦτο, ἀλλ' ἡ ἀκολουθία οὕτως, οἱ δ' Ἄργος εἶχον.

559. οἳ δ' Ἄργος τ' εἶχον] ἀπὸ Ἄργου τοῦ Διὸς καὶ Νιόβης τῆς Φορωνέως. διὰ δὲ τὸ πρῶτον ᾠκίσθαι πρῶτον ἐτάχθη τῶν ὑπὸ Ἀγαμέμνονα· ἀφ' οὗ καὶ πάντας Ἕλληνας Ἀργείους καλεῖ.

561. Τροιζῆν'] ἀπὸ Τροιζῆνος τοῦ Πέλοπος. λέγουσι δὲ τὴν Καλαυρίαν εἶναι.

9. ἄνδρες] In scholio Veneti A est ἄνδρες οἳ ναίουσιν
* δουρίμαχοι] δουρεμάχοι
31. λέγουσι δὲ τὴν Καλαυρίαν εἶναι] Ad v. 562 refert Heynius (vol. 4 p. 691) ubi lectum esse Νῆσόν τ' Αἴγινάν τε. Buttmannus ante λέγουσιν inserit haec ἡ δ' Ἠϊὼν

562. Αἴγινα πλησίον Ἐπιδαύρου. ὁ δὲ Μάσης ἐπίνειον Αἰγινητῶν. ἐκτέταται δὲ διὰ τὸ μέτρον.

564. Σθένελος] Προίτου Μεγαπένθης, οὗ Ἀναξαγόρας, οὗ Ἱππόνους, οὗ Καπανεύς, οὗ Σθένελος.

565. Εὐρύαλος] Βίαντος Περιάλκης, οὗ Ταλαός, οὗ Μηκιστεύς, οὗ Εὐρύαλος.

566. Ταλαϊονίδαι] ἀπὸ τοῦ Ταλαΐων ἐστὶν ἡ κλίσις. ἢ κατὰ πλεονασμόν ἐστι τοῦ ονι.

567. συμπάντων δ' ἡγεῖτο] ὡς ἄριστος, ἢ κατὰ τὸν τῶν Φαιάκων νόμον· "τρισκαιδέκατος δ' ἐγὼ αὐτός" (Od. 8, 391).

569. Μυκήνας] πόλιν Ἄργους, ἧς ἐβασίλευεν Ἀγαμέμνων, ἀπὸ Μυκήνης νύμφης Λακωνικῆς.

Μυκηνῶν ἦρχεν Εὐρυσθεύς. ἐπεὶ δὲ συμβαλὼν Ἀθηναίοις ἐτελεύτα, ἱστῶσιν Ἀτρέα αὐτόθι διάγοντα, ἅμα Θυέστῃ ἐπὶ τῷ φόνῳ Χρυσίππου φυγόντα.

570. ἀφνειάν τε Κόρινθον] ἐμπόριον γὰρ ἦν τῆς Ἑλλάδος κατὰ Θουκυδίδην. ἡνίκα δὲ ἡρωικόν ἐστι τὸ λαλοῦν πρόσωπον, Ἐφύρην αὐτὴν καλεῖ.

572. Ἄδρηστος] ἐκπεσὼν γὰρ Ἄργους παρὰ Πολύβῳ τῷ μητροπάτορι ᾤκει, καὶ ὑπέταξεν αὐτοὺς οὐκ εἰωθότας ἄρχεσθαι.

579. πᾶσι] οὐ τοῖς οἰκείοις μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις, ἵνα καὶ τὸ "οὕνεκ' ἄριστος ἦεν" ἔχῃ αἰτίαν. διέπρεπε δὲ κάλλει καὶ μεγέθει. κυδιᾷ δὲ οὐκ ἐπὶ πλούτῳ, ἀλλ' ἐπ' ἀρετῇ.

581. οἱ δ' εἶχον κοίλην Λακεδαίμονα] Οἴβαλος ὁ Περιήρους ἦρχε Λακεδαιμονίων, οὗ Τυνδάρεως Ἴκαρος Ἄρνη, καὶ νόθος Ἱπποκόων, ὃς συμφρασάμενος Ἰκάρῳ τὸν Τυνδάρεων ἀπελαύνει, καὶ ἄρχει πολλοῖς πλήθων υἱοῖς. Ἡρακλῆς δὲ μετὰ τὴν ἐν Πύλῳ μάχην θύσων εἰς Ἀμύκλας κατὰ χρησμὸν ἐξέρχεται· Λικυμνίου δὲ τοῦ υἱωνοῦ αὐτοῦ προελθόντος ἐπὶ θέαν Λακεδαίμονος, ἀναιροῦσιν αὐτὸν οἱ Ἱπποκοωντίδαι θανάτου κυνὸς ἕνεκα. ἐφ' οἷς Ἡρακλῆς ἅμα τῷ πατρὶ κατακτείνας αὐτούς, τὴν ἀρχὴν Τυνδάρεῳ δίδωσι καὶ τοῖς παισὶ,

οὐκ οἰκεῖται, sumpta ex Eustathio p. 287, 27.

2. * τὸ μέτρον] τὸ om.

7. * κλίσις] κλῆσις

25. Ἱπποκόων — Ἱπποκοωντίδαι Bekkerus] ἱποθόων—ἱποθοωντίδαι

28. Λικυμνίου δὲ τοῦ υἱωνοῦ αὐτοῦ. Scholiastae error, qui dicere debebat Οἰωνοῦ δὲ τοῦ Λικυμνίου. V. schol. ad 1, 52 et Heyn. ad Apollod. vol. 2 p. 188.

Κάστορι καὶ Πολυδεύκει. ὧν μὴ στρατευσάντων Μενέλαος ἄρχει. κοίλην δὲ, ὅτι περιέχεται ὑπὸ Ταϋγέτου καὶ Παρθενίου.

582. Μέσσην] τὴν Μεσσήνην λέγει. ὅτι γὰρ ὑπὸ Λακεδαιμονίους αὐτὴν οἶδε δῆλον ἐξ ὧν φησὶ "δῶρα τά οἱ ξεῖνος Λακεδαίμονι δῶκε· τὼ δ' ἐν Μεσσήνῃ ξυμβλήτην ἀλλήλοιιν" (Od. 21, 15).

588. προθυμίῃσι πεπιθών] βασιλεὺς ὢν ἑαυτὸν αὐτὸς διατάττει. ἐξέτεινε δὲ τὴν μι διὰ τὸ μέτρον.

591. οἳ δὲ Πύλον] ἐξ Αἰόλου Κρηθεύς, ὃς Ἰωλκὸν κατέσχε Πελασγοὺς ἐκβαλών. τούτου δὲ οἱ παῖδες Πελίας μὲν ἅμα Ἰάσονι Ἰωλκὸν ᾤκουν, Νηλεὺς Πύλον σὺν Ἀμυθάονι, Φέρης δὲ Φεράς. τρεῖς δὲ Πύλοι εἰσὶν, Μεσσηνίας, Τριφυλίας, Ἀρκαδίας.

592. Αἴπυ] τοῦτο κύριόν ἐστι, περὶ ἧς φησὶ "πόλις αἰπεῖα κελεύνη." Ἡρωδιανὸς δὲ ἀναλογωτέραν φησὶ τὴν βαρεῖαν εἶναι τάσιν. ἴσως δὲ ἀπὸ τοῦ Αἰπύτου. κατὰ ταύτην δὲ τὴν πόλιν ποσὶ περατός ἐστιν ὁ Ἀλφειὸς, κἂν σφόδρα ῥυῇ. βαρυτόνως λεκτέον τὸ αιπυ· ὄνομα γάρ ἐστι πόλεως. τὸ δὲ ὀξυτονούμενον ἐπίθετόν ἐστι καὶ σημαίνει τὸ ὑψηλόν.

595. Θάμυριν] Θρᾷξ ἐστι, Φιλάμμονος υἱός· ἑαυτῷ δὲ ὥρισε τῆς μὲν ἥττης τὴν πήρωσιν πρόστιμον, τῆς δὲ νίκης γάμον μιᾶς τῶν Μουσῶν. φασὶ δὲ αὐτὸν τῶν ὀφθαλμῶν τὸν μὲν γλαυκὸν ἔχειν, τὸν δὲ μέλανα. τότε δὲ τελείως τὸν ἕτερον ἀπώλεσεν.

596. πιθανῶς τῷ ὁμοιοτρόπῳ ἐνδιατρίβει. διδάσκει οὖν μὴ πιεῖσθαι πονηρὰς ὁμιλίας.

599. πηρὸν θέσαν] ὁ μὲν ποιητὴς ὀξυτόνως· οἱ δὲ Ἀττικοὶ ὡς τὸ λῆρος. οὐδὲν δὲ ἄρα ἡ τέχνη δίχα συνέσεως πρὸς μόνον ἄγουσα ὄγκον. τὸ δὲ πηρὸν θέσαν ἀντὶ τοῦ τῆς τέχνης ἔπαυσαν καὶ ἔκφρονα αὐτὸν ἐποίησαν. ἢ ἴσως περὶ τὴν φωνὴν ἔβλαψαν, πηρὸς γὰρ καλεῖται ὁ κατά τι μέρος τοῦ σώματος βεβλαμμένος.

*οὐκ οἶδ' ὅπως οἱ πολλοὶ ἐν τοῖς ἔπεσι τούτοις τοῖς περὶ τοῦ Θαμύριδος, τοῖς οὕτως ἔχουσιν "αἱ δὲ χολωσάμεναι πηρὸν θέσαν, αὐτὰρ ἀοιδὴν θεσπεσίην ἀφέλοντο καὶ ἐκλέλαθον κιθαριστύν," τὸ πῆρον ὀξυτονεῖν θέλουσι καὶ τὸν τὰς φρένας πηρωθέντα ἐξακούειν ἀπὸ

3. *Μεσσήνην] μεσήνην hic et infra, pariterque Μεσηνίας.

8. Κρηθεὺς — Ἀμυθάονι Bekkerus] κριθεὺς—ἀμαθάονι

18. Φιλάμμονος scripsi pro Φιλάμμωνος, quod consuetum librariis vitium est, de quo dixi in Thesauro vol. 8 p. 798.

τῆς λέξεως. τοῦ ποιητοῦ περὶ μὲν τοῦ Δημοδόκου εἰπόντος ὅτι ἡ μοῦσα αὐτῷ "δίδου ἀγαθόν τε κακόν τε, ὀφθαλμῶν μὲν ἄμερσε, δίδου δ' ἡδεῖαν ἀοιδήν," περὶ δὲ Θαμύριδος ὅτι τὰ δύο ἔπαθε κακὰ, τὸ τυφλωθῆναι καὶ ἐκλαθέσθαι τῆς μουσικῆς.

600. ἀφέλοντο καὶ ἐκλέλαθον] ἐπὶ μὲν τοῦ φυσικοῦ ἀφέλοντο, ἐπὶ δὲ τοῦ διδακτοῦ ἐκλέλαθον· ὃ γὰρ ἔμαθέ τις, οὐκ ἀπόλλυσιν ἄλλως, ἀλλ' ἐπιλήθεται.

609. Ἀγκαίοιο πάϊς κρείων Ἀγαπήνωρ] ἀπὸ Ἀρκάδος τοῦ Διὸς, οὗ Ἀμφιδάμας, οὗ Λυκοῦργος, οὗ Ἀγκαῖος, οὗ Ἀγαπήνωρ. ὡς ἐπισήμων δὲ ὄντων, ἐκ τάφου καὶ ὄρους ἐσήμανε τὴν χώραν.

612. ἐπεὶ μεσογείους ὄντας εἰς Ἴλιον ἤγαγεν, λύει τὸ ζήτημα πόθεν εἶχον ναῦς.

615. Βουπράσιον] πόλις, ἡ δὲ χώρα Ἦλις. ὁρίοις δὲ αὐτοὺς περιγράφει, μὴ θέλων πάλιν τὰ κατὰ μέρος λεπτολογεῖν.

618. δέκα δ' ἀνδρὶ ἑκάστῳ] ἔδειξε τὴν διαίρεσιν τῆς ἀρχῆς, μὴ εἰπὼν, ὡς ἐπὶ τῶν ἄλλων, τοῖς δ' ἅμα τεσσαράκοντο.

619. Ἐπειοί] διῃρημένως πρὸς τὴν πόλιν ὀνομάζονται, ὡς Ἄβαντες.

625. Δουλιχίοις] μία τῶν Ἐχινάδων τὸ Δουλίχιον. ὅτι δὲ πλησίον Πελοποννήσου, δηλοῖ Τηλέμαχος πρὸς Νέστορα ἀπιών.

626. αἳ ναίουσι] ἀντὶ τοῦ ναίονται, ὡς τὸ "νῆσοι πολλαὶ ναιετάουσι σχεδὸν ἀλλήλῃσιν" (Od. 9, 22).

630. διδάσκει ὡς ἀνηκέστου διαφορᾶς τῶν οἰκείων κρείσσων ὁ χωρισμός.

631. Κεφαλλῆνας] ἡ Κεφαλληνία παράκειται ταῖς Ἐχινάσιν. Κέφαλος γὰρ ὁ Δηϊόνος, φεύγων ἐκ Πρόκριδος διὰ τὸν τῆς γυναικὸς ἀκούσιον φόνον, ᾤκει ἐν Θήβαις· συστρατεύσας δὲ Ἀμφιτρύωνι, καὶ ταύτην γέρας λαβὼν, οὕτως ἀφ' ἑαυτοῦ ὠνόμασεν. ἐκ τούτου Κιλλεὺς, οὗ Ἀρκέσιος, οὗ Λαέρτης.

632. *Νήριτον] ὄρος Ἰθάκης. εἰνοσίφυλλον δὲ καὶ πολύδενδρον, ἐξ οὗ κατήνεμον καὶ ὑψηλόν· ἔνοσις γὰρ ἡ κίνησις.

637. ὅτι ἤδη ἡ ἐκ χρωμάτων μίξις τῇ ζωγραφικῇ ἐπιπολάσασα ἦν, αἱ δὲ νῆες Ὀδυσσέως ἐξηλλαγμέναι, ὅπως ὀλίγαι οὖσαι κἂν διὰ τῆς χρίσεως τὸ ἐπίσημον ἔχωσι, καὶ ὅτε δέοι πλεῖν, μὴ σκορπίζοιντο. ἀμέλει καὶ μίσας αὐτὰς πρὸς κόσμον τῶν ἄλλων ἔταξαν (Il. 11, 805).

641. οὐ γὰρ ἔτ' Οἰνῆος] ἄστατος ἡ τύχη, ὅταν μάλιστα δι' ἀσέβειάν τινες πορθῶσι. προαπόλοντο δὲ Μελεάγρου οὗτοι.

642. διὰ τὸ πριΐχειν αὐτὸν τῶν ἀδελφῶν, καὶ ἰδίᾳ παρ' αὐτοὺς ἔταξεν.

645. Κρητῶν] ἀκολούθως ἐπὶ τὴν πρὸς ἀνατολὰς τοῦ Ἰσθμοῦ θάλατταν μέτεισι, καὶ τὰς νήσους αὐτῆς ὀνομάζει.

647. Λύκτον Μίλητόν τε καὶ ἀργινόεντα Λύκαστον] πᾶσαι ἐν τῇ ἀρχούσῃ τὸν τόνον ἔχουσιν. Λυκτὸν δέ τινές φασιν, οὐκ ὀρθῶς.

649. *Πορφυρίου. διὰ τί ἐνταῦθα μὲν πεποίηκεν "ἄλλοι θ' οἳ Κρήτην ἑκατόμπολιν ἀμφενέμοντο," ἐν δὲ Ὀδυσσείᾳ εἰπὼν ὅτι ἔστιν ἡ Κρήτη καλὴ καὶ πίειρα καὶ περίρρυτος, ἐπάγει "ἐν δ' ἄνθρωποι πολλοὶ ἀπειρέσιοι καὶ ἐνενήκοντα πόληες" (Od. 19, 174); τὸ γὰρ ποτὲ μὲν ἐνενήκοντα, ποτὲ δὲ ἑκατὸν λέγειν δοκεῖ ἐναντίον εἶναι. Ἡρακλείδης μὲν οὖν καὶ ἄλλοι λύειν ἐπεχείρουν οὕτως. ἐπεὶ γὰρ μυθεύεται τοὺς μετ' Ἰδομενέως ἀπὸ Τροίας ἀποπλεύσαντας πορθῆσαι Λύκτον καὶ τὰς ἐγγὺς πόλεις, ἃς ἔχων Λεύκων ὁ Ταλῶ πόλεμον ἐξήνεγκε τοῖς ἐκ Τροίας ἐλθοῦσιν, εἰκότως ἂν φαίνοιτο μᾶλλον τοῦ ποιητοῦ ἡ ἀκρίβεια ἢ ἐναντιολογία τις. οἱ μὲν γὰρ εἰς Τροίαν ἐλθόντες ἐξ ἑκατὸν ἦσαν πόλεων· τοῦ δὲ Ὀδυσσέως εἰς οἶκον ἥκοντος ἔτει δεκάτῳ μετὰ Τροίας ἅλωσιν, καὶ φήμης διηκούσης ὅτι πεπόρθηνται δέκα πόλεις ἐν Κρήτῃ καὶ οὐκ εἰσί πως συνῳκισμέναι, μετὰ λόγου φαίνοιτ' ἂν Ὀδυσσεὺς λέγων ἐνενηκοντάπολιν τὴν Κρήτην, ὥστε εἰ μὴ τὰ αὐτὰ περὶ τῶν αὐτῶν λέγει, οὐ μέντοι διὰ τοῦτο καὶ ψεύδεται. Ἀριστοτέλης δὲ οὐκ ἄτοπόν φησιν, εἰ μὴ πάντες τὰ αὐτὰ λέγοντες πεποίηνται αὐτῷ· οὕτως γὰρ καὶ ἀλλήλοις τὰ αὐτὰ παντελῶς λέγειν ὄφειλον. μήποτε δὲ καὶ μεταφορά ἐστι τὰ ἑκατόν, ὡς "ἐκ τῆς ἑκατὸν θύσανοι" (448)· οὐ γὰρ ἑκατὸν ἦσαν ἀριθμῷ. καὶ "ἑκατὸν δέ τε δοῦρατ' ἀμάξης" (Hesiod. O. 454). ἔπειτα οὐδαμοῦ λέγει ὡς ἐνενήκοντα μόνα εἰσίν· ἐν δὲ τοῖς ἑκατόν εἰσι καὶ ἐνενήκοντα.

654. ἀγερώχων] ἄγαν γέρας ἐχόντων, ἐντίμων.

6. *Λυκτὸν δέ] λυκαστὸν δέ

7. *Πορφυρίου] om.

14. Λύκτον Hoeckius in libro de Creta] λέκτον.

Λεύκων] Λεῦκος dicitur in scholio Odyss. 19, 74 et Eustath. p. 1860, 57.

Ταλῶ] τάλας. Correxi ex schol. Odyss., ubi codex Harleianus ταλώ. Rectus nominis accentus est Ταλῶς, quem praecipit Ioannes Alex. Τον. παραγγ. p. 8, 36.

23. οὕτως] οὗτοι Thurot, *Revue critique* a. 1870, p. 152.

662. κατέκτα] διὰ βραχέος τοῦ ᾱ· ἀποκοπὴ γάρ ἐστι τοῦ ἔκτανεν.

665. Ἑλληνικόν ἐστι τὸ μὴ φόνῳ φόνον λύειν, φυγαδεύειν δὲ τὸν ἅπαντα χρόνον· ὅθεν Σόλων ἔτη πέντε ὥρισεν.

γάρ οἱ] τὸ οἱ ἀντωνυμία ἐστὶν, οὐκ ἄρθρον· ἐλλειπτικὸς γάρ ἐστι τοῖς ἄρθροις ὁ ποιητής.

668. ἠδ' ἐφίληθεν ἐκ Διός] τοῦτο πρὸς τὴν κοινὴν ὑπόνοιαν καὶ δόξαν· θεοφιλεῖς γὰρ οἱ πολλοὶ τοὺς πλουσίους οἴονται.

671. ὅτε δύο σύμφωνα ἡ συλλαβὴ ἐπάγεται, περιγραπτέον αὐτῇ τῆς προτέρας τὸ σύμφωνον.

673. ὃς κάλλιστος] οὐδὲ ἓν πρὸς δόξαν κάλλος ἀγενές· Ἀχιλλεὺς δὲ ἀμφοτέροις κεκόσμηται. φιλέλλην δὲ ὢν πάντας ἀξιομνήστους ποιεῖ καὶ πάντας ἐπαινεῖ, ὅπως πιστεύσιτο, καὶ ἵνα τοὺς ἐν ἀνδρείᾳ καὶ σώματι καὶ κάλλει διαφέροντας εἰδῶμεν Ἕλληνας.

674. μετ' ἀμύμονα Πηλείωνα] ἀπήλλαξεν ἡμᾶς τῆς ζητήσεως τῆς πολυπραγμονης τοῦτο ἐπαγαγών.

677. Κῶν] ταύτην ἐλὼν Ἡρακλῆς μίγνυται Χαλκιόπῃ τῇ Εὐρυπύλου, καὶ ποιεῖ Θεσσαλὸν, οὗ μέμνηται οὗτος.

681. νῦν αὖ] ἐπιστρέφει ἠθικῶς τὸν κατάλογον ἐπὶ Ἀχιλλέα, δευτέραν ἀρχὴν καταλόγου ποιούμενος. ἔστι δὲ ἡ Θεσσαλία πεδίον μέγα καὶ κοῖλον, πάντοθεν ὄρεσι καλυπτόμενον. τούτου πρῶτος ἦρχε Θετταλὸς, ἀφ' οὗ καὶ ὠνομάσθη· οὗ ἔκγονος Ἄμμων, ἐξ οὗ καὶ Ἄμμωνες· οὗ Πελασγὸς, Φθῖος, Ἀχαιός. ἄρχει δὲ Πελασγὸς ταύτης τῆς χώρας· Ἄργος δὲ ἀπὸ Ἀργείας τῆς αὐτοῦ μητρός. μετὰ δὲ θάνατον αὐτοῦ οἱ ἀδελφοὶ ἄρξαντες Φθίαν καὶ Ἀχαΐαν ὠνόμασαν. ᾤκει δὲ αὐτόθι καὶ Δευκαλίων ὁ τούτων κατά τινας ἔκγονος· οὗ Ἕλλην, ὃς Ἕλληνας αὐτοὺς ὠνόμασεν.

683. Ἑλλάδα] οἱ μὲν πόλιν μίαν, οἱ δὲ πᾶσαν Φθιῶτιν· ὃ καὶ βέλτιον.

685. ἦν ἀρχὸς Ἀχιλλεὺς] τοῦ πρακτικοῦ μόνου καὶ πολιτικοῦ ἡγεῖται, τὸ δὲ λοιπὸν ἐᾷ.

692. ἔβαλεν] ἀπὸ μετοχῆς μετῆλθεν εἰς ῥῆμα. ἀεὶ δὲ πρὸς Ἀχιλλέα προσπαθῶς ἔχει.

22. Ἄμμων—Ἄμμωνες] Αἴμων et Αἴμονες Eustath. p. 321: scholio Clinton Fast. Hell. vol. 1 v. de hoc p. 19.

694. ἀνστήσεσθαι] ψυχαγωγεῖ ταῖς ἐλπίσι τοὺς ἀκροατάς. σὺν τῷ ν δὲ ἡ γραφή.

695. Φυλάκην] εἷς τῶν Αἰολιδῶν ὁ Δηΐων, οὗ Φύλακος, ἀφ' οὗ ἡ Φυλάκη, οὗ Ποίας, οὗ Πρωτεσίλαος καὶ Ἶφικλος.

697. *λεχεποίην] τὴν βαθείας βοτάνας ἔχουσαν, ἀφ' ὧν ἔστι λέχος κατασκευάσαι, τουτέστι κοίτην ποιῆσαι.

699. ἔχεν κάτα] ἀναστρεπτέον τὴν κατά πρὸς τὸ εἶχεν.

700. *ἀμφιδρυφής] τὸ ἀμφιδρυφής· ἀμφοτέρας τὰς παρειὰς κατεξεσμένας ἔχουσα. τὸ δὲ δόμος ἡμιτελής ἤτοι ἄτεκνος, ἢ ἀφῃρημένος τοῦ ἑτέρου τῶν δεσποτῶν, ἢ ἀτελείωτος· ἔθος γὰρ ἦν τοῖς γήμασι θάλαμον οἰκοδομεῖσθαι. διὸ οἱ πολλοί φασιν ὅτι οἰκοδομῶν θάλαμον ἑαυτῷ ὁ Πρωτεσίλαος ἀπέπλευσεν ἐπὶ τὸν πόλεμον. βέλτιον δὲ εἰρῆσθαι ἡμιτελῆ διὰ τὸ μὴ γεγεννηκότα παῖδας πλεῦσαι. οἱ δὲ, ὅτι νεοστὶ γήμας οὐδέπω τελείως τὰ κατὰ τὸν γεγαμηκότος οἶκον διεπράξατο, ἀλλὰ πρῶτον ἐστράτευσεν.

702. ἀποθρώσκοντα] ἀφορμῶντα διὰ τὸ πρόθυμον.

703. πόθεόν γε μὲν] καίτοι ἔχοντες τὸν κοσμήσοντα. τῇ δὲ ἐπαναλήψει (709) οἰκτρότερον τὸ πάθος ἐποίησεν.

716. Μηθώνην] ἐξέτεινε τὸ ε̄ εἰς η̄. Μεθῶναι δὲ τρεῖς, ἡ ἐν Μακεδονίᾳ, ἡ ὑπὸ Φιλοκτήτην καὶ ἡ περὶ Τροιζῆνα.

721. ἐν νήσῳ] περὶ Τένεδον ἢ περὶ Ἴμβρον δηχθεὶς ὑπὸ ἐχίδνης εἰς Λῆμνον ἐξετέθη.

723. κακῷ ὕδρου] πρόσκειται τὸ κακῷ, ἵνα τὸ τοῦ ἥρωος καρτερικὸν δηλωθῇ. ὕδρου δὲ τοῦ χερσύδρου· οὗτος γὰρ τῷ σώματι σηπεδόνας παρέχει. λέγουσι δὲ κατέχειν αὐτοῦ τὴν σῆψιν προσραινόμενον θαλάσσης ὕδωρ. ἱστορεῖται δὲ ὅτι Φιλοκτήτης ἐν Λήμνῳ καθαίρων τὸν βωμὸν τῆς Χρυσῆς καλουμένης Ἀθηνᾶς ἐδήχθη ὑπὸ ὕδρου, καὶ ἀνιαρῷ τραύματι περιπεσὼν κατελείφθη αὐτόθι ὑπὸ τῶν Ἑλλήνων· ᾔδεισαν γὰρ τοὺς Ἡφαίστου ἱερεῖς θεραπεύειν τοὺς ὀφιδήκτους.

724. μνήσεσθαι] φροντίσαι καὶ μνείαν ποιήσασθαι. καλῶς δὲ προστέθειται· οὐδαμοῦ γὰρ ἔδειξε τῆς ποιήσεως πότε αὐτὸν μετεπέμψαντο. ταχέως δὲ οἱ Ἕλληνες ἔμελλον μνημονεύειν καὶ χρῄζειν τοῦ Φιλοκτήτου, ἐπειδὴ εἵμαρτο χωρὶς τῶν Ἡρακλέους τόξων μὴ ἁλῶναι τὴν Ἴλιον. εἶχε δὲ ταῦτα ὁ Φιλοκτήτης, ἐαθέντα αὐτῷ ὑπὸ Ἡρακλέους,

14. *γήμας] om. 15. πρῶτον] *πρότερον 17. *κοσμήσοντα] κοσμήσαντα

καθ' μηδενὸς θελήσαντος ἄλλου ὑφάψαι ἐν τῇ Οἴτῃ τὴν Ἡρακλέους πυρὰν ἐν τῇ τελευτῇ αὐτοῦ τοῦτο ἐποίησεν ὁ Φιλοκτήτης.

729. *κλωμακόεσσαν] τὴν τραχεῖαν καὶ ὄρη ἔχουσαν.

732. ἰητῆρ' ἀγαθώ] ἔθος ἦν τοῖς πάλαι βασιλεῦσι μανθάνειν τι τῶν χρησίμων· ὃ καὶ οὗτοι ποιοῦσι καλῶς, ἵνα καὶ τοῖς ἰδίοις καὶ τοῖς ἑτέρων νοσήμασι μάχοιντο.

735. Ἀστέριον Τιτάνοιό τε λευκὰ κάρηνα] Ἀστέριον, ὅτι ἐφ' ὑψηλοῦ ἐστὶ τόπου· διὰ δὲ τὸ διαφανὲς οὕτως κέκληκε. Τιτάνοιο δὲ διὰ τὸ λευκόν· τίτανος γὰρ ἡ κονία καλεῖται.

739. Ὄρθην, Ἠλώνην τε, πόλιν τ' Ὀλοοσσόνα] Ὄρθην ὡς Σπάρτην Ἠλώνην δὲ ὡς κορώνην. ταύτην Ἡρακλῆς κτίζει ἐπὶ τῷ θανάτῳ Κενταύρων· λευκὴν δὲ ὀξυτόνως· τῆς γὰρ Ὀλοοσσόνης ἐστὶν ἐπίθετον.

743. *τοὺς Κενταύρους λέγει.

744. ἦλθε εἰς βαρβάρους ἥκων ἐθνικῶς καὶ οὐκ ἀπὸ πόλεως αὐτοὺς ὀνομάζει.

755. *ὅρκου γὰρ—ἀπορρώξ] ἐκεῖ γὰρ ἀπερηγμένα δεῖναι τοῦ Στυγὸς ὕδατος, ὅπερ ὅρκος θεῶν νομίζεται. ἀπορρωξ δὲ ὀξυτόνως μὲν ἀπορρώξ, βαρυτόνως δὲ ἀπόρρηγμα.

756. Μαγνήτων] Μάγνης εἷς τῶν Λαελιδῶν ὑπὸ τὸ Πήλιον κτίσας πόλιν ἀπὸ τῆς γυναικὸς Μελίβοιαν ἐκάλεσεν, ὕστερον δὲ τὴν πᾶσαν χώραν Μαγνησίαν· οὗ Ἀλέκτωρ, οὗ Τευθρηδών, οὗ Πρόθοος.

760. οὗτοι] διὰ τοῦ οὗτοι συνεκεφαλαίωσατο τὸν κατάλογον, τῶν μὲν εἰρημένων μνήμην. τῶν δὲ ῥηθησομένων ἔφεσιν ἐργαζόμενος. ἀφορισμὸν δὲ τοῦτο καλοῦσιν οἱ ῥήτορες.

761. *σύ μοι ἔννεπε Μοῦσα] ἐπὶ μὲν Τρώων οὐκ ἀξιοῖ Μοῦσαν καλεῖν· ἢ ὅτι οὗτοι μὲν ἐφάμιλλοι, Ἕκτωρ δὲ μόνος ἄριστος. παρὰ Μούσης δὲ τὴν ψῆφον ἐξάγει, ὅπως μὴ λυπεῖν ἢ χαρίζεσθαι δοκῇ. Εὐμήλου δὲ ἵππους πρωτεύειν ὡς Θεσσαλικάς. καὶ εἰ προὔχουσι δὲ αἱ Ἀχιλλέως ὡς ἐκ θεῶν, ἀλλ' οὖν γε καὶ αὐταὶ Θεσσαλὸν ἡνίοχον ἔχουσιν. σπέρματα δὲ προκαταβάλλει τῇ ἱπποδρομίᾳ καὶ τῇ ἀριστείᾳ τούτων τῶν ἵππων.

*καὶ ὁ χρησμός φησιν "ἵππον Θεσσαλικήν."

763. οἰέτεας] οἰέτης ὡς εὐνέτης γαμέτης· συνεξηκολούθησε γὰρ

11. *Σπάρτην] ἅρπην 19. *ἀπόρρηγμα] ἀπόρρυμα 30. *αἱ] om.

αὐτοῖς καὶ τοῦτο. τὸ εὑρετὴς μόνον σεσημείωται. συντόμως δὲ πᾶσαν ἵππων ἀρετὴν καὶ ὁμοιότητα περιέλαβεν· διαφέρουσι γὰρ ἀλλήλων ἵπποι ἡλικίᾳ, χρόᾳ, μεγέθει, δυνάμει καὶ γένει. τὸ δὲ ὄρτριχας ἀντὶ τοῦ ὁμόχροας, οἰέτεας ὁμήλικας, ἐΐσας τοῖς νώτοις ὁμοίας.

σταφύλῃ] τὸ σταφύλῃ· ὡς κοτύλῃ. ἔστι δὲ ἄμφω ἴσας τῷ νώτῳ ὡς σταφύλῃ μετρεῖσθαι, ὅ ἐστι λοξικῷ διαβήτῃ, ὃς ἅμα πλάτος καὶ ὕψος μετρεῖ· ὁ δὲ διαβήτης μόνον πλάτος.

767. τὸ ὄρυ, ἢ τὸν ἐκ σιδήρου καυτῆρα. οἱ δὲ, μὴ φοβουμένας, ὡς λύπην φέρειν τὸ μὴ λυπεῖσθαι. οἱ δὲ, ἀπτοήτως φευγούσας. ἄμεινον δὲ, ὡς ἐπιστάμενοι πεδίου. ἐπειδὴ δὲ ἱκανὸν πρὸς νίκην τὸ ἱππικὸν, καὶ θηλείας ἤγαγον, τοῦτο μὲν ἀφθονίας τοῦ γένους χάριν, ὅπως τε οἱ ἄρσενες ῥυθμίζοιντο μὴ ἐξοιστροῦσθαι—ἔστι γὰρ μάλιστα αἰσθόμενον ἵππος—, διά τε τὸ μὴ χρεμετίζειν ἐν τοῖς λόχοις.

773. *λασί] οἱ τοῦ Ἀχιλλέως. δίσκος δὲ βαρύς ἐστι λίθος, ὃν ἐρρίπτουν γυμναζόμενοι. τὸν γὰρ σιδηροῦν σόλωνα προσαγορεύουσιν.

774. δίσκοισιν τέρποντο] διδάσκει τοὺς εἰωθότας κινεῖσθαι μὴ ἀγυμναστεῖν. Λυκοῦργός τε γυμνοπαιδίας ὥρισεν, ὅπως μέμνοιντο καὶ παρὰ καιρὸν τῶν πόνων.

776. ἐλεόθρεπτόν τε σέλινόν] ἄλλο τοῦτο τὸ ἔλειον σέλινον παρὰ τὸ πετροσέλινον, στραγγουριῶσι δὲ συμβάλλεται· στραγγουρία γὰρ ἀεὶ πολεμεῖ τοὺς ἀργοῦντας τῶν ἵππων.

*ἐλεόθρεπτον δὲ τὸ ἐν ἕλει τεθραμμένον.

779. φοίτων] τῇ γὰρ ἐπιθυμίᾳ τοῦ πολεμεῖν περιήεσαν τὴν παράταξιν θεώμενοι.

780. ὡσεί τε πυρὶ χθὼν πᾶσα νέμοιτο] θείᾳ δυνάμει τὴν ἰσχὺν τῆς πορείας αὐτῶν παρέβαλε, καὶ διὰ μὲν τοῦ πυρὸς τὴν ἔκλαμψιν, διὰ δὲ τοῦ πᾶσα τὸ ταχὺ τῆς ἐπιδρομῆς ἐδήλωσεν.

783. Τυφωέος] φασὶ τὴν Γῆν ἀγανακτοῦσαν ἐπὶ τῷ φόνῳ τῶν Γιγάντων διαβαλεῖν Δία τῇ Ἥρᾳ· τὴν δὲ πρὸς Κρόνον ἀπελθοῦσαν ἐξειπεῖν· τὸν δὲ δοῦναι αὐτῇ δύο ᾠά, τῷ ἰδίῳ χρίσαντα θορῷ καὶ κελεύσαντα κατὰ γῆς ἀποθέσθαι, ἀφ' ὧν ἀναδοθήσεται δαίμων ὁ ἀποστήσων Δία τῆς ἀρχῆς. ἡ δὲ, ὡς εἶχεν ὀργῆς, ἔθετο αὐτὰ ὑπὸ

6. τῷ νώτῳ] *τὸ νῶτον
8. *ὁ δὲ δ. μ. π.] om.
14. αἰσθόμενον] *αἰσθόμενος
16. σόλωνα]* σόλον

τὸ Ἄριμον τῆς Κιλικίας. ἀναδοθέντος δὲ τοῦ Τυφῶνος Ἥρα διαλλαγεῖσα Διὶ τὸ πᾶν ἐκφαίνει· ὁ δὲ κεραυνώσας Αἴτνην τὸ ὄρος ὠνόμασεν. καλῶς δὲ καὶ τὸ φασί, ἵνα μὴ προσκρούσωμεν ὡς Ὁμηρικῷ ὄντι τῷ στίχῳ. εὐφήμως δὲ τὸν τάφον εὐνὰς ἐκάλεσεν.

*Τυφὼν δὲ εἷς τῶν Γιγάντων, Γῆς ὢν υἱὸς καὶ Ταρτάρου, πολέμιος δὲ τοῖς θεοῖς, ὥς φησιν Ἡσίοδος (Th. 821).

787. *παὰρ Διὸς αἰγιόχοιο σὺν ἀγγελίῃ ἀλεγεινῇ] τῶν μεθ' Ὅμηρον ποιητῶν πολλοί τινες τὴν αἰγίδα παραδιδόασιν ὡς ἴδιον Ἀθηνᾶς ὅπλον· διὸ καὶ πλέονα τῶν ἐπιθέτων ἀπ' αὐτῆς τίθεται τῇ θεῷ. ὁ δὲ χρωμένην μὲν οὐδενὸς ἧσσον παρεισάγει ταύτῃ τὴν Ἀθηνᾶν, τῷ δὲ Διί φησιν αὐτὴν δεδῆναι παρὰ Ἡφαίστου σαφῶς οὕτω διὰ τῶν ἐπῶν παριστάς· "πρόσθεν δὲ κί' αὐτοῦ Φοῖβος Ἀπόλλων εἱμένος ὤμοιιν νεφέλην, ἔχε δ' αἰγίδα θοῦριν δεινὴν ἀμφιδάσειαν ἀριπρεπέ', ἣν ἄρα χαλκεὺς Ἥφαιστος Διὶ δῶκε φορήμεναι ἐς φόβον ἀνδρῶν," καθὸ δὴ καὶ πυκνῶς αὐτὸν αἰγίοχον καλεῖ. ταύτην δὲ τὴν αἰγίδα παρασκευαστικὴν ὑποτίθεται τῶν λεγομένων κατὰ τοὺς ἀνέμους αἰγίδων, ἃς καταιγίδας εἰώθαμεν προσαγορεύειν. Ὅμηρος μὲν γὰρ οὕτω λέγει "ἠΰτε κινήσῃ Ζέφυρος βαθὺ λήϊον ἐλθὼν, λάβρος ἐπαιγίζων." νῦν γοῦν οὐκ ἄλλο τι, τὸ αὐτὸ δὲ τὸ "λάβρος ἐπαιγίζων" βούλεται δηλοῦν. ἔλεγον δὲ αἰγίδας τὰς νῦν καταιγίδας τῶν σφοδρῶν καὶ συνεστραμμένων πνευμάτων καὶ ἅμα καταρασσόντων, οἷόν τι καὶ ἐν τούτῳ θεωρεῖται λέγων ὁ ποιητής "ἐν δ' ἔπεσ' ὑσμίνῃ ὑπεραὶ ἶσος ἀέλλῃ, ἥτε καθαλλομένη ἰοειδέα πόντον ὀρίνει." Ἀλκαῖος δέ που καὶ Σαπφὼ τὸν τοιοῦτον ἄνεμον κατώρη λέγουσιν ἀπὸ τοῦ κατωφερῆ τὴν ὁρμὴν ἔχειν· τὴν δὲ τοῦ Διὸς αἰγίδα συμβέβηκεν ὀνομάσθαι διὰ τῆς Ὁμήρου ποιήσεως ὡσαύτως τῇ κατὰ τοὺς ἀνέμους λεγομένῃ κατὰ μὲν αὐτὸν ἐκεῖνον αἰγίδι, καθ' ἡμᾶς δὲ καταιγίδι. παρασκευαστικὴν δὲ αὐτὴν τῶν ὁμωνύμων εἰσάγεσθαι πνευμάτων, ὅτε ἐπισεισθείη κατὰ τὸ ἐναντίον. ἐπισεισθείσης γὰρ αὐτῆς καὶ καταρρηγνυμένης ἐπὶ τὴν γῆν, οὐ μόνον ἀπὸ τοῦ ψιλοῦ πνεύματος τοὺς ἐναντίους βλάπτεσθαι συμβαίνει, κονιορτοῦ δὲ πρὸς τὰς ὄψεις φερομένου παντελῶς ἐμποδίζεσθαι, οἷον "καὶ τότε δὴ Κρονίδης ἔλετ' αἰγίδα θυσσανόεσσαν σμερδαλέην. Ἴδην δὲ κατὰ νεφέεσσι κάλυψεν. ἀστράψας δὲ μάλα μεγάλ' ἔκτυπε, τὴν δ' ἐτίναξε, νίκην δὲ Τρώεσσι δίδου, ὀφόβησε δ' Ἀχαιούς." οἰκεῖα γοῦν τοῖς ἀπὸ ταύτης φερομένοις πνεύμασι καὶ τὰ παρακείμενα αὐτῇ συνεκπεφώνηται ἐν οἷς φησιν ὅτε ἔλαβε τὴν αἰγίδα τὴν μὲν Ἴδην

αὐτὸν καλύψαι τοῖς νέφεσιν, ἀστράψαντα δὲ μέγα μὲν ἐπιβροντῆσαι, τινάξαι δὲ ἐκείνην. ὅτε δὲ κατ' ἐναντίον τοῦτο γίνεται τῶν ταπεινοῦσθαι μελλόντων, σαφὲς ἐκ τούτων "ὄφρα μὲν ἀσπίδα χερσὶν ἔχ' ἀτρέμα Φοῖβος Ἀπόλλων, τόφρα μάλ' ἀμφοτέροις βέλε' ἥπτετο, αὐτὰρ ἐπεὶ κατένωπα ἰδὼν Δαναῶν ταχυπώλων." εἶτα ἐπιφέρει "τοῖσι δὲ θυμὸν ἐνὶ στήθεσσιν ἔθελξε, λάθοντο δὲ θούριδος ἀλκῆς." ποτὲ δὲ διότι μὲν ἐπέσεισε τὴν αἰγίδα τοῖς Ἀχαιοῖς ἀπὸ τῆς Ἴδης ὁ Ζεὺς οὐ παρέδωκε ῥητῷ λόγῳ, τὸ δὲ γενόμενον ἐπ' αὐτῆς ἐσήμαινε διὰ τοῦ συμβάντος συνιστὰς τὸ προηγούμενον. λέγει γὰρ "ὣς ἄρα φωνήσας ἡγήσατο, τοὶ δ' ἅμ' ἕποντο ἠχῇ θεσπεσίῃ, ἐπὶ δὲ Ζεὺς τερπικέραυνος ὦρσεν ἀπ' Ἰδαίων ὀρέων ἀνέμοιο θύελλαν, ἥ ῥ' ἰθὺς νηῶν κονίην φέρεν." ἡ γὰρ εἰς εὐθὺ τῶν νηῶν τὸν κονιορτὸν φέρουσα θύελλα δῆλον ὡς ἐξ ἐναντίου προσφέρεται τοῖς Ἀχαιοῖς· διὸ δὴ καὶ ἐπέζευξεν ἄλλως "αὐτὰρ Ἀχαιῶν θέλγε νόον, Τρωσὶν δὲ καὶ Ἕκτορι κῦδος ὄπαζε." τοῦτο δὲ δεῖ νοεῖν συμβαῖνον τῆς αἰγίδος ἐπισεισθείσης· καὶ ἐπ' ἀλλήλων δὲ πλειόνων ὁ παραπλήσιος ὑπάρχει τρόπος, ὥστε τοῖς πάθεσι καὶ τοῖς πράγμασιν ὁμωνύμους τινὰς ποιεῖν δαίμονας εἰδωλοποιουμένους εἰς κατασκευὰς μυθώδεις· ἐφ' ὧν οὐκ αὐτὸ τὸ ἀποτελούμενον δεῖ νοεῖν, τὸ δὲ παρασκευαστικὸν τοῦ καθ' ἡμᾶς ἐνεργουμένου συμπτώματος, οἷον ἔρως ἐπὶ τοῦ πάθους αὐτοῦ λέγεται καὶ ἐπὶ τοῦ κατὰ τὸ παρασκευαστικὸν εἶδος λεγομένου, καὶ πάντα τὰ τοιαῦτα, πλοῦτος, ἔρις, ὕβρις, καὶ ὅσα ἄν τις ἀριθμήσειε ῥᾳδίως. δεῖ γὰρ παραθεωρεῖν τὴν τῶν τοιούτων διαφοράν, ὡς ὁπόταν εἴπωμεν, ὁ ἔρως ἐνέβαλεν ἔρωτα τῷ δεῖνι ἢ πάλιν ἡ ἔρις ἔριν· τότε γὰρ ὡς θεὸν ἢ δαίμονά τινα δεῖ νοεῖν παρασκευαστικὸν τοῦ ὁμωνύμου συμπτώματος ἢ πάθους. καὶ τὸ συμβαῖνον ἐξ ἐκείνου πάλιν ἀνάλογον πάθος ἢ σύμπτωμα, καθάπερ ὁ ποιητὴς ἐν τούτοις δεικνύει "οἱ δ' ἴσαν, ἦρχε δ' ἄρα σφιν Ἄρης καὶ πότνι' Ἐνυώ, ἡ μὲν ἔχουσα κυδοιμὸν ἀναιδέα δηϊότητος." νῦν γὰρ οὐχὶ τὸν ἐνεργῶς θεωρούμενον, ἀλλὰ τὸ παρασκευαστικὸν τοῦ ὁμωνύμου συμπτώματος μυθικῶς εἰδωλοποιούμενον. τὸ δ' αὐτὸ κἀπὶ τούτων νοητέον "Ζεὺς δ' ἔριδα προΐαλλε θοὰς ἐπὶ νῆας Ἀχαιῶν ἀγραλέην πολέμοιο τέρας μετὰ χερσὶν ἔχουσαν." οὐδὲ γὰρ νῦν ἄλλο τι πάλιν, ἀλλὰ τὸν πόλεμον ἔχουσα παραγίνεται τὸ παρασκευαστικὸν τοῦ κατὰ πρᾶγμα φαινομένου πολέμου. καὶ γάρ ἐστιν ἐκεῖνος ὁ κατὰ τὸ μυθικὸν εἰδωλοποιούμενος τοῦ κατὰ τὸ ἐνεργὲς θεωρουμένου πολέμου σημεῖον, ὃ δὴ νῦν προσαγο-

ρείει τέρας. εἴη δ' ἂν οὗτος κυδοιμὸς μάχης ὡς θεὸς οἷον ἔμπροσθεν θεωρούμενος, ὁπότε λέγομεν "ἡ μὲν ἔχουσα κυδοιμὸν ἀναιδέα δηϊότητος." ὡσαύτως ἐπὶ τούτου πάλιν ὃ δὴ πολέμοιο τέρας φησὶν εἶναι τὸ ἀπαράλλακτον ὑπάρχειν. κατὰ τὸν αὐτὸν δὲ τρόπον ἐπὶ τῆς βροντῆς καὶ ἀστραπῆς καὶ τῶν παραπλησίων· ὥστε δεῖ νοεῖν ἕτερα μέν τινα κατασκευάσματα παρασκευαστικὰ τῶν ἐν ἡμῖν ἐναργῶς ἀκουομένων, ἕτερα δὲ τὰ διὰ τούτων μὲν ἀποτελούμενα, καθ' ὁμωνυμίαν δὲ ἐνεργήματα, καθάπερ ὅταν εἴπῃ "βῆ δ' ἴμεν ἀστεροπῇ ἐναλίγκιος, ἥν τε Κρονίων χειρὶ λαβὼν ἐτίναξεν ἀπ' αἰγλήεντος Ὀλύμπου, δεικνὺς σῆμα βροτοῖσιν, ἀρίζηλοι δέ οἱ αὐγαί." οὕτω γὰρ δεῖ τὸν νοῦν ἐκδέχεσθαι, οἷον τὴν μὲν ἀστραπὴν λαβὼν ὁ Ζεὺς ἐτίναξεν ἀπ' αἰγλήεντος Ὀλύμπου, οἷον ἐγκατασκεύασμά τι θεῖον. καὶ τοῦτο εἰκότως ἡμεῖς θεῖον ἐνήσαμεν, ἀλλ' ὁπότε τῇ χειρὶ τινάξειεν, οὗ διασεισθέντος ἀπέλαμψε τὸ τοιοῦτον φέγγος. οὐ κατὰ τὴν αὐτὴν ἔννοιαν ἔτι τὴν ἀστραπὴν παραλαμβάνομεν, ἀλλὰ τὴν μὲν ἀποτελοῦσαν, τὸ δὲ ἀποτελούμενον. οὕτως ἐπὶ τῆς αἰγίδος ταὐτὸ δεῖ νοεῖν· ἣν μὲν ὁ Ζεὺς ἐπισείων κατασκεύασμά τι θεῖον, ἑτέραν δὲ τὴν ἀποτελουμένην διὰ τῆς κατ' ἐνέργειαν ὁμωνυμίας, ἣ τότε μὲν ὁμωνύμως αἰγὶς λέγεται, νῦν δὲ ἐπὶ τῆς ἡμετέρας συνηθείας καταιγίς· διὸ καὶ τὸ τοιοῦτον ἐπίφθεγμα τέταχεν ὁ ποιητὴς ἐπ' αὐτῆς κατὰ τὸν τοῦ Ἀγαμέμνονος λόγον· "ἔσσεται ἦμαρ ὅταν ποτ' ὀλώλῃ Ἴλιος ἰρὴ καὶ Πρίαμος καὶ λαὸς ἐϋμελίω Πριάμοιο, Ζεὺς δέ σφιν Κρονίδης ὑψίζυγος αὐτὸς ἐπισείῃσιν ἐρεμνὴν αἰγίδα πᾶσιν." ὃν τρόπον γὰρ ἐπ' ἄλλων μερῶν τῆς ποιήσεως τὴν λαίλαπα προσαγορεύων φανερός ἐστιν· ἐρεμνὴν γὰρ αὐτήν φησι διὰ τὸ τοῦ πνεύματος ἀθροῦν καὶ ζοφῶδες, οἷον ὁπόταν λέγῃ "αὖε δ' Ἄρης ἑτέρωθεν ἐρεμνῇ λαίλαπι ἶσος ἐξὺ κατ' ἀκροτάτης πόλιος Τρώεσσι κελεύων," τὸν αὐτὸν τρόπον οὐ παρ' ἄλλο τι δεῖ νοεῖν ἐρεμνὴν τὴν αἰγίδα, κατὰ δὲ τὸ τῆς λαίλαπος οἰκεῖον, οἱονεὶ λαιλαπώδη λεγομένην· τοῦτον δὴ τὸν τρόπον ἡ τῆς εἰσηγημένης καθ' Ὅμηρον αἰγίδος διάθεσις καὶ δύναμις οὕτως ἂν ἄριστα διεχθείη.

ἀλεγεινῇ] φροντίδος ἀξίᾳ. ἤδη δὲ τὸ δεινὸν τῶν Τρώων προανακρούεται ὁ ποιητής.

788. ἐπὶ Πριάμοιο θύρῃσιν] πρὸ γὰρ τῶν βασιλείων ἦν τὸ ἐκκλησιαστήριον. ἡ δὲ βουλὴ ἴσως περὶ πολέμου ἀκούσασι τὴν μῆνιν Ἀχιλλέως. Πρίαμος μὲν οὖν διὰ γῆρας ἔσω διῴκει τὰ τοῦ πολέμου, ὁ δὲ Ἕκτωρ διὰ θράσος ἔξω αὐτὰ ἔπραττεν.

789. πάντες] παρὰ δὲ τοῖς Ἕλλησιν οἱ δυνατοὶ καὶ ἄριστοι. ἔστι δὲ ἀπὸ τοῦ ὁμηγερεῖς.

792. ποδωκείῃσι πεποιθώς] κωμῳδῶν τοῦτό φησιν, ἢ πρὸς τὸ προλαμβάνειν τὴν ἔφοδον τῶν πολεμίων.

796. ὦ γέρον] διὰ ταύτης τῆς ἐπιπλήξεως ἐμφαίνει ὅτι Πολίτης ἐστίν. ἄκριτοι δὲ οἱ ἀναρίθμητοι.

801. τοῦτο ταράσσουσα αὐτούς φησιν, ὅπως ὡς περὶ πόλεως ἀμύνοιντο.

805. τοῦτο πρῶτον· εἶτα "πολλοὶ γάρ" (803) τὴν αἰτίαν προθέντος τοῦ ποιητοῦ, ὡς τὸ "ἔνδον γάρ τις ἐποιχομένη" (Od. 10, 226). ἀρχαϊκὸν δὲ τὸ κατὰ δοτικῆς τίθεσθαι τὸ ἄρχει. ἔδειξεν οὖν ὅτι θεοῦ κοινὸν καὶ ἀνθρώπου ἀρετή. καὶ μᾶλλον τοῦτο ἐν πολέμῳ διάφορον.

813. τὴν ἤτοι ἄνδρες] τὴν μὲν δημωδεστέραν ἀνθρώποις, τὴν δὲ ἀληθῆ θεοῖς προσάπτει. ἢ ὡς μυσοτραφὴς οἶδε τὴν τῶν θεῶν διάλεκτον. Βατίεια δὲ παρὰ τὸ βαίνεσθαι ἐν τοῖς πολέμοις.

816. κορυθαίολος] ποικίλος καὶ παρηλλαγμένος περὶ τὸν ὁπλισμόν, ἢ τὴν κόρυν κινῶν. δι' ἐθνῶν δὲ, οὐ πόλεων, ὀνομάζει τοὺς βαρβάρους.

820 *Ἀφροδίτη] ταύτης τὸ ἄγαλμα πλάττουσι κτένα φέρον, ἐπειδὴ συνέβη ποτὲ ταῖς τῶν Ῥωμαίων γυναιξὶ κνήφην λοιμώδη γενέσθαι, καὶ ξυρυμένων πασῶν γεγόνασιν αὐταῖς οἱ κτένες ἀχρεῖοι. εὐξαμένας δὲ τῇ Ἀφροδίτῃ ἀνατριχωθῆναι, τιμῆσαί τε αὐτὴν ἀγάλματι κτένα φέρουσαν καὶ γένειον ἔχουσαν, διότι καὶ ἄρρενα καὶ θήλεα ἔχει ὄργανα· ταύτην γὰρ λέγουσιν ἔφορον πάσης γενέσεως, καὶ ἀπὸ τῆς ὀσφύος καὶ ἄνω λέγουσιν αὐτὴν ἄρρενα, τὰ δὲ κάτω θήλειαν. πλάττουσι δὲ αὐτὴν καὶ ἔφιππον, ὅτι ὁ Αἰνείας ὁ υἱὸς αὐτῆς, πλεύσας μέχρι τῆς δύσεως, μετὰ τοῦτο ἵππῳ ἐπέβη καὶ τὴν μητέρα ἐτίμησε τοιούτῳ ἀγάλματι.

822. Ἀντήνορος υἷε] ἴσως ὑποπτεύων Αἰνείαν ὁ βασιλεὺς τούτους αὐτῷ φύλακας ἔταξεν.

824. ὑπαὶ πόδα] ἔμπροσθεν τοῦ ποδὸς, ἣν ἡμεῖς ὑπώρειαν καλοῦμεν.

*τουτέστιν ὑπὸ τὰ ἔσχατα μέρη τῆς Ἴδης· πόδα γὰρ μεταφορικῶς τὸ κατώτατον μέρος λέγει.

13. *διάφορον] ἀδιάφορον

825. μέλαν] τοῦτο κοινὸν ὑδάτων ἐπίθετον, ὡς "κυανώπιδος Ἀμφιτρίτης" (Od. 12, 60). καὶ Καλλίμαχος "Αἴσηπον ἔχεις ἑλικώτατον ὕδωρ."

827. Πάνδαρος οὗτος ὁ Λυκάονος ἡγεῖτο τῶν ἐκ Ζελείας· ὧν τὴν μὲν χώραν καλεῖ Λυκίαν, τοὺς δὲ οἰκήτορας Τρῶας.

*Πορφυρίου. τόξον Ἀπόλλων αὐτὸς ἔδωκεν] τοῦτο μάχεσθαι δοκεῖ τῷ "αὐτίκ' ἐσύλα τόξον εὔξοον ἰξάλου αἰγὸς ἀγρίου, ἥν ῥά ποτ' αὐτὸς ὑπὸ στέρνοισι τυχήσας" (Il. 4, 105)· δηλοῖ γὰρ ἐκεῖ Πάνδαρον ἑαυτῷ πεποιηκέναι τὸ τόξον. λύοιτο δ' ἂν καὶ λέξει καὶ ἔθει, λέξει μὲν οὕτως, τὸ γὰρ "ᾧ καὶ τόξον αὐτὸς ἔδωκεν" δύναται ἐπὶ τὴν τοξικὴν μεταφέρεσθαι· ἔθει δὲ, ὅτι εἰθίσμεθα οὐχ ἓν ἔχειν ὅπλον, καὶ μάλιστα οἱ περί τινα τέχνην ἐσπουδακότες.

Πάνδαρος] τὴν τοξείαν μετωνυμικῶς. προσυνίστησι δὲ αὐτὸν κατὰ Μενελάου. τὰς δὲ εἰς ἄκρον εὐεξίας θεοῖς ἀνατίθησιν ὁ ποιητής.

*λύεται δὲ καὶ τῷ ἔθει. ὅτι εἰθίσμεθα οὐχ ἓν ἔχειν ὅπλον, καὶ μάλιστα οἱ περί τινα τέχνην ἐσπουδακότες.

829. Πιτύειαν] διὰ τὸ πλῆθος τῶν ἐν αὐτῇ πιτύων.

830. λινοθώρηξ σφενδονήτης ἢ τοξότης.

831. Περκωσίου] ἐν Περκώτῃ τραφέντος. τὸ δὲ περὶ πάντων οὐ δεῖ ἀναστρέφειν.

832. ἔασκε] διὰ βραχέος τοῦ ᾰ. τὰ γὰρ διὰ τοῦ σ̄ καὶ κ̄ παραγωγὰ Ἰακὰ βραχείᾳ παραλήγεται.

833. φθισήνορα] "Ἄρης γὰρ οὐδὲν τῶν κακῶν ληΐζεται."

834. Κῆρες] οὐδὲν ἄρα μαντικὴ μοίρας ἀντιτασσομένης.

836. Σηστὸς ἐναντίον Ἀβύδου ἐν τῇ Θρᾳκῴᾳ Χερσονήσῳ.

838. τῇ ἐπαναλήψει ἐσημειώσατο τὸν ἥρωα ὡς λέξων περὶ αὐτοῦ. καὶ ὅτι διὰ τοὺς ἵππους ὀλεῖται (Il. 12, 110. 13, 384).

839. ποταμοῦ ἀπὸ Σελλήεντος. ἀναστρεπτέον τὴν πρόθεσιν.

841. Λάρισαν] ταύτην οἱ ἀπὸ τῶν Λιολίδων μεταναστάντες ἔκτισαν· διὸ Πελασγούς φησιν, ὡς ἄνωθεν Ἕλληνας ὄντας· καὶ μετὰ τὸν κατακλυσμὸν σῶσαι τὰ στοιχεῖα μόνους Ἑλλήνων φασίν.

844. *Πορφυρίου. μάχεσθαι δοκεῖ τὸ "αὐτὰρ Θρῄϊκας ἦγ' Ἀκάμας καὶ Πείροος ἥρως" τῷ "Ἰφιδάμας Ἀντηνορίδης ἠΰς τε μέγας τε, ὃς

2. Καλλίμαχος] Fr. 290, ubi v. Schneider. p. 512.
6. *Πορφυρίου] om.
23. Ἄρης γὰρ οὐδὲν τῶν κακῶν ληΐζεται] οὐδὲν pro οὐδένα correxi ex Stobaeo Flor. 8, 5. Est versus Sophoclis, de quo dixi ad fragm. 649.

τράφη ἐν Θρήκῃ" (Il. 11, 221)· ἐκεῖ γὰρ ὑποτίθεται τὸν Ἰφιδάμαντα βασιλέα τῶν Θρᾳκῶν. ἡ δὲ λύσις ἐκ τῆς λέξεως· οὐ γὰρ οἱ περὶ τὸν Ἀκάμαντα πάντας τοὺς Θρᾷκας ἄγουσιν, ἄλλως τε ἐπεὶ εἴρηκεν "ὅσους Ἑλλήσποντος ἀγάρροος ἐντὸς ἐέργει," ὥστε τῶν ἐκτὸς Θρᾳκῶν καὶ τὸν Ῥῆσον καὶ τὸν Ἰφιδάμαντα δύνασθαι βασιλεύοντας ὕστερον εἶναι βοηθούς. πάλιν δὲ τὸ "αὐτὰρ Πυραίχμης ἄγε Παίονας ἀγκυλοτόξους" (848) ἐναντίον τῷ τὸν Ἀστεροπαῖον αὖθις ὑποτίθεσθαι τῶν Παιόνων βασιλέα (Il. 21, 154). λύοιτο δ' ἂν τῷ καιρῷ· τὸν γὰρ Ἀστεροπαῖον οὐκ ἀπεικὸς χρονίζοντος τοῦ πολέμου ἐλθεῖν ἄγοντα πάλιν τινὰς τῶν Παιόνων. τάχα δὲ καὶ τῇ λέξει διττὸν ἀποφαίνει γένος Παιόνων· τοὺς μὲν γὰρ εἴρηκεν ἀγκυλοτόξους, τοὺς δὲ δολιχεγχέας.

καὶ πῶς Ἰφιδάμαντα καὶ Ῥῆσόν φησιν ἄρχειν τῶν Θρᾳκῶν; ἀλλὰ προστέθεικεν "ὅσους Ἑλλήσποντος·" τῶν γὰρ Ἑλλησποντίων ἤτοι τῶν περὶ Μαρώνειαν ἦρχεν Ἀκάμας· ἑτέρων δὲ Ἰφιδάμας, ὃς ἦλθε σὺν δυσκαίδεκα νηυσίν· ἄλλων δὲ Ῥῆσος, ἤτοι τῶν περὶ Λυδίαν.

848. οὗτοι τοξόται, οἱ δὲ ὑπὸ Ἀστεροπαῖον δολιχέγχεες. εἰκὸς δὲ τὸν Ἀστεροπαῖον χρονίζοντος τοῦ πολέμου ὕστερον ἐλθεῖν, ὡς καὶ Ἰφιδάμαντα καὶ Ῥῆσον.

851. Παφλαγόνων] ἀπὸ τῶν Εὐρωπαίων ἐπὶ τοὺς Ἀσιανοὺς ἔρχεται.

λάσιον] μεταληπτικῶς τὸ συνετόν.

852. ἐξ Ἐνετῶν] παρὰ Ἐνετοῖς πρῶτον ἡ ἡμιόνων καὶ ἵππων ἡ μῖξις ἐπενοήθη. ἀγροτεράων δὲ τῶν μάλιστα ἐν ἀγροῖς ἐπιτηδείων.

854. ὅτι ἡ παρθένος Ἄρτεμις ἀπολούεται ἐν αὐτῷ.

855. Ἐρυθίνους] ὡς Ἀκραγαντίνους. παραδηλοῖ δὲ τὴν ἣν ἔχουσι τόπου θέσιν.

856. οὗτοι γὰρ οἰκοῦσι γῆν ὑπὸ θαλάσσης ἐζωσμένην.

862. Φρύγας] τοὺς Φρύγας ὁ ποιητὴς διαστέλλει. ὁ δὲ Αἰσχύλος συνέχεεν. οὗτοι δὲ τῆς μικρᾶς εἰσὶ Φρυγίας· ἡ δὲ μεγάλη παρὰ τῷ Σαγγαρίῳ κεῖται.

864. Μέσθλης] μέδω μέστρης Μέσθλης, ὡς φύτρη φύτλη.

867. βαρβαροφώνων] ὅτι Κρητῶν ἄποικοι ὄντες ἐκρήτωσαν τὴν

6. * δὲ τὸ] δὲ τὸ αὐτό
25. * ἐπενοήθη] om.
34. ἐκρήτωσαν] Sic etiam codex Lips., quod ἐκρήτισαν scribendum

Ἑλληνίδα φωνήν. ἢ βαρβαροφωνεῖν ἐστὶ τὸ τοὺς ἐπιμιγνυμένους Ἕλλησι βαρβάρους ἑλληνίζειν μὲν διδάσκεσθαι, τῇ φωνῇ δὲ μὴ καθαρεύειν. ἢ ὅτι μεγαλόφωνοι ὑπῆρχον.

868. Φθειρῶν ὄρος τὸ πιτυῶδές φησιν· φθείρ γὰρ ὁ τῆς πίτυος καρπός.

869. Μαιάνδρου] ὁ γὰρ Μαίανδρος σκολιός ἐστι καὶ πολλὰς ἐκροὰς ποιούμενος. Μυκάλη δὲ ὄρος ἀντικρὺ Σάμου. ἔστι δὲ καὶ ἐν μυχοῖς Καρίας ἕτερος.

872. ὃς καὶ χρυσὸν ἔχων] προανεφώνησεν, ἵνα μὴ ἔτι αὐτοῦ μνησθῇ. Εὔφορβος μέντοι καὶ Γλαῦκος χρυσᾶ ὅπλα ἔχουσιν, ἀλλ' οὐ κωμῳδοῦνται, ἐπεὶ μὴ γυναικεῖα τὰ αὐτῶν ὡς τὰ τούτου.

876. Σαρπηδών] εἴασε νῦν τὸ γένος αὐτοῦ, ἵν' ἐν ἄλλῳ τόπῳ μνείαν τούτου ποιούμενος πρὸς πλείονα αὐτὸ ποικιλίαν ἔχῃ.

877. Ξάνθου ἄπο δινήεντος] πᾶσα πρόθεσις μεταξὺ κυρίου καὶ ἐπιθετικοῦ τῷ κυρίῳ ἕπεται κατὰ Ἀρίσταρχον, κατὰ δὲ Πτολεμαῖον τῷ προσηγορικῷ, κατὰ δὲ Ἀπολλώνιον πάντως ἀναστρέφεται. στικτέον δὲ ἐπὶ τὸ δινήεντος, ἐπειδὴ εἱρμός ἐστι τῶν ἑξῆς. ἐπὶ μέντοι τοῦ τέλους τῶν ἄλλων ποιημάτων οὐκέτι· σιωπὴ γὰρ ἐκδέχεται.

ΕΙΣ ΤΗΝ Γ.

1. ἕκαστοι] πῶς ἐπὶ δύο στρατιῶν τὸ ἕκαστοι ἔταξεν; ἢ ὅτι κατὰ ἔθνη καὶ φυλὰς διεκοσμήθησαν· ἢ ἀντὶ τοῦ ἑκάτεροι, Τρῶές τε καὶ Ἕλληνες, ὡς τὸ "δενδίλλων ἐς ἕκαστον" (Il. 9, 180)· δύο γὰρ οἱ πρέσβεις. ἔστι δὲ Ἀττικόν.

2. κλαγγῇ τ' ἐνοπῇ τ'] κλάζω κλαγή, καὶ κατὰ πλεονασμὸν τοῦ ἑνὸς γ̄ κλαγγή. ἐνοπῇ δὲ τῇ εἰς ὀπὴν ὤτων φέρεσθαι δυναμένῃ βοῇ. τὸ μέντοι διάκενον τῆς πορείας ἀναπληροῦσιν αἱ παραβολαί. ἀμφοτέρας δὲ τὰς στρατιὰς διατυποῖ, καὶ μέχρι τέλους οὐκ ἐξίσταται τοῦ ἤθους· "ὥστ' ὄϊες πολυπάμονος" (Il. 4, 433,) καὶ "ἐς Τρώων ὅμαδον κίε" (Il. 7, 307).

3. οὐρανόθι πρό] καὶ τὸν περὶ τὰ νέφη τόπον καὶ τὸν ἀπὸ νεφελῶν κότων.

20. * στρατιῶν] στρατιωτῶν

28. πολυπάμονος] πολυπάμμονος

foret cum Lobeckio ad Phryn. p. 380, nisi praestaret ἠχρήστωσαν, quod legit Eustathius p. 367, 40. In scholiis minoribus est ἠχρηστη-

εἰς οὐρανὸν οὕτω καλεῖ. παρέλκει δὲ ἡ πρό, τὴν δὲ τοῦ λόγου ἀπόδοσιν εἰς τὸ ἠΰτε περ. εἶτά φησιν ὅτι μετὰ τοσαύτης πορεύονται κραυγῆς ὅσης αἱ γέρανοι.

4. ἀθέσφατον] ὃν οὐδεὶς ὅσος ἐστὶν ἑρμηνεύσειε λόγος.

5. κλαγγῇ—ἐπ' Ὠκεανοῖο ῥοάων] ἀντὶ τοῦ εἰς ῥοὰς, Ἀττικῶς. τὸ ἀδιάλειπτον δὲ τοῦ θορύβου δηλῶν πολλάκις ὀνομάζει τὴν κλαγγήν. τὰ δὲ δειλότερα τῶν ζῴων φωνητικώτερα μᾶλλον τῶν ἀνδρείων.

6. Πυγμαίοισι] τῷ ξένῳ τῆς ἱστορίας ψυχαγωγεῖ τὸν ἀκροατήν. ὅθεν καὶ τὸν θριῶν ἐπ' ἄπειρον αὔξει. φησὶ δὲ Ἑκάταιος μετὰ σχημάτων κριῶν τοὺς Πυγμαίους ἐξερχομένους πολεμεῖν αὐταῖς, αἳ καταφρονοῦσαι τοῦ μήκους συνείρουσι πόλεμον.

8. οἱ δ' ἄρ' ἴσαν σιγῇ] ταύτης τοῦ τῆς παραβολῆς ἡ ἀπόδοσις; ἢ τάχα εἰς τὸ Τρῶες μὲν κλαγγῇ ἐνοπῇ τ' ἴσαν, οἱ δ' ἄρ' ἴσαν ἠΰτε περ, ἵνα τὸ ἠΰτε ἀπόδοσις ᾖ. ἐπεὶ δὲ πολλάκις καὶ κατάπληξις σιωπὴν ποιεῖ, τὸ μένεα προστέθειται.

9. ἀλεξέμεν ἀλλήλοισιν] τοῦτο γὰρ ἐν ταῖς φάλαγξιν· σκέπει γὰρ τὸν ὑπερασπίζοντα ἕκαστος ὡς αὐτὸν, κἀκεῖνος τοῦτον.

11. ποιμέσιν] οὐ τοῖς βουκόλοις, ἐπεὶ μὴ νέμουσιν ἡμέρας διὰ τοὺς οἴστρους.

*νυκτὸς ἀμείνω] τὴν ὁμίχλην φησὶ τοῖς μὲν ποιμέσιν ἀσύμφορον εἶναι, τοῖς δὲ κλέπταις κατὰ πολὺ καὶ νυκτὸς ὠφελιμωτέραν, ἐπεὶ τῆς μὲν νυκτὸς ὡρισμένον ἐχούσης καιρὸν ἐν ἀσφαλείᾳ φυλάττεται τὰ βοσκήματα, τῆς δὲ ἡμέρας ἐσκεδασμένοις τοῖσδε κατὰ τὰς νομὰς, ὁπόταν ἐξαίφνης ἐπέλθῃ ὁμίχλη, εὐκόλως αὐτὰ ἀφαιροῦνται.

12. ὅσον τ' ἐπὶ λᾶαν ἵησιν] ἀόριστα ταῦτα, ὡς τὸ "ὅσον τε γέγωνε βοήσας" (Od. 5, 400).

13. Ἀριστοφάνης γράφει κονισάλου ὄρνυτ' ἀελλής. ἄριστος δὲ κριτὴς ὁμοιοτήτων Ὅμηρος· ὁμίχλη γὰρ καὶ κονιορτὸς ὁμόχροα καὶ ὁμοίως ἐπιπροσθοῦντα τοῖς ὄμμασιν.

16. προμάχιζεν Ἀλέξανδρος θεοειδής] τὸ δίκαιον νομοθετεῖ· οἱ γὰρ αἴτιοι προασπίζουσιν, ἐγείρει τε τὸν ἀκροατὴν, προκινδυνεύοντα εἰσάγων τὸν πλείστων κινδύνων ἑτέροις αἴτιον. ὁ δὲ μέν τὸν δέ ἐνταῦθα οὐκ ἐπάγεται. διὰ τί δὲ θεοειδέα φησὶ τὸν πάσαις κακίαις χρώμενον; τοῦτο γὰρ ἐγκωμιάζοντος δόξειεν εἶναι καὶ ἀποσεμνύνοντος

9. μετὰ σχημάτων] *ἐπὶ σχημάτων. ἐπὶ σχήματι Heynius, ἐπὶ ὀχημάτων Bekkerus.

τὸν ἄνδρα. λεκτέον δὲ ὅτι, εἰ μὲν πάντα ἐπαινῶν ἐφαίνετο τὰ ἐν τούτῳ, δικαία ἦν ἂν ἡ μέμψις· ἐπαινεῖ δὲ αὐτοῦ τὴν μορφήν, ἵνα καὶ ἐπὶ τῶν ψεκτῶν νομίζηται ἀληθεύειν. εἶτα καὶ μεῖζον κατασκευάζεται τὸ μῖσος, εἰ τοιοῦτος ὢν τὴν μορφὴν καταισχύνει.

18. τὸ αὐτάρ παρὰ Ζηνοδότῳ καὶ τοῖς ἄλλοις οὐκ ἐπάγεται τὸ ἄρθρον. ὅμως οὖν ἐστὶ καὶ τοῦτο τῆς Ὁμηρικῆς συνηθείας· ἔθος γὰρ αὐτῷ περὶ τοῦ αὐτοῦ διαλεγομένῳ μεσολαβεῖν τὸ ἄρθρον, ὡς καὶ περὶ ἄλλου λέγων ποιεῖ "Σαρπηδὼν αὐτοῦ μὲν ἀπήμβροτεν, ὁ δὲ Πήδασον" (Il. 16, 466). ἐπιφέρεται δὲ τὸ δοῦρε δῆθεν, ἵνα, εἰ ἀποτύχῃ τοξεύων, προσπεσὼν μάχοιτο.

19. προκαλίζετο] τῇ φαντασίᾳ, οὐ τῷ λόγῳ· "αὐτὸς γάρ" φησιν "ἐφέλκεται ἄνδρα σίδηρος" (Od. 16, 294). κραδαίνων τοίνυν τὸ δόρυ προεκαλεῖτο τοὺς τῶν Ἀργείων ἀρίστους εἰς μάχην· ἢ τοὺς ἀριστεῖς τῶν Τρώων προετρέπετο κατὰ τῶν Ἑλλήνων. ἦθος δὲ θρασυδείλων κωμῳδεῖ διὰ Πάριδος, Δόλωνος, Θερσίτου, Ἕκτορος, καὶ τὸ μὲν προπετὲς ἐν ἐπαγγέλματι, τὸ δὲ δειλὸν ἐν πράξει, τὸ δὲ ἐπονείδιστον ἐν τέλει.

*ἐζήτηται πῶς Ἀλέξανδρος προκαλεῖται τοὺς ἀρίστους τῶν Ἑλλήνων δειλὸς ὢν τὰ πάντα καὶ οὐδὲ ὁπλίτης, ἀλλὰ τοξότης. λύσις· ἔνιοι μὲν οὖν φασὶν ἀλαζονεύεσθαι αὐτὸν τὰ ἀδύνατα, φοβεῖσθαι δὲ τὰ τυχόντα· οἱ δέ, ὅτι συγκεκλεισμένοι ὑπὸ Ἀχιλλέως οἱ Τρῶες τοὺς τῶν Ἑλλήνων ἀρίστους οὐκ ἤδεισαν. ἐμοὶ δὲ δοκεῖ ὅτι κωμῳδεῖν ἐπανῃρημένος ὁ ποιητὴς καὶ σχῆμα τῆς ὁπλίσεως καὶ θάρσος ἀλλότριον τῶν ὅπλων αὐτῷ προστέθεικεν, ἵν' ἐκ τοῦ μέλλοντος φόβου μείζονα προσοφλήσῃ τὸν γέλωτα.

21. Μενέλαος] οὗτος γὰρ ἦν μόνον ἑστὼς καὶ τὸν ἀδικήσαντα ζητῶν· ὁ δὲ ἀλαζονείᾳ ἐπτοημένος.

22. τὸ σῶμα Ὅμηρος μὲν ἐπὶ νεκροῦ, οἱ δὲ ἄλλοι καὶ ἐπὶ ζώντων. λέγει δὲ ἐκεῖνον, ἢ ὃν αὐτὸς νεκρὸν εἰργάσατο, ἢ τὸν τοξευθέντα, καὶ ὁ μὲν ἑλάφῳ καὶ τεθνεῶτι παρείκασται, ὁ δὲ λέοντι καὶ πεινῶντι· μέγα δὲ πρὸς θάρσος καὶ δειλίας ὄνειδος. αἶγα δὲ, διότι κατωφερὴς καὶ κερασφόρος ὁ τράγος· τοξότης δὲ καὶ ὁ Πάρις.

*κεραόν] ἔλαφος εἴρηται ἀπὸ τοῦ ἐλεῖν τοὺς ὄφεις, οἱονεὶ ἑλοφός

7. *τοῦ αὐτοῦ] τοῦ om.
14. ἀριστεῖς] *ἀρίστους. Recte vero ἀριστέων ad 9, 168, ubi alii ἀρίστων. V. Porson. ad Eur. Med. 5.
15. Δόλωνος] *Ἴρου
24. *αὐτῷ] αὐτοῦ

τις ὤν· τούτους γὰρ ἐσθίων καθαίρεται φυσικῶς. ὅτε γοῦν ἀφανεῖς ὦσιν οἱ ὄφεις, αὐτὸ τὸ κέρας αὐτοῦ προστρίβει εἰς πέτραν, θερμαινόμενον δὲ ποιεῖ τὴν ἀναθυμίασιν, ἧς μεταλαμβάνοντες οἱ ὄφεις τῶν φωλεῶν ἐξίασιν εὐθέως.

24. δύναται ἐπὶ τοῦ πεινάων καὶ στιγμὴ καὶ ὑποστιγμὴ εἶναι· οὐ γὰρ συναπτέον τοῖς ἑξῆς. χαλεπὸς δέ ἐστι πεινῶν, ὅσον ἥμερος βεβρωκώς· τῶν γὰρ ἄλλων ἐστὶ θερμότερος. ὥσπερ οὖν τοῦτον παροξύνει λιμὸς καὶ εἰς ἀπερίσκεπτον κίνδυνον, οὕτως καὶ νέον ἄνδρα πολεμίου ζῆλος εἰς ἀνεκλόγιστον ἀγῶνα προτρέπεται.

28. ὀφθαλμοῖσιν ἰδών] πρώην γὰρ ἀναπολῶν αὐτὸν τῇ διανοίᾳ, νῦν τῇ θέᾳ πρὸς ἐρεθισμὸν ἐδέξατο.

29. ὀχέων] ἀπὸ τοῦ ἔχω ὄχος, καὶ ἀπ' αὐτοῦ τοῦτο· ὅθεν καὶ τὸ "ἐς δ' ὄχεα φλόγεα ποσὶ βήσετο" (Il. 5, 745).

31. φανέντα] φανέντα μόνον, οὐδὲ μαχόμενον. διὰ δὲ τοῦ ἐξ ὀχέων πέφρακεν ἐν σχήματι ὡς ἱππεὺς ἦν ὁ Μενέλαος.

33. ὡς δ' ὅτε τίς τε δράκοντα] ἀνωτέρω περὶ τοῦ λέοντος ἐξειργάσατο, οὐ τοῦ ἐλάφου· τοῦ δρῶντος γὰρ ἦν ἡ εἰκών. καὶ τὰ μὲν ἄλλα τῶν ζῴων καὶ πόρρωθεν ὁρᾶται μεγέθει ἢ φωνῇ, ὄφις δὲ ἐγγὺς γεγονότι παραδόξως ὁρᾶται· ὃ συνέβη Ἀλεξάνδρῳ.

34. γυῖα] πάντα τὰ μέλη, ὡς τὸ "ἀπὸ πραπίδων ἦλθ' ἵμερος ἠδ' ἀπὸ γυίων" (Il. 24, 514).

35. ἆψ] συνωνύμως τῷ παλίνορσος.

ὤχρος] ὥσπερ τὸ μῶμος, ἄχροος ἄσχρος ὤχρος.

Ἀρίσταρχος οὐδετέρως, ἔν τισι δὲ θηλυκῶς. τὸ δὲ παρειά ὡς τὸ ἀγαθά· τὰ γὰρ ἀπὸ τῶν θηλυκῶν Ἰωνικῶς μεταποιούμενα εἰς οὐδέτερον γένος φυλάσσει τὸν αὐτὸν τόνον, ἡ πλευρά—τὰ πλευρά. οὕτως οὖν καὶ τὸ παρειά παρῆκται.

36. Τρώων ἀγερώχων] λίαν γέρας ἐχόντων· ἄμεινον δὲ ἐνταῦθα τὸ μεγαλοφρόνων.

37. Ἀτρέος υἱόν] διὰ τοῦ ὀνόματος τοῦ πατρὸς Μενελάου καὶ τὸ τούτου παρεδήλωσεν ἀδεὲς ἐν σχήματι.

39. *ἐκ ποίας αἰτίας τὸν Ἀλέξανδρον ὀνειδίζων τοιαῦτα προφέρει "Δύσπαρι, εἶδος ἄριστε, γυναιμανὲς, ἠπεροπευτὰ, αἴθ' ὄφελες" καὶ τὰ λοιπὰ τῆς λοιδορίας; λοιδόρου γὰρ πάθος τὸ μετὰ ἐννέα

1. ὤν] *οὖσα 22. *τῷ] τὸ

ἔτη εἰς τοιαύτας λοιδορίας ἐκπίπτειν. κἂν τοιοῦτος δὲ ᾖ, διὰ τί εἰς τοιαύτας κατηνέχθη ζητοῦσι. τὸ μὲν γὰρ ὅτι γυναιμανὴς καὶ ἠπεροπευτὴς, ὃ σημαίνει τὸν ἀπατεῶνα, ἐξ ὧν δέδρακε περὶ τὴν Ἑλένην εἶχεν ἐνειδίζειν. τὸ δὲ "ἢ οὕτω λώβην τ' ἔμεναι καὶ ὑπόψιον ἄλλων" καὶ τὸ ἀριστέα μὲν αὐτὸν ὑπολαβεῖν καὶ πρόμον τοὺς Ἕλληνας, χαίρειν δὲ ὅτι οὐκ ἔστι βίη ἐν αὐτῷ, πόθεν στοχάζεται ὅτι ἀριστέα καὶ πρόμον αὐτὸν εἶναι ὑπενόουν, καὶ πάλιν ὅτι ἔγνωσαν δειλὸν ὄντα καὶ ἄνανδρον, νῦν τε διὰ τί ταῦτα προφέρει; οὐ γὰρ δὴ ὥσπερ Ὅμηρος πρώτην μάχην ταύτην ὑφίσταται ἐν ποιήσει καὶ ταῖς ἀληθείαις πρώτη ἦν, ἵνα λόγον ἔχῃ ὁ τοῦ Ἕκτορος ὀνειδισμὸς, εἰ μὴ ἄρα λοίδορον ἐπιδεῖξαι βούλεται καὶ ὀργίλον ἄλλως τὸν Ἕκτορα. ῥητέον οὖν ὅτι, ἐπεὶ συνέμιξαν ἀλλήλοις θέλοντες, φησὶν ὅτι "Τρωσὶ μὲν προμάχιζεν Ἀλέξανδρος παρδαλέην ὤμοισιν ἔχων" καὶ τὰ λοιπὰ, "Ἀργείους προκαλίζετο ἀντίβιον μαχέσασθαι" (Il. 3, 16–20). ὁ δ' ἐν τοῖς προμάχοις γινόμενος καὶ προκαλούμενος πάντας τοὺς ἀριστέας εἰς μάχην ὑποληφθείη ἂν ἀριστεὺς εἶναι πρόμαχος· πάλιν δ' οὗτος, ἡνίκα τὸν Μενέλαον θεασάμενος κατεπλάγη καὶ ἀναστρέψας ἐκ τῶν προμάχων εἰς τὸ πλῆθος κατέδυ δείσας Ἀτρέως υἱὸν καταγέλαστος γίνεται καὶ ἄλλως ἀλαζὼν τε καὶ ἀπατεὼν καὶ ἐν φανερῷ τοῖς πᾶσι διεφθαρμένος. ἐπεὶ τοίνυν ὁ Ἕκτωρ ἐκπηδῶντα εἰς τοὺς προμάχους ἐθεάσατο καὶ πάλιν ἐκπλαγέντα, ὅτε εἶδε τὸν Μενέλαον, εἰς τὸ πλῆθος ὑποστοῦντα διὰ δέος καὶ φόβον, πρίν τι παθεῖν καὶ κινδυνεῦσαι ἐξ αὐτῶν τῶν πᾶσιν ὀφθέντων εἰς τὰς λοιδορίας παρήχθη· ἀπατεὼν γὰρ ὁ τοιοῦτος καὶ ἄλλως ἀλαζὼν καὶ ἠπεροπευτὴς καὶ ὑπόψιος ἄλλων λώβη καὶ φθορά. τὸ γὰρ "λώβην τ' ἔμεναι καὶ ὑπόψιον ἄλλων" σημαίνει ὅτι μὴ μόνον ἐφθαρμένος ἐστὶν, ἀλλὰ καὶ πᾶσι πρόδηλος. εἶ γάρ, φησὶ, λώβη (τοῦτο γὰρ σημαίνει τὸ ἔμεναι) καὶ γινώσκῃ ὑπὸ τὰς ὄψεις πάντων ὅτι τοιοῦτος εἶ, ἀλλ' οὐκ ἂν λέληθας καὶ ὑπολαμβάνουσι μέν σε Ἀχαιοὶ ἀριστέα ἐκ τοῦ Τρωσὶ προμαχίζειν καὶ Ἀργείων προκαλίζεσθαι πάντας ἀρίστους. "οὐκ ἔστι δὲ βίη φρεσί" (Il. 3, 45). "κατεπλάγη γὰρ φίλον ἦτορ" (Il. 3, 31). ἀλλ' ἐπεὶ τὸν Μενέλαον ἰδὼν πεφόβηται εἰκότως καὶ τὸ "οὐκ ἂν δὴ μείνειας ἀρηΐφιλον Μενέλαον" (Il. 3, 52) εἴρηται. καὶ ἐπειδὴ πάντες αὐτὸν εἶδον ἐν τοῖς προμάχοις καὶ πάλιν κρυπτόμενον ἐν τῷ πλήθει πάντων ἔφη τὴν λώβην ἔχειν ὡς πάντων αὐτῷ

φοβερῶν ὄντων, ὥσπερ Μενέλαον, διότι ἠδίκησε τὴν γυναῖκα ἁρπάσας, ἰδὼν ἐξεπλάγη. οὐκ ἐκείνου οὖν γυναῖκα, φησί, λαβὼν ἔχεις μόνου, ἀλλὰ "νυὸν ἀνδρῶν αἰχμητάων" (Il. 3, 49). τούτων μὲν νύμφην —πάντες γὰρ αὐτὴν ἐμνηστεύοντο οἱ ἄριστοι—Μενελάου δὲ γεγονυῖαν "θαλερὴν παράκοιτιν" (Il. 3, 53). ἐκ τῶν οὖν νῦν ὑπὸ 5
Ἀλεξάνδρου γεγονότων ὀνειδισμὸς γίνεται, ἀλλ' οὐκ ἐκ λοιδόρου καὶ εἰς ὕβριν ἐπιφόρου διανοίας τοῦ Ἕκτορος. τὸ δὲ "Ἀργείων προκαλίζετο πάντας ἀρίστους ἀντίβιον μαχέσασθαι" ἀμφίβολον, πότερον αὐτὸς πάλλων προεκαλεῖτο τοὺς ἀρίστους τῶν Ἑλλήνων αὐτῷ μαχέσασθαι ἢ πάλλων τὰ δόρατα προεκαλεῖτο πάντας τοὺς ἀρίστους τῶν 10
Τρώων Ἀργείοις ἀντίβιον μαχέσασθαι· ἢ γὰρ τοὺς ἀρίστους τῶν Ἑλλήνων αὐτὸς προεκαλεῖτο μάχεσθαι κραδαίνων τὰ δόρατα ἢ τῶν Τρώων πάντας τοὺς ἀρίστους προυκαλεῖτο Ἀργείοις ἀντίβιον μαχέσασθαι.

Δύσπαρι] ἠθικῶς τὸ τῆς παρονομασίας προσέρριψε τῷ ὀνόματι 15
δυσχεραίνων, ὡς καὶ Κακοίλιόν πού φησιν ἡ Πηνελόπη (Od. 19, 260 et 597. 23, 19). ἐπὶ δὲ τῷ εἴδει, ἐφ' ᾧ καὶ μεγαλύνεται, διασύρει αὐτόν. ὄνειδος δέ ἐστιν εἶδος οὐχ ὁμοιούμενον ψυχῇ, ὡς τὸ "Ἕκτορ εἶδος ἄριστε" (Il. 17, 142) καὶ "σὲ δὲ μή τι νόον κατελεγχέτω εἶδος." γυναιμανὴς δὲ ὁ τὰς γυναῖκας ὡς μαινάδας 20
τῇ τῆς ὥρας ποιᾶν ἀπάτῃ, ἢ ὁ ἐπ' αὐταῖς μαινόμενος.

40. ἄγονός τ' ἔμεναι] ἐνταῦθα ὁ τέ ἀντὶ διαζευκτικοῦ τοῦ ᾗ, ὡς καὶ ὅ καί, οἷον "πρώτῃσι καὶ ὑστατίῃσι βόεσσιν" (Il. 15, 634). τῷ δὲ θυμῷ ἡττώμενος ἐπὶ τὸ ἀδύνατον τῆς κατάρας ἐκπίπτει.

41. καί κε τὸ βουλοίμην] βουλοίμην ἂν τοῦτο ὡς καλῶς γε- 25
νησόμενον. ἀλλὰ καὶ πολὺ, φησί, κρεῖττον ἂν ἐγεγόνει, σοὶ δηλονότι.

42. ἔμεναι καὶ ὑπόψιον ἄλλων] δεῖ στίζειν εἰς τὸ ἔμεναι, καὶ τὸ λοιπὸν συνάπτειν ἕως τοῦ ἄλλων, ἵν' ᾖ, βουλοίμην ἄν σε ἄγονον καὶ ἄγαμον εἶναι, καὶ τοὺς ἄλλους ὑφορώμενον, μή πως ἃ δράσεις 30
πείσῃ· βαρύτερον δὲ φόβου ἐχθρῶν ἡγεῖται τὸ τῶν πολιτῶν μῖσος. Ἀριστοφάνης δὲ ἐπόψιον γράφει καὶ οὐ στίζει, ἵν' ᾖ οὕτω, λώβην εἶναι καὶ κερδᾶναι τὴν ἀπὸ τῆς φυγῆς αἰσχύνην ἐπὶ τῆς πάντων ὄψεως.

1. ὥσπερ Μενέλαον Schraderus] ὥσπερ ὁ μενέλαος

25. βουλοίμην] ἐβουλοίμην (*ἐβουλόμην)

43. τὸ ἐξῆς οὕτως· ἦ που καγχαλόωσιν, οὕνεκα καλὸν εἶδος ἔπ', ἀλλ' οὐκ ἔστι βίη φρεσίν. τὸ δὲ φάντες διὰ μέσου, ἵν' ᾖ, καίτοι σε ἀριστέα ὑπονοήσαντες εἶναι διὰ τῆς καθοπλίσεως καὶ τοῦ προηγεῖσθαι τῆς τάξεως. ἐκ προοιμίου δὲ τὸ φιλότιμον Ἕκτορος δείκνυται καὶ τῆς παρὰ πολλοῖς πεφρουτικὸς δόξης· "αἰδέομαι γάρ" φησι "Τρῶας" (Il. 6, 442)· "πατρὸς δ' ὄγε πολλὸν ἀμείνων" (ib. 479)· "ὃν ποτ' ἀριστεύοντα κατέκτανε φαίδιμος Ἕκτωρ" (Il. 7, 90).

φάντες ἀριστῆα] πότε ὑπέλαβον Ἕλληνες Ἀλέξανδρον ἀριστέα εἶναι; δῆλον ὅτι ὁπότε πάλλων τὰ δόρατα Ἀργείων προκαλίζετο πάντας ἀρίστους.

45. εἶδος ἔπ'] μετὰ τὸ εἶδος ἔπ' ἐὰν στίξῃς, τὸ ἐξῆς ὡς ἀπὸ τοῦ Ἕκτορος δώσεις, ἐὰν δὲ ὑποστίξῃς, ὃ καὶ ἄμεινον, ἀπὸ κοινοῦ τὸ φάντες, ὅτι καλὸς μέν ἐστι, γύννις δέ.

46. ἦ τοιόσδε ἐών] τινὲς κατὰ πεῦσιν καὶ θαυμασμόν· τοιοῦτος ὢν δειλός, συναγαγὼν πλῆθος, διελθὼν πέλαγος, γυναῖκα ἀνδρὸς πολεμικοῦ ἤγαγες, σῷ τε πατρὶ καὶ τοῖς ἄλλοις κακὸν μέγα; εἶτα ἀπὸ ἄλλης ἀρχῆς, οὐκ ἂν δὴ μείνειας Μενέλαον, ἠθικῶς μετὰ πεύσεως ἢ διαβεβαιωτικῶς. τινὲς δὲ τὸ πᾶν οὕτως· τὸν ἢ ἀντὶ τοῦ εἰ· εἰ τοιοῦτος ὢν ἐπηγάγου πλῆθος καὶ ἀπὸ ξένης γῆς γυναῖκα ἀνδρὸς πολεμικοῦ ἤγαγες, οὐκ ἂν ὑπομείνειας τὸν ταύτης ἄνδρα. ὃ καὶ προκρίνει Νικάνωρ ὡς μᾶλλον τὴν δικαιολογίαν ἔχον.

47. ἐρίηρας] παρὰ τὸ ἔρι μόριον καὶ τὸ ἄρω τὸ ἁρμόζω.

49. νυὸν ἀνδρῶν αἰχμητάων] πάντες γὰρ οἱ ἄριστοι τὴν Ἑλένην ἐμνηστεύσαντο, μόνου δὲ Μενελάου θαλερὴ γέγονε παράκοιτις.

50. πατρί τε σῷ μέγα πῆμα] ἀκόρεστον καὶ ἄκτακτον ὁ θυμός· πολλὰς γοῦν ὁ ποιητὴς ἐπὶ τῶν ὀργιζομένων εἴωθε ποιεῖσθαι ἀρχὰς, ἀσύνδετον ἐῶν τὸν λόγον, ὡς τὸ "οἰνοβαρές" (Il. 1, 225) καὶ τὰ ἑξῆς. ἄτοπον γὰρ πῆμα τὴν Ἑλένην καλεῖν Ἕκτορα, περὶ οὗ φησὶν "ἀλλ' οὔπω σευ ἄκουσα κακὸν ἔπος" (Il. 24, 767).

53. οἷον φωτὸς ἔχεις θαλερὴν παράκοιτιν] οἷος ὤν, φησί, τίνα τίνος ἐστέρησας. οὐκ ἄρα Χίλωνος, ὡς ὑποφαίνεται, δόγμα τὸ γνῶθι σαυτόν, ἀλλ' Ὁμήρου.

54. κίθαρις] ἡ ἐπὶ πορνείᾳ πρὸς χάριν Ἀφροδίτης, ἀλλ' οὐ Μουσῶν ᾠδομένη. ἡ δὲ Ἀχιλλέως κιθάρα καὶ τὸ εἶδος ἐνάρετον. πᾶν δὲ

6. *πατρὸς—πότε δὲ ὑπέλαβον] τὸν δ' ἔκτανε φαίδιμος ἕκτωρ. πότε δὲ καὶ πάτροκλος ὃς σέο πολλὸν ἀμείνων· ὑπέλαβον

σωματικὸν πλεονέκτημα δίχα ψυχικῆς ἀρετῆς ἄχρειόν ἐστι· διὸ αὐτὰ καὶ Ἀφροδίτης φησίν.

56. εὐλαβεῖς περὶ τοὺς ἄρχοντας. φιλάδελφος δὲ, ὃς κατὰ πρόσωπον λοιδορεῖ, ἠττώμενον δὲ οὐ προδίδωσιν.

57. εἰς τὸ ἕνεκα στικτέον, καὶ τὸ ἑξῆς ἰδίᾳ προενεκτέον· ἐν ἤθει.

59. Ἕκτορ] οὔτε κασίγνητόν φησιν οὔτε φίλον· πᾶσαν γὰρ εὐνοϊκὴν προσηγορίαν ὁ θυμὸς ἐξέκοψεν. τὸ δὲ ἑξῆς οὕτως· ἐπεί με κατ' αἶσαν ἐνείκεσας, μή μοι δῶρα· διὰ μέσου δὲ ἡ παραβολή. τοιοῦτον δέ φησιν, ὅτι ἐπιπλήττει μὲν αὐτῷ εἰκότα, οὐ μὴν ἀληθῆ.

60. αἰεί τοι] μή τι οὖν με καταγίνωσκε τοιοῦτος ὢν καὶ πρὸς σεαυτὸν συγκρίνων. εὖ δὲ καὶ εἰκόνα ἀπαθεστάτην εὗρε τὴν σιδήρου, καὶ οὐκ ἀργοῦ, ἀλλὰ δρῶντός τι.

61. *τὸ "ὅστ' εἶσιν διὰ δουρὸς ὑπ' ἀνέρος, ὅς ῥά τε τέχνῃ νηΐων ἐκτάμνῃσιν, ὀφέλλει δ' ἀνδρὸς ἐρωήν" ἀδύνατόν φασιν εἶναι. τὸν γὰρ πέλεκυν ἀδύνατον τέχνῃ χρῆσθαι. λύοιτο δ' ἂν κατὰ λέξιν, οὐχ ὥς τινες, ὅτι ἐπὶ τοῦ ἀνδρὸς λέγεται τὸ ἀκροτελεύτιον, ὅς ῥά τε τέχνῃ, ὁ ἀνήρ· τὸ γὰρ ἐπιφερόμενον ἐλέγχει τοὺς λόγους ὑπὲρ τοῦ πελέκεως ὄντας "ὀφέλλει δ' ἀνδρὸς ἐρωήν," μᾶλλον ὥστε τὸ τέχνῃ ἐστὶν ὑπὸ τέχνης. συνήθης δὲ ὁ τρόπος τῆς ἑρμηνείας, ὡς ἐν τῷ "γήραϊ δὴ πολέμοιο πεπαυμένοι" (150) ἀντὶ τοῦ ὑπὸ τοῦ γήρως, καὶ "ὃς δὴ γήραϊ κυφὸς ἔην" (Od. 2, 16) ἀντὶ τοῦ ὑπὸ τοῦ γήρως.

62. ὀφέλλει δ' ἀνδρὸς ἐρωήν] ὀξὺς ὢν καὶ ἠκονημένος τὴν τοῦ τέμνοντος αὔξει ὁρμὴν, ὥσπερ θραύει ὁ ἀμβλύς.

63. δύο ὑπεροχῶν ὁμοιότητας παρέθετο, πελέκεως καὶ γνώμης, ὡς εἴ τις λέγοι, ὅσον ἦν Αἴας πρᾶξαι δυνατὸς, τοσοῦτον Ὀδυσσεὺς βουλεύειν. χρυσῆν δὲ τὴν Ἀφροδίτην ἀπὸ τῆς στολῆς καλεῖ.

64. Ἑστιαία φησὶν ἡ γραμματικὴ ὅτι πεδίον ἐστὶ χρυσοῦν καλούμενον, ἐν ᾧ χρυσῆν Ἀφροδίτην τιμᾶσθαι, καὶ εἶναι οὕτω χρυσῆς Ἀφροδίτης ἱερόν. καὶ οἱ μὲν τὴν ἀπὸ τῆς Πάφου, οἱ δὲ τὴν καλήν. Κλεάνθης δὲ ἐν Λέσβῳ οὕτω τιμᾶσθαι χρυσῆν Ἀφροδίτην.

65. *Πορφυρίου. τὸ "οὗτοι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα δῶρα, ὅσσα κεν αὐτοὶ δῶσιν, ἑκὼν δ' οὐκ ἄν τις ἕλοιτο" ἐναντιολογίαν δοκεῖ περιέχειν· τὰ γὰρ μὴ ἀπόβλητα δῶρα, καὶ μάλα παρὰ θεοῦ δωρούμενα καὶ ἐρικυδέα, πῶς οὐκ ἄν τις ἑκὼν ἕλοιτο; λύσις· ἑκὼν οὐκ ἄν

27. *Ἑστιαία] ἑστία 30. *Κλεάνθης] ἀπλεάνθης
31. *Πορφυρίου] om.

τις ἕλοιτο μαχομέναις ταῖς κατὰ τὸ κοινὸν ἐννοίαις. ἡ δὲ λύσις· θεῶν δῶρα οὐ μόνον ἃ διδάσιν ἀγαθὰ, ἀλλὰ καὶ ἃ παρέχουσι κακά· "δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει, δώρων οἷα δίδωσι κακῶν, ἕτερος δὲ ἑάων" (Il. 24, 527)· ὥστε δῶρα καὶ κατὰ, ἅπερ οὐκ ἄν τις ἑκὼν ἕλοιτο, δοθέντα δὲ στέργειν αὐτὰ ὀφείλει. ἢ ἁπλῶς τὰ δῶρα, ὁποῖα ἂν ᾖ παρὰ θεῶν, φησὶν, οὐδὲ ἀπόβλητά ἐστι διὰ τὸ μὴ ὑπὸ τὴν ἡμετέραν κεῖσθαι ἐξουσίαν εἰς τὸ ἀποβαλεῖν. τὸ οὖν μὴ εἶναι ἀπόβλητα μήτε ὑφ' ἑκόντων ληπτέα εἴρηται, ὅτι οὐκ ἐν τῇ ἡμετέρᾳ ἐξουσίᾳ κεῖται εἰς τὸ ἀποβαλεῖν ἢ λαβεῖν. ἀναιρεῖ δὲ καὶ ἑκάτερον τὸ ἐφ' ἡμῖν, ὡς μήτε ἐνὸν ἡμῖν αὐτὰ ἀποβαλεῖν ἐθελήσασι μήτε λαβεῖν προθυμηθεῖσιν, ἄν τε ἀγαθὰ ἄν τε ἐναντία· καὶ ἔστιν ὁ λόγος, ἃ θεοὶ διδόασι δῶρα, κἂν ἐρικυδέα ᾖ κἂν φαῦλα, οὔτε ἀποβαλεῖν ἐφ' ἡμῖν ἐστιν οὔτε λαβεῖν ἐφ' ἡμῖν ἂν εἴη. τὸ γὰρ ἑκὼν ἐκ κοινοῦ δεῖ καὶ πρὸς τὸ ἀποβαλεῖν ἀκοῦσαι καὶ πρὸς τὸ ἑλεῖν· οὐ γὰρ ἑκὼν ἄν τις καὶ θέλων ἀποβάλοι οὐδ' ἑκὼν ἄν τις καὶ θέλων λάβοι ἃ ἐν τῇ τῶν κρειττόνων καὶ ὑπὲρ ἡμᾶς ὄντων ἐξουσίᾳ κεῖται. λύεται καὶ κατὰ λέξιν· τὸ γὰρ ἑκὼν ἐπὶ τοῦ βουληθείς τιθέμενον δηλοῖ ὅτι καλὰ μὲν τὰ δῶρα, οὐ μὴν ἅπαντα τῷ βουληθέντι ῥᾴστα ληφθῆναι.

68. ἄλλους μέν] ἐν σχήματι δηλοῖ ὅτι οὐ διὰ τὴν Μενελάου δύναμιν δειλιᾷ, ἀλλὰ διὰ τὴν τῶν συμμαχούντων, καὶ διὰ τοῦτο μόνος μόνῳ αἰτεῖ πολεμῆσαι.

69. αὐτὰρ ἔμ' ἐν μέσσῳ καὶ ἀρηΐφιλον Μενέλαον] βαρβαρικὸν τὸ μονομαχεῖν ἔθος. τὸ δὲ ἐπίθετον Μενελάου ποιητικόν.

70. ἀμφ' Ἑλένῃ] πολεμοῦσιν, ἵνα ὁ μὲν λάβῃ ἅπερ ἀφῄρητο, ὁ δὲ ἀσφαλῶς κτήσηται. εἰς δὲ τὸ νικήσῃ καὶ εἰς τὸ γένηται βραχὺ διασταλτέον.

73. ταμόντες] δι' ἐντόμων ποιησάμενοι, τουτέστι θυσιῶν.

74. ναίοιτε] διὰ τὸ νεμεσητὸν οὐκ εἶπε ναίοιμεν.

75. Ἀχαιΐδα καλλιγύναικα] τὴν πᾶσαν Ἑλλήνων γῆν. τῷ δὲ ἔρωτι Ἑλένης τοιαύτην πᾶσαν εἶναι ὑπολαμβάνει.

76. ἐχάρη μέγα] εἰκότως ἥδεται· ἢ γὰρ νικήσει, ἢ ἀκλεοῦς ἀδελφοῦ ἀπαλλαγήσεται.

79. τῷ δ' ἐπετοξάζοντο] πληροῦν γὰρ τούτῳ τὴν μάχην ᾤοντο· Ἀλεξάνδρου δὲ προϊόντος οὐδὲ φροντίζουσιν.

80. *τιτυσκόμενοι λάεσσί τ' ἔβαλλον] ἀπὸ μετοχῆς εἰς ῥῆμα·

8. *ὑφ' ἑκόντων] ὑπ' ἐχόντων *ὅτι οὐκ] οὐχ ὅτι

οἱ δὲ, ἀπὸ κοινοῦ τὸ ἔβαλλον· οἱ δὲ, τιτυσκόμενοι ἰοῖς ἐτόξαζον. τὸ τιτυσκόμενοι ἀντὶ τοῦ καταστοχαζόμενοι. σημαίνει δὲ καὶ τὸ ἑτοιμάζομαι, ὡς τὸ "ὣς εἰπὼν ὑπ' ὄχεσφι τιτύσκετο" (Π. 8, 41), καὶ τὸ ψυχικῶς στοχάζεσθαι, ὡς τὸ "τιτύσκετο δὲ φρεσὶν ἦσιν" (Π. 13, 558).

87. μῦθον Ἀλεξάνδρου] οἶδεν ἄδικα ἀξιῶν· διὸ Ἀλεξάνδρου φησὶν ἐρέειν, οὐχ ἑαυτοῦ λόγον, ἐλευθερῶν ἑαυτόν. ἐπιδυσχεραίνων δὲ αὐτῷ φησὶ τοῦ εἵνεκα.

94. τάμωμεν] μετὰ γὰρ τὴν ἱερείων τομὴν οἱ ὅρκοι συντελοῦνται.

95. καταπλήσσει αὐτοὺς τὸ ξένον, ὡς εἴ τις μοιχείας διωκόμενος προκαλοῖτο τὸν ἄνδρα τῆς γυναικὸς εἰς μάχην, ὡς μετὰ τοῦ γυναίου καὶ τὴν ψυχὴν ἀφελούμενος. Ἀγαμέμνων δὲ οὐδὲν φθέγγεται, οὔτε προκινδυνεύειν τὸν ἀδελφὸν θέλων (φιλάδελφος γάρ) οὔτε ἀναδύεσθαι· οὐ γὰρ ἔπρεπε γινομένης τῆς κρίσεως περὶ τῶν ὅλων. πρεπόντως δέ πως οἱ πολλοὶ σιωπῶσιν· ἕνα γὰρ εἰς μάχην προεκαλοῦντο.

97. κέκλυτε] ἀκούσατέ μου, φησὶν, ὡς οὐδαμῶς μὲν ἐπὶ δικαίοις κινδυνεύσω, ἀλλὰ λυπούμενος ἐφ' ὑμῖν καταπονουμένοις, καὶ ἵνα ἀπαλλάξω ὑμᾶς, τὸν ἀλυσιτελῆ ὑποδύομαι πόλεμον.

98. *φρονέω δὲ διακρινθήμεναι ἤδη] διὰ τί ὑποσχομένου τὴν ἅλωσιν Ἰλίου συνθήκας ποιεῖται πρὸς Τρῶας; ῥητέον οὖν κατ' ἐνίους ὅτι οὐ πιστεύει τῷ ὀνείρῳ, κατὰ δέ τινας ὅτι οὐδὲν διέφερε καὶ ἑνὸς μονομαχία. ἄλλως τε οὖν προστέτακται αὐτῷ καθοπλίσαι τοὺς πάντας, οὐ μάχεσθαι.

100. εἵνεκ' ἐμῆς ἔριδος] ἐπιεικῶς συγκατασπᾷ ἑαυτὸν ὡς προσφιλονεικήσαντα τῷ ἄρξαντι. ἀντέστρεψε δὲ τὴν τάξιν.

καταγνωστέος, φασὶν, Ἀλέξανδρος μαχόμενος περὶ ὧν ἔχει, καὶ Μενέλαος περὶ τῶν ἰδίων. ἀλλ' ὁ μὲν εἶχε μὲν, οὐκ ἴδια δὲ, μάχεται δὲ ἵνα ἴδια γένηται· ὁ δὲ ἵνα τῶν ἰδίων κρατήσῃ, καὶ ὁ μὲν, ἵνα τὴν πόλιν ἐλευθερώσῃ, ὁ δὲ, ἵνα τὸ πρόστιμον ἀπαιτήσῃ.

*Πορφυρίου. διὰ τί τὸν Μενέλαον ἐποίησε μονομαχοῦντα; οὐδὲ γὰρ ἐξ ἴσου ἦν ἡ μονομαχία. ὁ μὲν γὰρ Ἀλέξανδρος περὶ τῶν ἀλλοτρίων ἐμάχετο, ὁ δὲ περὶ τῶν ἑαυτοῦ εἶχετο· ἡττηθεὶς δὲ τὰ ἑαυτοῦ ἀπέβαλεν. ὁ δὲ Ἀλέξανδρος νικήσας μὲν τὰ ἀλλότρια ἔξειν ἔμελλεν, ἡττηθεὶς

19. διὰ τί] *διὰ τί Διός
22. μονομαχία Schraderus] μονομαχίαν
30. *Πορφυρίου] om. In B ad 355.
32. *ἀπέβαλεν] ἀπέλαβεν

δὲ οὐδὲν ἀποβαλεῖν τῶν ἑαυτοῦ. οὕτω δὲ πᾶς ἄν τις βούλοιτο μονομαχεῖν περὶ τοῦ ἀγροῦ τοῦ πλησίον· νικήσας μὲν λήψεται, ἡττηθεὶς δὲ οὐδὲν ἀποβαλεῖ τῶν ἑαυτοῦ. οὕτω μὲν Ἀλέξανδρος ἀνόητος ἦν· περὶ ὧν γὰρ εἶχε καὶ τῶν ἑαυτοῦ ἐκράτει. ἀλλ' ἴσως ἀμφότερα εἰκότως· ὁ μὲν γὰρ Ἀλέξανδρος περὶ ὧν εἶχεν ἐμάχετο, ἀλλ' οὐ τῶν ἑαυτοῦ, ἵνα γένηται αὐτοῦ, ὁ δὲ Μενέλαος περὶ τῶν ἑαυτοῦ, ἀλλ' οὐχ ὧν ἐκράτει, ἀλλ' ἵνα κρατήσῃ. ἔτι δὲ οὐ μόνον ἔδει αὐτὸν κομίσασθαι τὴν Ἑλένην καὶ τὴν κτῆσιν, ἀλλ' ἔτι καὶ τιμὴν Ἀργείοις ἀποτινέμεν ἥντιν' ἔοικεν.

103. ἐὰν στίξωμεν εἰς τὸ ἄρνε, δυϊκὸν ἔσται, ἐὰν δὲ συνάψωμεν, πτώσεως αἰτιατικῆς. ἀπὸ κοινοῦ τὸ νοούμενον. ταῦτα δὲ θύουσιν, ἐπεὶ καρποφόρα τῇ τριχί· καὶ ἥλιος δὲ καὶ γῆ αἰτία τῶν καρπῶν. διὰ τί δὲ οἱ Τρῶες γῇ καὶ ἡλίῳ; ὅτι ὁ κίνδυνος περὶ σωτηρίας τῆς ἐν τῇ οἰκείᾳ. Ἕλληνες δὲ Διί, ἐπεὶ ξένιος· περὶ ξενίαν δὲ ἠδίκηνται. μέλαιναν δὲ καὶ λευκὸν, ὅτι οἰκειότατα τὰ χρώματα ἑκατέρῳ τῶν θεῶν. ἐπὶ δὲ Διὸς οὐκ εἶπέ τι χρῶμα· γῆν μὲν γὰρ καὶ ἥλιον ὁρῶμεν, Δία δὲ νοοῦμεν μόνον.

105. Πριάμοιο βίην] συνετῶς ἀξιοῖ ὅρκους γενέσθαι, ὅπως εἰ μὲν στέργοιεν Τρῶες, εὖ ἔχοι, εἰ δὲ μή, ὁ θεὸς αὐτοῖς ἐκπολεμήσαι. ἐμφρόνως δὲ τῷ γέροντι τοὺς ὅρκους πιστεύει.

108. ἠρέθοντο] ἀβέβαιοί εἰσι καὶ ἄστατοι. ἐπικαλύπτει δὲ τὴν ὕβριν, ἐφ' ἅπαντας ἀνάγων τοὺς νέους τὸ ἔγκλημα.

109. περὶ Πριάμου ὁ λόγος· πεπείραται γὰρ αὐτοῦ. ἡ δὲ στιγμὴ εἰ μὲν μετὰ τὸ μετέῃσιν εἴη, οὕτως ὁ νοῦς, τὰ παρόντα καὶ τὰ μέλλοντα προορᾷ, ὅπως ἄμφω ἄριστα πραχθῇ· εἰ δὲ εἰς τὸ ὀπίσσω, οὕτως. οἷς πάρεστιν ὁ γέρων εἰς τὸ νῦν καὶ τὸ μέλλον, ὅ ἐστιν ἑκάστοτε, προβλέπει τὰ ἄριστα.

114. τεύχεα] τὰς ἀσπίδας· αὗται γὰρ τελαμῶνας εἶχον, οὐκ ὄχανα.

121. *Ἶρις σημαίνει καὶ τὴν θεὸν, ὡς ἐνταῦθα, καὶ τὸ τόξον· ἔστι δὲ νέφους ὑγρότης κατ' ἔμπτωσιν ἡλίου πεπικιλμένη, οἷον τὸ τόξον, ἢ αὐγαὶ ἀφ' ὑγρῶν νεφῶν ἀνακεκλασμέναι, ἢ ἔμφασις ἡλίου τμήματος ἢ σελήνης ἐν νέφει δεδροσισμένῳ κοίλῳ καὶ συνεχεῖ πρὸς φαντασίαν ὡς ἐν κατόπτρῳ φανταζομένην κατὰ κύκλου περιφέρειαν.

11. *κοινοῦ τὸ] τὸ om.
13. τῆς] τῶν Vill.
19. ὁ—ἐκπολεμήσαι] *τὸν θεὸν αὐτοῖς ἐκπολεμώσαι

τῆς δὲ Ἴριδος τὸ χλωρὸν ἀέρος σημαντικόν, τὸ πυρρὸν πνευμάτων, τὸ δὲ μελανίζον ὑδάτων.

121. ἐν ἀρχαῖς τῷ τῆς Ἥρας αὐτὴν ἐπιθέτῳ κοσμεῖ, Ἀργείας τε ἄμφω καλεῖ· "Ἥρη τ' Ἀργείη" (Il. 4, 8) καὶ "Ἀργείη Ἑλένη" (Il. 6, 323). ἦλθε δὲ ἄγγελος δηλονότι παρὰ τοῦ Διός· οὐ γὰρ αὐτάγγελος. θῆλυ δὲ θήλει πείθεται· ἐρωτική τε ἡ Ἶρις, καὶ ἀεὶ συμπαροῦσα τῇ Ἀφροδίτῃ. τινὲς δὲ αὐτῆς καὶ Ζεφύρου εἶναι λέγουσιν υἱὸν τὸν Ἔρωτα.

123. τὴν Ἀντηνορίδης εἶχε] οὔτε τῇ γαλόῳ δοτικῇ οὔτε τῇ Ἀντηνορίδαο γενικῇ ὑπήντησεν, ἄλλως σχηματίζων τὸν λόγον. ἠγάπα δὲ τὸ γένος τοῦ Ἀντήνορος ἡ Ἑλένη, ἐπεὶ πρώην ξένος ἦν τῶν Ἑλλήνων. τὸ εἶχε ἀντὶ τοῦ ἧτινι συνῴκει.

125. ἐν μεγάρῳ] τοῦτο γὰρ ἐνδιαίτημα γαμηθεισῶν, χηρῶν δὲ καὶ παρθένων ὑπερῷον.

ἀξιόχρεων ἀρχέτυπον ἀνέπλασεν ὁ ποιητὴς τῆς ἰδίας ποιήσεως. ἴσως δὲ τούτῳ τοῖς ὁρῶσιν ἐπειρᾶτο δεικνύναι τὴν Τρώων βίαν καὶ τὴν Ἑλλήνων δικαίαν ἰσχύν.

126. δίπλακα] δίμιτον χλαῖναν. τὸ δὲ μαρμαρέην, τὴν λαμπράν· συνῳδὸν δὲ τοῦτο τῷ "ἰοδνεφὲς εἶρος ἔχουσα" (Od. 4, 135) καὶ τῷ "φάρε' ὑφαίνουσ' ἁλιπόρφυρα."

128. οὓς ἔθεν] ἐγκλιτικῶς, τὸ δὲ ἐμέθεν καὶ σέθεν μόνα ὀρθοτονοῦνται παρ' αὐτῷ.

130. θέσκελα] θεοείκελα, ὡς θεόφατα θέσφατα· μετὰ γὰρ τὴν συγκοπὴν ὁ πλεονασμός. τὸ δὲ δεῦρο ἀντὶ τοῦ ἄγε.

132. οἳ] τοῦτο τὸ οἳ ὑποτακτικόν ἐστιν ἄρθρον, τὸ δὲ ἑξῆς (134) ἀντωνυμικόν.

134. διὰ μέσου τὸ πόλεμος δὲ πέπαυται, ἵν' ᾗ οἳ δὴ νῦν ἕαται σιγῇ ἀσπίσι κεκλιμένοι, παρὰ δ' ἔγχεα μακρὰ πέπηγε· πόλεμος δὲ πέπαυται· αὐτὰρ Ἀλέξανδρος.

135. ἀσπίσι κεκλιμένοι] ὑπὸ τῆς ἀπορρίψεως τῶν ὅπλων ἐμποδιζόμενοι πολεμεῖν.

138. ὅτι οὐ μνησικακήσει ὁ λαβών. τὸ δὲ κεκλήσῃ ἀντὶ τοῦ ἔσῃ, ὡς τὸ "σὴ παράκοιτις κέκλημαι" (Il. 4, 60).

140. ἀνδρός τε προτέροιο] ἀγνοεῖ τὴν Θησέως ἁρπαγὴν ὁ ποιητὴς,

7. * καὶ Ζεφύρου] om. 11. πρώην ξένος] * πρόξενος. Conf. p. 178, 6.

ἢ τὸ προτέροις ἐπὶ μόνου Μενελάου τέθεικεν, ὡς εἶναι δεύτερον Ἀλέξανδρον· ἐπεὶ πρῶτον μὲν ὑπὸ Θησέως, εἶτα Μενελάου, εἶτα Ἀλεξάνδρου, Δηϊφόβου καὶ Ἀχιλλέως ἐν ὀνείρῳ, ὧν αὐτὸς οὐ μέμνηται.

141. ἀργεννῇσι καλυψαμένη ὀθόνῃσιν] οὗτος γὰρ σώφρονι γυναικὶ κόσμος· καὶ ποικίλλειν γοῦν εἰδυῖα οὐκ ἠμπίσχετο ποικίλα. ὀθόνη δὲ ὁ ἑανός, ὃν καὶ πέπλον καλεῖ.

142. δάκρυ χέουσα] δακρύει ὑπὲρ Μενελάου δεδοικυῖα, ἢ καὶ τῇ μνήμῃ αὐτοῦ μόνῃ συγχεῖται.

143. οὐκ οἴη] στικτέον εἰς τὸ οἴη, καὶ τὸ ἑξῆς ἀσύνδετον.

144. εἰ μὲν ὁμωνυμία ἐστὶν, ἑατέον· εἰ δὲ οὔ, στικτέον ἐν τῷ Αἴθρη καὶ τὸ ἑξῆς συναπτέον. πιθανώτερον δὲ ὁμωνυμίαν εἶναι· οὐ γὰρ ἂν τοσούτων οὖσα ἐτῶν ἀμφιπολεῖν ἠδύνατο.

*Πορφυρίου. ἀδύνατόν φασι τὴν Αἴθρην ἔτι ζῆν καὶ ἀμφιπόλου τάξιν ἔχειν, εἴπερ ὁ μὲν Θησεὺς ἀρχαῖός ἐστιν ("ἔνθα κ' ἔτι προτέρους ἴδον ἀνέρας οὓς ἔθελόν περ, Θησέα Πειρίθοόν τε, θεῶν ἐρικυδέα τέκνα" Od. 11, 630), ἡ δὲ ἀμφίπολος ἐπὶ νέας τάτεται. ἡ δὲ λύσις ἐκ τῆς λέξεως, ἢ ὅτι ὁμωνυμία ἐστὶ τῆς Αἴθρας, ἢ ὅτι ἡ ἀμφίπολος οὐ πάντως νέα· "γρηῒ σὺν ἀμφιπόλῳ, ἥ οἱ βρῶσίν τε πόσιν τε παρτίθει" (Od. 1, 191).

145. *Σκαιαὶ πύλαι] Σκαιαὶ προσηγορεύθησαν ἢ ἀπὸ Σκαιοῦ τοῦ κατασκευάσαντος αὐτὰς, ἢ ὅτι ἐν τοῖς σκαιοῖς καὶ ἀριστεροῖς μέρεσι τῆς πόλεως κεῖνται. ἢ ἀπὸ τοῦ σκαιῶς βουλεύσασθαι τοὺς Τρῶας· τὸν γὰρ δούρειον ἵππον κατὰ ταύτας ἐδέξαντο τὰς πύλας. αὗται δὲ καὶ Δαρδάνειοι προσαγορεύονται.

148. Οὐκαλέγων τε καὶ Ἀντήνωρ] μεταβὰς ἐπὶ ἕτερον γένος καὶ τὴν πτῶσιν ἤλλαξεν. Ἀττικὸν δὲ τὸ ἀπὸ αἰτιατικῆς εἰς εὐθεῖαν μεταβαίνειν.

149. δημογέροντες] οἱ γέρας ἐν τῷ δήμῳ ἔχοντες. ἀπὸ δὲ τούτων τῶν ἐνδόξων τοὺς πάντας δηλοῖ.

150. γήραϊ] ἐντελῶς μὲν τῷ γήραϊ, γράφεται δὲ καὶ τῷ γήρει, ὡς οὔδει.

151. δύο γὰρ οἶδεν ἀνδρῶν καλλίστας ἀρετάς· "βουλάς τ' ἐξάρχων ἀγαθὰς πόλεμόν τε κορύσσων" (Il. 2, 273).

7. *ὃν] ὃ
22. *αὐτάς] om.
24. *κατὰ ταύτας] κατ' αὐτὰς
26. *καὶ τὴν] καὶ κατὰ

τεττίγεσσιν] ἄναιμα καὶ ψυχρὰ ταῦτα τὰ ζῷα. οἱ δὲ ἄρρενες ᾄδουσιν ἐφ' ὑψηλῶν καθήμενοι τόπων διὰ τὸ θέρεσθαι.

*Τιθωνεῦ τοῦ Λαομέδοντος, Πριάμου δὲ ἀδελφοῦ, ἠράσθη Ἠμέρα, ἐξ οὗπερ ἐποίησεν υἱὸν Μέμνονα. μακρῷ δὲ βίῳ δαπανηθέντος ἐκείνου, μετέβαλεν αὐτὸν εἰς τέττιγα ἡ θεός. διὸ δὴ τοὺς συγγενεῖς αὐτοῦ δημογέροντας τέττιξιν εἰκάζει ὁ ποιητής. ἱστορεῖ ὁ Ἑλλάνικος.

152. λειριόεσσαν] παρὰ τὰ λείρια, ἀπὸ τῶν ὁρωμένων ἐπὶ τὰ ἀκουόμενα. οἱ δὲ τὴν ἐκ δρόσου ὡς βοτάνην ἀνθοῦσαν.

155. ἧκα] αἰσχύνην γὰρ αὐτοῖς ὁ λόγος ἔφερε, παρ' ὥραν κάλλος γυναικὸς θαυμάζουσιν. καὶ ἄλλως φιλαλήθης ἡ μὴ κατὰ πρόσωπον μαρτυρία.

156. οὐ νέμεσις] οὐ νεμεσητόν, ὡς τὸ "οὐχ ὁσίη" (Od. 22, 412) ἀντὶ τοῦ οὐχ ὅσιον.

158. αἰνῶς] ἀντὶ τοῦ λίαν, ὡς τὸ "αἰνῶς γὰρ κεφαλήν τε καὶ ὄμματα ἐκείνῳ ἔοικεν." οὐκ ὀρθῶς οὖν τινὲς τὸ αἰνῶς τῷ πάσχειν ἅπτουσιν.

160. ἡμῖν] ὀρθοτονητέον τὴν ἡμῖν· μόλις δὲ ἀνακαλοῦνται τοῦ πάθους τὸν λογισμόν.

161. ἐκαλέσσατο φωνῇ] ἐφώνησεν, ἀλλ' οὐ δι' ἀγγέλου ἐκάλεσεν. φίλον δὲ τέκος, ἵνα μὴ ὑπονοοῦσά τι ἐν αὐτοῖς δεινὸν ἀποστραφῇ.

162. *δεῦρο πάροιθ' ἐλθοῦσα φίλον τέκος ἵζευ ἐμεῖο] διὰ τί ἡ Ἑλένη ἐπὶ τὴν θεὰν ἀφικνεῖται καὶ ταύτην ὁ Πρίαμος τὰ περὶ τῶν Ἑλλήνων πυνθάνεται; διὰ τί τε ἐννέα ἤδη τῶν τοῦ πολέμου παρῳχηκότων ἐτῶν ὁ Πρίαμος ἀγνοεῖν φαίνεται τοὺς ἡγεμόνας τῶν Ἑλλήνων πάντως πολλάκις ἑωρακὼς αὐτοὺς ἐκ τοῦ τείχους, ὥσπερ καὶ νῦν ὑπόκειται, καὶ δυνηθεὶς ἂν καὶ ἐξετάσαι καὶ μαθεῖν περὶ ἑκάστου; ῥητέον δὲ ὅτι τοῦ Ἀχιλλέως συντεταγμένου τοῖς Ἕλλησι καὶ τῶν Τρώων ἐν τῇ πόλει καθειργμένων ἔφοδοι ἐγίνοντο ἔνοπλοι καὶ τὰ μὲν ὀνόματα γνῶναι ἠδύνατο τῶν ἀρίστων ὁ Πρίαμος καὶ αὐτοὺς ἐνόπλους θεάσασθαι, ἐπὶ συνθήκας δὲ καὶ διάλυσιν τοῦ πολέμου τοιαύτην μὴ ἐληλυθότων πρότερον, ἀλλὰ καὶ τῶν ἐκ προκλήσεως μονομαχίων οὐ μετ' ἐκεχειρίας τῶν ἄλλων γινομένων καὶ διὰ τοῦτο ἐνόπλων ἀλλήλοις ἀεὶ ἀναμιγνυμένων ὁ ποιητὴς ἐπινοήσας

16. ἅπτουσιν] * συνάπτουσιν 33. ἐκεχειρίας] ἐκκεχειρίας hic et infra.

μονομάχιον μετ' ἐκεχειρίας τῶν ἄλλων καὶ διὰ τοῦτο ἀποδύσας ἀπὸ τῶν ὅπλων τοὺς πολεμοῦντας. φησὶ γὰρ "ὣς ἐχάρησαν Ἀχαιοί τε Τρῶές τε, ἐλπόμενοι παύσασθαι ὀϊζυροῦ πολέμοιο, τεύχεα τ' ἐξεδύοντο" (Il. 3, 12–14). καὶ ἐπισημηνάμενος ἀναγκαίως τὸ παράδοξον τῆς ἐπινοίας διὰ τοῦ φάναι "ἵνα θέσκελα ἔργα ἴδηαι Τρώων θ' ἱπποδάμων καὶ Ἀχαιῶν" (Il. 13, 130. 131). τί οὖν τὸ θαυμαστόν; ὅτι "οἳ πρὶν ἐπ' ἀλλήλοισι φέρον πολύδακρυν Ἄρηα,— οἳ δὴ νῦν ἔαται σιγῇ, πόλεμος δὲ πέπαυται" (Il. 3, 132–134). γυμνῶν οὖν γενομένων νῦν πρῶτον ἥ τε τῆς Ἑλένης θέα ἐπὶ τῷ παραδόξῳ τῆς εἰρήνης καὶ τῆς γυμνητείας τῶν ὅπλων οὐκ ἄλογος, καὶ ὁ ἐγειρόμενος ὑπὸ ἐκλύσεως τοῦ φόβου πεπαυμένου ἵμερος τοῦ πολέμου οὐκ ἄλογος, ἥ τε ἐξέτασις τοῦ Πριάμου εὔκαιρος καὶ λόγον ἔχουσα τανῦν. ἔτι καὶ νῦν αὐτοὺς γυμνοὺς ἄτερ ὅπλων θεώμενος δύναται ἐξετάσας παρὰ τῆς ὁμοεθνοῦς ἕκαστον· διὸ καί φησι "τεύχεα μέν οἱ κεῖται ἐπὶ χθονί, αὐτὸς δὲ κτίλος ὥς" (Il. 3, 195). καὶ πρὸς τοῦτο οὖν ἡ τῆς Ἑλένης εἰς τὸ τεῖχος παρουσία εὐλόγως ᾠκονόμηται. ὅτι δὲ ἐκ τῶν ὅπλων ἐνῆν πλανηθῆναι τοὺς ἀπὸ τῶν ὅπλων σημαινομένους ἕκαστον δηλοῖ τὰ ἐπὶ τοῦ Πατρόκλου, ὃς ἐνδύσασθαι τὰ Ἀχιλλέως ὅπλα ἐδεήθη "αἴ κέν πως αὐτόν γε ἐΐσκοντες τῷ Ἀχιλλεῖ ἀπόσχωνται πολέμοιο Τρῶες" (Il. 16, 41). οὕτως οὐκ ἦν τὸν ἀπὸ τῶν ὅπλων τινὰ δοξάζοντα ἤδη καὶ ὄντως γινώσκειν αὐτόν· ὅτι γὰρ ἀπὸ τῶν ὅπλων ἐδόξαζον τοὺς πολεμοῦντας δηλοῖ καὶ ὁ Κεβριόνης ὅταν λέγῃ τῷ Ἕκτορι "νῶϊ μὲν ἐνθάδ' ὁμιλέομεν Δαναῇσιν· οἱ δὲ δὴ ἄλλοι Τρῶες ὀρίνονται, Αἴας δὲ κλονέει Τελαμώνιος, εὖ δέ μιν ἔγνων· εὐρὺ γὰρ ἀμφ' ὤμοισιν ἔχει σάκος" (Il. 11, 523–527)· καὶ πάλιν "Τυδείδῃ μιν ἔγωγε δαΐφρονι πάντα ἐΐσκω ἀσπίδι γινώσκων αὐλώπιδί τε τρυφαλείῃ" (Il. 5, 181. 182). εἰ μὲν οὖν καθωπλισμένων αὐτῶν ἡ ἐξέτασις ἐγίνετο, ἄλογός γε ἂν διὰ τοῦ τοσούτου χρόνου γενομένη πρός τε τὴν Ἑλένην διατιθεμένη, δέον πρός τινα τῶν τὸν πόλεμον κατατιθέντων· ἐπεὶ δὲ γυμνοὶ καὶ ἄνοπλοι τότε γεγένηντο, οὔτε ἡ ἐξέτασις

7. οἳ δὴ] οἱ δὲ
10. γυμνητείας] γυμνῖ'
11. ἵμερος ex Il. 3, 139 addidit Schraderus.
14. παρὰ Schraderus] περὶ
26. μιν] μὲν
29. γενομένη Schraderus] γινομένη
31. γεγένηντο] γεγένην

ἄλογος οὔτε ἡ πρὸς τῆς Ἑλένης περὶ τούτων γενομένη διδασκαλία. ἀκριβέστερον γὰρ ταύτης οὐδεὶς ἂν ἄλλος τῶν παρόντων τὰς μορφὰς καὶ τὰ εἴδη ἀνεγνώρισεν.

163. πηούς] πηοὶ οὐχ οἱ κυρίως, ἀλλὰ οἱ ἐπείσακτοι συγγενεῖς καὶ ἐπίκτητοι.

164. οὔτι μοι αἰτίη ἐσσί] πατρικήν πως σώζων διάθεσιν κατὰ τὸν λόγον οὗ φησιν αὐτὴν αἰτίαν· πῶς γάρ;

165. ἐφώρμησαν] ἐμφαντικῶς ἀπὸ τῶν θηρευτικῶν κυνῶν φησὶ τὸ ἐφώρμησαν. δῆλον δ' ὅτι τοὺς Ἕλληνάς φησιν.

166. *ἐζήτηται πῶς ὁ Πρίαμος τῷ δεκάτῳ ἔτει πυνθάνεται περὶ τῶν ἀρίστων. ὅτι ἐπειδὴ πρότερον περὶ τὰς ἀστυγείτονας πόλεις ἐπλανῶντο, ὥς που καὶ ὁ ποιητής φησιν "κατὰ ληΐδ' ὅπη ἄρξειεν Ἀχιλλεύς" (Od. 3, 106)· νῦν δὲ προσκάθηνται τῇ Ἰλίῳ. ἢ ὅτι πρῶτον μὲν οὐκ ἦγε σχολὴν πυθέσθαι περὶ αὐτῶν, τοῦ Ἀχιλλέως ἰσχυρῶς αὐτοῖς ἐγκειμένου καὶ μόνον ἑαυτὸν αὐτοῖς ἐπιδεικνύντος καὶ τῷ φόβῳ κατακλείστους ποιοῦντος· τότε γὰρ ὁ Πρίαμος οὐ περὶ τούτων ἐφρόντιζεν, ἀλλὰ περὶ τοῦ σώζεσθαι τὴν πόλιν. νῦν δὲ μηνίοντος ἐκείνου καὶ τῆς μάχης ἰσορρόπου γεγενημένης, ὡς καὶ τοῦ τείχους χωρὶς πολεμεῖν τοὺς Τρῶας, εἰκότως περὶ αὐτῶν πυνθάνεται. ἕτεροι δέ φασιν ὅτι ἀπὸ τῆς πανοπλίας καὶ τῶν ἵππων αὐτοὺς ἐγνώριζον, ὡς καὶ Πάνδαρος ἐπὶ τοῦ Διομήδους λέγει "ἀσπίδι γινώσκων αὐλώπιδί τε τρυφαλείῃ" (Il. 5, 182)· πρότερον δὲ οὐ τεθέατο ἐνόπλους πάντας ὡς νῦν.

πῶς ἐν ταῖς πρώην πρὸ τείχους γενομέναις συμβολαῖς οὐ παρεκάλεσε Πρίαμος παρ' Ἑλένης μαθεῖν τοὺς ἀρίστους; ὅτι ἐνόπλων αὐτῶν προσβαλλόντων τῷ τείχει δυσχερὲς ἦν ἐπισημήνασθαι αὐτούς, καὶ τῶν ὅπλων πολλάκις δυναμένων ἀπατᾶν, ὡς καὶ ἐπὶ Πατρόκλου "καί τοι τεύχεα καλὰ δότω, αἴ κέ σε τῷ γ' ἴσκοντες ἀπόσχωνται" (Il. 11, 798). συνήρτηται δὲ τοῦτο τῷ πρώτῳ, ὅφρα ἴδῃς πρότερόν τε πόσιν, ὥς μοι τόνδ' ἄνδρα, ἵν' ᾖ τὸ ὡς ἀντὶ τοῦ ἵνα. τινὲς δὲ τὸ ὡς ἀντὶ τοῦ εἴθε καὶ τὸ ὀνομήνῃς ἀντὶ τοῦ ὀνομήναις.

172. αἰδοῖός τέ μοι] εὐφυῶς τὸ τῆς δυσαρεστήσεως ἰάσατο, φάσκουσα τὸ μέν τι αὐτὸν αἰδεῖσθαι, τὸ δέ τι καὶ φοβεῖσθαι. ἐπεὶ δὲ αὐτὸν τέκος αὐτὸς εἶπε, καὶ αὐτή φησιν ὅτι πατρικὴν αἰδῶ καὶ

1. γενομένη Schraderus] γινομένη
11. *πόλεις] om.
14. πρῶτον] *πρότερον

σέβας σώζω πρὸς σέ· ἡ γὰρ ὑπερβάλλουσα τιμὴ ἐν αἰδοῖ καὶ φόβῳ κεῖται.

173. ὡς ὄφελεν θάνατός μοι ἁδεῖν] ὤφειλεν ἐν ἐμοὶ τερφθῆναι. εἰ δὲ ἀρέσαι λέγοι, δῆλον ὡς ἐρασθεῖσα ἠκολούθησεν Ἀλεξάνδρῳ, ἀλλὰ μὴ ἀπατηθεῖσα.

175. *ὁ Πορφύριος ἐν τοῖς Ὁμηρικοῖς ζητήμασιν οὕτω φησὶν, ἐρατεινὴν εἶναι παῖδα τὴν Ἑρμιόνην. ὁ δὲ Ἀρίαιθος Ἑλένης καὶ Μενελάου ἱστορεῖ παῖδα Μοράφιον, ἀφ' οὗ τὸ τῶν Μοραφίων γένος ἐν Πέρσαις, ὁ δὲ Κιναίθων Νικόστρατον. οἱ δὲ Λακεδαιμόνιοι δύο παῖδας Ἑλένης τιμῶσι, Νικόστρατον καὶ Αἰθιόλαν. καταχρηστικῶς δὲ εἶπε τηλυγέτην· κυρίως γὰρ τηλύγετοι καλοῦνται οἱ τηλοῦ τῆς γονῆς ὄντες παῖδες, ὅ ἐστιν ἐκ γεραντικῆς ἡλικίας σπαρέντες· δοκεῖ γὰρ τὰ μετὰ ἀπόγνωσιν τῆς παιδοποιίας γεννώμενα μᾶλλον ἀγαπᾶσθαι.

179. ἀμφότερον] τοῦτο συναπτέον τῷ ἀγαθός, ἵν' ᾖ κατ' ἄμφω ἀγαθός· καὶ τὸν ἰσχυρὸν γὰρ ἀγαθὸν φησιν. μέγιστα δὲ πρὸς βασιλείαν ταῦτα, τήν τε τῶν οἰκείων καὶ τὴν τῶν πολεμίων εἰρήνην πραγματευόμενα. τοιοῦτος δὲ Ἀγαμέμνων, ὑπὸ μὲν Ὀδυσσέως καὶ Διομήδους ἐνίοτε ὑβριζόμενος, ὑπὸ δὲ Ἀδράστου ἱκεσίαν οὐ δεχόμενος.

180. ἐμὲς ἔσκε κυνώπιδος] πρὸς τὴν σημασίαν ὑπήντησε· τοῦ κυνώπιδος καὶ τὸ ἐμός. δαὴρ γὰρ ἐμοῦ τῆς κυνώπιδος. ἢ οὕτως· εἴ ποτ' ἦεν δαὴρ, ἐμὸς ἦεν. τούτου δὲ τὸ θηλυκὸν οὐ δάειρα, ἀλλὰ γάλως. διὰ δὲ τοῦ δαέρος λεληθότως τὸν ἄνδρα ὀλοφύρεται.

182. ὦ μάκαρ] ἱκανὸς πρὸς πίστιν ὁ παρὰ τῶν ἐχθρῶν οὐ κατὰ πρόσωπον γινόμενος ἔπαινος. σημειώσαιο δ' ἂν ὡς κατὰ πρόσθεσιν συλλαβῆς ἠῦξηται μετ' ἐκπλήξεως ὁ ἔπαινος κλιμακηδόν.

7. Ἀρίαιθος] Legebatur Δίαιθος, quod δίεθος scriptum in Ven. A. Correxit Prellerus in libro de Cerere et Proserpina p. 157. Ariaethus memoratur in scholio codicis Veneti A ad 4, 319. Perversa haec sunt in scholio ed. Romanae ὁ δὲ Πορφύριος οὕτω φησὶν "Ἑλένης δὲ καὶ Μενελάου παῖδες Δίαιθος καὶ Μορραφίων —," quae repetivit Eustathius p. 400, 34, υἱοὺς αὐτῇ (τῇ Ἑλένῃ) καὶ Μενελάῳ γεννῶσι—Δίαιθον καὶ Μαράφιον, ἀφ' οὗ γένος φασὶ τὸ τῶν Μαραφίων ἐν Πέρσαις. Gentem Persicam Μαραφίους appellatam fuisse satis aliunde constat: v. Thes. vol. 5 p. 529. Quae si nomen accepit ab Helenae filio, hunc Μαράφιον vel Μαρράφιον potius nominatum fuisse credas quam Μοράφιον. Non minus obscurum est alterius filii nomen Αἰθιόλας, quem ex scholiastae annotatione memoravit Eustathius l. c. Suidae glossa Αἰθιόλας: ὄνομα κύριον unde sumta sit nescimus. Apud Zonaram p. 98 est Αἰθιολεύς. In cod. Leidensi Αἰθίολον legitur.

24. *πρόσθεσιν] πρόσωπον

184. Φρυγίην] τὴν παρὰ Σαγγαρίῳ. ἥ ἐστι μεγάλη· ἡ γὰρ μικρὰ παρὰ τῇ Τροίᾳ.

186. λαοὺς Ὀτρῆος] λαοὺς τοὺς ἐπικούρους φησὶν, ὡς τὸ "λαοὶ δ' Ἀτρείδεω Ἀγαμέμνονος" (Od. 9, 263).

187. παρ' ὄχθας Σαγγαρίοις] διὰ τούτου τὸ μῆκος ἴσως τοῦ ποταμοῦ δηλοῖ· διὼν γὰρ Φρυγίαν ἔξεισι διὰ Βιθυνίας.

188. ἐπίκουρος ἐὼν] ἴσως γὰρ διὰ τούτου καὶ τοῦ γάμου τῆς Ἑκάβης ἠξίωται.

189. Ἀμαζόνες] παρὰ τῷ Θερμώδοντι αὗται ᾤκουν. αἱ δὲ ἐπιφανεῖς αὐτῶν Ἱππολύτη, Ἀντιόπη ἣν ἥρπασε Θησεὺς, Ἀναία, Ἀνδρομάχη, Γλαύκη, Ὀτρηρὴ, ἧς Πενθεσίλεια, ἅς φασιν ἐπὶ πυριπνόων ἵππων μαχομένας ληΐζεσθαι τοὺς περιχώρους, καταδραμεῖν τε ὕστερον τὴν Φρυγίαν λείας ἕνεκεν ἐπὶ Μύγδονος τοῦ Ἀκμωνος καὶ Ὀτρέως τοῦ Δύμαντος. ὠνομάσθησαν δὲ παρὰ τὸ μὴ ἔχειν τὸν ἕτερον τῶν μαζῶν (ἐπυράκτουν γὰρ αὐτὸν πρὸς τὸ μὴ ἐμποδίζεσθαι ἐν τῇ τοξείᾳ) ἢ παρὰ τὸ μὴ χρῆσθαι μάζαις, χελώναις δὲ καὶ ὄφεσι καὶ σαύραις. ἀντιάνειραι δὲ αἱ ἴσαι ἢ ἐναντίαι τοῖς ἀνδράσιν.

190. ἑλίκωπες] ἀξιοθέατοι, εὐγενεῖς τὴν θέαν. οὐκ ἀλόγως δὲ αὔξει τοὺς Ἕλληνας· τῶν γὰρ πλειόνων καὶ κρατῆσαι καλὸν καὶ ἡττᾶσθαι οὐκ ἐπονείδιστον.

196. *κτίλος ὥς] ὡς πρᾶος καὶ χειροήθης κριὸς, ἀφηγούμενος τῆς πώμνης. εἴρηται δὲ κτίλος ἀπὸ τοῦ ἄγειν τὰ λοιπὰ θρέμματα, οἱονεὶ ἀκτίλος τις ὤν, παρὰ τὸ ἄγω ἢ παρὰ τὸ κίειν.

ἐπιπωλεῖται στίχας] περιφοιτᾷ, μή πώς τις δόλος εἴη κατὰ τὴν στρατιάν. στὶξ δὲ τὸ ἐκ δύο φαλάγγων, ὅ ἐστι σμῆ ἀνδρῶν.

197. πηγεσιμάλλῳ] μελανομάλλῳ· οὗτος γὰρ ἐν λευκῷ τῷ ποιμνίῳ διάδηλος ἔσται. τῷ πραοτάτῳ δὲ εἴκασται διὰ τὸ ἀτάραχον.

*Πορφυρίου. ἐκ τοῦ πηγὸν τὸ μέλαν· "κύματι πηγῷ" (Od. 5, 318). ἐξ ἀντικειμένου δέ φησιν ἐπ' αὐτοῦ "ὅς τ' οἴων μέγα πῶϋ διέρχεται ἀργεννάων." ἐν λευκοῖς δὲ ὁ μέλας διαφορώτερος. καὶ τοὺς ἵππους τοὺς πηγοὺς ἀθλοφόρους λέγει, παρ' ὅσον οἱ περὶ ἱππικῆς γράψαντές φασι πρὸς ἀρετὴν ἵππων ἀρίστους εἶναι τοὺς μέλανας. καὶ τὸ κῦμα

7. τούτου] *τοῦτο 30. *Πορφυρίου] om.

δὲ ἀντιφράζων ὁτὲ μὲν κύματι πηγῷ λέγει, ὁτὲ δὲ "μέλαν τέ ἑ κῦμα κάλυψεν" (Il. 23, 693). καὶ Ἀντίμαχος δὲ τὸ λευκὸν ὡς ἀντικείμενον τῷ πηγῷ λαμβάνει.

198. οἴων] ὁ μὲν Ἀρίσταρχος οἰῶν ὡς αἰγῶν, ὁ δὲ Ἡρωδιανὸς οἴων ὡς δαίδων, λέγων ὡς οὐ κλίνει τὸ μονοσύλλαβον ὁ ποιητής, εἰ μὴ μέτρον κωλύσειεν.

200–202. ἐν βραχεῖ τὸ ἐπίγραμμα πάντα ἔχει. μετὰ ἐπαίνων δὲ περὶ ἑκάστου ἐκτίθεται διὰ τὸ προσπεπονθέναι τῷ Ἑλληνικῷ.

201. κραναῆς] καὶ λυπρὰ γὰρ χωρία πέφυκεν ἀρίστους ἄνδρας ἐκφέρειν. ἦδει δὲ τούτους ὡς ξενισθέντας παρ' αὐτῇ, ὃ διὰ τὸ προσκορὲς ἐπὶ μόνου Ἰδομενέως ἐσήμανεν. ὅτε γὰρ ἐκ Τενέδου ἐπρεσβεύοντο οἱ περὶ Μενέλαον, τότε Ἀντήνωρ ὁ Ἱκετάονος ὑπεδέξατο αὐτούς, καὶ δολοφονεῖσθαι μέλλοντας ἔσωσεν· ὅθεν μετὰ τὴν τῆς Τροίας ἅλωσιν Ἀγαμέμνων ἐκέλευσε φείσασθαι τῶν οἰκείων Ἀντήνορος, παρδάλεως δορὰν ἐξάψας πρὸ τῶν οἴκων αὐτοῦ.

202. παντοίους τε δόλους] εἰσὶ γὰρ καὶ καλοὶ καὶ κακοί.

203. Ἀντήνωρ πεπνυμένος] ὁ ἄρχων τὸν ἄρχοντα καὶ ὁ ῥήτωρ τὸν ῥήτορα ἐπαινεῖ.

206. σὺν ἀρηϊφίλῳ Μενελάῳ] οὐ ῥιψοκινδύνως Μενέλαος ἔρχεται, ἀλλ' ἤν πως αἰδεσθῶσιν ὡς παθόντα. εἰ γὰρ Ἑλένης χάριν ὁ πόλεμος γέγονε, πόσῳ μᾶλλον εἰ Μενέλαος ἀνήρητο; Ὀδυσσεὺς δὲ ὡς συνετὸς σκοπῆσαι τὰ βαρβάρων, ὅπως ῥᾴμης ἔχοιεν. ἀλλ' οὐχὶ Νέστωρ· οὐ γὰρ μόνον συνετοὺς, ἀλλὰ καὶ δραστηρίους πρεσβεύεσθαι δεῖ.

*πρὸ δὲ τοῦ στρατεῦσαι τοὺς Ἕλληνας εἰς Τροίαν ἦλθον πρέσβεις Ὀδυσσεὺς καὶ Μενέλαος, ἀπαιτοῦντες τὴν Ἑλένην. τῶν ἄλλων οὖν μεθ' ὕβρεως αὐτοὺς ἀποδιωξάντων μόνος ὁ Ἀντήνωρ ξενίζει φιλοφρόνως. καὶ δολοφονεῖσθαι μέλλοντας σώζει· ὅθεν μετὰ τὴν τῆς Τροίας ἅλωσιν Ἀγαμέμνων ἐκέλευσε φείσασθαι τῶν οἰκείων Ἀντήνορος, παρδάλεως δορὰν ἐξάψας πρὸ τῶν οἴκων αὐτοῦ.

212. ἀλλ' ὅτε δὴ μύθους] τρεῖς οἶδε τρόπους ῥητορείας Ὅμηρος, τὸν βραχὺν καὶ ἀπολελυμένον καὶ ἱκανὸν αὐτὰ τὰ ἀναγκαῖα παραστῆσαι, ὃν Λυσίας ἐζήλωσεν· τὸν ὑψηλὸν καὶ καταπληκτικὸν καὶ

6. *κωλύσειεν] κωλύσει
8. *ἑκάστου] ἕκαστα
31. Scholion sine lemmate in B post scholion v. 220.
*τρόπους] τόπους

μέγιστον καὶ ἐνθυμημάτων μεστὸν, καὶ τούτων ἀθρόως ἐκφερομένων, ὡς νῦν, ὃν Δημοσθένης· τὸν πιθανὸν καὶ τεχνικὸν καὶ πολλῶν πλήρη δογμάτων, τὸ καὶ γνωμικὸν καὶ σαφὲς ἐπιλεγόμενον, ὃν Ἰσοκράτης.

213. παρατρέχων τὰ πολλὰ, καὶ τὰ καίρια μόνον λέγων· οἱ γὰρ νέοι, ἀπειρότεροι τοῦ τὰ πλείονα καὶ συμφέροντα λέγειν ὄντες, τὸ ἀνθηρὸν μόνον καὶ χαρίεν διώκουσιν.

215. ἦ] ἀντὶ τοῦ εἰ. τινὲς δὲ εἰς τὸ ἀφαμαρτοεπὴς στίζουσι τελείαν, εἶτα καὶ περισπῶσι τὸν ἦ μετ' ἐπιτάσεως· καίτοι νεώτερος ἦν.

216. ἀναΐξειεν] τὸ πρόθυμον δηλοῖ τῆς ἐγέρσεως πρὸς κατάπληξιν.

217. στάσκεν] ὅτι οὐκ ἀσχημονεῖν ἔν τινι δημηγοροῦντα δεῖ, ἀλλὰ καὶ τὴν στάσιν τῶν ἐρούντων μεμελετημένην εἶναι· οἶδε γὰρ καὶ αὕτη πολλάκις ὑπόνοιαν εἴς τι κινεῖν. ῥητορικὴ οὖν ἡ στάσις αὐτοῦ. ἀφροσύνην δὲ σχηματίζεται πρὸς τὸ μὴ ὑπονοεῖσθαι παρὰ τοῖς ὁρῶσιν, οἷα εἰκὸς Μενελάου τὰς οἰκείας βλάβας ἐκθεμένου τεταράχθαι τὴν ἀγοράν· τῇ εἰς ἑαυτὸν οὖν ἐπιστροφῇ καταρτίζει τοὺς ὁρῶντας.

219. ἀΐδρεϊ] ἀπὸ τοῦ ἄϊδρις· ἀλλὰ διὰ τὴν εὐφωνίαν τὸ δεύτερον ϊ μετατέθειται.

220. ζάκοτον διὰ τὸ ὑπόδραξ ὁρᾶν, ἄφρονα δὲ διὰ τὸ ἀκίνητον τοῦ σκήπτρου.

221. μεγάλην] διὰ τὸν θόρυβον τῶν Τρώων, ἢ διὰ τὴν κατάπληξιν τῶν ἀδικῶν.

222. νιφάδεσσιν ἐοικότα χειμερίῃσιν] ἡ εἰκὼν ἀφορᾷ πρὸς τὸ τάχος τῆς ῥητορείας. διὰ μὲν γὰρ τοῦ πλήθους δηλοῖ τὸ πυκνὸν τοῦ λόγου, διὰ δὲ τοῦ λευκοῦ τὸ σαφὲς, διὰ τῆς νιφάδος τὴν φρίκην τῶν ἀκουόντων. καὶ αἱ μὲν χειμέριαι ἁπαλαὶ, αἱ δὲ ἐαριναὶ ἐκκόπτουσι τοὺς καρπούς.

224. οὐχ οὕτως ἐπὶ τῇ μορφῇ τότε ἐθαυμάσαμεν, ὅσον ἐπὶ τῷ λόγῳ ἐξεπλάγημεν.

225. τὸ τρίτον αὖτ' Αἴαντα] μετὰ τὴν τῆς φρονήσεως τάξιν τὴν τῆς ἀνδρείας τέταχεν· Ὀδυσσεὺς μὲν γὰρ φρονιμώτερος, Αἴας δὲ ἀνδρειότερος.

229. πελώριος, ἔρκος Ἀχαιῶν] πελώριος οὗτος διὰ τὸν ἕτερον

1. * ἐκφερομένων] ἐμφερομένων 13. * αὕτη] αὐτὴ
24. * τοῦ] τοῦ ἔπεα

Αἴαντα, τὸν Ὀϊλέως. ὅρα δὲ πῶς ἐπὶ μὲν Ἀχιλλέως μέγα ἔρκος φησὶν, ἐνταῦθα δὲ μόνον ἔρκος ἁπλῶς.

230. θεὸς ὥς] τῷ κάλλει. τὸ δὲ Κρήτεσσι προσέθηκεν, ὅπως φανῇ μὴ δελεασθεῖσα. ἢ τοῖς τρόποις αὐτὸν ἐχαρακτήρισεν ὡς εἰδυῖα τῇ συνεχεῖ ξενίᾳ.

235. οὕς κεν εὖ γνοίην καὶ τοὔνομα μυθησαίμην] ἀντὶ τοῦ γινώσκω καὶ μυθοῦμαι.

236. ταῦτό φησιν ὡς πάντη μὲν ἐκπετάσασα τὴν θέαν, οὐδαμῇ δὲ ἰδοῦσα. πῶς δὲ οὐκ ἐρωτηθεῖσα προβάλλεται τὰ περὶ τῶν ἀδελφῶν; δῆλον οὖν ὅτι προεικονομεῖ ὁ ποιητὴς, βουλόμενος εἰπεῖν τὴν ἀφάνειαν αὐτῶν. ἠγνόει δὲ τὰ περὶ αὐτῶν ἴσως μὴ συγχωρουμένη συντυγχάνειν τοῖς αἰχμαλώτοις.

*ἀπίθανον εἶναι δοκεῖ ἐννέα ἐτῶν διελθόντων τοῖς Ἕλλησιν ἐν Ἰλίῳ μηδένα τῶν βαρβάρων ἀπαγγεῖλαι τῇ Ἑλένῃ περὶ τῶν ἀδελφῶν, εἴτε καὶ αὐτοὶ ἀφίκοντο εἰς τὸν πόλεμον, εἴτε ὅλως οὐκ ἦλθον εἰς τὴν Τροίαν, ἢ ἐλθόντες οὐκ ἐξῆλθον εἰς τὴν μάχην· οὐ γὰρ ἐνῆν τοιούτους ὄντας μὴ οὐχ ὑπὸ πάντων γινώσκεσθαι, παρόντας εἰς τὴν Τροίαν. λέγει δὲ Ἡρακλείδης ὅτι ἄλογον ἦν ὄντως τοῦτο, εἰ διατελεσάντων ἐν τῇ Τροίᾳ πάντων Ἑλλήνων ἐννέα ἔτη μηδὲν περὶ τῶν ἀδελφῶν ἔσχεν Ἑλένη λέγειν· εἰ δὲ οὐ πάντες ἦσαν οἱ στρατεύσαντες ἐν Τροίᾳ, ἀλλ' οἱ μὲν περὶ Λέσβον καὶ τὰς ἄλλας νήσους ἃς οἱ Κᾶρες εἶχον ἐπόρθουν, πόλεις δὲ καὶ τῶν ἐν τῇ ἠπείρῳ, οὐδὲν ᾤδει εἰ ἐστράτευσαν ἢ οὔ. πιθανώτερον δὲ προσθεῖναι ὅτι ἠφανισμένων τοῦ Κάστορος καὶ τοῦ Πολυδεύκους καὶ δοκούντων τεθνάναι, διὰ τὸ μὴ εἰδέναι τοὺς ἀνθρώπους τὸ συμβεβηκὸς, μήτε εἰ ἐτεθνήκεισαν μήτε εἰ ἔτι εἰσὶν, οὐκ ἀνηγγέλλετο τῇ Ἑλένῃ περὶ αὐτῶν. οὐδὲ γὰρ τὰ δυσχερῆ οἱ βάρβαροι τοῖς δυνάσταις πάντα εἰσὶν εἰθισμένοι ἀπαγγέλλειν. καὶ τούτου πολλὰ παραδείγματα λέγειν ἔστιν· ἔτι γὰρ καὶ νῦν χρῶνται τῷ ἔθει. οὐδὲν οὖν ἐκώλυεν ἀμφιδοξεῖν περὶ αὐτῶν τὴν Ἑλένην.

*διὸ δ' οὐ δύναμαι ἰδέειν κοσμήτορε λαῶν] διὰ τί τὴν Ἑλένην πεποίηκεν ἀγνοοῦσαν περὶ τῶν ἀδελφῶν ὅτι οὐ παρῆσαν δεκαετοῦς

22. πόλεις Schraderus] πολλὰς ᾤδει εἰ Vill.] ἠιδεινὸν

23. μήτε εἰ ἐτεθνήκεισαν Bekkerus] μὴ ὅτι ἐτεθνήκεσαν

26. ἀνηγγέλλετο] ἀπηγγέλλετο Bekkerus.

27. οἱ βάρβαροι Bekkerus] καὶ βάρβαροι

τοῦ πολέμου ὄντος καὶ αἰχμαλώτων πολλῶν γινομένων; ἄλογον γὰρ ἔτι δὲ καὶ εἰ ἠγυόει, ἀλλ' οὐκ ἦν ἀναγκαῖον μνησθῆναι τούτων οὐκ ἐρωτηθεῖσαν ὑπὸ τοῦ Πριάμου περὶ αὐτῶν, οὐδὲ γὰρ πρὸς τὴν ποίησιν πρὸ ἔργου ἦν ἡ τούτων μνήμη. φησὶ μὲν οὖν Ἀριστοτέλης· ἴσως ὑπὸ τοῦ Ἀλεξάνδρου ἐντυγχάνειν ἐφυλάττετο τοῖς αἰχμαλώτοις· ἢ ὅπως τὸ ἦθος βελτίων φανῇ καὶ μὴ πολυπραγμονοίη, οὐδὲ τοὺς ἀδελφοὺς ᾔδει ὅπου εἰσί. φαίνεται δὲ πάντα καὶ λέγουσα καὶ οἰκονομοῦσα, ὅπως ὅ τε Πρίαμος καὶ οἱ ἄλλοι πεισθῶσι Τρῶες ὅτι ἀκούσιος καὶ παρὰ γνώμην αὐτῆς ἡ εἰς τὴν Ἴλιον γέγονεν ἄφιξις. οὕτω γὰρ τοῦ Πριάμου εἰπόντος "οὔτι μοι αἰτίη ἐσσὶ, θεοί νύ μοι αἴτιοί εἰσιν" (Il. 3, 164), αὐτὴ δ' αἰδοῖον εἰποῦσα καὶ ἐπίφοβον διὰ τὸ σέβας (Il. 3, 172) καταρᾶται, οὐδὲν μὲν ἐπισημαίνουσα εἴτε ἑκοῦσα εἴτε ἄκουσα ἀφίκετο, ἀλλὰ μόνον "γνωτούς τε λιποῦσα παῖδά τε τηλυγέτην" (Il. 3, 174). καὶ ὅτι ἄχθεται τῇ μονῇ καὶ κλαίουσα διατελεῖ. καὶ ὅτι δαὴρ αὖτ' ἐμὸς ἔσκε κυνώπιδος (ὁ Ἀγαμέμνων), εἴ ποτ' ἔην γε, ἀντὶ τοῦ ὁπότ' ἦν (Il. 3, 180), ὡς ἂν πεθούσης αὐτῆς τοῦ ἀνδρὸς τὴν συγγένειαν. οὕτω γὰρ ἂν ἅμα δόξειν ἔμελλε κἀκείνῳ καὶ τοῖς πρεσβύταις βελτίων εἶναι, καὶ τοῦ ἀφικέσθαι οὐκ αἰτία, εἴ γε ἐπεθύμει ἀπελθεῖν, ὥστε καὶ περὶ τῆς ἐξ ἀρχῆς ὁδοῦ ὑπολήψεσθαι αὐτοὺς ᾤετο ὅτι μὴ ἑκουσία ἢ συγγνώσεσθαι, ὡς ὅταν τις μεταμελόμενος φαίνηται καὶ ὁμολογῇ, οὐκ ἐξοργίζονται, ἀλλ' ἐλεοῦσι. διὰ δὴ ταύτην τὴν αἰτίαν καὶ τῶν ἀδελφῶν ἐμνήσθη εἰποῦσα, ἤτοι οὐχ ἥκουσιν αἴσχεα δειδιότες καὶ ἀνείδεα (Il. 3, 242), ἢ κεκρυμμένοι εἰσὶ, δι' αὐτὴν ὁμοίως αἴσχεα δειδιότες. καὶ ἡ μνήμη οὖν ἀναγκαία εἰς σύστασιν τοῦ προσώπου, ἵνα φαίνηται ὁμολογοῦσα τὰ γεγενημένα μὴ καλῶς ἔχειν, κἂν ἀπόδοσις γένηται ἠττηθέντος Ἀλεξάνδρου, μαρτυροῦντας ἔχῃ τοὺς γέροντας τῷ ἤθει αὐτῆς πρὸς τοὺς ὑπολαμβάνοντας, ὡς αἰσχρὰ ὁμολογεῖ καὶ δεινὰ καὶ βίαια πεπονθέναι καὶ τὸν θάνατον ᾑρεῖτο ἀντὶ τῆς σωτηρίας. οὕτω γὰρ καὶ εἰσελθόντος Ἕκτορος εἰς τὴν Ἴλιον διὰ τὴν τῶν Τρώων ἧτταν, αὐτὴ πάλιν κύνα τε ἑαυτὴν καλεῖ καὶ "δᾶερ ἐμεῖο κυνὸς κακομηχάνου" (Il. 6, 344). καὶ ταῦτα λέγει ἅτε πρὸς τὸν Πρίαμον ἀνακαλουμένη τὸν θάνατον. ἐπὶ μὲν γὰρ τοῦ Πριάμου "ὡς ὄφελεν θάνατός μοι ἁδεῖν κακὸς, ὁππότε δεῦρο υἷϊ τῷ ἑπόμην θάλαμον γνωτούς τε λιποῦσα" (Il. 3, 173. 174) καὶ τὰ ἑξῆς. ἐπὶ δὲ τοῦ Ἕκτορος μηδὲ γεννηθῆναι καταρᾶται

20. ὡς addidit Schraderus.

"ἑαυτῇ ὥς μ' ὄφελ' ἤματι τῷ ὅτε με πρῶτον τέκε μήτηρ οἴχεσθαι προφέρουσα κακὴ ἀνέμοις θύελλα" (Il. 6, 345). καὶ θρηνοῦσα τὸν Ἕκτορα ἀχθῆναί φησιν εἰς τὴν Τροίαν ὑπὸ Ἀλεξάνδρου "ὡς πρὶν ὤφελλεν ὀλέσθαι" (Il. 24, 764), καὶ ἑαυτὴν οὖν κλαίει "τῷ σέ θ' ἅμα κλαίω καὶ ἔμ' ἄμμορον ἀχνυμένη κῆρ" (Il. 24, 773), καὶ τὰ τούτοις ἑξῆς. καὶ ὅτι τοιοῦτον εἶχε βίον καὶ τοιαύτας ἐν Τροίᾳ διατριβὰς διεδόθη καὶ τοῖς Ἕλλησι. διὰ τοῦτο μαχόμενοι ὑπὲρ αὐτῆς παρεκάλουν εἰς τὸν πόλεμον λέγοντες ὡς χρὴ "τίσασθαι Ἑλένης ὁρμήματά τε στοναχάς τε" (Il. 2, 356. 590).

238. αὐτοκασιγνήτω] τοῦτο καὶ τοῖς πρώτοις δύναται συνάπτεσθαι. δηλοῖ δὲ τοὺς ὁμομητρίους ἀδελφούς. ἀλλὰ καὶ τοὺς ὁμοπατρίους οὕτως καλεῖ, ὡς Αἴαντα καὶ Τεῦκρον.

239. 240. ἢ — ἢ] ὁ Νικάνωρ ἄμφω ὀξύνει ὡς διαζευκτικούς· ὁ δὲ Ἡρωδιανὸς τὸν δεύτερον περισπᾷ, ὡς διαπορητικοὺς ἄμφω δεχόμενος.

240. οὐκ ἔστιν Ἀττικὸν τὸ δεύρω (οὐδέποτε γὰρ μακρᾶς προκειμένης τοιαύτην ἔκτασιν ποιοῦνται), ἀλλ' Ἰωνικόν. τὴν δὲ πρόθεσιν ἔδει μὲν ἀναστρέφεσθαι καὶ τῷ κυριωτέρῳ συντάττεσθαι· ὅμως ἀδιαφόρως συντέτακται.

242. δειδίστες] στυγοῦντες. εἰς δὲ τὸ ὀνείδεα στικτέον, ἐπειδὴ τὸ πόλλ' συναλειφόμενον οὐ δέχεται στιγμὴν ἐν μεταξύτητι. τὸ δὲ πόλλ' ἅ μοί ἐστιν ἀντὶ τοῦ ἃ ἐμοῦ χάριν ἐστίν. ἑαυτῆς δὲ κατηγοροῦσα εἰς ἔλεον ἐπισπᾶται.

245. ἐδύνατο τὸ θεῶν καὶ τοῖς πρώτοις συντάσσεσθαι, εἰ μὴ ὅτι ἐν τοῖς ἑξῆς (269) φησὶν "ὅρκια πιστὰ θεῶν σύναγον."

246. οἷνον εὐφρονα] ἐτυμολογεῖται παρὰ τὴν ὄνησιν, ὡς καὶ τὸ "αὐτὸς ὀνήσεαι" (Il. 6, 260). ἢ παρὰ τὴν οἴησιν.

250. μετὰ τὴν προσαγόρευσιν ἡ στιγμή. τὸ δὲ ὄρσεο ἀπὸ τοῦ ὄρσω ἐνεστῶτός ἐστιν.

254. μακρῆς] τοῦτο εἰς ἀγωνίαν ἄγει τὸν γέροντα. τὰ δὲ ὑπὸ Μενελάου βλασφημηθέντα σιωπῶσιν.

258. Ἄργος] Ἄργος καὶ τὴν πόλιν καὶ τὴν Πελοπόννησον καὶ

4. *ὤφελλον] ὄφελον mutatum.
17. δεύρω] Sic B, non δεῦρο. In textu est δεύρω, a m. sec. in δεῦρο
19. *ἔδει] οἴδαμεν

τὴν Θεσσαλίαν καλεῖ. ἄμεινον δὲ νῦν Ἄργος τὴν Θεσσαλίαν λέγειν, Ἀχαΐδα δὲ πᾶσαν Ἑλλησίδα.

259. ῥίγησεν δ' ὁ γέρων] φυσικὴ γὰρ ἡ φιλοπαιδία. ὁ δὲ Ἕκτωρ ἐχάρη μέγα, τέλος οἰονοῦν ἐπιζητῶν τοῦ πολέμου.

261. προοικονομεῖ τὴν ἐν τῇ Ω ἡνιοχείαν. ἄγει δὲ τὸν Ἀντήνορα ὡς συνετὸν καὶ πρώην ξένον Ἑλλήνων.

270. διὰ τοῦ ο τὸ ἔχευον, ἵν' ᾖ ἀναλογοῦν τῷ μῖσγον.

271. ἀξιόχρεως αὐτουργῶν ὁ βασιλεύς. ἢ ὡς ἀγνοούντων τῶν Τρώων τὸν ἐν θυσίαις νόμον.

273. τινὲς ἀρνέων, ἵν' ᾖ ὡς "ἱππείων ὁπλέων" (Π. 11, 536). σημειωτέον δὲ ὅτι τῶν ἐναγιζομένων οὐκ ἐπιβάλλουσι τὰς τρίχας πυρί, ὡς οὐδὲ τοῦ κάπρου.

275. ἐξ Ἴδης ἐποπτεύων. τὸν ἐπιχώριον δὲ καλεῖ, ἐκπολεμῶν αὐτοῖς αὐτόν. εἰ παραβαῖεν τοὺς ὅρκους· καθ' ἑκάστην δὲ προσαγόρευσιν διασταλτέον.

*Πορφυρίου. διὰ τί βουλόμενος ἐπιορκῆται τοὺς Τρῶας ὁ ποιητής, ἵνα εὐλόγως ἀπόλωνται, οὐδαμοῦ πεποίηκεν ἐπιορκοῦντας, ἀλλ' οἴεται; ὁ γὰρ ὅρκος ἦν, εἰ Ἀλέξανδρον ἀποκτείνειεν ὁ Μενέλαος, ἀποδοῦναι τὴν Ἑλένην· οὐκ ἀναιρεθέντος δὲ οὐδαμοῦ ἠδίκουν μὴ ἀποδιδόντες, οὐδ' ἐπιώρκησαν. φησὶ δ' Ἀριστοτέλης ὅτι οὐδ' ὁ ποιητὴς λέγει ὡς ἐπιώρκησαν, καθάπερ ἐπ' ἄλλων "ὣς φάτο καί ῥ' ἐπίορκον ὄμοσεν" (Π. 10, 332), ἀλλ' ὅτι κατάρατοι ἦσαν· αὐτοὶ γὰρ ἑαυτοῖς κατηράσαντο εἰπόντες "Ζεῦ κύδιστε. μέγιστε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι, ὁππότεροι πρότεροι ὑπὲρ ὅρκια πημήνειαν, ὧδέ σφ' ἐγκέφαλος χαμάδις ῥέοι ὡς ὅδε οἶνος" (298). οὐκ ἐπιώρκησαν μὲν οὖν, ἐκακοήργησαν δὲ καὶ ἔβλαψαν τοὺς ὅρκους. ἐπάρατοι οὖν ἦσαν. ταῦτά τοι καὶ Ἥρα πειρᾶται ἐξ αὐτῶν ὧν κατηράσαντο γενέσθαι αὐτοῖς τὴν βλάβην· εὐξαμένων γὰρ ἐκείνων "ὁππότεροι πρότεροι ὑπὲρ ὅρκια πημήνειαν, ὧδέ σφ' ἐγκέφαλος χαμάδις ῥέοι ὡς ὅδε οἶνος," ἡ Ἥρα αὐτὸ τοῦτο παρακελεύεται τῇ Ἀθηνᾷ "ἐλθεῖν ἐς Τρώων καὶ Ἀχαιῶν φύλοπιν αἰνήν. πειρᾶν δ' ὥς κεν Τρῶες ὑπερκίδαντας Ἀχαιοὺς ἄρξωσι πρότεροι ὑπὲρ ὅρκια δηλήσασθαι" (Π. 4, 65). τὸ δὲ βλάψαι οὐκ ἔστιν ἐπιορκῆσαι.

*Πορφυρίου. διὰ τί τὸν ἥλιον πάντα ἐφορᾶν καὶ πάντα ἐπακούειν

6. πρώην ξένον] πρόξενον. Conf. Ἀριστοτέλους. p. 166, 11.
16. *Πορφυρίου] om. In marg.
33. *Πορφυρίου] om. Eadem fere in scholio Odyss. 12, 374.

εἰπὼν, ἐπὶ τῶν ἑαυτοῦ βοῶν ἀγγέλου δεόμενον ἐποίησεν; "ὠκέα δ' ἠελίῳ ὑπερίονι ἄγγελος ἦλθε Λαμπετίη τανύπεπλος, ὅ οἱ βόας ἔκταν ἑταῖροι." λύων δὲ Ἀριστοτέλης φησὶν, ἤτοι ὅτι πάντα μὲν ὁρᾷ ἥλιος, ἀλλ' οὐχ ἅμα, ἢ ὅτι τοῦ ἡλίου ἦν τὸ ἐξαγγεῖλαι ἡ Λαμπετία ὥσπερ τῷ ἀνθρώπῳ ἡ ὄψις· ἢ ὅτι, φησὶν, ἁρμόττων ἦν εἰπεῖν οὕτως τόν τε Ἀγαμέμνονα ὁρκίζοντα ἐν τῇ μονομαχίᾳ "ἠέλιός θ' ὃς πάντ' ἐφορᾷς καὶ πάντ' ἐπακούεις," καὶ τὸν Ὀδυσσέα πρὸς τοὺς ἑταίρους λέγοντα· οὐ γὰρ δὴ καὶ τὰ ἐν Ἅιδου ὁρᾷ. καὶ ὅλως ὁ ποιητὴς, ὅπου πάρεστιν, ἐκεῖνά φησιν ὁρᾶν πάντως, ἐν μὲν τῇ ἀνατολῇ ὄντα τὰ ἐν τῇ ἀνατολῇ, ἐν δὲ τῇ μεσημβρίᾳ τὰ ἐν αὐτῇ, καὶ πάλιν ἐπὶ δυσμῶν τὰ κατ' αὐτὸν ἐπιβλέπειν. εἰκὸς οὖν ἐστὶ κατ' ἄλλο κλίμα τῆς κινήσεως ὄντα μὴ ἑωρακέναι τὰ κατὰ τὴν Θρινακίαν πραττόμενα. πάντα μὲν γὰρ ἐφορᾷ, οὐ κατὰ τὸν αὐτὸν δὲ καιρὸν πάντα ἐποπτεύει.

*ἀφ' ἑαυτοῦ ἐχρῆν ἐγνωκέναι τὸν πάντ' ἐφορῶντα ἥλιον. λύοιτο δ' ἂν τῇ λέξει· τὸ γὰρ πάντα δηλοῖ τὰ πλεῖστα. λύοιτο δὲ καὶ τῷ καιρῷ· νυκτὸς γὰρ εἰκὸς ἐπιθέσθαι τοῖς βουσὶ τοὺς Ἰθακησίους.

279. Ἠλύσιον καὶ Περσεφόνην φησίν. ἐκφοβῶν οὖν πρῶτον μὲν τοὺς οὐρανίους, ἔπειτα τοὺς ὑπογείους καλεῖ. δεισιδαιμονεῖν δὲ διδάσκει, μηδὲ μετὰ θάνατον ἀπαλλάσσεσθαι τοὺς ἁμαρτάνοντας λέγων.

τελεία εἰς τὸ ὁμόσσῃ.

280. βαρυντέον τὸ ἔστε, καὶ προστακτικὸν ἐκδεκτέον. τὸ δὲ φυλάσσετε ἀντὶ τοῦ πιστώσασθε τὰ ἐπὶ τῇ πίστει γινόμενα ὅρκια.

281. εἰ μέν κεν Μενέλαον] ἀνεμεσήτως προέταξε τὴν τοῦ ἀδελφοῦ ἧτταν. ὅλῃ δὲ τῇ παραβάσει τῶν συνθηκῶν ἀπολογίαν δίδωσι προσθεὶς τὸ κτείνῃ· δικαίαν γὰρ ἀπολογίαν παρέχει Τρωσὶ, δυναμένοις λέγειν ὅτι οὐκ ἐγένετο τὸ ὁρισθέν· οὐ γὰρ ἀπέκτεινε τὸν Ἀλέξανδρον ὁ Μενέλαος. δύνανται δὲ καὶ οἱ Ἕλληνες, τὴν πρόκλησιν τοῦ Ἕκτορος προβαλλόμενοι "ὁππότερος δέ κε νικήσῃ κρείσσων τε γένηται," εὐλόγως ἀπαιτεῖν τὰς συνθήκας. ἰσχυρότερα δὲ τὰ τῶν Τρώων, ὅτι μάλιστα δεῖ ὁρᾶν τὰ ἐπὶ τοῖς ὅρκοις ὁριζόμενα.

286. ἔθος γὰρ ἦν τοῖς παρακαθημένοις αἰτεῖν καὶ πρόστιμα· καὶ οὐ δίκαιον τοὺς προκατάρξαντας ἐπ' ἴσης ἀπαλλάττεσθαι. ὁ μὲν οὖν Μενέλαος σπεύδων ἀπολαβεῖν τὸ γύναιον οὐδὲν περὶ τούτων φησίν.

13. ἐποπτεύει] ἐπακούει Vill. 14. *ἦλιον] om. 32. *ἦν] om.

ὁ δὲ μεγαλοφυῶς ὁρίζει τὸ ἐπιζήμιον. ἐπεὶ δὲ οὐδεὶς ἐμνήσθη τοῦ κεφαλαίου, ἐπιμένει τῷ λόγῳ.

291. εἵως κε] οἶδε γὰρ εὔνους τοὺς θεοὺς, εἰ παραβαῖεν· ἁπλοϊκὸν δὲ τὸ ἦθος τῶν ἡρώων, εἴ γε οὐ μεσεγγυᾶται ἡ Ἑλένη.

*Πορφυρίου. διὰ τί ἀβελτέρως τῆς μονομαχίας Ἀγαμέμνων ἐπεμελήθη; οὐδὲν γὰρ ἔλαβε βέβαιον, οὐδ' ἐμεσεγγυήσατο τὴν Ἑλένην, περὶ ἧς ὁ ἀγὼν, ἀλλ' ἐπ' ἐκείνοις ἐγένετο τὸ μὴ ἀποδοῦναι. λύεται δὲ ἐκ τοῦ ἔθους· οὐ γὰρ ἦν τὸ ἀρχαῖον τὰ πρὸς ἀλλήλους διὰ πολλῆς φυλακῆς, ἀλλ' ἁπλῶς συνέβαλλον, καὶ ἐπιβουλαὶ καὶ ἀπάται οὐκ ἦσαν, πρὸς ἃς αἱ τοιαῦται εὐλάβειαι εὑρέθησαν. ἐπεὶ διὰ τί Ἀγαμέμνων καὶ Μενέλαος ἀδορυφόρητοι ἦσαν, ὧν ἀναιρεθέντων ἐλέλυτο ἂν ἡ στρατιά; ἀλλ' οὔπω τότε ἦσαν αἱ πολιτικαὶ ἐπιβουλαί. ὁ δὲ ποιητὴς μιμητὴς ὢν τὰ ὑπάρχοντα ἐποίει, ἀλλ' οὐ τὰ μέλλοντα.

296. ἔκχεον] προειδὼς τὸ αὐτῶν ἀτελὲς οὐκ εἶπεν ἔσπενδον, ἀλλ' ἔχεον. ἀειγενέτῃσιν δὲ τοῖς ἀΐδιον ἔχουσι τὴν γενεὰν, ἤτοι ἀεὶ οὖσιν.

300. ὧδέ σφ' ἐγκέφαλος] ἀντὶ τοῦ αὐτῶν, ὡς τὸ "ἡμῖν δ' αὖτε κατεκλάσθη φίλον ἦτορ δεισάντων φθόγγον τε βαρύν" (Od. 9, 256).

301, 302. οὐδ' ἄρα πώ σφιν] κεφαλαιωδῶς τὴν τῶν μελλόντων προαπήγγειλεν ἐπίδειξιν. διὰ δὲ τοῦ πω ἐλπίδα πάλιν ὑπολείπεται τῷ φιλέλληνι.

306. οὔπω τλήσομ'] ἐπεὶ σώζειν Ἀλέξανδρον μέλλει, πιθανῶς ὑπεξάγει τὸν πατέρα, Ἕκτορα δὲ αὐτόπτην ἐᾷ ἐπὶ τῷ τὸν οἶκτον αὔξειν. παρὼν γὰρ ἐνταῦθα ἔδωκεν ἂν τὴν Ἑλένην ὡς τοὺς ὅρκους ἐμπιστευθείς. εἰ δὲ καὶ πᾶσιν ὡς κὴρ ἀπέχθεται Ἀλέξανδρος, ἀλλ' ὁ πατὴρ τὸ φυσικὸν οὐ δύναται μὴ σώζειν.

*διὰ τί ὁ Πρίαμος τὸν μὲν Ἀλέξανδρον καὶ τὸν Μενέλαον οὐκ ἂν ἔφη δύνασθαι ἰδεῖν μαχομένους, ἀλλ' ᾤχετο ἀπιὼν, τὸν δ' Ἀχιλλέα καὶ Ἕκτορα θεωρεῖ, ὃν μᾶλλον ἐφίλει; ἢ ὅτι ὁ μὲν αἴτιος τῶν κακῶν ὢν μονομαχήσειν ἔμελλεν. ὁ δοὺς οὖν τὸ χρῆναι αὐτὸν μονομαχεῖν τῇ τύχῃ ἐπέτρεψε τὸ τέλος, αὐτὸς ἀφιστάμενος τοῦ θορύβου· φησὶ γὰρ "Ζεὺς μέν που τό γε οἶδεν, ὁπποτέρῳ θανάτοιο τέλος πεπρωμένον ἐστίν." ὅπου δὲ οὐ συγκατατίθεται τῇ μάχῃ, πείθεσθαι δὲ

5. *Πορφυρίου. διὰ] καὶ διὰ B, omisso Πορφυρίου. V. de hoc scholio annot. ad v. 354.

παρακαλεῖ τὸν υἱὸν ἀναχωρεῖν, ἐλπίδι τῆς ἀναχωρήσεως ἐπιμένει, ἱκέτης, ἀλλ' οὐ θεατὴς γινόμενος· ἄχρι γὰρ τέλους ἡ ἐλπὶς τοῦ πεισθῆναι δεόμενον κατεῖχεν. οὕτως γὰρ καὶ ἡ μήτηρ πάρεστιν, οὐχ ἵνα θ-άσηται μαχόμενον, ἀλλ' ἵνα μὴ θεάσηται, εἰσελθόντος αὐτοῦ, δεομένη. καὶ ἅμα τῷ ποιητῇ ἡ τραγῳδία ἀνύεται, δι' οἴκτου ψυχαγωγοῦσα τὸν ἀκροατὴν, τούτων παρόντων. ἔπειτα ἐπὶ μὲν τοῦ Ἀλεξάνδρου ἐπὶ τῷ πεδίῳ ἡ μάχη ἦν, ἐπὶ δὲ τοῦ Ἕκτορος παρὰ τὸ τῆς πόλεως τεῖχος· συνεωσμένων δὲ τῶν μὲν Τρώων εἰς τὴν πόλιν, τῶν δ' Ἀχαιῶν ἐφεστηκότων καὶ τοῦ Ἀχιλλέως θέοντος περὶ τὸ τεῖχος, ἀναγκαῖον ἦν οὐ τὸν Πρίαμον μόνον, ἀλλὰ καὶ τὴν ἄλλην ἅπασαν ἄχρηστον ἡλικίαν παρεῖναι διὰ τὸ μέγεθος τοῦ κινδύνου.

308. Ζεὺς μέν που] ἴσως ὁ μέν που ἀντὶ τοῦ μέντοι, ὅς ἐστιν ἀντὶ τοῦ δέ· ἐγὼ μὲν ἄπειμι, Ζεὺς δὲ τὸ τέλος οἶδε καὶ τὴν τύχην. οὐκ ἀποκόπτει δὲ τοῦ υἱοῦ τὴν ἐλπίδα.

310. τὰ ἐν ὅρκοις σφαζόμενα οἱ μὲν ἐγχώριοι ἔκρυπτον τῇ γῇ, οἱ δὲ ξένοι τῇ θαλάσσῃ. ἢ δείξων ἀποφέρει τοῖς ἐν ἄστει, πιστωσόμενος κἀκείνοις, ἢ ὡς ἀγνοοῦντας διδάξων.

314. καὶ δῖος Ὀδυσσεύς] ὑπηρετικὸν γὰρ τοῦτο· τὸ δὲ τῶν σπουδῶν βασιλικόν.

315. *χῶρον μὲν πρῶτον διεμέτρεον] ἀναγκαίως δὲ διεμέτρουν πᾶν τὸ χωρίον ἐν ᾧ ἤμελλον μονομαχήσειν, ὥστε μὴ μόνον τὸν διὰ τῶν ὅπλων ἡττηθέντα νενικῆσθαι, ἀλλὰ καὶ τὸν ἀπολιπόντα τὸ ἀποδεδειγμένον χωρίον, ὅπερ καὶ ἐπὶ τῶν ἀθλητῶν. ἄλλοι δέ φασιν ὅτι ἵνα μὴ πρὸς τὰ ἑαυτῶν πλήθη χωρισθῶσιν, ἀλλ' ὥσπερ ἐν εἱρκτῇ τῇ περιγραφῇ μένωσιν. μετὰ δὲ ταῦτα δεόντων καὶ κλῆρον ἐποιήσαντο περὶ τῆς ἀφέσεως τοῦ δόρατος, ὥστε μὴ θόρυβον ἐμπεσεῖν τοῦ ὑστέρου φθάσαντος διὰ τῆς πρώτης βολῆς ἀνελεῖν τὸν πολέμιον. ψῆφοι δέ τινες ἦσαν οἱ κλῆροι, εἰς οὓς ἐσημειοῦτο ἕκαστος. οὓς οὕτως ὠνόμασαν διὰ τὸ καλεῖσθαι ὑπ' αὐτῶν εἰς τὰς πράξεις.. χῶρον δὲ διεμέτρεον· οὐ γὰρ ἔδει ἐξελθεῖν, ὡς ἂν τοῦ παρεξελθόντος πεφευγότος καὶ διὰ τοῦτο ἡττηθέντος, κἂν ἔξω γενόμενος τοῦ χώρου

11. τοῦ κινδύνου] Huic scholio Schraderus p. 39 adiunxit partem scholii ad 22, 38 a manu prima scriptam in B πῶς οὖν Ἀλεξάνδρου τὸ μονομάχιον—ἀλλ' ἱκέτης τοῦ μὴ πολεμεῖν ἐπιμένει.

23. ὅπερ] *ὥσπερ

27. *τῆς πρώτης βολῆς] τὴν πρώτην βολήν

πολεμῇ. ἐπὶ τούτοις οὖν τῶν συνθηκῶν γεγονυιῶν καὶ τῆς μάχης δι' ὅπλων ἀφορισθείσης, ἀφανοῦς γενομένου τοῦ Ἀλεξάνδρου, τοξευθέντος δὲ τοῦ Μενελάου, καὶ ἀδήλου ὄντος ὑπὸ τίνος, κἂν μήποτε ὑπ' αὐτοῦ τοῦ Ἀλεξάνδρου ἢ ὑπ' ἄλλου τινός, ὡς ἐδηλοῦτο ἐκ τοῦ φάναι τὸν κήρυκα "ὅν τις ἰϊστεύσας ἔβαλεν τόξων εὖ εἰδώς" (Il. 4, 206). καὶ τοξεύων δὲ διὰ τοῦτο κρύπτεται· "πρόσθεν γὰρ σάκεα σχέθον ἐσθλοὶ ἑταῖροι" (Il. 4, 113). καὶ ἐπαγγελία ὅτι, ἐάν τις τοξεύσῃ τὸν Μενέλαον, λήψεται δῶρα παρὰ Ἀλεξάνδρου (Il. 4, 96). καὶ οὐκ ἄλλως ἐκδίδοται ὁ Μενέλαος, καίτοι οὗτος μὲν ἦν ὡπλισμένος ἔτι, Ἀγαμέμνων δὲ καὶ οἱ ἄλλοι ἄνοπλοι. πάντως οὖν ἵνα δόξῃ Ἀλέξανδρος αὐτὸν τοξεύειν καὶ διὰ τοῦτο ἀνακεχωρηκέναι ἐκ τοῦ στρατοπέδου εἰς δόλον καὶ μηχανὴν κατὰ τοῦ Μενελάου. πάντ' οὖν ταῦτα προϊδόμενοι διαμετροῦσι τὸν χῶρον καὶ ὅρκοις πιστοῦνται τὰ παρόντα, ἵνα ὁ παρελθὼν ἔνοχος γένηται τῇ ἐπιορκίᾳ, ἐπεὶ καὶ ὁ Ἀλέξανδρος εἰ παρεξελθὼν τὸν τόπον ἐξεβλ ..... Μενέλαος δ' οὐ ..... τοῦτο ἐγίνετο τῶν συνθηκῶν μὴ σωζομένων. ἵν' οὖν παρασπονδήσαντες φωραθῶσι, περιγράφεται ὁ τόπος τοῦ μονομαχίου· ἐκ τούτου λύεται καὶ ἡ αἰτία δι' ἣν οὐ τὸν Ἀγαμέμνονα τοξεύει ἢ ἄλλον τινὰ τῶν ἀριστέων ὁ .... εὐμαρὲς ὂν διὰ τὸ εἶναι ἀνόπλους, ἀλλὰ τὸν Μενέλαον ἔνοπλον ὄντα. δῆλον γὰρ ὅτι ὑποκρίνεται τὸν Ἀλέξανδρον ὁ Πάνδαρος, ὡς ἂν δὴ τούτου τοξεύσαντος τὸν ἀνθεστῶτα καὶ μηδεμιᾶς παραβάσεως τῶν ὅρκων ὑπ' ἄλλου γεγονυίας· διὸ καὶ προσάγει τὸν Ἀλέξανδρον παρδαλέην ὤμοισιν ἔχοντα καὶ καμπύλα τόξα, ἵνα καὶ χρώμενος τούτοις εὐλόγως μετὰ ταῦτα ὑπονοηθῇ.

* Πορφυρίου. ἄλογον δοκεῖ εἶναι ἐπὶ μόνων τούτων διαμετρεῖν τὸν χῶρον καὶ κληροῦν. ἡ δὲ λύσις ἐκ τοῦ καιροῦ· ὑπὲρ γὰρ τῶν ὅλων αὕτη μόνη εἰσήχθη ἡ μάχη.

καὶ πῶς ἐπὶ Ἕκτορος, ἔνθα Αἴαντι μονομαχεῖ (Il. 7, 235), μὴ διαμετρεῖται ὁ τόπος; ἢ ὅτι ἐκεῖνοι μὲν περὶ τῆς ἀλλήλων σφαγῆς διαμιλλῶνται, ἐνθάδε δὲ περὶ τῆς κοινῆς ἐλπίδος ἐστὶν ὁ πόλεμος· διὸ οἵ τε ὅρκοι καὶ ἡ γύμνωσις τῶν στρατῶν, μή πώς τις ἔνοπλος ὢν προσαμύνῃ τῷ στρατηγῷ. ἢ ὅτι ἡ διαμέτρησις καρτερι-

13. προϊδόμενοι] προειδόμενοι
20. ὁ .....] ὁ Πάνδαρος Cobetus.
22. παραβάσεως Schraderus] . . .
26. * Πορφυρίου] om.

κωτέρους ἐργάζεται τοὺς πολεμοῦντας. ἄλλως τε δεδίασι μὴ τοξότης Ἀλέξανδρος ὢν δραπετεύσῃ τὴν συμβολὴν καὶ τὴν τοξείαν ἀντεπεισάξῃ Μενελάῳ. σκόπει γὰρ ὅτι καὶ αὐτοῦ μὲν ἀφανισθέντος, Μενελάου δὲ τοξευθέντος, οὐκ ἴσασι μὴ καὶ αὐτὸς εἴη ὁ τοῦτο δράσας· φησὶ γὰρ Ἀγαμέμνων "ὅν τις ὀϊστεύσας ἔβαλε τόξων εὖ εἰδὼς Τρώων ἢ Λυκίων" (Il. 4, 196).

316. χαλκήρεϊ] παραγωγὴ ἡ διὰ τοῦ ηρης βαρύνεται, εἰ μὴ ἀπὸ τοῦ ἀρῶ διὰ τοῦ ᾱ γίνεται ἡ παραγωγὴ, ὡς τὸ "ἔχει δ' ἄλοχον θυμαρέα" (Il. 9, 336).

318. ἠρήσαντο, θεοῖσι δὲ χεῖρας ἀνέσχον] ἐὰν εἰς τὸ ἠρήσαντο στίξωμεν, φησὶν ὁ Νικάνωρ, ὡς ἑτέροις ἔσονται θεοῖς ἀναπεύοντες τὰς χεῖρας· διὸ στίζει εἰς τὸ θεοῖσι· τὸ δὲ δέ ἀντὶ τοῦ καί φησίν. ἐγὼ δὲ ἰδέ φημι.

320. δύναται καὶ οὕτως, ἠρήσαντο θεοῖς ἰδὲ χεῖρας ἀνέσχον· καὶ ὁ ἰδέ ἀντὶ τοῦ καί.

323. ἀπὸ κοινοῦ τὸ δός ἐπ' ἀμφοτέροις τέτακται.

324. πάλλεν δὲ—Ἕκτωρ] πανταχόθεν τοὺς Τρῶας ἀπροφασίστους ποιεῖ.

325. τοῦτο μὲν τὰ ἀπὸ τῆς τύχης, ὅτι καὶ τοῖς ἥσσοσι προσγίνεται ἡ τύχη, τοῦτο δὲ καὶ τὰ ἀπ' ἀρετῆς περιποιεῖ. δηλοῖ δὲ διὰ τούτων ὡς κενὰ τὰ τῆς τύχης πρὸς τοὺς ἀνεπιτηδείους.

326. μόνως κατὰ γενικήν. τὸ ἑκάστῳ ἀντὶ τοῦ ἑκάστου.

327. τὸ ἔκειντο οὐκ ἔστι κοινὸν ἐπὶ τῶν ἵππων, ἀλλὰ προσυπακούομεν τὸ ἔσταν, ὡς ἐπὶ τοῦ "ποῦ δέ οἱ ἔντεα κεῖται ἀρήϊα, ποῦ δέ οἱ ἵπποι" (Il. 10, 407); ἢ ὡς ἰσοδυναμοῦν τοῦτο τῷ ἔσταν· ἐφίστασθαι γοῦν τὴν στήλην φαμὲν ἀντὶ τοῦ ἐπικεῖσθαι. ἢ καὶ ἐπὶ ἀργῶν τῶν ἵππων τὸ ἔκειντο ἁρμόδιον.

328. ἐδύσατο τεύχεα καλά] ὡς ἰδίᾳ μέλλοντες κινδυνεύειν ἀσφαλέστερον ὁπλίζονται· ἢ ὡς μέλλοντες κάμνειν προανεκτήσαντο ἑαυτοὺς τῇ τῶν ὅπλων ἀνέσει. κοσμεῖ δὲ αὐτὸν τῷ γάμῳ (329) τέως. ὡς πρῶτος δὲ λαχὼν πρῶτος ὁπλίζεται.

* Πορφυρίου. διὰ τί πάντας μονομαχεῖν μέλλοντας, καὶ εἰ τύχοιεν ὡπλισμένοι, αὖθις ποιεῖ καθωπλισμένους ἐπιλέγων "κνημῖδας μὲν πρῶτον" καὶ τὰ ἑξῆς; ἢ ὅτι τῶν προκλήσεων γινομένων ἦν ἀναγκαῖον τοὺς μέλλοντας μονομαχεῖν διαναπαύεσθαι, καὶ πρότερον

1. * ἄλλως τε] ἄλλως τε δὲ 32. * Πορφυρίου] om.

ἀναψύξαντας καὶ νεαλεῖς γενομένους οὕτως ἐπὶ τὸν ἀγῶνα καθιέναι. εἰκὸς δὲ μέλλοντας ἰδίᾳ κινδυνεύειν, ἵνα βέλτιον ὦσιν ὡπλισμένοι, ἐξ ἀρχῆς κατασκευάζεσθαι.

330. ὁπλισμὸν διδάσκει διὰ τούτου. ἐπισφύρια δέ εἰσιν οἱ γλουτοί, ἤτοι τὰ τῶν σφυρῶν σφαιρώματα.

333. ἤρμοσε δ' αὐτῷ] τοῖς γὰρ ὁμογενέσι καὶ ὁμοιοτρόποις ὅμοιαι τῶν σωμάτων αἱ κατασκευαί. κωμῳδεῖται δὲ ὡς οὐκ εἰδὼς τὸ συστάδην, ἄλλως τε καὶ δειλός. τοῦ γὰρ Λυκάονος ἔρριψε τὴν παντευχίαν, μὴ φέρων τὸν ἰδρῶτα (Il. 21, 50).

335. ἀπὸ κοινοῦ τὸ ὤμοισι βάλετο, ἀναγκαίως διὰ τοὺς τελαμῶνας. βραχὺ δὲ διασταλτέον εἰς τὸ χάλκεον. ἔστι δὲ καὶ τοῖς ἑξῆς κοινόν.

336. ἔθηκεν] ἀντὶ τοῦ περιέθηκεν Ἀττικῶς. πολλὴν δὲ καὶ ὁ λόφος νεύων (337) ἔχει τὴν ἔμφασιν.

339. *ἔντε'] εἴρηται ἀπὸ τοῦ ἐντὸς περιέχειν καὶ σκέπειν τὸ σῶμα. λέγεται δὲ καὶ τὰ πρὸς τὴν εὐωχίαν σκεύη ἔντεα, ὡς ἐκεῖ "μνηστῆρες δ' ἀπεκόσμεον ἔντεα δαιτός" (Od. 7, 232).

342. θάμβος δ' ἔχεν εἰσορόωντας] ἐκ παντὸς τόπου καὶ προσώπου τὴν ἔμφασιν κινεῖ. τὸ δὲ ἄδηλον καραδοκοῦντες ἐκπλήσσονται· κοινὸς γὰρ Ἐνυάλιος.

346. δολιχόσκιον] οἱ μὲν παρὰ τὸ κίειν, οἱ δὲ παρὰ τὸ σκιά. οὐκ ἔχει δὲ παρρησίαν Ἀλέξανδρος εὐχῆς ἄδικος ὤν.

348. χαλκός] Ἀρίσταρχος μὲν χαλκόν, ἄμεινον δὲ χαλκός. καὶ γὰρ ὕστερόν φησιν "ὁ δὲ δεύτερος ὦρνυτο χαλκῷ" ἀντὶ τοῦ δόρατι. καὶ τὸ μὲν τῆς τύχης ἔτυχεν, τὸ δὲ τῆς ἰσχύος ἀπώλεσεν.

350. ἐπευξάμενος] Ἑλληνικὸν τὸ μὴ πᾶν ἐπιτρέπειν τῇ ῥώμῃ.

352. τινὲς τὸ δῖον τῷ ἐμέ συνάπτουσιν. ἢ ἐρεθίσαι κατ' αὐτοῦ βούλεται τὸν θεὸν, ὡς αἰσχύναντος τὸ ἀπὸ Δαρδάνου γένος.

354. ξεινοδόκον] διὰ τοῦ κ ὡς πανδοκεῖον. ὁ δεχόμενος δὲ ἐνεργεῖ, οὐ πάσχει· διὸ παροξύνεται.

*ξεινοδόκον κακὰ ῥέξαι] ἀπελθόντα γὰρ ὡς πρέσβιν εἰς τὸ Ἄργος τὸν Ἀλέξανδρον ἐξενοδόχησεν ὁ Μενέλαος· ὅθεν καὶ εὔχεται τῷ ξενίῳ Διὶ, τῷ ὑπ' αὐτοῦ καταφρονηθέντι.

8. δειλός. τοῦ γὰρ Λυκάονος] *δειλὸς Λυκάων, ὃς

31. πρέσβιν] *πρέσβυν

33. *ξενίῳ] ξένῳ καταφρονηθέντι] Sequitur in B scholion manus secundae ad v.

358. ἠρήρειστο] τὸ βίαιον τῆς πληγῆς παραδηλοῖ τῷ τραχεῖ τούτῳ ῥήματι.

363. διατρυφέν] τὰ γὰρ ὑπερβάλλουσαν ἀλκὴν ἔχοντα μᾶλλον εὐθρυπτα.

*διὰ τί δὲ ὁ Μενέλαος συγκλασθέντος αὐτῷ τοῦ ξίφους οὐκ ἐσπάσατο τὸ τοῦ Ἀλεξάνδρου; ῥητέον οὖν ὅτι ἡ ἔκφρων ἐγένετο, τῷ λογισμῷ ἐκπλαγεὶς τῷ κινδύνῳ. ἢ πάντως ζῶντα εἰς Ἕλληνας ἑλκύσαι ἠθέλησεν, αἴξων τὸ κατόρθωμα. ἢ καὶ δι' οἰκονομίαν ὁ ποιητὴς ἐσεσώκει δι' Ἀφροδίτης τὸν Πάριν· ἐλέλυτο γὰρ τὰ τῆς ὑποθέσεως τῷ ἐκείνου θανάτῳ.

365. Ζεῦ πάτερ] φιλεγκλήμονες γὰρ καὶ ἐλεγκτικοὶ οἱ ἀτυχεῖς.

ὀλοώτερος] ὀλέθρων αἰτιώτερος. ἀναιρουμένου γὰρ Ἀλεξάνδρου τὰ τῆς μάχης ἐλίετο.

*τί οὖν βλασφημεῖ ὁ Μενέλαος; ῥητέον οὖν ὅτι οὐ βλασφημεῖ ὁ ἥρως, ἀλλὰ νεμεσᾷ· ἀρετῇ γὰρ οἰκείᾳ οἶδε πάσχων ἅπερ οὐκ ἔδει, καὶ νεμεσᾷ δικαίως ἐπὶ τῷ παρ' ἀξίαν σωζομένῳ.

366. ἐφάμην] Ἀττικῶς πέφρασται, ὡς τὸ "ἐγραψάμην Φίλιππον κλοπῆς παρὰ βραχύ, εἰ μὴ ἐσφάλην."

369. καὶ ἐπαίξας] εἴδωλον Ἀλεξάνδρου καταλιμπάνει τῇ ὑποθέσει, τριχῇ φονεύσας αὐτὸν δόρατι, ξίφει, αἰχμαλωσίᾳ.

370. ἕλκε] διὰ τοῦ ῥήματος τούτου παρέτεινεν αὐτοῦ τὴν αἰσχύνην. οὐ φονεύει δὲ αὐτὸν τῷ αὐτοῦ ξίφει ἢ ὑπὸ τοῦ καιροῦ ἢ ὑπὸ τῆς Ἀφροδίτης σφαλλόμενος, ἢ καὶ τοῖς ὅπλοις ἀπογνούς, ἢ καὶ ὅτι ἴσον θανάτου ἦν τὸ ὑπεκστῆναι τοῦ μετρητοῦ, ἢ ζῶντα αὐτὸν ἐλεῖν βουλόμενος, ὅπερ ἦν μεῖζον· οὕτω γὰρ ἂν ἀξίως ἐτιμωρήσατο αὐτὸν ἢ συντόμως ἀνελών.

*Πορφυρίου. ἄλογον τὸ μὴ σπασάμενον τὸ ἐκείνου ξίφος διαχειρίσασθαι αὐτόν. λύεται δ' ἐκ τοῦ καιροῦ· τὸν γὰρ ἐν τοσούτῳ ἀγῶνι οὐκ εἰκὸς ἅπαντα συνορᾶν. εἰ μὴ καὶ ἐκ τῆς λέξεως· λέγει

355, *διὰ τί τὸν Μενέλαον—ἦντιν' ἔοικεν, quod cum Bekkero apposui versui 100 supra p. 164, 30—165, 9. Tum scholion καὶ (καὶ omiserunt Vill. et Bekkerus et abest ab aliis codicibus) διὰ τί ἀβελτέρως—ἀλλ' οὐ τὰ μέλλοντα, quod Bekkerus apposuit versui 291, supra p. 180, 5—13. Idem scholiorum ordo in codicibus Scorialensi et Harleiano, in quibus utrique scholio praescriptum Πορφυρίου.

7. τῷ λογισμῷ] *τὸν λογισμὸν ἐκπλαγείς] *ἐκκλαπείς

*πάντως ζῶντα εἰς Ἕλληνας ἑλκύσαι] πάντως ἕλλ" ἑκλ"

17. Φιλίππον] Φιλῖνον

27. *Πορφυρίου] om.

γὰρ τὴν Ἀφροδίτην αὐτῷ βοηθῆσαι, ὥστε ἦν καὶ ἐν τῷ τοιούτῳ συλλαμβανομένη.

371. ἀπαλὴν ὑπὸ δειρήν] ὡς ἐπὶ γυναικὸς ἁπαλῆς εἶπεν ἐνειδίζων οὐκ εἰωθυίας κόρυθα φορεῖν.

374. *ἱστέον ὅτι κατὰ μὲν Ἡσίοδον ἡ Ἀφροδίτη γίνεται ἐκ τοῦ Οὐρανοῦ τῶν αἰδοίων καὶ τῆς θαλάσσης, κατὰ δὲ τὸν Ὅμηρον, Διώνης. ἀνεστράφη πάλιν ἡ περίοδος· ὀρθὴ δ' ἂν ἦν οὕτως· εἰ μὴ ἄρ' ἐξὺ νίησε Διὸς θυγάτηρ Ἀφροδίτη, ἥ οἱ ῥῆξεν ἰμάντα βοὸς ἶφι κταμένοιο. γίνωσκε δὲ ὅτι τὰ τῶν θνησιμαίων ζῴων δέρματα ὡς προδιεφθαρμένων ὑπὸ τῆς νόσου εἰσὶν ἀσθενῆ.

375. ῥῆξεν] οὐκ ἔλυσεν· τάχους γὰρ ἦν χρεία. οὐ σώζεται δὲ σὺν τῇ κόρυθι, ὅπως κἂν τὸ κάλλιστον τῶν λαφύρων παρὰ τοῖς πολεμίοις καταλειφθῇ.

οὐ βοηθεῖ Ἀθηνᾶ Μενελάῳ, ὅπως ἡ Ἴλιος πορθηθῇ Ἀλεξάνδρου σωζομένου· Ἀφροδίτη δὲ Ἀλεξάνδρῳ βοηθεῖ, ἐπεὶ θεράπων ἐστὶ τοῦ αὐτῆς κεστοῦ, συναπάγει δὲ αὐτὸν ὅπως μὴ ἀπαγχονισθείη.

377. ἥρως] εὔκαιρον ἐπὶ τῇ νίκῃ τὸ ἥρως, καίτοι δυνάμενον Ἀτρείδης κεῖσθαι.

378. ῥῖψ'] σύμβολον τῆς νίκης· ταυτὸν γάρ ἐστι τῷ καὶ τὴν κεφαλὴν ῥῖψαι.

379. *Πορφυρίου. αὐτὰρ ὁ ἆψ ἀπόρουσε κατακτάμεναι μενεαίνων ἔγχει χαλκείῳ] ἀδύνατόν φασιν εἶναι κατὰ τὸ ἐγχείρημα. ἐρρίφη γάρ, φησίν, ἤδη τὸ ἔγχος· "ἠίχθη παλάμηφιν ἐτώσιον." λύεται δὲ ἀπὸ τοῦ ἔθους· δύο γὰρ δόρατα φέρειν νενομισμένον ἦν, ὡς πολλαχοῦ λέγει· "πάλλων δ' ἐξέα δοῦρα κατὰ στρατὸν ὤχετο πάντη" (Il. 6, 104). ἢ ἀπὸ τοῦ καιροῦ· οὐ γὰρ ἔτυχε τότε ἀπολλόμενον τὸ ἔγχος, ἀλλ' ἐπὶ τῷ Ἀλεξάνδρῳ ὑπάρχον, οὗ κατεκυριεύθη.

καὶ πῶς φησὶν "ἐκ δέ μοι ἔγχος ἠίχθη;" ἢ ὅτι δύο δόρατα ἐβάσταζεν· ἢ τῶν παρόντων ἥρπασεν· ἢ τῷ ἐμπεπηγότι αὐτῷ διαχρησόμενος ἐπεδίωκεν.

380. τὸν δ' ἐξήρπαξ' Ἀφροδίτη] ἐπὶ τοσοῦτον προάγει τὰς περιπετείας ὁ ποιητής, ὡς ὑπὸ μόνων ἰᾶσθαι θεῶν.

1. ἦν Bekkerus] ἂν
2. συλλαμβανομένη] Addit B καὶ διὰ τί ὁ Μενέλαος—ἐκείνου θανάτῳ, quae iam scripserat ad v. 363.
21. *Πορφυρίου] om.
27. *οὗ] οὐ

382. κηώεντι] κοιμιστικῷ, εὐώδει. καὶ τοῦτο δὲ τῆς ἀκολασίας Ἀλεξάνδρου τεκμήριον.

383. αὐτὴ δ' αἶψ' Ἑλένην καλέυσ' ἴε] κατηγοροῦσιν ὡς πραγωγὸν εἰσάγοντος αὐτοῦ τὴν θεόν. ἀλλ' ἐπεὶ ὥρμηται γέλωτα μὲν θέσθαι τὸν Πάριν, ἐπαινέσαι δὲ τὴν Ἑλένην, καὶ τοῦ μὲν τὴν ἀκρασίαν, τῆς δὲ τὸ σῶφρον ὑπ' ὄψιν ἄγειν, οὐ δύναται δὲ διεστῶτα τὰ πρόσωπα δι' ἑτέρου συμβιβάζειν, ἐπίτηδες παρίλαβε τὴν Ἀφροδίτην, καλεῖ δὲ αὐτὴν, ὅπως μὴ διὰ τοῦ τείχους ἀποδοθῇ· ἢ μή πως εἰόμενος αὐτὴν ἀπεδεδόσθαι διαχειρίσηται ἑαυτόν.

384. περὶ δὲ Τρωαὶ ἅλις ἦσαν] πυθόμεναι γὰρ τὴν μονομαχίαν ἐξῆλθον. πιθανὸν δὲ ἀποστάντος τοῦ Πριάμου προστεθῆναι ταῖς Τρωάσιν αὐτήν· αἷς θεωροῦσα τὴν μάχην οὐδ' ὁτιοῦν φθέγγεται, μή πως ἐκφήνῃ τὸ πάθος.

385. ἑτίναξε λαβοῦσα] ὑπεξάγει αὐτὴν, ὅπως μέλλουσα διαλέγεσθαι μὴ ἐν μέσαις διαλέγηται ταῖς Τρωάσιν. πρᾶγμα δὲ εὐτελὲς μεθ' ὅσης φαντασίας δηλοῖ, ὑψῶν τῷ κόμπῳ τῶν ἐπιθέτων.

387. ναιεταώσῃ] ἐκ τοῦ ναίω ναιέτης· καὶ ὥσπερ ἀπὸ τοῦ κυνηγέτης κυνηγετῶ, οὕτως ἀπὸ τοῦ ναιέτης ναιετῶ· καὶ ὤφειλε μὲν ναιεταούσῃ, ἀλλ' ἔστιν ἡ χρῆσις Ἰώνων.

391. δινωτοῖσι] ἐφ' ὧν ἀκινητοῦμεν, κατὰ ἀντίφρασιν· ἢ ὅτι δῖνος ὁ τόρνος, ὃ καὶ διὰ τοῦ ῑ φησὶν Ἡρωδιανὸς ἐν τῷ περὶ σχημάτων. λείπει δὲ ἐνταῦθα τὸ ἐστίν· ἐπεὶ δὲ ἡ φράσις συνήθης ἐστὶν, ἐὰν τεθῇ, πλεονάζειν δοκεῖ.

διχῇ αὐτὴν ἀναζωπυρεῖ ὑπομιμνήσκουσα τοῦ ἀνδρὸς, καὶ ἀπὸ τοῦ κάλλους καὶ τοῦ τόπου.

ταῦτά φησιν, ἵνα μὴ μυσαχθῇ αὐτὸν διὰ τὸ λύθρον.

394. χορὸν νέον] ἠϑέων γὰρ τὸ χορεύειν· ὃ καὶ Πρίαμος ἐνειδίζει τοὺς υἱοὺς "χοροιτυπίῃσιν ἄριστοι" (Il. 24, 261).

396. ἐνήσετο θεᾶς περικαλλέα δειρήν] καὶ μὴν γραῒ παρεικασθεῖσα ἦν. ἀλλ' ἔθος τοῖς ἡμιθέοις τοὺς θεοὺς ἐπιγινώσκειν, ὡς Αἴας τὸν Ποσειδῶνα (Il. 13, 68).

*Πορφυρίου. ἀδύνατόν φασιν εἰς γραῦν μεταβαλεῖν τὴν ἰδέαν τὴν Ἀφροδίτην, καὶ νοῆσαι τὴν Ἑλένην τὴν τῆς θεᾶς δειρήν. λύτις· πολλαχοῦ ποιεῖται τοὺς ἡμιθέους τεκμαιρομένους τὰς τῶν θεῶν μορφὰς, ὡς ὅταν ὁ Ποσειδῶν Κάλχαντι ὁμοιωθεὶς φαίνηται, ὅ τε Αἴας φησὶν "οὐδ' ὅγε Κάλχας ἐστὶ θεοπρόπος· ἴχνια δὲ

μετύπισθε ποδῶν ἠδὲ κνημάων ῥεῖ ἔγνων ἀπιόντος· ἀρίγνωτοι δὲ θεοί περ" (Il. 13, 70).

397. στήθεά θ' ἱμερόεντα] οὐδὲν ἄτοπον γυμνὴν φαίνεσθαι τὴν θεόν· Ἑλένη γὰρ ἤθελε γνωρισθῆναι, κρύπτεται δὲ ταῖς Τρωάσιν.

399. δαιμονίη] παρρησιάζεται ἡ Ἑλένη ὡς πρὸς ἀδελφήν.

400. ἦ πή με] τὸν ἦ περισπαστέον, τὸ δὲ πή ὀξυντέον διὰ τὸ μέ ἐγκλιτικόν· οὐ γάρ ἐστι νῦν ἐρωτηματικὸν τὸ πῆ, ἀλλὰ ἀόριστον.

δίχα τοῦ ἰ τὸ προτέρω· ἀπὸ τοῦ προσωτέρω γάρ ἐστιν.

402. κομματικὸς ὁ λόγος τῇ δυσχεραινούσῃ διανοίᾳ. θέλει δὲ εἰπεῖν, οὔ τί με λανθάνεις ἐφ' ᾧ ἦλθες.

411. πορσυνέουσα] εὐτρεπίζουσα, ὡς τὸ "λέχος πόρσυνε καὶ εὐνήν" (Od. 3, 403. 7, 347). τὸ δὲ ἑξῆς οὕτως, οὐκ εἶμι ἐκεῖσε πορσυνέουσα τὸ ἐκείνου λέχος. τὸ δὲ νεμεσσητόν διὰ μέσου. μωμήσονται γάρ με, φησίν, αἱ Τρωάδες ὡς δευτέρας μάχης οὖσαν αἰτίαν· ἔδει γὰρ αὐτὴν τῷ νικήσαντι ἕπεσθαι.

414. μεθείω] μετωνυμικῶς, ἀντὶ τοῦ ἐαθῆναι ποιήσω καὶ μισηθῆναι, ὡς καὶ φιληθῆναι ἐποίησα. τὸ ἀνεξίκακον δὲ τῆς θείας ἐδήλωσε φύσεως· "θεὸς γὰρ ἐπὶ σμικροῖσιν οὐ θερμαίνεται, | ἀλλ' ὡς λέβης τοῦ μείζονος δεῖται πυρός."

416. καὶ τῶν ἐναντίων γὰρ ἔχουσιν ἐξουσίαν οἱ θεοί, ὡς αἱ Μοῦσαι ἐπὶ Θαμύριδι.

420. σιγῇ] διδάσκει μὴ θρασείας ποιεῖσθαι πρὸς τοὺς ὑπερέχοντας τὰς ἀποκρίσεις.

422. ἀμφίπολοι μὲν ἔπειτα θοῇς ἐπὶ ἔργα τράπουτο] ἔδει γὰρ αὐτὰς χωρίζεσθαι ὡς ἀνδρὸς καὶ γυναικὸς τὰ συνήθη πρασσόντων.

423. δῖα γυναικῶν] ἀντὶ τοῦ διοτάτη. καλῶς δὲ τὰ ἐπὶ Διὸς οὐκ ἐπιτείνονται.

424. φιλομμειδὴς Ἀφροδίτη] τὰ γὰρ ἀφροδίσια λίπης ἀπήλλακται. τὸν δὲ δίφρον εἰ μὲν ὡς γραῦς τίθησιν, οὐκ ἄτοπον· εἰ δὲ ὡς Ἀφροδίτη, καὶ Ἀθηνᾶ λύχνευ φαίνει Ὀδυσσεῖ (Od. 19, 34). καὶ οὐ θαυμαστὸν εἰ ἀδελφῇ ὑπηρετεῖται· ἐπάγει γὰρ τὸ κούρη Διός.

*ἁπρεπῶς Ἀφροδίτη μαστροπεύει πρὸς τὸν Ἀλέξανδρον τὴν

4. *ἤθελε] ἦλθε
19. θεὸς γὰρ] ὁ θεὸς Valcken. ad Hippol. p. 179. Praestat θεὸς δ'.
*σμικροῖσιν] σμικροῖς
20. *τοῦ] om.
27. *διοτάτη] διωτάτη

Ἑλένην. ἀγνοοῦσι γὰρ ὅτι νῦν λέγει τὴν ἐν τοῖς ἐρωτικοῖς πάθεσιν ἀφροσύνην, ἣ μεσῖτίς ἐστιν ἀεὶ καὶ διάκονος μειρακιώδους ἐπιθυμίας. αὕτη καὶ τόπον εὗρεν ἐπιτήδειον, ὅπου τὸν Ἑλένης δίφρον ἀριδρύσει, καὶ ποικίλοις μαγγάνοις ἑκατέρου κινεῖ τὸν πόθον, Ἀλεξάνδρου μὲν ἐρωτικῶς ἔτι διακειμένου, τῆς δ' Ἑλένης μετανοεῖν ἀρχομένης. διὸ δὴ κατ' ἀρχὰς ἀντειποῦσα τοὔσχατον ὑπείκει, μεταξὺ δύο φερομένη παθῶν, ἔρωτός τε τοῦ πρὸς Ἀλέξανδρον καὶ αἰδοῦς τῆς πρὸς Μενέλαον.

425. ἀντί'] θεὰ γὰρ ἐρώτων συνεργός· ἐκ τοῦ γὰρ εἰσορᾶν γίνεται τὸ τοὺς ἀνθρώπους ἐρᾶν.

427. ὅσσε πάλιν κλίνασα] ὑπογράφει τὸ σῶφρον τῆς Ἑλένης· τέχνῃ γὰρ ἀντιτάσσεται τῇ Ἀφροδίτῃ.

428. πλανώμενοί τινες ὑποστίζουσιν ἐν τῷ πολέμου διὰ τὴν ὑπόκρισιν· Νικάνωρ δὲ τελείαν δίδωσι καὶ τὸ ἑξῆς ἀπόλυτον ἐᾷ.

431. βίῃ τῇ ψυχῇ, χερσί τῷ σώματι, ἔγχει τοῖς ἀμυντηρίοις. ἠθικῶς δὲ αὐτοῦ τὸ ἀλαζονικὸν ἔσκωψεν· ἴδιον γὰρ τῶν ἐρώντων ἐπ' ἀνδραγαθίαις αἴρεῖν.

434. παύεσθαι κέλομαι] θελγομένη ὑπὸ Ἀφροδίτης εἰς τοῦτο ἔρχεται. τάχα δὲ καὶ ἀποδοθῆναι θέλουσα λελῃθότως παραινεῖ μὴ μάχεσθαι· μὴ μαχομένου δὲ αὐτοῦ ἀποδοθείη κατὰ τὰ Διὶ δεδογμένα. διὰ τοῦτο ἐκδειματοῦσα ἀρηΐφιλόν φησι Μενέλαον. τὸ δὲ παύεσθαι ἐνεστῶτος, οὐ παύσασθαι. τελεία δὲ εἰς τὸ κέλομαι, καὶ τὰ ἑξῆς ἀντὶ προστακτικῶν.

439. νῦν μὲν γὰρ Μενέλαος] οἷαι τῶν ἠσχημονηκότων αἱ ἀπολογίαι. διὰ τὴν Ἀθηνᾶν φησὶ νενικῆσθαι, ὥσπερ οὐκ ἐκ τῶν ἐναντίων διὰ τὴν Ἀφροδίτην αὐτὸς σωθείς. νικήσειν δὲ ὑπισχνεῖται τὸν Μενέλαον, οὐδὲ μετὰ τὴν ἧτταν τὴν ἀλαζονείαν ἀφείς.

2. *ἢ] ἣ
4. *ἀφιδρύσει] ἀφιδρεύσει
7. *φερομένη] φερομένων
9. Hic novi in B scholii initium cui lemma ἀντί' praefixi. In A hoc scholion cum superioris scholii (ad v. 424) verbis φιλομειδής: τὰ γὰρ ἀφροδίσια λίπης ἀπήλλακται coniunctum est, sic scriptum sine lemmate ἡ θεὰ γὰρ αὕτη ἐρώτων συνεργός· ἐκ τοῦ γὰρ εἰσορᾶν γίνεται ἀνθρώποις ἐρᾶν. Qui poetae ignoti versus est a multis memoratus, quos indicavit Leutschius ad Diogeniani Proverb. 4, 49 vol. 1 p. 239 cum levi scripturae diversitate, recte scriptus apud Hesychium s. v. ὀμμάτειος πόθος, ἐκ τοῦ γὰρ ἐσορᾶν γίγνετ' (codex γίγνεται) ἀνθρώποις ἐρᾶν, qualem versum manifestum est ab vetere poeta Attico scribi non potuisse.

440. κεῖνον δ' αἴτις ἐγώ] βραχὺ διασταλτέον εἰς τὸ ἐγώ, καὶ τὸ νικήσω ἐκδεκτέον· κοινὸν γὰρ ἄμφω τὸ ἐνίκησεν.

441. τραπείομεν] τερφθῶμεν. κινδυνεύσας δὲ ὑπὲρ αὐτῆς, ὡς νικήσας, τῶν ἐπινικίων ἀπολαύειν ἀξιοῖ.

φιλότητι τραπείομεν εὐνηθέντε] πῶς, φασί, μετὰ τοσαύτην αἰσχύνην ὀργῆς; ἐμφανίζει οὖν τὴν πρόξενον ἁπάντων τῶν κακῶν αὐτοῦ λαγνείαν. ἢ ἀνακτώμενος Ἑλένην προσποιεῖται αὐτῆς ἐρᾶν, ὑπονοῶν ὀργίζεσθαι αὐτὴν ἐφ' οἷς ἐκδοῦναι τῷ πολεμίῳ ἔσπευσεν. ἢ ὅτι ὧν στερούμεθα ἂν, τούτων ἐρῶμεν.

*Πορφυρίου. διὰ τί τὸν Ἀλέξανδρον πεποίηκεν οὕτως ἄθλιον, ὥστε μὴ μόνον ἡττηθῆναι μονομαχοῦντα, ἀλλὰ καὶ φυγεῖν, καὶ ἀφροδισίων μεμνημένον εὐθὺς, καὶ ἐρᾶν μάλιστα τότε φάσκοντα, καὶ οὕτως ἀσώτως διακεῖσθαι; Ἀριστοτέλης μέν φησιν εἰκότως· ἐρωτικῶς μὲν γὰρ καὶ πρότερον διέκειτο, ἐπέτεινε δὲ τότε. πάντες γάρ, ὅτε μὴ ἐξῇ ἢ φοβοῦνται μὴ ἔξουσι, τότε ἐρῶσι μάλιστα· διὸ καὶ νουθετούμενοι ἐπιτείνουσι μᾶλλον· ἐκείνῳ δὲ ἡ μάχη τοῦτο ἐποίησεν. οἱ δὲ, ὅτι ἡ προσδοκία τῆς ἀποδόσεως ἤγειρε σφοδρότερον τὴν ἐπιθυμίαν διὰ τὴν μέλλουσαν ἀφαίρεσιν. οἱ δὲ, ὅτι ἡ Ἀφροδίτη παροῦσα οὐ μόνον ἐκ τῆς μάχης αὐτὸν ἐρρύσατο, ἀλλὰ καὶ λελυπημένον διὰ τὴν ἧτταν εἰς παρηγορίαν ἦγε, μεταβαλοῦσα τὴν τῆς ψυχῆς κατάφειαν εἰς τὸ ἡδὺ τῆς ἐπιθυμίας. ἄλλοι δὲ, ὅτι τῆς Ἑλένης ἀνακτώμενος τὴν εὔνοιαν σφοδρότερον τὸν ἔρωτα ἐπιτετάσθαι λέγει· ἐνόμιζε γὰρ τὴν αὐτὴν χαλεπῶς φέρειν δι' ἃ συνέθετο, ὥσπερ ἔκδοτον τοῖς Ἀχαιοῖς γενομένην. ἵνα δὲ ἐπιδείξῃ οἷος ἦν Ἀλέξανδρος, ἔν τε τῷ πολέμῳ ἐποίησε θρασὺν ἅμα καὶ δειλὸν, ἐπί τε τῆς οἰκίας ἀσελγῆ καὶ καταφρονητὴν ὀξύς. χαρακτηρίζει γὰρ διὰ τούτων τὸ ἦθος τοῦ αἰτίου τῶν κακῶν τοῖς πᾶσι διὰ τὴν ἀσέλγειαν γενομένου.

442. ἀμφεκάλυψεν] ἐθήρευσεν. ἡ μεταφορὰ ἐκ τῶν θηρευτικῶν δικτύων.

443. ἐρατεινῆς] τοῖς ἐρῶσι καὶ αἱ τῶν ἐρωμένων πατρίδες καλαὶ παρὰ πάσας εἶναι δοκοῦσιν.

445. νήσῳ δ' ἐν Κρανάῃ] ταύτην πρὸ Ἀττικῆς εἶναί φασιν. οἱ δὲ τὰ Κύθηρα· Ἀφροδίτης γὰρ ἱερά.

10. *Πορφυρίου] om. 152.
15. ἐξῇ ἢ—ἔξουσι] ἔχουσιν—ἐξῇ Thurot, *Revue critique* 1870 p.
19. *ἐρρύσατο] ἐρύσατο
22. *ἔρωτα] ἔρον

446. ὥς σευ] ἐγκλιτέον· ἀπόλυτον γάρ ἐστιν. ἐπὶ δὲ Διὸς (Il. 14, 328) ὀρθοτονητέον. τὸ δὲ ἑξῆς οὕτως, οὐδέποτε οὕτως ἔρως ἀμφεκάλυψεν ὡς νῦν ἐρῶ σου.

447. ἄκοιτις] τηρεῖ τοῦτο, καίπερ μὴ ὂν κατὰ τὸν συναφείας νόμον, ὡς ἐπὶ Ἥρας καὶ Διός.

448. κατεύνασθεν] ἐπὶ μὲν τῶν ἀξιεράστων γάμων εὐνὴν καὶ φιλότητα ὀνομάζει· ἐπὶ δὲ Πηνελόπης καὶ πλέον τι "λέκτρου παλαιοῦ θεσμόν" (Od. 23, 296)· ἐπὶ δὲ τῶν παρανόμων μόνην μῖξιν καὶ κοίτην.

449. θηρὶ] ἄγρας ἀφῃρημένῳ, ἐπεὶ καὶ ἄνω (23) ἐπιτυχόντι αὐτὸν εἰκάζει.

456. Τρῶες καὶ Δάρδανοι] εἰς δύο γὰρ ἡ Τρώων ἀρχὴ διῄρητο ἀπὸ Ἀσσαράκου καὶ Ἴλου, ὧν οἱ υἱοὶ πολίζουσι· Γανυμήδης δὲ ἥρπαστο.

457. νίκη μὲν] ὑπερέβη γὰρ τὸ μετρητὸν Ἀλέξανδρος, καὶ καλούμενος ἄπεστιν. καὶ Τρῶες μὲν ἔξουσι τὴν Ἀγαμέμνονος φωνὴν ἐπίκουρον, τὸ "εἰ δέ κ' Ἀλέξανδρον κτείνῃ ἐπίκουρον" (284)· οὐ γὰρ ἐκτάνθη· Ἀχαιοὶ δὲ τὴν Ἕκτορος, τὸ "ὁππότερος δέ κε νικήσῃ κρείσσων τε γένηται" (92)· κρείσσων γὰρ ὤφθη Μενέλαος. καὶ γίνεται ἡ στάσις ῥητὸν καὶ διάνοια. διὸ ἀμφοτέρων εὔλογον αἰτίαν ἐχόντων ἐπίσκεψις καὶ πρὸς ὀλίγον ἐπίσχεσις γίνεται τοῦ πολέμου.

*διὰ τί τῶν συνθηκῶν ὑπ' Ἀγαμέμνονος τοιούτων γεγονυιῶν "εἰ μέν κεν Μενέλαον Ἀλέξανδρος καταπέφνῃ, αὐτὸς ἔπειθ' Ἑλένην ἐχέτω καὶ κτήματα πάντα, ἡμεῖς δ' ἐν νήεσσι νεώμεθα· εἰ δέ κ' Ἀλέξανδρον κτείνῃ Μενέλαος, Τρῶας ἔπειθ' Ἑλένην καὶ κτήματα πάντ' ἀποδοῦναι, τιμήν τ' Ἀργείοις ἀποτινέμεν, ἥντιν' ἔοικεν· εἰ δ' ἂν ἐμοὶ Πρίαμος Πριάμοιό τε παῖδες τίνειν οὐκ ἐθέλουσιν, αὐτὰρ ἐγὼ καὶ ἔπειτα μαχέσσομαι εἵνεκα ποινῆς" (Il. 3, 281–290)· τῶν γοῦν συνθηκῶν τῆς νίκης διὰ σφαγὴν θατέρου τῶν μαχομένων ὡρισμένης καὶ τοῦ Ἀλεξάνδρου μὴ ἀνῃρημένου Ἀγαμέμνων φησὶ "νίκη μὲν δὴ φαίνετ' ἀρηΐφιλου Μενελάου, ὑμεῖς δ' Ἀργείην Ἑλένην καὶ κτήματ' ἅμ' αὐτῇ ἔκδοτε, καὶ τιμὴν ἀποτινέμεν, ἥντιν' ἔοικεν" (Il. 3. 457–459)· ἐνῆν γὰρ ἀντικρούειν τὸν τυχόντα ὅτι "εἰ μέν κεν Μενέλαος Ἀλέξανδρον καταπέφνῃ" εἴρηται, καὶ "εἰ δέ κ'

22. Scholion Porphyrii, quod in B adscriptum est versui 281.

34. Μενέλαος Ἀλέξανδρον] Μενέλαον Ἀλέξανδρος Schraderus.

'Αλέξανδρος κτείνῃ ξανθὸν Μενέλαον." ῥητέον ὅτι ἀπὸ τῶν Ἕκτορος λόγων ἡ ἀπαίτησις τῷ 'Αγαμέμνονι τοῦτον τὸν τρόπον ἐχόντων "κέκλυτέ μευ, Τρῶες καὶ 'Αχαιοί, μῦθον 'Αλεξάνδρειον· ἄλλους μὲν κέλεται Τρῶας καὶ πάντας 'Αχαιοὺς τεύχεα κάλ' ἀποθέσθαι ἐπὶ χθονὶ πουλυβοτείρῃ, αὐτὸν δ' ἐν μέσσῳ καὶ ἀρηΐφιλον Μενέλαον οἷους ἀμφ' Ἑλένῃ καὶ κτήμασι πᾶσι μάχεσθαι. ὁππότερος δέ κε νικήσῃ κρείσσων τε γένηται, κτήματ' ἐλὼν εὖ πάντα γυναῖκά τε οἶκαδ' ἀγέσθω" (Il. 3, 86–93). μὴ ῥηθέντος οὖν ὑπὸ τοῦ 'Αλεξάνδρου διὰ τοῦ Ἕκτορος περὶ σφαγῆς καὶ θανάτου, περὶ δὲ νίκης καὶ τοῦ ἐκ κρειττόνων γεγονότος, ὁ μὲν 'Αγαμέμνων εὐλόγως ἐξ ὧν εἰρήκασιν οἱ πολέμιοι ἀπαιτεῖ τὰς συνθήκας, ἐπὶ δ' ἦνεν ἄλλοι 'Αχαιοί (Il. 3, 461)· οἱ δὲ Τρῶες οὐκέτι συναινοῦσι σφαγῆς μὴ γεγουυίας, ἐξ ὧν εἴρηκε ποιούμενος τὰς συνθήκας 'Αγαμέμνων διὰ σφαγῆς κρίνεσθαι τὴν νίκην, εὔλογον τῆς ἡσυχίας πρόφασιν λαμβάνοντες, ὥστε καὶ ἐνεῖναι διαμφισβητεῖν πρὸς ἀλλήλους, ἑκατέρων μαρτυρομένων τὰς ἀπὸ τῶν ἀμφισβητούντων γεγουνίας ὁμολογίας. ὁ μὲν γὰρ 'Αγαμέμνων ἐρεῖ δεῖν ἀποδιδόναι· τοῦτο γὰρ ὡμολογήθη ὑπὸ Ἕκτορος, τὸ τῷ νικήσαντι καὶ κρείσσονι γεγονότι τὴν ἀπόδοσιν γίνεσθαι· ὁ δὲ Ἕκτωρ ἐρεῖ μὴ δεῖν ἀποδιδόναι. ὡμολογεῖσθαι γὰρ καὶ συγκεῖσθαι ὑπὸ τοῦ 'Αγαμέμνονος θανάτου γεγονότος καὶ σφαγῆς ὅτι δεῖ τὴν ἀπόδοσιν γίνεσθαι· μηδενὸς δὲ ἀνῃρημένου μένει ἀκεραίως τὰ πράγματα. πάλιν οὖν ἔδει μονομαχῆσαι αὐτούς· ὅθεν 'Αλεξάνδρου μὲν μὴ φαινομένου, τῶν δὲ συνθηκῶν μενουσῶν ἔτι ἐν ταῖς σπονδαῖς ἀντ' 'Αλεξάνδρου ἀναιρετέον θελήσας τὸν Μενέλαον καὶ τοξεύσας συγκέχυκε τοὺς ὅρκους, καὶ πάντας ἐπὶ τὴν ἐπιορκίαν τοὺς μήτε τὸν 'Αλέξανδρον ἐκδεδωκότας μήτε τὸν τοξεύσαντα τὸν Μενέλαον πεποίηκεν.

458. 'Αργείην Ἑλένην] τὴν οὖσαν ἐξ Ἄργους καὶ 'Αργείοις προσήκουσαν.

461. ἐπὶ δ' ἦνεν ἄλλοι 'Αχαιοί] οἱ Τρῶες σιωπῶσιν, οὔτε μὴν τῶν βασιλέων καταγινώσκειν ἔχοντες οὔτε τοῦ δικαίου.

1. 'Αλέξανδρον κτείνῃ ξανθὸς Μενέλαος Schraderus.

4–6. κάλ' et πουλυβοτείρῃ et ἀρηΐφιλον et καὶ κτήμασι πᾶσι om. B.

20. καὶ σφαγῆς Schraderus] καὶ om.

25. πάντας ἐπὶ τὴν ἐπιορκίαν] πάντας ἐπιόρκους Schraderus.

ΕΙΣ ΤΗΝ Δ.

1. *οἱ δὲ θεοί*] *πιθανῶς ἐκ τοῦ κάτωθεν θορύβου εἰς οὐρανὸν τὴν σκηνὴν μετήγαγε, σεμνύνων καὶ ποικίλλων ἅμα τὴν ποίησιν τόποις τε καὶ προσώποις καὶ λόγοις. ὑπονοεῖν δὲ δεῖ παρὰ τὴν ἁρπαγὴν Ἀλεξάνδρου τοὺς λόγους γεγενῆσθαι τοῖς θεοῖς. ηὔξησε δὲ τὸ ἀγωνιστικὸν τῆς ὑποθέσεως τῇ τῶν θεῶν προνοίᾳ.*

ἠγορόωντο] *ἐδημηγόρουν, ἐκ τοῦ ἀγορή ἀγορῶ ἠγορῶντο, καὶ διαιρέσει ἡ μᾶλλον πλεονασμῷ ἠγορόωντο, ἤγουν διελέγοντο.*

2. *δάπεδα μὲν τὸ ὁμαλὰ χωρία, γήπεδα δὲ τὰ ἐν ταῖς πόλεσι προκείμενα ταῖς οἰκίαις οἷον κηπίδια· οἰκόπεδα δὲ οἰκιῶν κατηριπωμένων ἐδάφη.*

δύο δὲ ἐνταῦθα δηλοῖ, ὅτι τε τὰ τῶν θεῶν ἀεὶ ἡβᾷ, καὶ ὅτι οὐδέποτε ἀπρονοήτους ἐστίν. ἀπὸ δὲ τῶν παρ' ἀνθρώποις τιμίων αὔξει καὶ τὰ θεῶν. τέως δὲ ἀνθρωποπαθεῖς εἰσάγει νῦν τοὺς θεούς, προρυθμίζων ἡμᾶς πληγὰς αὐτῶν ἀκούειν καὶ πάθη.

μετὰ δέ] *τόνδε τὸν δέ ὧδε ἀνθυπήγαγεν· ὁ δὲ συνδετικὸς γάρ ἐστι καὶ αὐτῷ ἀεὶ ἀκολουθεῖ, ὡς τὸ "τὴν δ' ἐξ ἁλὸς ἤπειρον ἔρυσσαν, ἐκ δ' εὐνὰς ἔβαλον, ἐκ δὲ καὶ αὐτοὶ βαῖνον" (Il. 1, 435).*

**Ἥβη*] *ἡ ἐνταῦθα εὐωχουμένοις τοῖς θεοῖς ὑποδιακονουμένη κατ' ἀρχὰς Ἥβη τίς ἂν εἴη πλὴν ἡ διηνεκῶς ἐν ταῖς εὐφροσύναις νεότης; οὐδὲ γὰρ ἐν οὐρανῷ ἔστι γῆρας, οὐδ' ὕπεστί τι τῆς θείας φύσεως ἔσχατον βίου νόσημα· πάσης δ' ἐξαιρέτως θυμηδίας ὡσπερεὶ συνεκτικὸν ὄργανόν ἐστιν ἡ τῶν συνεληλυθότων ἐπὶ τὴν εὐφροσύνην ἀκμή.*

**διὰ τί ἡ μὲν Ἥβη τοῖς πᾶσι θεοῖς διακονεῖ, ὁ δὲ Γανυμήδης μόνῳ τῷ Διί; ῥητέον οὖν ὅτι, ἐπειδὴ τὸ θεῖον ἀεὶ νεάζει τε καὶ ἡβᾷ· τοῦτο γὰρ βούλεται αὐτοῖς ἥ τε ἀμβροσία, ἀβροσία τις οὖσα, καὶ τὸ νέκταρ, παρὰ τὸ νεάζειν γεγενημένον, ὁ δὲ Γανυμήδης ὑπηρετεῖ μόνῳ τῷ Διὶ, ὅτι ὁ μὲν Ζεὺς πρῶτός ἐστι νοῦς, μόνος δὲ ὁ νοῦς ἔχει οἰκεῖον τὸ τοῖς μήδεσι γάνυσθαι· τοῦτο γὰρ ὁ Γανυμήδης. ἡ δὲ Ἥβη, ὡς λέγεται, Ἥρας ἐστὶ θυγάτηρ.*

3. *ἐφνοχόει*] *πλεονασμός ἐστιν ὡς τὸ ἀνέῳγε καὶ ἐήνδανε. καταχρηστικῶς οὖν τὸ ἐφνοχόουν ἐπὶ τοῦ νέκταρος, ὡς τὸ βωμὸν οἰκοδο-*

8. *ἢ μᾶλλον*] *μᾶλλον ἢ* Lobeckius Rhem. p. 187.

26. **ἀβροσία*] om.

29. **γάνυσθαι—Γανυμήδης* | *γάνυσθαι—γανυμήδης* hic et supra.

μεῖν καὶ ἵππους βουκολέειν. ποιεῖ δὲ τοῦτο, ὅτι περὶ Ἰλίου ὁ λόγος. καὶ ἵνα εὐφράνῃ τὸ συμπόσιον ἴσως λυπούμενον. νέων δὲ τὸ ὑπηρετεῖν, ἀφ' οὗ καὶ τοὺς δούλους παῖδας καλοῦμεν.

4. δειδέχατ'] ἀπὸ τῆς δεξιᾶς ἡ μεταφορά. καὶ τοῦτο δηλοῦται ἐκ τοῦ "πλησάμενος οἴνοιο δέπας δείδεκτο" (Il. 9, 224). καὶ ὁ φιλόφρων δὲ ἀριδείκετος λέγεται.

Τρώων πόλιν εἰσορώωντες] ἀπρεπές φασιν εἰ τέρπει τοὺς θεοὺς πολέμων θέα. ἀλλ' οὐκ ἀπρεπές· τὰ γὰρ γενναῖα ἔργα τέρπει. ἄλλως τε πόλεμοι καὶ μάχαι ἡμῖν δεινὰ δοκεῖ, τῷ δὲ θεῷ οὐδὲ ταῦτα δεινά· συντελεῖ γὰρ ἅπαντα ὁ θεὸς πρὸς ἁρμονίαν τῶν ἄλλων ἢ καὶ ὅλων, οἰκονομῶν τὰ συμφέροντα, ὅπερ καὶ Ἡράκλειτος λέγει, ὡς τῷ μὲν θεῷ καλὰ πάντα καὶ δίκαια, ἄνθρωποι δὲ ἃ μὲν ἄδικα ὑπειλήφασιν, ἃ δὲ δίκαια.

5. *αὐτίκ' ἐπειρᾶτο] πολλὰ ἔνεστι λύειν τῶν παρεωραμένων τοῖς γραμματικοῖς. αὐτίκα τὸ ἐπὶ τοῦ Διὸς "αὐτίκ' ἐπειρᾶτο Κρονίδης ἐρεθιζέμεν Ἥρην κερτομίοις ἐπέεσσι παραβλήδην ἀγορεύων" μὴ νοήσαντές τινες ἀλλοκότους ἐξηγήσεις πεποίηνται. φασὶ γὰρ ὅτι παραβλητικοῖς ἐχρῆτο λόγοις ὁ Ζεὺς, παραβάλλων καὶ ἀντεξετάζων τὴν Ἀφροδίτης Ἀλεξάνδρῳ ἐπικουρίαν πρὸς τὴν Ἥρας καὶ Ἀθηνᾶς τῷ Μενελάῳ γενομένην. τὸ οὖν παραβλήδην ὅτι μετὰ τοῦ παραβάλλειν λέγει, ὅπερ εἰώθασι συγκρίνειν λέγειν, καὶ ὅτι τοῦθ' οὕτως ἔχει δηλοῖ ὁ τοῦ Διὸς λόγος συγκριτικὸς ὤν· "δοιαὶ μὲν Μενελάῳ ἀρηγόνες εἰσὶ θεάων, Ἥρη τ' Ἀργείη καὶ Ἀλαλκομενηὶς Ἀθήνη. ἀλλ' ἤτοι ταὶ νόσφι καθήμεναι εἰσορόωσαι τέρπεσθον, τῷ δ' αὖτε φιλομμειδὴς Ἀφροδίτη αἰεὶ παρμέμβλωκε καὶ αὐτοῦ κῆρας ἀμύνει." καὶ οὐκ ἔστιν ἁπλῶς παραβολὴ καὶ ἀντεξέτασις, ἀλλ' ὄντως ἐρεθιστικὴ καὶ κέρτομος, ὡς προεῖπεν ἔσεσθαι, δοιαὶ μὲν Μενελάῳ, μία δὲ τῷ Ἀλεξάνδρῳ. καὶ ἡμὲν Ἥρα κηδεμὼν τοῦ Ἄργους κἀκεῖθεν χρηματίζουσα καὶ διὰ τοῦτο καὶ τοῦ Μενελάου κήδεσθαι ὀφείλουσα, ἡ δὲ Ἀθηνᾶ Ἀλαλκομενηὶς, ἡ δὲ Ἀφροδίτη φιλομμειδὴς καὶ οὐκ ἀπ' Ἰλίου· καὶ ὅμως αἱ μὲν νόσφι τοῦ Μενελάου κάθηνται, ἡ δὲ αἰεὶ παρμέμβλωκε· καὶ αἱ μὲν θεωροὶ εἰς τέρψιν τῶν ἀγώνων, ἡ δὲ αὐτῷ κῆρας ἀμύνει συμπαραμένουσα "καὶ νῦν ἐξεσάωσεν ὀϊόμενον θανέεσθαι." ὀρθῶς ἄρα προείρηκεν ὅτι ἐρεθιστικὸς ὁ λόγος ἔσται καὶ χλευαστικὸς καὶ παραβλητικός.

10. ἄλλων ἢ καὶ] * om. 24. *φιλομμειδὴς] φιλομειδὴς hic et infra.

ἐρεθιζέμεν Ἥρην] ἤθελε μὲν παράβασιν τῶν ὅρκων δι' Ἀχιλλέα ποιῆσαι, ἐβούλετο δὲ τὴν αἰτίαν αὐταῖς ἐπιθεῖναι.

7. ἀργόνες] ἐπὶ μόνου θηλυκοῦ τάσσει ὁ ποιητὴς αὐτό, ὅ ἐστιν ἡ ἀργών.

8. Ἀλαλκομενηὶς Ἀθήνη] τοῦτο τὸ ὄνομα Κέκροψ αὐτῇ ἐπιτέθεικε πρῶτος, καὶ οὕτως ἐτίμησεν. λέγει δὲ τοῦτο ὁ Ζεὺς ἢ ἀπατητικῶς, ἢ πρὸς τὰς τῶν Τρώων ἐπικούρους συγκρίνων θεὰς αὐτήν.

9. νόσφι] τοῦ Μενελάου. διασταλτέον δὲ εἰς τὸ καθήμεναι· λείπει γὰρ ὁ καί. ὅρα δὲ πῶς πάντοθεν τὸ παράδοξον θηρῶν τὴν μὲν Ἥραν Ἀργείαν καὶ τὴν Ἀθηνᾶν καλεῖ πολεμικὴν, τὴν δὲ Ἀφροδίτην φιλομμειδέα μόνον. πόρρωθεν δὲ ἄρχεται τῶν βουλευμάτων.

*Ἀλαλκομενηὶς δὲ εἴρηται Ἀθηνᾶ ἀπὸ τοῦ τὰ μένη, τουτέστι τὰς δυνάμεις τῶν ἐναντίων, ἀποσοβεῖν.

13. νίκη μέν] λείπει τὸ ἐστί. διέκρινε δὲ τὸ ἀμφίβολον ὁ τοῦ Διὸς λόγος, ὅπως μὴ δοκῇ ὁ ποιητὴς τοῖς Ἀχαιοῖς χαρίζεσθαι.

14. βραχὺ διασταλτέον εἰς τὸ ἔργα. τὸ δὲ μετ' αὐτὸ, τὸ ἦ ῥ', δύο μέρη εἰσὶ λόγου· ἐλλείπει γὰρ τοῦ ῥά συνδέσμου τὸ ᾱ. ἄρχεται δὲ τῶν κερτομιῶν ἤδη.

15. φύλοπιν] ἐπειδὴ κατὰ φυλὰς μάχονται. περισπαστέον δὲ καὶ τὸ ἦ φιλότητος· ἔστι γὰρ διαπορητικόν.

20. μεμυκόσι τοῖς χείλεσιν ἐπεμύχθησαν. ἠθικῶς δὲ καὶ τὸ γυναικεῖον σχῆμα πρὸ τῶν λόγων ἐμφαίνει ὅπως γνώμης ἔχουσιν. καὶ ἤρκει μὲν τοῦτο· ἡ δὲ ὀργὴ καὶ ἐπὶ λόγους αὐτὴν ἄγει.

23. σκυζομένη] ὀργιζομένη· καὶ γὰρ οἱ ὀργιλώτατοι Σκύθαι καλοῦνται.

24. οὐκ ἔχαδε] ἔμφασίς ἐστι τῆς διὰ τοῦ στόματος ὑπεκχεομένης ὀργῆς.

25. αἰνότατε] σχετλιαζούσης ὁ λόγος. ὅτε δὲ φιλοφρονεῖται αὐτὸν. φησὶ "Ζεῦ πάτερ, ἦ ῥά τί μοι κεχολώσεαι" (Il. 5, 421);

26. πῶς ἐθέλεις ἅλιον] εὔλογον αἰτίαν τῆς ἀτιμίας προστίθησι τὸ βουληθῆναι ἀκυρῶσαι τὰ πεπονημένα αὐτῇ.

27. μόνως τὸ ἰδρῶ θ'· ἀεὶ γὰρ δισυλλάβως ὁ ποιητὴς τοῦτό

5. *τὸ ὄνομα] om.

19. *φυλὰς] φῦλα

περισπαστέον — διαπορητικόν] Eadem fere post 29. περισπαστέον τὸν δεύτερον ἢ· ἔστι γὰρ διαπορητικός.

32. μόνως] διεσταλμένως frustra Bekkerus. μόνως significat solam veram scripturam esse ἰδρῶ θ', non conjunctim ἰδρῶθ'. Sic μόνως saepius in scholiis.

φησιν. ἐξήλλαξε δὲ τὴν φράσιν εἰπὼν "καμέτην δέ μοι ἵπποι." ἔδει γὰρ εἰπεῖν, πῶς βούλει ἀκυρῶσαι καὶ τὸν ἐμὸν ἱδρῶτα καὶ τὸν κάματον τῶν ἵππων;

29. θεοὶ ἄλλοι] ὁ ἕκαστος ἀποδέχεται, καὶ τοῖς ἄλλοις περιτίθησιν. ἢ οἱ Ἑλληνικοί, ὡς τὸ "πάντες δ' ἠτιόωντο" (Il. 11, 78). παιδεύει δὲ μὴ ἰδίᾳ ψήφῳ τοὺς βασιλεῖς ἀρέσκεσθαι.

30. μέγ' ὀχθήσας] ἠθικῶς, ὅπως δοκῇ παρὰ τὴν ἰδίαν γνώμην χαρίζεσθαι αὐτῇ τὸ αἴτημα.

31. δαιμονίη] ἠθικῶς ἀντὶ τοῦ μακαρία. τὸ δὲ τί νύ σε ἀντὶ τοῦ πῶς δή, ὡς τὸ "τί νύ σ' ἔτρεφον αἰνὰ παθοῦσα" (Il. 1, 414).

35. ὠμὸν βεβρώθοις] ἠύξησε τὸ ὑπερβάλλον τῆς γυναικείας κακίας, ὡς ἐν τῷ "τοῦ ἐγὼ μέσον ἦπαρ" (Il. 24, 212). αὔξεται οὖν ὁ λόγος ἐν τῇ καθ' ἕκαστον ἐξεργασίᾳ.

37. ἔρξον ὅπως ἐθέλεις] ὡς θέλεις πρᾶξον, μή πως ἡ ἀμφιβολία αὕτη ἐμοὶ καὶ σοὶ πόλεμος γένηται. οἱ δὲ στίζουσιν εἰς τὸ νεῖκος καὶ λείπειν φασὶ τὴν διά, καὶ τὸ γένηται ὑποτακτικὸν ἀντὶ τοῦ γένοιτο ἢ γενέσθω. τοῦτο δέ φησιν, ἵνα μηδὲ αὐτὴ ἐναντιωθῇ αὐτῷ ἐν τῇ τῶν Ἑλλήνων ἄτῃ.

40. ὁππότε κεν καὶ ἐγώ] καὶ ταῦτα κερτομικά, πρὸς τὸ τὴν χάριν ἐπὶ πλεῖον αὔξειν.

41. ἐγγεγάασιν] ἐνδιατρίβουσιν, οὐ γεγένηνται· πολλοὶ γὰρ ἀλλαχοῦ γεννώμενοι ἀλλαχοῦ οἰκοῦσιν.

42. διατρίβειν] μαλάσσειν· ἡ μεταφορὰ ἐκ τοῦ κηροῦ. ἐμφαίνει δὲ τὴν τῶν Ἡρακλειδῶν κάθοδον.

43. πολλὰ γὰρ παρὰ προαίρεσιν τῆς ψυχῆς πράττομεν πρὸς τὸ κεχαρισμένον τῶν πέλας, ὡς εἰ ἔλεγε, κατεδεξάμην μὲν ἐγώ, τὰ δὲ τῆς προαιρέσεως οὔ πώ μοι κατένευσεν.

*Πορφυρίου. πῶς ὁ Ζεὺς δῶκά σοί φησιν ἑκὼν ἀέκοντί γε θυμῷ; τὸ γὰρ ἑκών τῷ ἄκων ἀντίκειται. Τρύφων μὲν οὖν συναλείψας ἐν τῷ κ συνάπτει τὸ ᾱ πρὸς τὸ ἑκών, ἵν' ᾖ ἀέκων ἀέκοντί γε θυμῷ. τοιαύτη τις ἡ διάνοια· πολλὰ ποιοῦμεν τῶν πραγμάτων ἢ ἐξ ὅλης τῆς διανοίας ἢ μηδὲ βουλόμενοι. διεῖλεν οὖν τὸ ἐγὼ τῷ θυμῷ, καί φησιν ἐγὼ ἀέκων δέδωκα ἀκούσης μου τῆς διανοίας καὶ μὴ θελούσης. εἰ μὲν οὖν ἐγώ σοι δέδωκα ἔφη ἀέκων, ἐναντιολογία ἦν· καὶ εἰ ἑκόντι

28. *Πορφυρίου] om. 32. *μηδὲ] μηδὲν

θυμῷ, καὶ οὕτως ἂν ἦν ἐναντιολογία. ἐπεὶ δ' ἐγὼ μὲν ἑκὼν ἔφη ἀέκοντί γε θυμῷ, οὐκέτ' ἔστι μάχη διὰ τὸ πολλὰ μὲν ποιεῖν ἡμᾶς, μὴ συντιθεμένης δὲ τῆς διανοίας. πᾶσα γὰρ πρᾶξις διὰ τὸ καθ' ὁρμὴν γίνεσθαι ἐφ' ἡμῖν οὖσα ἑκούσιος ἂν εἴη, οὐ πᾶσα δὲ πρᾶξις καὶ τὸ εὐάρεστον τῆς διανοίας ἔχει. ἔστι δὲ καὶ ἕτερον εἰπεῖν, ὅτι ἑκὼν μὲν δίδωσιν ὡς ἀδελφῇ καὶ γυναικί, ἄκων δὲ ὅτι τοὺς φιλτάτους πρὸς ἀπώλειαν ἐκδίδωσιν. καὶ γὰρ οἱ ἐν θαλάσσῃ πλέοντες ὅταν περιπέσωσι κινδύνῳ, ἐκβάλλουσι τὸν φόρτον εἰς τὴν θάλασσαν ἑκόντες τε καὶ ἄκοντες, ἑκόντες μὲν ἵνα σωθῆναι δυνηθῶσιν, ἄκοντες δὲ ὅτι τὸν φόρτον ἀπόλλουσι δι' ὃν πλέουσιν.

44. ὑπ' ἠελίῳ τε καὶ οὐρανῷ ἀστερόεντι] γῆς καὶ οὐρανοῦ νυκτός τε καὶ ἡμέρας παρείληφε λαμπτῆρας, ἥλιόν τε καὶ ἀστέρας.

46. περὶ κῆρι] περισσῶς τῷ κέαρι.

47. καὶ Πρίαμος] ψεύδεται αὔξων τὴν χάριν· φησὶ γὰρ Ποσειδῶν "ἤδη γὰρ Πριάμου γενεὴν ἤχθηρε Κρονίων" (Π. 20, 306), καὶ μάλα εἰκότως, ἀσεβῆ γενομένην.

49. λοιβῆς τε] καὶ αὐτοῖς γὰρ ἐμέριζον οἱ θύοντες· καλῶς δὲ προαναγινώσκει νόμον ἀσεβείας. ἵνα δὲ μὴ δοκῇ ἐπ' ὀλίγοις ἀγάλλεσθαι, φησὶ "τὸ γὰρ λάχομεν γέρας ἡμεῖς."

51. ἐμοὶ τρεῖς] διὰ τί ὁ μὲν Ζεὺς μίαν, ἡ δὲ Ἥρα τρεῖς ἔχειν φησὶ πόλεις φιλτάτας, καὶ ἡ μὲν Ἑλληνίδας, ὁ δὲ βάρβαρον; ἔδει γὰρ τὰς κρείσσονας τὸν βασιλέα τῶν θεῶν ἔχειν φιλτάτας. ῥητέον δὲ ὅτι εὐπρεπῆ βουλόμενος περιθεῖναι αὐτῇ τὴν αἰτίαν τῆς ὀργῆς ὁ ποιητής, καὶ οὐχ ἧν ὁ μῦθος ἀναπλάττει, ὡς ἄρα διὰ τὸ μὴ προτιμηθῆναι τῆς Ἀφροδίτης ἐπὶ τῇ κρίσει τοῦ κάλλους Τρωσὶν ἐχαλέπαινεν, ἐπίτηδες ταύτας φησὶν αὐτὴν τὰς πόλεις φιλεῖν, περὶ ἃς τὸ ἀδίκημα τὸ κατὰ τὴν Ἑλένην γέγονεν. σύμψηφα δὲ τούτων κἀκεῖνα, ἐν οἷς αὐτὴν ποιεῖ λαμβάνουσαν τὸν κεστὸν παρὰ τῆς Ἀφροδίτης, ἵνα τῷ Διὶ μᾶλλον οὕτως ἐπέραστος φανείη· οὐ γὰρ ἦν εἰκὸς τὴν δεομένην τῆς βοηθείας τῆς παρ' αὐτῆς ἐπὶ τῷ ἀρέσαι τῷ ἀνδρὶ ἐναγανακτεῖν ἡττηθεῖσαν ἐπὶ τῇ τοῦ κάλλους κρίσει. ὁ δὲ Ζεὺς μίαν λέγων πόλιν φιλεῖν ἐξαίρει τὴν χάριν· οὐχ οὕτω γὰρ ὁ ἀπὸ πολλῶν διδούς τι θαυμάζεται ὡς ὁ ἀπὸ ὀλίγων. ὥστε ἀμφότεροι ῥητορικῶς κατασκευάζουσιν· ἡ μὲν γὰρ πολλὰς ἀντὶ μιᾶς πρήσεσθαί φησιν, ὁ δὲ τὴν μίαν, ἣν καὶ μόνην ἔχει, χαριεῖσθαι.

18. * ἐπ' ὀλίγοις] ἐπὶ λόγοις 30. ἐναγανακτεῖν] * ἀγανακτεῖν

53. δείκνυσι τῶν ὀργιζομένων τὸ ἦθος ἀλόγιστον, οἳ τῷ πόθῳ τῶν παρὰ χεῖρα τῶν μειζόνων ἀμελοῦσιν. διὰ δὲ τοῦ περὶ κῆρι ἐμφαίνει περὶ τῶν Τρώων, ὡς ὁμοίως αὐτῇ μισοῦνται ὡς ἐκείνῳ φιλοῦνται.

58. ἔνθεν] ἔντεχνον τὸ σχῆμα. τὰ γὰρ ἑαυτῆς δίκαια, δι' ὧνπερ ὤφειλε τιμῆς τυγχάνειν, ἐκ τῆς περὶ τὸν ἄνδρα δόξης λαμβάνει, προσαγομένη τὸν θεὸν λεληθότως.

59. πρεσβυτάτην] νῦν τιμιωτάτην. πλανηθεὶς δὲ ἐντεῦθεν Ἡσίοδος νεώτερόν φησι τὸν Δία (Th. 454).

ἀγκυλομήτης] ὁ καὶ τὰ τοῖς ἄλλοις ἀγκύλα μήσασθαι εἰδώς.

60. ἐπὶ τῶν ἐξ τούτων ἡ γενεὰ λαμβάνεται, ἐπὶ ἡλικίας, ὡς τὸ "ὁπλότερος γενεήν" (Il. 2, 707)· ἐπὶ εὐγενείας, ὡς τὸ "γενεῇ μὲν ὑπέρτερος" (Il. 11, 796)· ἐπὶ ἐκγόνων, ὡς τὸ "ὄφρα μὴ ἄσπερμος γενεή" (Il. 20, 303)· ἐπὶ πατρίδος, ὡς τὸ "γενεὴ δέ οἵ ἐστ' ἐπὶ λίμνῃ" (ib. 390)· ἐπὶ ὡρισμένου χρόνου, ὡς τὸ "τῷ δ' ἤδη δύο μὲν γενεαί" (Il. 1, 250)· ἡ γὰρ τοιαύτη γενεὰ λ' ἔχει χρόνους· ἐπὶ φύσεως, ὡς τὸ "οἵη περ φύλλων γενεή" (Il. 6, 146). λαμβάνεται δὲ καὶ ἐπὶ χρόνου ζωῆς ἀνθρώπων, ὡς τὸ "ἐννέα γὰρ ζώει γενεάς."

61. κέκλημαι] οὐκ ἔστι τελεία εἰς τὸ κέκλημαι· φησὶ γὰρ διότι σοῦ εἰμὶ γυνὴ τοῦ πάντων ἀνάσσοντος· τοῦτο δὲ δηλοῖ τὸ κέκλημαι. ἡδὺ δὲ καὶ τὸ τῆς ἐξαλλαγῆς· ἔδει γὰρ εἰπεῖν, σοῦ τοῦ πάντων βασιλεύοντος.

63. σοὶ μὲν ἐγὼ, σὺ δ' ἐμοί] πιθανῶς προτέραν ἔταξε τὴν ἰδίαν χάριν, ὡς προκατάρχουσα καὶ οὐκ ἀμειβομένη. τὸ δὲ επω δηλοῦν μὲν τὸ λέγω ψιλοῦται, τὸ δὲ ἀκολουθῶ δασύνεται. ἀνάγκη δὲ πᾶσα τοῖς ἄρχουσι τοὺς ποσῶς ὑποκειμένους ἕπεσθαι.

64. τὸ θᾶσσον συντακτέον τῷ ἐλθεῖν· φησὶ γὰρ (70) "αἶψα μάλ' ἐς στρατὸν ἐλθέ."

66. πειρᾶν] οὐκ ἀναγκάζουσιν ἐπιορκεῖν Πάνδαρον, ἀλλὰ πειρῶνται, εἰς πλείω τε ἁμαρτίαν προκαλοῦνται Τρῶας, ὅπως ἀξίαν τίσωσι δίκην· ἤδη γὰρ παρέβη Ἀλέξανδρος λέγων "κεῖνον δ' αὖτις ἐγώ" (Il. 3, 440). τὸ δὲ πειρᾶν ἀντὶ τοῦ πειράτω.

14. λίμνῃ] λήμνῳ

17. ζώει scripsi pro ζῶσιν, ex Plutarcho Moral. p. 415 c, qui Hesiodi versum integrum cum aliis quattuor servavit, ἐννέα τοι ζώει γενεὰς λακέρυζα κορώνη | ἀνδρῶν ἡβώντων.

*οὐκ ἀσεβεῖ δὲ, φησὶν, ὁ Πάνδαρος, εἰ ἡ Ἀθηνᾶ συνεβούλευσε καὶ ὁ Ζεὺς ἀπέσταλκεν. ῥητέον οὖν ὅτι ὁ μὲν εἰδὼς κακῶς τοὺς ὅρκους γεγενημένους (οὐδὲν γὰρ ἕτερον Τρῶες ἢ ἐπὶ τοῖς ἀλλοτρίοις ὤμοσαν) διὰ τοῦτο ἐσπούδασε λυθῆναι τὰς ἀδίκους συνθήκας. Ἀθηνᾶν δὲ νῦν ὑπολητέον τὸν λογισμὸν αὐτοῦ τοῦ Πανδάρου, καὶ ὅτι αὐτὸς πρὸς ἑαυτὸν ταῦτα διελογίζετο· ἄπιστοι γὰρ Λυκάονες, ὡς καὶ Ἀριστοτέλης μαρτυρεῖ. ἄλλοι δὲ καὶ αὐτοῖς τοῖς Ὁμήρου λύουσι λέγοντες προειρηκέναι τὸν ποιητὴν "πειρᾶν τ' αἴ κε θέλῃσιν," οὐχὶ πείθειν.

ὑπερκύδαντας] μεγάλως γαυριάσαντας ἐπὶ τῇ Μενελάου νίκῃ. μέγιστον δὲ πρὸς εὐσέβειαν πορθεῖσθαι Τροίαν διὰ τὴν παράβασιν τῶν ὅρκων, ὥσπερ καὶ Ὀδυσσέως ἡ συχνὴ ναυάγησις διὰ τὴν εἰς Ποσειδῶνα βλασφημίαν. ὑπερκύδας δὲ ἐκ τοῦ κῦδος κύδας καὶ ὑπερκύδας.

69. αὐτίκ' Ἀθηναίην] οὐ γὰρ ἀγγέλου μόνου, ἀλλὰ καὶ τοῦ πείσοντος Πάνδαρον ἔδει καὶ Μενέλαον σώσοντος· διὰ τοῦτο καὶ ἡ πάρος μεμανῖα πέμπεται.

75. ἀστέρα νῦν φησὶ τὸν ἀστεροειδῶς ἀκοντιζόμενον. καλῶς δὲ ἡ πολεμικὴ πολεμικῷ σημείῳ εἴκασται. καλοῦσι δὲ τούτους διάττοντας, καὶ δοκοῦσιν ἀπὸ συστροφῆς ἀέρος γίνεσθαι· ὅθεν καὶ ἀνέμους δηλοῦσιν. σπινθηρίζουσι δὲ, καὶ πρὶν εἰς γῆν πεσεῖν ψυχροτέρῳ ἀέρι λύονται. ἐν ὅσῳ δὲ, φησὶ, ταραττόμενοι σκοποῦσι περὶ τοῦ πολέμου διὰ τὸ τέρας, ἐν τοσούτῳ ἡ Ἀθηνᾶ ὁμοιουμένη αὐτῷ εἰς τὴν γῆν παρεγένετο.

77. ἐὰν δηλοῖ τὸ ἄποθεν, βαρύνεται ἡ ἀπό· εἰ δὲ ἀναστρέφεται πρὸς τὸ ῥῆμα, ὃ καὶ βέλτιον, οὐ βαρύνεται.

79. κὰδ δ' ἔθορ'] τὸ ἐνεργὲς καὶ σφοδρὸν τῆς θεοῦ ἡ πρόθεσις δηλοῖ. τὸ θάμβος δὲ οὐδετέρως παρ' Ὁμήρῳ, παρὰ δὲ Σιμωνίδῃ ἀρσενικῶς.

82. ἦ ῥ' αὖτις πόλεμος] πόλεμον μὲν ἐκ τοῦ πυρὸς τοῦ ἀστέρος ὑφορῶσιν, διὰ δὲ τὲ τὴν σβέσιν διστάζουσιν.

83. τελείαν εἰς τὸ ἔσσεται φησὶ Νικάνωρ, εἰ καὶ ἀπαντᾷ ἡ ὑπόκρισις.

5. *ὅτι] om.
7. *ὡς] om. In aliis καὶ Ἀριστοτέλης δὲ, omisso ὡς.
9. οὐχὶ] *οὐχὶ δὲ
22. *λύονται] κωλύονται
32. *ἀπαντᾷ] ἀπατᾷ

84. ὅστ᾽ ἀνθρώπων ταμίης πολέμοιο] καλῶς τοῦτο τῇ φιλότητι ἐπήγαγεν. ταμιεύει δὲ τὸ ἐναποκλείει.

86. ἀνδρὶ ἰκέλη] ἐνέπεσε μὲν τῷ πλήθει τῶν Τρώων ὡς ἀστὴρ, ἀνδρὶ δὲ εἰκασθεῖσα Πάνδαρον ζητεῖ.

87. Λαοδόκῳ Ἀντηνορίδῃ] καλῶς τούτῳ εἰκάσθη. παρέβη γὰρ καὶ ἕτερον νόμον οὗτος πρὸ τοῦ νῦν· βούλεται δὲ παραβῆναι καὶ τοῦτον τὸν νόμον ἤτοι τῶν σπονδῶν· εἰ γὰρ ἕτερος ἦν ὁ συμβουλεύων, ἔφη ἂν ὁ Πάνδαρος διὰ τί μὴ καὶ σὺ παραβήσῃ τοὺς ὅρκους; εἰκότως δὲ ὁ τοῦ φιλοξένου ἀνδρὸς παῖς Λαοδόκος καίτοι μὴ ὢν καλεῖται. ἀλλὰ καὶ κρατερὸς αἰχμητής, ἤτοι εἰς τὸ αἰχμάζειν ἰσχυρός.

88. διζημένη] εἰκότως εἰκασθεῖσα ἀνδρὶ καὶ τὰ ἀνδρῶν ποιεῖ. ἀντίθεον δὲ τὸν ἴσον Ἀπόλλωνι ἐν τοξείᾳ· τοὺς γὰρ ὑπερέχοντας ἔν τινι οὕτως φησίν. αἰσχροκερδὴς δὲ οὗτος, καὶ τοὺς ἵππους οἴκοι καταλιπὼν φειδοῖ τροφῆς. ἀμύμονα δὲ αὐτὸν λέγει (89) τῷ σώματι ἢ τῇ τέχνῃ ἢ τῷ γένει· οὐ γὰρ τοιοῦτος τοῖς τρόποις ἦν. ὡς μικρολόγον τοίνυν καὶ πεισόμενον ὑποσχέσει δώρων αὐτὸν ζητεῖ.

*Πορφυρίου. διὰ τί ἡ Ἀθηνᾶ εἰς σύγχυσιν τῶν ὅρκων οὐ τῶν Τρώων τινὰ ἐπελέξατο, ἀλλὰ τῶν ἐπικούρων; καίτοι κεχαρισμένος ἄν τις ἐγένετο Ἀλεξάνδρῳ μᾶλλον, εἰ τῶν οἰκείων ἦν. καὶ διὰ τί τῶν ἐπικούρων τὸν Πάνδαρον ἐπελέξατο; φησὶν οὖν ὁ Ἀριστοτέλης ὅτι τῶν μὲν Τρώων οὐδένα, διότι πάντες αὐτὸν ἐμίσουν, ὡς ὁ ποιητής φησιν "ἶσον γάρ σφιν πᾶσιν ἀπήχθετο κηρὶ μελαίνῃ" (Il. 3, 454)· τῶν δὲ ἐπικούρων τὸν Πάνδαρον ἐπελέξατο ὡς φιλοχρήματον (σημεῖον δὲ ἡ τῷ οἴκῳ αὐτοῦ τῶν ἵππων κατάλειψις, ἵνα μὴ δαπανᾷ Il. 5, 202), καὶ ὅτι φύσει ἐπίορκος ἦν· τὸ γοῦν ἔθνος ἔτι καὶ νῦν δοκεῖ εἶναι, ὅθεν ἐκεῖνος ἦν, ἐπίορκον. ἄλλοι δὲ οὕτως λύουσιν, ὅτι ἀρίστου ἦν χρεία τοῦ δυναμένου καταστοχάσασθαι καὶ τρῶσαι τὴν χεῖρα· οὐκ ἦν δὲ ἐν τῷ Τρωϊκῷ μέρει τις ἢ Ἀλέξανδρος μόνος καὶ Πάνδαρος εὐφυὴς οὕτως, ὡς καὶ ἐπιφωνῆσαι τὸν ποιητὴν "Πάνδαρος, ᾧ καὶ τόξον Ἀπόλλων αὐτὸς ἔδωκεν" (Il. 2, 827), ὃ σημαίνει τὴν τοξικήν. καὶ ὡς ἄριστον οὖν αὐτὸν ἐπελέξατο τοξότην.

90. ἀμφὶ δέ μιν] προοικονομεῖ τὴν ἀπὸ τῶν ὅπλων σκέπην. οὐκ ἄτοπον δὲ τοξότην μὲν εἶναι τὸν ἡγούμενον, ὁπλίτας δὲ τοὺς ὑπηκόους. Λοκροὶ γάρ, περὶ ὧν φησὶ "καὶ ἐϋστρόφῳ οἷς ἀώτῳ πεποιθότες

17. *Πορφυρίου] om. 27. *χρεία] om. 28. *τις] om.

"Ιλιον εἰσανέβαινον" (Il. 13, 716), τοξόται μέν εἰσιν, ὁπλίτην δὲ ἔχουσι τὸν ἄρχοντα· ὁ γὰρ Αἴας ἔγχει ἐκέκαστο παρὰ πάντας Ἕλληνας.

91. οἵ] πρὸς τὸ λαῶν ἀπέδωκεν, ὡς τὸ "γενεαὶ ἀνθρώπων, οἵ οἱ πρόσθεν ἅμα τράφεν" (Il. 1, 251).

93. ἦ ῥά νύ μοί τι πίθοιο] οἰκεία ἡ παραίνεσις ὁμοτίμῳ ἀνδρὶ, εὐσχήμονα πρᾶξιν ὑποτιθεμένῳ. ἕτοιμον δὲ πρὸς πειθὼ τό τε μὴ κελεύειν καὶ τὸ ἐκ πατέρων ὀνομάζειν.

94. ἐπιπρομέμεν] Ἀρίσταρχος μὲν βαρύνει τὴν ἐπί, Μενεκράτης δὲ ὑφ' ἓν ἀναγινώσκει.

95. χάριν καὶ κῦδος] χάριν μὲν ὡς τῆς μάχης παύσας αὐτούς, κῦδος δὲ ὡς τὸν βασιλέα τῶν πολεμίων ἀνελών. βεβαιωτικῶς δὲ ἀναγνωστέον· ὅμοιον γάρ ἐστι τῷ "ἦ γάρ κέ σφι μάλα μέγα κῦδος ἄροιο" (Il. 9, 303). πιστὸς δὲ ὁ λόγος παρ' ἀνδρὸς λεγόμενος ἐπιφανοῦς.

96. μάλιστ' Ἀλεξάνδρῳ] προσαγωγικῶς, εἴ γε αὐτῷ Ἀλεξάνδρῳ τοῦτο ποιῶν χαρίεις εὑρίσκεται. ἀγχίνους δὲ φαίνεται τῷ ποιεῖν τοὺς ἐπαίνους τῷ καιρῷ οἰκείους.

97. πάμπρωτα παρ' ἀγλαά] πρῶτα μὲν ὡς καὶ ἄλλων δωσόντων, ἀγλαὰ δὲ ὡς παρὰ βασιλέως. ἀπείργει δὲ ἡμᾶς δωροδοκίας διὰ Πανδάρου καὶ Ἀντιμάχου. τινὲς δὲ ἀναστρέφουσι τὴν παρά, κακῶς· οὐδέποτε γὰρ ἀναστρέφεται πρόθεσις γενικῇ συντασσομένη πτώσει.

99. σῷ βέλεϊ δμηθέντα] ἐλκυστικῶς τοῦτό φησιν, ὡς πάντως αὐτοῦ ἅμα τῷ βληθῆναι τεθνήξοντος.

*οἱ ἀρχαῖοι τὰ σώματα οὐκ ἔθαπτον ὑπὸ τὴν γῆν, εἰ μὴ πρότερον ἔκαυσαν· εἶθ' οὕτω τὴν τέφραν σὺν τοῖς ὀστέοις ἐχώννυον.

100. πῶς μὴ Ἀγαμέμνονα τοξεύει ἀκαθόπλιστον ὄντα, ἢ τινα τῶν ἀρίστων ἄλλον, ἀλλὰ τὸν ἐντεθωρακισμένον Μενέλαον; δῆλον οὖν ὡς ἀποτριβόμενος τὴν κατηγορίαν τῆς ἐπιορκίας, ἵνα δοκῇ μᾶλλον Ἀλέξανδρος εἶναι ὁ ἐκ λόγου Μενέλαον τοξεύσας, ἀλλὰ μὴ Πάνδαρος.

101. Λυκηγενέϊ] ἀψευδέστατον γάρ ἐστιν Ἀπόλλωνος ἱερὸν ἐν Λυκίᾳ. πληροῖ δὲ αὐτὸν φρονήματος μείζονος, πολίτην αὐτοῦ τὸν θεὸν ὑποτιθέμενος εἶναι.

*φασὶν ὅτι λαθεῖν σπουδάζουσα ἡ Λητὼ τὴν τῆς Ἥρας ζηλοτυ-

23. ἐλκυστικῶς] *ἐφελκυστικῶς 25. *ὑπὸ] ἐπὶ

πίαν εἰς Λυκίαν ἀπιοῦσα ἐγέννησεν ἐκεῖ τὸν Ἀπόλλωνα, τὸν περὶ τὴν τοξικὴν ἔνδοξον. τεσσάρων γὰρ τεχνῶν ἔφορός ἐστιν ὁ Ἀπόλλων, τοξικῆς ἰατρικῆς μουσικῆς καὶ μαντικῆς.

*Λυκηγενῆ αὐτὸν προσηγόρευσεν οὐχ ὡς ἐν Λυκίᾳ γεγεννημένον· ἔξω γάρ ἐστι τῆς Ὁμηρικῆς ἀναγνώσεως ὁ νεώτερος οὗτος μῦθος· ἀλλ' ὥσπερ, εἶμαι, τὴν ἡμέραν ἠριγένειαν ὀνομάζει τὴν τὸ ἦρος γενῶσαν, τουτέστι τὸν ὄρθρον, οὕτω λυκηγενῆ τὸν ἥλιον προσηγόρευσεν, ἐπειδὴ τοῦ κατὰ τὴν ὄρθριον ὥραν λυκαυγοῦς αὐτός ἐστιν αἴτιος. ἢ ὅτι τὸν λυκάβαντα γεννᾷ, τουτέστι τὸν ἐνιαυτόν· ὅρος γὰρ ἐτησίου χρόνου διαδραμὼν ἥλιος ἐν μέρει τὰ ιβ' ζῴδια.

102. πρωτογόνων] νέων, ἐπειδὴ καὶ τὸ θεῖον ἀεὶ νεάζει. ἢ πρωτευόντων ἐν γονῇ. ἢ ἠριτόκων· πρῶτον γὰρ πάσης ὥρας τὸ ἔαρ. πῶς δὲ ὁ Χρύσης (Il. 1, 41) ταύρων καὶ αἰγῶν θυσίαν ὑπισχνεῖται; ἐροῦμεν ὅτι τὰ ἀπόρρητα τοῦ θεοῦ σαφῶς εἰδὼς καὶ τὰ φίλα θύει· θυσίαις γὰρ αἰγῶν καὶ ταύρων ἥδεται. ὕλη γὰρ αὐτὰ τοῖς τόξοις κερασφόρα ὄντα. Πάνδαρος δὲ ὑπὸ Ἀθηνᾶς πειθόμενος τοξεῦσαι οὐκ αἶγας οὐδὲ ταύρους ὑπισχνεῖται, ἀλλ' ἐρίφων πρωτογόνων θυσίαν. ἀποτυχεῖν γὰρ αὐτὸν ἡ Ἀθηνᾶ τῆς καιρίας πληγῆς ἐβούλετο.

103. ἱερῆς εἰς ἄστυ Ζελείης] τοῦτο πρὸς τὸ ἐπᾶραι Πάνδαρον· ἢ ἐπεὶ χρηστήριόν ἐστιν ἐκεῖ τοῦ θεοῦ.

104. ἄφρονι] ὅτι θεοὺς ἐκάλει εἰς τὴν κατὰ θεῶν πρᾶξιν. διδάσκει δὲ μηδὲ θεῷ παρὰ τὸ δέον συμβουλεύοντι πείθεσθαι.

105. ἐσύλα] ὅτι ἡσυχῇ ἔμελλε κλέπτειν τὴν πρᾶξιν καὶ λύειν τὴν τῶν θεῶν πίστιν ὡς ἱερόσυλος. τοῦ ἰξάλου δὲ τοῦ ἱκνουμένου ἐπὶ τοὺς ἄλας· ψωριῶν γὰρ οὐδενὸς ἑτέρου μεταλαμβάνει. ἢ τὸν εἰς τὰς ἰξύας ἐρχόμενον, ὅ ἐστι κήλωνα. ἢ ἐντομίαν· οἱ γὰρ τέλειοι διωκόμενοι ἐντρίβονται τοὺς ὄρχεις. ἢ τὸν εἰς πᾶν ὕψος ἱκέσθαι δυνάμενον.

106. προκατασκευάζει διὰ τούτου τὴν τοῦ ἀνδρὸς εὐστοχίαν. προδοκῆσι δὲ τόποις προβλήματα ἔχουσιν· οἱ δὲ ταῖς ἐνέδραις. ὕπτιον δὲ λέγει πεσεῖν, ἵνα τὸ καίριον τῆς πληγῆς δηλωθῇ, ὃ αὐτὸν ὑπτιάζει.

109. κέρα] ἀποκοπή ἐστι τοῦ κέρατα· ἢ συναλοιφὴ τοῦ κέραα.

6. τὸ ἦρος] Conf. schol. ad 1, 477.
18. * ἡ Ἀθηνᾶ] om.
22. μηδὲ] μήτε
29. * εὐστοχίαν] εὐτυχίαν
33. συναλοιφὴ] συναλιφὴ hic et alibi.

πῶς δὲ δύναται κέρας εἶναι δύο καὶ ἥμισυ πήχεων; ἢ οὐκ ἐπὶ ἑκατέρου τοῦτο φησὶν, ἀλλ' ἀμφοτέρων.

110. κεραοξόος — τέκτων] πᾶς τεχνίτης· ὅθεν λιθοτέκτονες καὶ χρυσοτέκτονες.

111. ἐπέθηκε] ἤτοι ἐπάνω ἔθηκεν. κορώνη δὲ πᾶν τὸ ἐπικαμπὲς, ἀπὸ μεταφορᾶς τοῦ ζῴου.

112. τανυσσάμενος] τουτέστιν ἐπαναβιβάσας τῇ κορώνῃ τὴν νευράν. βραχὺ δὲ διασταλτέον εἰς τὸ τανυσσάμενος.

113. ἀγκλίνας] ἀπερείσας. κατάφωρον δὲ αὐτὸν μᾶλλον ποιοῦσι τειχίζοντες τοῖς ὅπλοις. ἀλλ' ἅμα ἔτεινεν, ἀφῆκε, καὶ οὐ κατὰ τὴν τοῦ λόγου διήγησιν.

117. σημειοῦται ὁ στίχος ὡς ἐνοχλῶν τῇ τάξει. καὶ τὸ ἀβλῆτα δὲ οὐχ Ὁμηρικόν· ἄμεινον δὲ τοῦ πτερόεντα τὸ πικρὸν ὀϊστόν. ἔρμα δὲ τὸ ἔρεισμα· συνέχει γὰρ ἕως ἀφαιρεθῇ τὴν ὀδύνην. ὅμοιον δέ ἐστι τῷ ἔρμα πόληος (Il. 16, 549). μελαινάων δὲ, ὅτι μελαίνονται αἱ σάρκες τῶν ἐκ πεφαρμακευμένων βληθέντων ὀϊστῶν, ὡς τὸ μελαίνετο δὲ χρόα καλόν (Il. 5, 354).

118. αἶψα] τὸ αὐτίκα (105) καὶ τὸ αἶψα δηλοῖ ὡς καὶ αὐτὸς τοῖς δώροις ἐπτερωμένος ἦν. τὸ δὲ κατεκόσμει διὰ τὸ ἐπικίνδυνον τῆς βολῆς. ἀμέλει καὶ ὀϊστὸν ἐπιλέγεται, ὃν μάλιστα εὔστοχον οἴεται εἶναι. Ὀδυσσεὺς δὲ "ταχέας ἐκχεύατ' ὀϊστούς" (Od. 22, 3)· κατὰ γυμνῶν γὰρ ἴησιν, οὐ στοχασμοῦ δεόμενος.

γλυφίδας] ἀντὶ ἐνικοῦ τὸ γλυφίδας. ἐπεὶ δὲ πρώτη βέλους ἐστὶν ἄφεσις αὕτη, εἰκότως αὐτὴν ἐν τῷ ἀρίστῳ ἐπεξεργάζεται. νόμον δὲ τοξείας γράφει. Σκύθαι μὲν οὖν ἐπὶ τῶν ὤμων τείνουσι, καὶ νεύροις ἱππείοις, Κρῆτες δὲ τούτοις ἐναντίως, καὶ νεύροις βοείοις. ἀπὸ δὲ τῶν παρεπομένων τὴν ἔντασιν δηλοῖ.

*γλυφίδες δέ εἰσιν αἱ παρὰ τοῖς πτεροῖς ἐντομαὶ τοῦ βέλους, ὅπου ἐντίθεται ἡ νευρά.

124, 125. ἔτεινεν] ἀντὶ τοῦ τείνας κυκλοτερὲς ἐποίησεν. τὸ δὲ λίγξεν ὀνοματοποιία ἐστίν. ἐκ δὲ τῶν παρεπομένων τὴν ἄφεσιν δηλοῖ. τοῦ δὲ ἅλτο συνετμήθη ἡ λέξις πρὸς τὸ τάχος τῆς ἀφέσεως.

126. ὀξυβελής] ὀξέως βάλλων ἢ βληθείς. ἐμφαντικῶς δὲ τὴν

15. *πόληος] πόλιος

τοῦ βάλλοντος πρόθυμίαν εἰς τὸ βλῆθὲν μετήγαγεν, ὡς τὸ "λιλαιμένη χροὸς ἆσαι" (Il. 21, 168) καὶ "ἀγαλλόμεναι Διὸς οὔρῳ" (Od. 5, 176). ἐπιπτέσθαι δὲ τὸ ἐπιπεσεῖν τῷ πλήθει, ἀπὸ τοῦ πτῶ. τὸ δὲ διαπτάσθαι ἀπὸ τοῦ πτῆμι.

127. οὐδὲ σέθεν, Μενέλαε] ἀποστροφὴ ἀπὸ προσώπου εἰς πρόσωπον. προσπέπονθε δὲ Μενελάῳ ὁ ποιητής· διὸ συνεχέστερον αὐτῷ διαλέγεται, ὡς Πατρόκλῳ καὶ Εὐμαίῳ. εἴδη δὲ τῆς ἀποστροφῆς ταῦτα, τὸ παρὰ λέξιν, ὡς ὅταν ἐκ μετοχῆς εἰς ῥῆμα μετέλθῃ· τὸ παρὰ φράσιν, ὅταν ἀπὸ τοῦ διηγήματος εἰς τὸ μιμητικὸν μετέλθῃ ἢ τοὐναντίον· τὸ ἀπὸ προσώπου εἰς πρόσωπον, ὡς τὸ νῦν "οὐδὲ σέθεν, Μενέλαε," καὶ τὸ ἀπὸ τοῦ τόπου εἰς τόπον. τὸ δὲ οὐ λελάθοντο κατὰ ἀντίφρασιν ἀντὶ τοῦ ἐφρόντισαν. ἡ δὲ ἀντίφρασις ἢ κατὰ ἐναντίωσιν, ὡς νῦν, ἢ κατὰ εὐφήμησιν, ἢ παρ' ὑπόνοιαν, ὡς χωρίον σκληρὸν μέν, οὐκ ἔχον δὲ ὕλην, δέον εἰπεῖν εὔγειον μέν.

129. βέλος ἐχεπευκὲς ἄμυνεν] μᾶλλον ἤμυνε πρὸς τὸ μὴ ἐχεπευκὲς γενέσθαι.

130. μήτηρ] ἡ μήτηρ πρὸς τὸ εὔνουν· ἡ μυῖα πρὸς τὸ εὐχερῶς μὲν ἀποσοβεῖσθαι, μεταπηδᾶν δὲ εἰς ἕτερον τόπον· ὁ δὲ ὕπνος πρὸς τὸ ἀπαραφύλακτον καὶ ἀσθενὲς τῆς πληγῆς.

132. ἴθυνεν ὅθι ζωστῆρος ὀχῆες] ἵνα μὴ χαλεπὴ γένηται ἡ πληγή, εἰς τοῦτο τὸ μέρος ἄγει, καθ' ὃ ἀλλήλοις ἐπιφερόμενα τὰ πτερύγια τοῦ θώρακος ἐσφίγγετο ὑπὸ τοῦ ζωστῆρος. ζωστὴρ δέ ἐστιν ἡ θωρακῖτις ζώνη, ᾗ τὸν θώρακα οἱ φοροῦντες ζώννυνται.

133. δίπλοος ἤντετο θώρηξ] διὰ τὴν πρὸς τὸ ζῶμα συνένδησιν τοῦ χαλκοῦ θώρακος. Τήλεφος γάρ φησι τὸ ἀπὸ τοῦ αὐχένος ἄχρι ὀμφαλοῦ θώρακα καλεῖσθαι, τὸ δὲ ἀπὸ λαγόνων ἄχρι κνημῶν ζῶμα· περὶ δὲ τὸ ἦτρον ἡ μίτρα ἔσωθεν ἐριώδης, περὶ δὲ τὴν ἐπιφάνειαν χαλκῆ οὖσα πρὸς τὸ μὴ θλίβειν τὴν γαστέρα· διὸ τὴν συμβολὴν δίπλοον θώρακά φησιν. ἄνωθεν δὲ τῆς μίτρας καὶ τῆς συνδέσεως τοῦ ζώματος καὶ τοῦ θώρακος ζώνη ἐπέκειτο συσφίγγουσα πάντα, ἣν ζωστῆρα καλεῖ. ἢ οὕτως· τὰ πρὸς ταῖς λαγόσι μέρη τοῦ θώρακος διὰ τὸ μὴ συνδεδέσθαι ἀλλήλοις πτερύγια καλεῖται. ταῦτα δὲ ἐπιτιθέμενα μόνον ἀλλήλοις, καὶ συσφιγγόμενα ὑπὸ τοῦ ζωστῆρος, διπλοῦν τὸν θώρακα ἐκεῖσε ἀπεργάζονται. ἔστιν οὖν ἐν μὲν τῷ χρωτὶ

13. εὐφήμησιν] * εὐφημίαν 28. * πρὸς] διὰ

ἡ μίτρα, μεθ' ἣν τὸ ζῶμα τὸ ἀπὸ κνημῶν ἀνιὸν ἄχρι λαγόνων· μεθ' ὃ ὁ θώραξ, ὡς εἴρηται, περὶ τὰς λαγόνας διπλούμενος· ἄνωθεν δὲ ὁ ζωστήρ.

135. ἐνταῦθα μὲν ἐσίγησε τὸ ζῶμα, ἐν δὲ τοῖς ἑξῆς (186) τὸ ἐναντίον· "εἰρύσατο ζωστήρ τε παναίολος ἠδ' ὑπένερθε ζῶμά τε καὶ μίτρη."

138. διὰ τί μᾶλλον τοῦ θώρακος αὕτη βοηθεῖ; ὅτι δυσπαθέστερα τῶν ἀντιτυπούντων τὰ ὑπείκοντα.

140. αὐτίκα δ' ἔρρεεν αἷμα] ἴσως φλὲψ ἣν λυθεῖσα ἐκ τοῦ χρωτός· χρὼς δέ ἐστιν ἡ τοῦ σώματος ἐπιφάνεια. καὶ διὰ μὲν τοῦ κελαινοῦ τὴν χροιὰν, διὰ δὲ τοῦ νέφους τὴν σύστασιν· "νέφος εἵπετο πεζῶν" (274). ἐπεξεργάζεται δὲ τὴν πληγὴν, ὅπως τὴν Ἀγαμέμνονος ὑποφήνῃ διάθεσιν. ὠτειλὴ δέ ἐστι μόνη ἡ ἀπὸ δόρατος πληγή.

* γίνεται δὲ παρὰ τὸ οὐτῶ.

141. ὄψιν ἡμῖν γραφικὴν διὰ τούτου παρέστησεν. θαυμάζεται δὲ παρὰ Λάκωσι λευκὸς χρὼς καὶ κόμη ξανθή. διὰ τοῦτο καὶ Τρῶες μαλθακὸν τοῦτον οἴονται· ἐπὶ παντὸς γὰρ ζῴου τὸ μελάγχρουν ἐστιν ἰσχυρότερον. φοίνικι δὲ ἄνθει ὁ ἀπὸ τῆς πρίνου συλλέγουσι Τροιζήνιοι. μιήνῃ δὲ τὸ μίξει, ἐκ τοῦ μία, ἣ βάψει· μιάμματα γὰρ τὰ βάμματα. Μῃονὶς δὲ ἔχει τὸ ῑ ἀπὸ τοῦ Μαιονίς. παρήϊον δὲ τὸ τῇ γνάθῳ ἐπικείμενον, ἀπὸ τοῦ παρειά.

143. θαλάμῳ] θάλαμος ὁ κοινὸς οἶκος· θάλαμος ἡ ἀποθήκη. καὶ θάλαμος ὁ κοιτών.

πολέες τέ μιν ἠρήσαντο] πολλοὶ μὲν, φησὶν, οἱ ἐπιθυμοῦντες λαβεῖν, μόνος δὲ βασιλεὺς ἐπιτυγχάνει.

145. ἀμφότερον] ἐπίρρημα, ἀντὶ τοῦ κατ' ἀμφότερον, ἀλλ' οὐκ ὄνομα. μεγαλοπρεπέστερον δὲ ἀπεργάζεται ὑπὲρ τοὺς ἵππους τὸν ἐποχούμενον.

146. τοῖοι] ἀντὶ τοῦ τοίως. περιπαθῶς δὲ τῇ ἀποστροφῇ ἐπιμένει ὁ ποιητής. τὸ δὲ μιάνθην ἀντὶ τοῦ μιανθήτην· ἔστι δὲ δυϊκὸν ἐκ συγκοπῆς.

147. Νικάνωρ τὸ εὐφυέες τῷ μηροί προσάπτει, οἱ δὲ ὑπομνηματισταὶ τῷ κνῆμαι. ἄμεινον δὲ τὸ Νικάνορος.

* σφυρά] τὰ ἀπολήγοντα μέρη πρὸς τῷ ἀστραγάλῳ, καὶ ἐκ πλαγίων

19. μιάμματα] * μιάσματα 20. * Μαιονίς] μαίονες

ἐξέχοντα τῆς κνήμης καὶ τῆς πτέρνης. εἴρηται δὲ μεταφορικῶς ἀπὸ τῶν χαλκευτικῶν σφυρῶν.

148. διάρ] εἷς ὁ σύνδεσμος, οὐ δύο. διὰ τοῦ δ γραπτέον, μὴ διὰ τοῦ τ. δείκνυσι δὲ τοῦ μὲν τὸ φιλάδελφον, ὅτι πρὸ τοῦ τετρωμένου α�ἰσθεται, τοῦ δὲ τὸ καρτερικόν. ἐπ' ἴσης δὲ ἄμφω ἀσχάλλουσιν, ὁ μὲν τοῦ ἀδελφοῦ, ὁ δὲ τοῦ πλήθους χάριν. μέλαν δὲ ὅτι τὸ μὲν ἐξ ἐπιπολῆς κατ' ἀρχὰς φερόμενον πυρρόν ἐστι, τὸ δὲ τελευταῖον καὶ ἐκ βάθους μέλαν.

150. ῥίγησεν δὲ καὶ αὐτός] κοινῇ λέξει χρησάμενος ἐπ' ἀμφοῖν τὸ τοῦ δέους ὑπέφηνεν ἴσον.

151. * ὡς δὲ ἴδεν νεῦρόν τε καὶ ὄγκους ἐκτὸς ἐόντας] νεῦρον μὲν ᾧ δέδεται τὸ σίδηρον τοῦ βέλους πρὸς τὸν κάλαμον, ὄγκους δὲ τὰς ἀκίδας καὶ ἐξοχὰς τῶν βελῶν.

ἐκτὸς ἐόντας] λείπει τὸ ἦσθετο· πρὸ γὰρ τούτου οὐχ ὡρᾶτο ἐμπεπηγὸς τῇ παντευχίᾳ.

152. ἄψορρόν οἱ] ἤτοι ὀπισθόρμητος εὐθέως ἐπὶ τὴν πρώτην ἠνέχθη τάξιν.

ἐνὶ στήθεσσι] φαίνεται τὸ ἡγεμονικὸν περὶ τὰ στήθη εἰδώς· ἐκεῖ τοίνυν καὶ τὸν λογισμὸν ἀθροισθῆναί φησιν.

154. χειρὸς ἔχων Μενέλαον· ἐπεστενάχοντο δ' ἑταῖροι] ἄφελε τὸν στίχον, καὶ τὴν σαφήνειαν μὲν οὐ βλάψεις, ἀπολέσεις δὲ τὴν ἐνάργειαν, ἥτις ἐμφαίνει τὴν Ἀγαμέμνονος συμπάθειαν καὶ τὴν τῶν συναχθομένων ἑταίρων διάθεσιν· ἠθικὸν γάρ ἐστι τοῦτο καὶ περιπαθὲς, καὶ τὸ βαρὺ τῆς λύπης ηὔξηται δι' αὐτοῦ.

155. περιπαθῶς αὐτῷ διαλέγεται, καὶ τὸν θάνατον οἰκειοῦται τοῦ ἀδελφοῦ, ὅπερ ἐστὶ τῶν μᾶλλον στεργόντων τινάς.

156. προστήσας] μεταφορικῶς ἀπὸ τῶν θυμάτων ἅπερ προϊστῶσι τῶν βωμῶν. τὸ δὲ πρὸ Ἀχαιῶν οἶκτον καὶ σπουδὴν καὶ πόνον κινεῖ τοῖς Ἕλλησιν.

157. Τρῶες] κοινῇ γὰρ ἅπαντες παρεσπόνδησαν. καὶ λόγῳ μὲν τὸ μονομάχιόν φησιν, ἔργῳ δὲ τὸν δόλον ἐσοφίσαντο. μετ' ἀγανακτήσεως δὲ εἴρηται· διὸ καὶ ἀπὸ ἄλλης ἀρχῆς ἐστίν. συνασχάλλων δὲ τῇ πληγῇ οὐ παραμυθεῖται.

158. οὐ μέν πως ἅλιον πέλει ὅρκιον] γενναίου στρατηγοῦ τὸ μὴ συμπεπτωκέναι τοῖς καιροῖς, ἀνέχειν δὲ εἰς θεοὺς τὴν ἐλπίδα. ἄλλως τε καὶ ἐπεὶ πολεμεῖ διὰ τοῦτο λαλεῖ.

159. δεξιαὶ μὲν ἐγίνοντο ἴσως κατὰ τὸ σιωπώμενον. ἢ διὰ τὸ δέξασθαι τὰς τρίχας τοῦτο λέγει.

161. τελεῖ] ἀντὶ τοῦ τελέσει. εἰς δὲ τὸ μεγάλῳ ἐκδεκτέον τὸ κακῷ. εὐσεβὲς δὲ καὶ τὸ δι' ἑαυτῶν καὶ τῶν φιλτάτων προσδοκᾶν τὴν τίσιν· τὸ γὰρ κεφαλῇσιν ἀπὸ μέρους αὐτοὺς δηλοῖ.

164. ἀπειλεῖ τοῦτο οὐχ ὑπ' αὐτοῦ πάντως γενέσθαι, ἀλλ' ὑφ' ἑτέρων τινῶν. φησὶ γοῦν (171) "καί κεν ἐλέγχιστος πολυδίψιον Ἄργος," ἢ μᾶλλον διὰ τούτων τοὺς ἀκούοντας προτρέπεται πολεμεῖν.

166. *ὑψίζυγος] ὁ ἐν ὕψει ζυγοστατῶν καὶ ἀπονέμων ἑκάστῳ τὸ πεπρωμένον. ἢ ὁ ἐν ὕψει καθήμενος.

167. ἐπισσείῃσιν] ἀντὶ τοῦ μέλλοντος. ἐρεμνὴν δὲ τὴν σκοτοποιόν, ὡς τὸ "Ἰδην δὲ κατὰ νεφέεσσι κάλυψεν" (Il. 17, 594).

169. ἀλλά μοι] ἠθικῶς φησὶ μὴ εἶναι ὠφέλειαν ἑαυτῷ, εἰ οὗτος μὲν ἀπολεῖται, ὕστερον δὲ τίσουσι δίκην οἱ Τρῶες. περιπαθῶς δὲ πάλιν τούτου ἀνακαλεῖται τὸ ὄνομα.

171. πολυδίψιον] πολυβλαβὲς διὰ τὴν ἧτταν. ἔστι δὲ πλεονασμὸς τοῦ δ̄. διὰ τί δὲ οὕτως οὗτος ὑποστρέψειν φησίν; ὅτι Ἕλληνες μὲν ἄπρακτοι ἀπελεύσονται, Τρῶες δὲ κερτομήσουσιν Ἀγαμέμνονα, Μενέλαος ἐπὶ ξένης σαπήσεται, ἀτελὴς ἡ μάχη μενεῖ. τεχνικῶς δὲ δι' ὧν ἀπολοφύρεται, ὡσεὶ καταλειφθησόμενος ὑπὸ τῶν συμμάχων, εἰ Μενέλεως ἀποθάνῃ, κατέχειν αὐτοὺς πειρᾶται τεθνηκότος ἢ καὶ μὴ τοῦ Μενελάου.

*τινὲς δὲ, πολυδίψιον τὸ πολλοῖς ἔτεσι διψῶν· ἄνυδρον γὰρ τοῦτο ὂν ἔνυδρον ἐποίησεν ὁ Δαναός.

173. εὐχωλὴν Πριάμῳ] κινητικὴ τοῦ πλήθους ἡ τῶν ἐχθρῶν εὐημερία.

176. ὑπερηνορεόντων] ὑπερηφανούντων· ἡ γὰρ ὑπὲρ ἄνδρα δύναμις ὑβριστὰς ποιεῖ τινάς.

177. τύμβῳ ἐπιθρώσκων] ὅσον ἐφ' ἑαυτῷ βαρεῖαν τὴν ταφὴν τῷ νεκρῷ ποιεῖ, ἣν πάντες κύφην ἑαυτοῖς εὐχόμεθα εἶναι. παρατέταται δὲ τὸ πάθος, ἐπὶ ζῶντι καὶ παρόντι λεγομένων τῶν τοιούτων.

178. χρήσιμον ἀνεστραμμένης τύχης ὑπόδειγμα.

181. κεναῖς τῶν συστρατευσαμένων ἢ τῶν λαφύρων ἢ τῶν ἁρπασμένων· ἢ περιπαθῶς κενὰς αὐτὰς καλεῖ, ἐν αἷς οὐ πλεῖ ὁ Μενέλαος· τὸ δὲ ἀγαθόν κατ' εἰρωνείαν, εἰ ἀπὸ τῶν Τρώων ἦ. εἰ δὲ τοῦ

Ἀγαμέμνονος, ὡς εἴ τις πατέρα θάψας λέγοι ὅτι ἀγαθὸν πατέρα ἀπώλεσα· οὐ γὰρ τὰ τοῦ γένους τοσοῦτον ὅσον τὰ τῶν τρόπων ἀγαπητά.

182. ἐπίρρημα ἀντὶ τοῦ εὐρέως, ὡς "ἀγορὴν αἰψηρήν" ἐν τῇ Β (257) τῆς Ὀδυσσείας.

184. θάρσει] τοιοῦτός ἐστιν ὡς εἰ νοσῶν υἱὸς παραμυθοῖτο γονεῖς. ἄτοπος δὲ ἦν μαλθακευόμενος Μενέλαος, ἐκείνων τὸ πάθος οἰκειουμένων. τὸ δὲ μὴ δειδίσσεο ἀντὶ τοῦ μὴ εἰς φυγὴν παρακάλει διὰ τοῦ ἐμοῦ θανάτου.

185. τῷ κύφῳ τῆς πληγῆς ἐπικουφίζει τὴν λύπην τοῦ ἀδελφοῦ.

187. μίτρη] ἡ μίτρα ἔσωθεν ἐριώδης ἐστί, καίπερ κατὰ τὴν ἐπιφάνειαν χαλκῆ ὑπάρχουσα.

191. φάρμαχ'] τὰ φέροντα ἄκεσιν. εἴρηται δὲ ἀπὸ τῶν ἀνθῶν· ὅθεν καὶ τὰ βαφεῖα φαρμακῶνας ἐκάλουν, καὶ τὸ ἐκ τῆς βαφῆς στομοῦν φαρμάσσειν φησίν.

192. θεῖον κήρυκα] ὅτι Διός ἐστιν ἄγγελος. εἰκότως δὲ θαρσυνθεὶς οὐ μηκύνει τὸν πρὸς Μενέλαον λόγον.

193. ὅττι τάχιστα] ὅττι τάχιστα ποιηταί, ὅσον τάχος Ἀττικοί, ἡ δὲ συνήθεια ὡς τάχος. οὐ καλεῖ δὲ ἄμφω, ὅτι ὁ μὲν περὶ τὰ τραύματα, ὁ δὲ περὶ τὰ ἄλλα ἦν νοσήματα.

194. οὐ περιττὸς ὁ στίχος, ἀλλ' ἐλπίδα διδοὺς τῆς σωτηρίας Μενελάῳ ὡς ἀγαθοῦ ἰατροῦ τυγχάνειν μέλλοντι.

195. θορυβούμενος πέρα τοῦ δέοντος φέρεται. οὐδὲ οὗτος οὖν περιττὸς ὁ στίχος, ἀλλὰ μιμούμενος τὸ τῶν τεταραγμένων ἦθος.

199. βῆ δ' ἰέναι] τὸ βῆ δὲ θέειν ἢ ἰέναι ἀνοίκεια τῷ παπταίνοντι, οὐδὲ τὴν ἔφοδον αὐτοῦ ἐσιώπησεν.

200. παπταίνων] ὄπτω πτῶ πταίω πταίνω. ἦν δὲ πανταχόσε τοὺς ὀφθαλμοὺς ῥίπτων, ὡς μὴ λάθοι αὐτόν.

207. Τρώων πρὸς σύστασιν τῆς μάχης, Λυκίων ὡς ἀρίστων συμμάχων. οὐ διακόνου δὲ ὁ λόγος, ἀλλὰ φίλου καὶ συμπαθοῦς· τὴν ἀπὸ παντὸς γὰρ προσώπου εὔνοιαν εἰς Μενέλαον συνίστησιν ὁ ποιητής. τοὐναντίον δὲ ἐπὶ Ἀλεξάνδρῳ.

209. βὰν δ' ἰέναι] περιεῖλεν αὐτοῦ τοὺς λόγους διὰ τὴν σπουδήν.

211, 212. ταῦτα τὰ δύο ἔπη τὰ μὲν πράγματα οὐ λυπεῖ μὴ γραφόμενα, ἀπόλλυσι δὲ τὴν ἔμφασιν· ἐμφαντικὸν γὰρ τὸ τοὺς φίλους ἀγωνιῶντας περιεστάναι.

212. κυκλόσ'] ὁ μὲν Ἀρίσταρχος κύκλος γράφει, καὶ τὸ ὡς ἐκδέχεται· ὁ δὲ Ἡρωδιανὸς κυκλόσε, ὃ καὶ ἄμεινον. ἰσόθεον δὲ αὐτὸν καλεῖ διὰ τὴν τέχνην.

213. αὐτίκα] καλῶς αὐτὸν παραχρῆμα τοῦ ἔργου φησὶν ἔχεσθαι. τὸ δὲ ἕλκεν Ἰακῶς εἴρηται. τρεῖς δὲ βελουλκίας οἶδεν, ἐξολκὴν, ὡς ἐπὶ Μενελάου, ἐκτομὴν, ὡς ἐπ' Εὐρυπύλου (Il. 11, 843), διωσμὸν, ὡς ἐπὶ Διομήδους (Il. 5, 112).

214. πάλιν ἄγεν] εἰς τοὐπίσω ἀνεκάμφθησαν. εἰ δὲ στίξομεν εἰς τὸ πάλιν, δύναται οὕτως εἶναι, τούτου εἰς τοὐπίσω ἑλκομένου καὶ διὰ τῆς αὐτῆς ἀνακαμπτομένου ἐμπήξεως συνεθλάσθησαν. ἄδηλοι δὲ ἦσαν συνεσφιγμένοι ἕως ἀφείθησαν.

217. πικρὸς ἰὸς τός] τὸ τοῦ πληγέντος πάθος ἐπὶ τὸ τῆς ὀδύνης αἴτιον μετήγαγεν.

218. αἷμ' ἐκμυζήσας] διὰ τὸ μὴ ἐμπυῶσαι καὶ ἐμποδίσαι πρὸς τὴν ἀπούλωσιν. ἤπια δὲ, ἐπειδὴ νευράδεις οἱ τόποι καὶ αἰσθητικοί· διὸ οὐ προσίεται τὰ δάκνοντα φάρμακα. εἰδὼς πάσσε ἤτοι εἰδήμων ὤν. τρεῖς δὲ φαρμάκων ἰδέαι, ἐπίπαστα, ὡς ἐπὶ Μενελάου, χριστὰ, ὡς τὸ "ἰοὺς χρίεσθαι" (Od. 1, 262). πότιμα, ὡς ἐπὶ Ἑλένης (Od. 4, 220).

219. τά οἱ] οὐκ ἐκεῖνα, ἀλλὰ τὰς αὐτῶν δυνάμεις καὶ πράξεις.

221. ἐπὶ Τρώων στίχες ἦλυθον] διὰ τί οἱ Τρῶες, εἴπερ πάλιν ἐκθέσθαι τὸν πόλεμον ἐβούλοντο, οὐ ζητοῦσι τὸν βαλόντα, ἀλλ' εὐθὺς ὁρμῶσιν ἐπὶ τὰ ὅπλα; ὅτι ᾤοντο βουλῇ τῶν βασιλέων πεπρᾶχθαι τὴν παράβασιν· καὶ εἰ μὲν τέθνηκε Μενέλαος, κρατήσειν Ἑλλήνων ἤλπιζον διὰ τὴν ἐπ' ἐκείνῳ λύπην κατεπτωμένων, εἰ δὲ μὴ, κἂν φράσαι ἀόπλοις αὐτοῖς ἐμπεσεῖν. διὰ τί δὲ πάλιν Ἕκτωρ οὐκ ἐζήτησε τὸν βαλόντα; ὅτι οὐκ ἦν ἀναλαβέσθαι τὸ πταῖσμα ἅπαξ Μενελάου τρωθέντος.

222. κατὰ τεύχε' ἔδυν] συνῳκείωσε τὸν λόγον τῇ τῶν ὁπλιζομένων σπουδῇ. συσταλτέον δὲ τὸ ἔδυν· πληθυντικὸν γάρ ἐστι συγκοπὲν ἀπὸ τοῦ ἔδυσαν, ὡς τὸ "ἀλλήλοισιν ἔφυν" (Od. 5, 481). αἱ δὲ τοιαῦται συγκοπαὶ λῆξιν ἔχουσι τὴν παράληξιν τῆς γενικῆς τῆς μετοχῆς. ἀπὸ γὰρ τοῦ δύντος καὶ φύντος ἔδυν καὶ ἔφυν.

223. τότε καταπεσὼν τῇ φιλαδελφίᾳ νῦν ἀνοιστρεῖται τῇ προ-

21. πάλιν ἐκθέσθαι] πάλαι καταθέσθαι

25. κατεπτωμένων] *κατεπτοημένων

27. * ἀναλαβέσθαι] ἀναβαλέσθαι

θυμίᾳ, καὶ τότε συμπαθὴς καὶ νῦν συμπρακτικός· ἐπειδὴ γὰρ τὸ παράδοξον τῆς παραβάσεως εἰς ἀθυμίαν αὐτοὺς ἐκάλει, διεγείρει αὐτούς. εὐκταῖον δὲ λίαν τὸν Ἀγαμέμνονα τῷ ἀκροατῇ ποιεῖ. βρίζειν δὲ τὸ ἀναπαύεσθαι.

224. οὐδ' οὐκ ἐθέλοντα] ὑπεραποφαντικόν ἐστι τοῦτο· αἱ γὰρ δύο ἀρνήσεις ἀντὶ μιᾶς εἰσὶ καταφάσεως.

226. ἵππους μὲν γὰρ ἔασε] τῇ φιλοπονίᾳ τοῦ σώματος διεγείρει τοὺς ὁρῶντας, ὥς πού φησιν "ἀλλὰ καὶ αὐτοί περ πονεώμεθα" (Η. 10, 70)· ἐκκόπτει τε πᾶσαν ὑπόνοιαν δειλίας. ἄλλως τε γελοῖος ἦν καὶ ἐπαχθὴς ἀπὸ τῶν ἁρμάτων διαλεγόμενος τοῖς Ἕλλησιν.

*Πορφυρίου. ἐζήτηται πῶς τοὺς ἵππους καὶ τὰ ἅρματα εἴασε· τὸν γὰρ σπεύδοντα οὐκ εἰκὸς τὰ ἅρματα καταλείπειν. λύεται δὲ ἐκ τοῦ καιροῦ· ἔδει γὰρ οὐ μόνον παρελθεῖν, ἀλλὰ καὶ πρὸς ἕκαστον διαλεχθῆναι· σοβαρὸν γὰρ ἐφαίνετο τὸ ἀπὸ τοῦ ἅρματος ὁμιλεῖν.

228. Πείραιος Πειραΐδης, Πειραΐδης κατὰ διάστασιν. ἀναπαύει δὲ αὐτοῖς τὴν δύναμιν, εἰς τὴν μέλλουσαν ταμιευόμενος μάχην.

235. οὐ γὰρ ἐπί] στρατηγὸς οὗτος ὁρᾶται ὃς τὴν αἰτίαν τῆς ἀθυμίας ἐλπίδα νίκης ἐπέγραψεν. ἐν βραχεῖ δὲ προὔτρεψε, δύο προβαλών, θεοῦ βοήθειαν καὶ λαφύρων ἐλπίδα. ἡ δὲ ἐπί πρὸς τὸ ἀρωγός.

236. πρότεροι] καὶ οὗτοι παρὰ τοὺς ὅρκους ποιοῦσιν, ὅτι πρότεροι τῆς μάχης ἦρξαν.

240. μεθιέντας] εἰκὸς γὰρ ἦν ἀγνοεῖν αὐτῶν ἑνίους τὸ πραχθέν.

241. χολωτοῖσιν] τοῖς ἀπὸ κινήσεως λεγομένοις χολῆς, ἢ πρὸς χολὴν τοὺς ἀκούοντας ἄγουσιν.

242. ἰόμωροι] οἱ μὲν, ἰῶν φύλακες. ἐπονείδιστον δὲ τὸ μόνον τοξεύειν. ἀμέλει δὲ καὶ εἰδότες οὐ τοξεύουσιν. οἱ δὲ, περὶ ἰοὺς πεπονημένοι. τετάρακται δὲ τῇ Μενελάου λύπῃ.

243. εἰκὸς γὰρ αὐτοὺς ἐπὶ τῷ παραδόξῳ ἐκπεπλῆχθαι. εὖρε δὲ εἰκόνα καὶ τὴν ἡλικίαν καὶ τὴν ἀνδρείαν ὀνειδίζουσαν. πρόχειρον γὰρ καὶ εἰς φυγὴν ἔλαφος. ἀλλὰ γὰρ καὶ καμοῦσαι μάτην ἐκπεπληγμέναι λιπὸν ἵστανται.

247. ἦ μένετε Τρῶας σχεδὸν ἐλθέμεν] ἀνδρείας ἐγερτικὸν ἅμα καὶ θάρσους σωτηρίας ἀπόγνωσις. βραχεῖα δὲ διαστολὴ καὶ εἰς τὸ θαλάσσης καὶ εἰς τὸ ἐλθέμεν.

11. *Πορφυρίου] om. 13. *καὶ] om. 26. *καὶ] om.

249. ὄφρα ἴδητ' αἴ κ' ὔμμιν ὑπέρσχῃ χεῖρα Κρονίων] ἐπεὶ ἔλεγεν (235) "οὐ γὰρ ἐπὶ ψεύδεσσι πατὴρ Ζεὺς ἔσσετ' ἀρωγός," συνεισφέρειν τὸν οἰκεῖον πόνον κελεύει, οἱονεὶ τῇ τοῦ θεοῦ ὑπηρετοῦντας βουλήσει, ὡς φησι καὶ ὁ τραγικὸς ἔνθεν λαβών "τῷ γὰρ πονοῦντι χὠ θεὸς συλλαμβάνει." τοῦτο οὖν πρῶτος Ὅμηρος εἶπεν.

250. κοιρανέων] ἔργα πρέποντα βασιλεῖ ποιῶν.

251. ἐπὶ Κρήτεσσι] πρὸς Κρῆτας, ὡς "ἐπ' ἄνθεσιν εἰαρινοῖσιν" (Il. 2, 89). οὓς δὲ κατέλεξεν Ἑλένη (Il. 3, 166), τούτους πάλιν ἡμῖν δηλοῖ· καὶ ὃ παραλέλοιπεν ἐκεῖ, τοῦτο ὧδε ἀναπληροῖ.

253. συὶ εἴκελος] διώκειν γὰρ οὐ δύναται ὡς μεσαιπόλιος· ἢ ὅτι δεύτερον λέοντος σῦς. Αἴας δὲ καὶ Ἀγαμέμνων καὶ Ἀχιλλεὺς εἰς λέοντος εἰκόνα φέρονται ἀλκιμωτάτου ζῴου.

254. πυμάτας ὦτρυνε φάλαγγας] οὐκ εἶπε συνῆν αὐταῖς, ἀλλ' οἷον εἰς ἔρεισμα αὐτῶν ἦν. ἦσαν οὖν οἱ μὲν ἐχόμενοι ἔργου, οἱ δὲ παρασκευαζόμενοι· τὸν πλέονα δὲ πόνον ἀναδέχεται, καὶ τὸ τιμιώτερον ἀφίησι τῷ βασιλεῖ. τινὲς δὲ πύματα τὰ ἀριστερὰ τῆς παρατάξεως.

257. πέρι μέν σε τίω] τῶν τιμῶν αὐτὸν ὑπομνήσας προθυμότερον εἰς τὸ παρὸν ποιεῖ, τῶν αὐτῶν ἐφιέμενον πάλιν.

258. ἐνὶ πτολέμῳ] τῇ διαιρέσει τῶν λαφύρων. ἀλλοίῳ δὲ τῇ προεδρίᾳ, τῇ συμβουλῇ. ὅσα δὲ εἶπεν Ἑλένη, ἀνακεφαλαιοῦται, Ἰδομενεὺς θεὸς ὥς, Αἴας ἕρκος Ἀχαιῶν, Ἀγαμέμνων ἀγαθὸς βασιλεύς, Ὀδυσσεὺς δόλιος.

259. ἐν δαΐθ'] τίμιον τοῦτο παρὰ τοῖς παλαιοῖς, ὡς καὶ ἔτι παρὰ Κυμαίοις. γερούσιον δὲ τὸν τοῖς ἐντίμοις διδόμενον· κατελείπετο γάρ τι τῶν λαφύρων εἰς τὰς κοινὰς εὐωχίας.

266. Ἀτρεΐδη, μάλα μέν τι] συντόμως ἄρα καὶ μετρίως· οὐ γὰρ ἀριστεύειν ὑπισχνεῖται, ἀλλ' οὐκ ἀδικήσειν τὴν ἑταιρείαν.

274. νέφος] τὸ πυκνὸν καὶ καταπληκτικὸν τῆς φάλαγγος μιᾷ λέξει περιέλαβεν, εἰκάσας μέλανι καὶ σκυθρωπῷ νέφει. ἀπὸ δὲ τῆς μεταφορᾶς καὶ εἰκόνα πεποίηκεν.

275. αἰπόλος] ὑψίνομοι γὰρ αἱ αἶγες καὶ δύσριγοι. καλῶς δὲ ἀπὸ ὕψους ὁρᾷ, οὐδενὸς ἐπιπροσθοῦντος τῇ θέᾳ. πελάγιον δὲ νέφος

2. *πατὴρ Ζεὺς ἔσσετ'] ζεὺς πατὴρ ἔσσεται
3. *πόνον] om.
4. ὁ τραγικὸς] Euripides fr. 435.
24. ἔτι] *ἔτι νῦν

ὄμβρον ἐπάγει. εὖ δὲ καὶ ὑπὸ ζεφύρου ἐλαύνεσθαί φησιν αὐτό· οὗτος γὰρ μάλιστα νέφη συνάγει καὶ δεινὴν χειμῶνος ἀπειλήν, εὖρος δὲ καὶ νότος χειμῶνα παύουσι διαλυομένων εἰς ὄμβρον τῶν νεφῶν. παρεικάζει δὲ τὸν μὲν Αἴαντα ζεφύρῳ, τὸν δὲ στρατὸν νέφει, τοὺς δὲ Τρῶας τῷ ποιμένι. τινὲς δὲ νέφος τὸ ἄτακτον πλῆθός φασιν.

277. μελάντερον] ὡς ἀδινώτερον. μελανώτερον δέ ἐστι τῶν ἄλλων νεφῶν.

278. λαίλαπα] τὴν μεθ' ἑτοῦ αὖραν· "ὡς δ' ὑπὸ λαίλαπι πᾶσα κελαινὴ βέβριθε χθών" (Il. 16, 384).

279. ὑπό τε σπέος ἤλασε μῆλα] κύουσα γὰρ ἡ ὄϊς, ἐὰν ἔξω ἀκούσῃ βροντῆς, ἐξαμβλοῖ.

281. πυκιναὶ] πυκνούμεναι γὰρ καὶ μελαινόμεναι ὁρῶνται.

282. πεφρικυῖαι] ὠρθωμέναι· καὶ "ἔφριξεν δὲ μάχη" (Il. 13, 339). βραχὺ δὲ διασταλτέον εἰς τὸ σάκεσίν τε· ἐξ αὐτῶν γὰρ ἦσαν μελανθεῖσαι, ἐκ δὲ τῶν δοράτων ὀρθωθεῖσαι.

285. Ἀργείων ἡγήτορε] τοῦτο προτρεπτικῶς. ἢ πρόμαχοι καὶ ἡγούμενοι τῶν ἄλλων Ἑλλήνων ἐν ταῖς μάχαις.

286. εἰς τὸ μέν διαστολή, εἰς δὲ τὸ ὀτρυνέμεν ἀνυπόκριτος. τὸ δὲ ἐξῆς, ὑμᾶς μὲν οὔτι κελεύω μάχεσθαι· οὐ γὰρ ἔοικεν ὀτρυνέμεν. καὶ Ἰδομενέα μὲν τῆς τιμῆς καὶ τοῦ γέρως ὑπέμνησε, τοὺς δὲ τῇ φιλοτιμίᾳ προὐτρέψατο.

289. πᾶσι] τοῖς ἡγεμόσιν, ἵνα πρὸς ὁμοτίμους ἡ σύγκρισις ᾖ. ἐπὶ δὲ Νέστορος "τοιοῦτοι δέκα μοι" (Il. 2, 372). φαίνεται οὖν πρωτιμῶν ἀνδρείας φρόνησιν.

295. Πελάγων καὶ Ἀλάστωρ καὶ Βίας καὶ ἐν Τρωσίν εἰσιν.

296. *Πορφυρίου. διὰ τί τὴν τάξιν ταύτην ἐποίησεν, ἱππῆας μὲν πρῶτον, πεζοὺς δ' ἐξόπισθε, κακοὺς δ' ἐς μέσσον; ἄτοπον γὰρ τὸ τοὺς ἱππέας πρὸ τῆς φάλαγγος ποιῆσαι, καὶ τούτων μεταξὺ τοὺς φαύλους. λύει δ' Ἀριστοτέλης· ἢ οὐ πρὸ τῆς φάλαγγος λέγειν τοὺς ἱππεῖς φησὶν, ἀλλ' ἐπὶ τοῖς κέρασιν· καὶ οὕτως πρῶτοι εἶεν ἄν. τοὺς δὲ κακοὺς οὐ τόπῳ διορίζει, ἀλλ' ἐναλλὰξ μεταξὺ ἀνδρείου τὸν ἀσθενέστερον, πεζοὺς δ' ἐξόπισθεν τῶν ἱππέων, ὥστε τὰ μὲν κέρατα κρατεῖν τοὺς ἱππέας, μετὰ δὲ τούτους τοὺς πεζούς. πανταχοῦ δὲ μεταξὺ τῶν ἀνδρείων ἱππέων τε καὶ πεζῶν τετάχθαι

1. *οὗτος] αὐτὸς
6. μελανώτερον] *μελάντερον
24. ἀνδρείας] ἀνδρίας
26. *Πορφυρίου] om.
30. *οὕτως] οὗτοι

τοὺς κακούς, ἤτοι ἱππέας τε καὶ πεζούς. ἄλλοι δὲ οὐδὲν ὅλως τῷ τόπῳ διορίζειν, ἀλλὰ τῷ χρόνῳ λέγειν πρώτους καὶ μέσους καὶ τὸ ὄπισθεν ὑστέρους, ἵνα πρῶτοι μὲν συμβάλλωσιν οἱ ἱππεῖς οἱ ἀνδρεῖοι, μεθ' οὓς ἐπιφέρονται οἱ χείρους τῶν ἱππέων τε καὶ πεζῶν οἱ ἀνδρειότατοι· οἱ δὲ ὅτι οὐχ ὡς ἐπιτιμᾶται ἔταξε. καὶ γὰρ Βοιωτοὺς οὕτω τάττειν δοκεῖ· ὥστε ἀπὸ τοῦ ἔθους ἡ λύσις, οἱ δὲ ἀπὸ τῆς λέξεως. τὸ γὰρ πρῶτον δῆλον τὸ δεξιὸν κέρας, ὄπισθεν δὲ τὸ ἀριστερόν. πρώτους οὖν εἰκὸς εἰρῆσθαι τοὺς ἐπὶ τοῦ δεξιοῦ μέρους ἑστῶτας, ὄπισθεν δὲ τοὺς ἐπὶ τοῦ ἀριστεροῦ, ὡς εἰκὸς, μεταξὺ τετάχθαι τοὺς δειλούς· οὕτω γὰρ καὶ λόγον ἔξει τὸ "ὄφρα καὶ οὐκ ἐθέλων τις ἀναγκαίῃ πολεμίζῃ (300)."

οὐ δεόντως, φασὶ, τὴν πρώτην τάξιν οἱ ἱππεῖς ἔχουσι, κινδύνου ὄντος, εἰ τροπὴ γένηται τῶν ἱππέων, συμπατηθῆναι τὴν ἀκολουθοῦσαν τάξιν. ἀγνοοῦσι δὲ ὅτι οἱ πεζοὶ ὄπισθέν εἰσιν, ὅπως τῶν ἱππέων ὑποχωρούντων διιστάμενοι δέχοιντο αὐτούς, ὃ καὶ γεφύρας πολέμου καλεῖ, καὶ πάλιν ἐνοίμενοι ὡς τεῖχος δέχοιντο τοὺς πολεμίους ἐπιόντας· μεταξὺ δὲ δύο ἀνδρείων ἕνα κακὸν ἔβαλλε. τινὲς δὲ τὸ ἔμπροσθεν καὶ ὄπισθεν ἐπὶ τοῦ δεξιοῦ καὶ ἀριστεροῦ κέρως λαμβάνουσι· τοὺς δὲ κακοὺς τετάχθαι ἐν μέσῳ, ἵνα καὶ ὑπὸ τούτων καὶ ὑπ' ἐκείνων ἀναγκάζωνται πολεμεῖν. ἀλλὰ φαίνεται πεζοῖς οὐδὲν ἐπιτάσσων. βραχὺ δὲ διασταλτέον εἰς τὸ ὄχεσφι· κοινὸν γὰρ τὸ στῆσεν.

299. ἔρκος ἔμεν πολέμοιο] ἵνα τῶν ἱππέων ὑποχωρούντων οὗτοι τοὺς ἐπιόντας δέχοιντο. μέσον δὲ τοὺς κακούς, ἵνα μιμοῦντο τοὺς ἔμπροσθεν καὶ ὑπὸ τῶν ὄπισθεν ἐπείγοιντο. κακοὺς δὲ ἤτοι τοὺς ἐκ πάντων ἢ τοὺς ἐκ μόνων πεζῶν· οἱ δὲ, ὅτι ἐν τοῖς δύο τάγμασι τοὺς κακοὺς ἐμέσασεν.

302. σφοὺς ἵππους ἐχέμεν] ἐπὶ τῷ τὰς φάλαγγας πολεμεῖν καὶ μὴ διαλύειν τὸ στῖφος. θαυμασίως δὲ καὶ τὸ λιποτακτεῖν κωλύει, μηδὲ τοῖς ἀριστεῦσιν ἐάσας τρόπον ἐκτροπῆς μηδὲ τοῖς ἄλλοις· ἴσον γὰρ ἑκάτερος τῇ οἰκείᾳ ἀπουσίᾳ λυμαίνεται τὴν τάξιν.

303. ἀπὸ τοῦ διηγηματικοῦ ἐπὶ τὸ μιμητικὸν μέτεισιν.

306. ἕτερ'] τὰ τῶν πολεμίων. εἰ γὰρ ἐπὶ τῶν ὁμοφύλων, εἶπεν ἂν ἄλλα· πολλαὶ γὰρ αἱ τάξεις.

5–11. Cum his comparanda quae ex Paris. 2681 excerpsit Cramerus Anecd. Paris. 3 p. 283: de quibus v. Rosium in Aristot. pseudepigr. p. 162.

5. * Βοιωτοὺς] Βοιωτοῖς

*ἵκηται] τοῦτο τὸ ῥῆμα κατὰ τὴν ἑρμηνείαν ζητεῖται αὐτήν· καὶ οἱ μέν φασι παραγγέλλειν αὐτὸν ἵνα, ὃς ἂν πολεμίου ἅρματος ἐπιβῇ, μάχηται καὶ μὴ ἐξελαύνειν σπουδάζῃ· οἱ δὲ οὕτως, ὅστις δ' ἂν ἀποπέσῃ τοῦ ἰδίου ἅρματος καὶ ἐπὶ τοῦ πλησίον παραγένηται, μὴ ἡνιοχείτω διὰ τὸ εἶναι αὐτὸν ἐν ἀγνοίᾳ τοῦ ἤθους τῶν ἵππων, δόρατι δὲ μᾶλλον ἀμυνάσθω τοὺς πολεμίους, ὅ ἐστι πολεμείτω.

307. ἔγχει ὀρεξάσθω] ἐκ παρεπομένου· οἱ γὰρ ἀποθνήσκοντες ἐκτείνονται. αἱρετώτερον δέ φησι τοῦτο, ὅτι μεῖζον τὸ ἕτερον κακόν.

308. ἐπαμφοτερίζει ἡ χρῆσις παρὰ τῷ ποιητῇ, ποτὲ μὲν διὰ τοῦ ε̄, ποτὲ δὲ διὰ τοῦ ῑ. τρία δὲ παρείληφε χρήσιμα, διάταξιν, ἀπειλὴν, ζῆλον.

310. πάλαι πολεμων εὖ εἰδώς] εὐτύχησε γὰρ πολλαχοῦ, ὡς ἐν Ἤλιδι, καὶ πρὸ τούτου τοῦ Ἰλιακοῦ πολέμου.

313. εἴθ' ὡς θυμός] ἁρμόζουσαν τῷ γήρᾳ ποιεῖ τὴν εὐχὴν, καὶ ταύτῃ αὐτὸν τιμᾷ. θυμὸς δὲ ἡ προαίρεσις.

315. *ὁμοίιον] ἰστέον ὅτι ὁ ποιητὴς πανταχοῦ τὸ ὁμοίιον ἐπὶ τοῦ φαύλου λαμβάνει, οἷον ἐνταῦθα, καὶ "ἀλλ' ἤτοι θάνατον μὲν ὁμοίιον οὐδὲ θεοί περ καὶ φίλῳ ἀνδρὶ δύνανται ἀλαλκέμεν" (Od. 3, 236), "ὁπότ' ἂν τέλος ἔλθῃ ὁμοίιου πολέμοιο" (Il. 9, 440).

γῆρας ὁμοίιον, θάνατος ὁμοίιος. νεῖκος ὁμοίιον (Il. 4. 444).

319. ὣς ἔμεν ὡς ὅτε] καὶ φιλόμυθος ὢν ὁ γέρων ἄκρως κατεμέτρησε τὸν καιρόν· ἑξῆς δὲ αὐτὸν πληροῖ. μετὰ δὲ τοῦ ν̄ τὸ ἔμεν. Πύλιοι μὲν οὖν πρὸς Ἀρκάδας ἐπολέμουν περὶ ὅρων γῆς· γίνεται δὲ αὐτοῖς συμβολὴ περὶ τὸν Ἀκίδαντα ποταμόν. Ἐρευθαλίωνος δὲ τοῦ Ξανθίππου προτρεπομένου τὸν βουλόμενον Νέστωρ ἀντιστὰς ἐνίκησεν. ὑπὸ δὲ τῆς ἡδονῆς ἁλλόμενος ἐκπεπήδηκε τοῦ περιριστθέντος χωρίου· ὅθεν Ἀρκάδες Ἐρευθαλίωνα μᾶλλον ἔφασαν νικῆσαι. καὶ συμβαλόντες ἐκ δευτέρου, εἶτα κοινῇ περιγράψαντες τοὺς χώρους, ἔθαψαν Ἐρευθαλίωνα, καὶ τῷ σήματι ἐπέγραψαν "ἐνθάδ' Ἐρευθαλίωνα φίλοι περὶ τύμβον ἔθηκαν, Ἀρκαδίης βασιλῆα, γένος ἔξοχον Ἀμφιδάμαντος, οἵ ποτε Νέστορα καὶ λαοὺς πολέμῳ δαμάσαντο." ἱστορεῖ Ἀρίαιθος.

2. ἅρματος] *ἅρματος κρατήσας
17. *οἷον] οἷον ὡς
19. *ὁμοίιου] ὁμοίιον
26. *ἁλλόμενος] βαλλόμενος
30. Epigramma ex aliis fontibus emendandum: v. annot.
32. *ἱστορεῖ Ἀρίαιθος] om. Vid. Mueller. Fragm. Hist. 4 p. 318.

320. πάντα] λείπει τὸ ἡδέα ἐνταῦθα.

321. νῦν αὖτέ με γῆρας ἱκάνει] οὐκ εἶπεν, εἰ τότε ἰσχυρὸς ἦν, νῦν εὔβουλός εἰμι, διὰ τὸ φορτικὸν, ἀλλὰ τὰς ἡλικίας ἀντὶ τῶν ἀρετῶν ὑπήλλαξεν.

322. ἱππεῦσι μετέσσομαι] οὐ γὰρ δύναται πεζὸς μάχεσθαι διὰ τὸ γῆρας.

323. βουλῇ καὶ μύθοισι] ὑπηρετεῖ γὰρ ὁ λόγος τῇ βουλῇ.

324. αἰχμὰς δ' αἰχμάσσουσι] πάντα ἀπὸ μέρους τὰ ὅπλα.

330. οὐκ ἀλαπαδναί] ὡς ἀπολογίαν τῆς ἀργίας ποιούμενος οὐκ ἀλαπαδνὰς αὐτάς φησιν.

331. ὁ λαὸς, φησὶν. αὐτῶν οὔπω ἤκουσε τῆς βοῆς· οὐ γὰρ ἠλάλαξαν οἱ Τρῶες, ἵνα μὴ νοηθῶσιν.

334. εἴτε διὰ τοῦτο ἔστασαν, ἵνα οἱ Τρῶες πρότερον κατάρξωσιν, εἴτε ἵνα τινὲς ἄλλοι τῶν Ἑλλήνων. ἄμφω δὲ ἄλογα, καὶ τὸ ὑπὸ τῶν Τρώων προληφθῆναι (οὐ γὰρ μικρὰ καὶ τοῦτο βλάπτει) καὶ τὸ ὑπὸ τῶν οἰκείων· δεῖ γὰρ συντεταγμένους ἅπαντας πολεμεῖν. ἁρμόζει δὲ μᾶλλον τὸ πρότερον. ἵνα οἱ Τρῶες παραβαίνοντες τὰς συνθήκας καὶ τῆς μάχης ἄρξωσιν. ἀλλὰ τούτῳ δοκεῖ ἐναντιοῦσθαι τὸ "νῦν δὲ φίλως χ' ὁρόῳτε καὶ εἰ δέκα πύργοι Ἀχαιῶν" (347). ἢ λείπει ἡ κατά εἰς τὸ ὁρμήσειεν, ὡς τὸ "ὁρμήθη δ' Ἀκάμαντος" (Π. 14, 488). θέλουσι δὲ πρὸ ἑαυτῶν ἄλλους Ἕλληνας ἄρξασθαι τῆς μάχης, ἀσυκοφαντήτους ἑαυτοὺς ἐκ παντὸς πρὸς τὸ θεῖον πειρώμενοι σῶσαι. διὸ καὶ βόλιον αὐτὸν καλεῖ Ἀγαμέμνων, ἐπεὶ οὐ φιλέλλην, ἀλλὰ φίλαυτος φωρᾶται. καὶ ὁ μὲν ἕνα πύργον περιμένει, ὁ δ' ὀνειδίζων δέκα πύργοι Ἀχαιῶν φησίν.

338. ὦ υἱὲ Πετεῶο] τὸν μὲν τῇ τοῦ πατρὸς ὑπεροχῇ κατήσχυνε, τῷ δὲ παρρησιαστικώτερον ὡς φίλῳ ἐπιφέρεται, τοῖς ἄλλοις δι' αὐτοῦ μείζονα τὴν προτροπὴν ποιῶν.

339. κακοῖσι δόλοισι] μέσον γὰρ ὁ δόλος· καὶ ἐπὶ μὲν τοῦ κακοῦ μόνως, ἐπὶ δὲ τοῦ ἀμφοτέρους εἰδότος "εἰδὼς παντοίους τε δόλους" (Il. 3. 202). τοῦτο δέ φησιν ὅτι καὶ τῆς βοῆς ἤσθετο καὶ ἀνεβάλετο.

340. καταπτώσσοντες] προτρεπτικὸν τὸ πτώσσειν ἀνδρείᾳ ψυχῇ λεγόμενον.

3. * εὔβουλος] σύμβουλος
15. * προληφθῆναι] προκληθῆναι
24. * φωρᾶται] ὁρᾶται
29. * μέσον] μέσος

343. δαιτὸς ἀκουάζεσθον ἐμεῖο] οὐ περὶ βρωμάτων, ἀλλὰ περὶ τιμῆς ὁ λόγος· τινὲς δὲ τὸ δαιτός τῷ ἐμεῖο συντάττουσιν.

344. δαῖτα γέρουσιν] ὅμοιόν ἐστι τῷ "γερούσιον αἴθοπα οἶνον" (259). αἰσχρὸν δέ ἐστιν ἐν μὲν τῷ συμποσίῳ τοῖς ἀρίστοις καταλέγεσθαι, ἐν δὲ πολέμῳ τοῖς ἐσχάτοις.

347. καὶ εἰ δέκα πύργοι Ἀχαιῶν] ἔλυσε τὸ ἔμπροσθεν ἀμφίβολον· καὶ οἱ μὲν ἕνα ἀναμένουσιν, ὁ δὲ ὀνειδίζων δέκα φησίν.

350. φαντασίαν ἐποίησε τοῦ ἀπερισκέπτως ἐξενεχθέντος λόγου· πρὸς γὰρ φυλακὴν τῶν φαύλων αὐτοὺς ἡ φύσις ἔχει.

351. πῶς δὴ φής] ἠθικόν ἐστι καὶ τῶν πρώτων ὑπομνηστικόν. ἐν μὲν οὖν τῷ μεθιέμεν τελεία, ἐν δὲ τῷ Ἄρηα ὑποστιγμή.

353. ἦν ἐθέλῃσθα] ἐὰν ἀποσχόμενος τῶν ἀγώνων ἡμᾶς ἐποπτεύειν βούλῃ.

354. προσυνίστησι τὰ πρόσωπα καὶ τὰς διαθέσεις· ἢ ὡς φιλόδοξος καὶ τὸν παῖδα συνίστησιν.

356. ἐπιμειδήσας προσέφη] σχήματι ἅμα καὶ λόγῳ θεραπεύει αὐτὸν διὰ τὴν ὕβριν.

357. πάλιν δ' ὄγε λάζετο] εἰς τοὐναντίον μετήγαγε τὸ "κακοῖσι δόλοισι κεκασμένε" (339).

359. περιώσιον] περισσὸν, πλέον Μενεσθέως.

362. ἀρεσσόμεθ'] εἰς τὸ σοὶ ἀρέσκον μετάξομεν. τεχνικὸν δὲ τὸ ὁμολογεῖν εἰς τὰ μὴ δέοντα ὑπὸ τῆς ὀργῆς ἐξῆχθαι.

366. ἑσταότ' ἔν θ' ἵπποισι] ζηλωτὴς γὰρ Ὀδυσσεὺς Διομήδους, καὶ οὗτος αὐτοῦ. πικρότερον δὲ τούτου καθάπτεται, ἐπεὶ καὶ ἐφ' ἅρματος ἵστατο· ὁ συνεὶς καθήλατο. εὐτρέπιστο μὲν οὖν πρὸς τὴν μάχην, ὅμως Ὀδυσσέα ἀνέμενεν.

370. Τυδέος υἱέ] τὴν ὕβριν μειοῖ ὁ ἔπαινος τοῦ πατρός· ἡδέα γὰρ τὰ τῶν πατέρων ἐγκώμια λεγόμενα. ξενικωτέρας δὲ διαλέξεις βούλεται εἰσαγαγεῖν· ἢ ἐν κεφαλαίοις μὲν εἴρηται, τῇ δὲ ποιήσει ἐπιτέταται.

375. οὐδὲ ἴδον] ἀπὸ κοινοῦ τὸ πενεύμενον ἐνταῦθα. δῶμεν δὲ τὴν ἀδολεσχίαν τῷ τεταραγμένῳ Ἀγαμέμνονι.

377. ξεῖνος] ξένος καὶ ὁ δεχόμενος καὶ ὁ δεχθείς· "ξεῖνος γάρ μοι ὅδ' ἐστί" (Od. 8, 208). πρόξενος ὁ ὑπὸ πόλεως ἠξιωμένος ὥστε προΐστασθαι αὐτῆς. ἰδιόξενος, ὡς ὁ Μέντωρ τῷ Τηλεμάχῳ.

7. *δέκα] om.

ἀστόξενος ὁ ἐκ προγόνων ἐπιχώριος, ὡς Ἀτρεὺς Φρυξί. δορύξενος, ὡς Γλαῦκος καὶ Διομήδης.

382. πρὸ ὁδοῦ] ἔμπροσθεν τῆς ὁδοῦ, ὅ ἐστιν εἰς Θήβας. τινὲς δὲ εἰς τὸ ἐγένοντο ὑποστίζουσι, καὶ τῷ λεχεποίην τὴν τελείαν παρέχονται, πλεονάζειν λέγοντες τὸν δέ.

383. λεχεποίην] παρὰ τὸ λέχος ἢ τὸν λόχον.

389. ἀεθλεύειν προκαλίζετο] μετὰ τὸ δεῖπνον οἱ ἀγῶνες ἐγίνοντο· καὶ Πηνελόπη τὸ τόξον μετὰ τὸ δεῖπνον τίθησιν. ἴσως δὲ καὶ τοὺς ἄλλους Ἀργείους εὐτέλιζον διὰ τὸ αὐτοῦ βραχύ. βουλόμενος οὖν τοῦ μώμου ἑαυτὸν ἀπαλλάξαι καὶ τοὺς οἰκείους τοῦτο ποιεῖ.

392. λόχον εἶσαν] ἵνα μὴ τοῖς Ἀργείοις ἀπαγγείλῃ τὴν ἀσθένειαν Θηβαίων.

396. καὶ τοῖσιν] οὐ μόνον, φησί, τοὺς προκληθέντας ἐνίκησεν, ἀλλὰ τούτους καὶ ἀνῄρησεν.

398. θεῶν τεράεσσι πιθήσας] ἡ Ἀθηνᾶ γὰρ αὐτῷ εἶπεν ὅτι ἐάγη αὐτοῦ τὸ δόρυ.

400. οὐ γὰρ μετεῖχε λόγου Τυδεύς. Ἀντίμαχος δέ φησιν ὅτι παρὰ συφόρβοις ἐτράφη· καὶ Εὐριπίδης (Suppl. 902) "οὐδ' ἐν λόγοις ἦν δεινός, ἀλλ' ἐν ἀσπίδι." πιθανῶς δὲ προφυλαξάμενος ἀγορητὴν αὐτόν φησιν, ἵνα πρὸς τὴν ἀπολογίαν ὀκνήσῃ· διὸ οὐδὲν προσφθέγγεται ὁ Διομήδης.

401. τὸν δ' οὔτι προσέφη κρατερὸς Διομήδης] πῶς οὗτος νεώτερος ὢν τὴν ἐπίπληξιν ἤνεγκεν, ὁ δὲ Ὀδυσσεὺς καὶ πρεσβύτερος καὶ φρονιμώτερος ὢν ὠργίσθη καὶ ἐχαλέπηνε; ῥητέον δὲ ὅτι δι' αὐτὸ τοῦτο, ἐπεὶ καὶ πρεσβύτερός ἐστι καὶ φρονιμώτερος, τὴν βλασφημίαν οὐ φέρει· τιμᾶσθαι γὰρ σφᾶς αὐτοὺς οἱ πρεσβύτεροι νομίζουσι δεῖν. ἄλλως τε οὐχ ὁμοίως ἀμφοτέροις ἐπέπληξε, τὸν μὲν πανοῦργον εἰπών, τὸν δὲ τοῦ πατρὸς ἧττονα· ὁ γὰρ τοῦ πατρὸς ἔπαινος ἐμείου τὴν ὕβριν. πρὸς τούτοις ἐπιπληχθεὶς ὡς λάλος οὐκ ἤμελλεν ἐπιβεβαιοῦν τὸ λάλος εἶναι.

402. αἰδεσθεὶς βασιλῆος ἐνιπήν] σώφρων, ὅστις οὐδέποτε τοὺς πολεμίους δείσας φοβεῖται τὴν ἐπίπληξιν τοῦ στρατηγοῦ. καὶ νῦν μέν, ἵνα μὴ δοκῇ εἶναι λάλος, ἡσυχάζει· τοῖς γε μὴν ἔργοις δείξας ἑαυτὸν ἐφάμιλλον τῷ πατρί φησιν "ἀλκὴν μέν μοι (φησὶ) πρῶτον ὀνείδισας" (Il. 9, 34). καὶ τὸ κρατερὸς δὲ νῦν ἔμφασιν ἔχει, πληροῦν ὃ παρέλιπεν ὁ βασιλεύς.

34. * ὀνείδισας] ὠνείδισας

404. ἐν τῷ τῆς ἀρετῆς ἀγῶνι οὐ γονεῦσί φησι δεῖν παραχωρεῖν. παρύψωσε δὲ ἑαυτὸν καὶ τῷ μέγα καὶ τὴν μαρτυρίαν ἐπήγαγε. τοῦτο δέ, ὅτι οὐ δεῖ ταῖς τῶν προγόνων ἀρεταῖς κοσμεῖσθαι. οὐδεὶς δὲ παρ' Ὁμήρῳ πατέρα αἰνέσει εἰ μὴ κακοδαίμονα τέκνα.

ὁ τρόπος ἐπαναφορά. στρατεύσαντες μὲν οὖν οἱ τῶν ἀρχαίων ἀπόγονοι τὰς Θήβας κατέσκαψαν καὶ τὸν βασιλέα Λαοδάμαντα ἀνεῖλον, ἐννέα ὄντες τὸν ἀριθμὸν οὗτοι, Αἰγιαλεὺς Ἀδράστου, Θέρσανδρος Πολυνείκους, Διομήδης Τυδέως, Σθένελος Καπανέως, Ἀλκμαίων καὶ Ἀμφίλοχος Ἀμφιαράου, Στρατόλαος Παρθενοπαίου, Πολύδωρος Ἱππομέδοντος, Μέδων Ἐτεόκλου.

407. ἀγαγόνθ'] ἐπειδὴ δύο εἰσὶν οἱ κακολογούμενοι, ἔδειξε καὶ νῦν τὴν σύμπνευσιν αὐτῶν· καὶ "αὐτὰρ ἐγὼ Σθένελός τε" (Il. 9, 48).

409. σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο] ὑποφαίνει ὡς διὰ δεισιδαιμονίαν οὐκ ἠθέλησαν ἄρχειν τῆς πρὸς τοὺς Τρῶας συμβολῆς, ἣν οἱ πατέρες μὴ κτησάμενοι ἀπώλοντο.

412. τέττα σιωπῇ ἧσο] δασυντέον τὸ ἧσο. ἔστι δὲ ἐπίδειξις χρηστοῦ ἤθους τὸ μὴ δεῖν ταῖς τῶν πατέρων ἐπαίρεσθαι συμφοραῖς· καὶ ἐνδείκνυται τῷ βασιλεῖ ὡς ἀδίκως μὲν ὕβρισται, συγγινώσκει δὲ διὰ τὸν καιρόν. τὸ δὲ τέττα ἐπίρρημά ἐστι σχετλιαστικόν, ἀντὶ τοῦ νήπιε, ὑπὸ πρεσβυτέρου λεγόμενον πρὸς νεώτερον.

413. οὐ γὰρ ἐγὼ νεμεσῶ] αἰδεῖται μὲν ἀποκρίνεσθαι πρὸς τὸν βασιλέα, ὅμως οὐ παραλέλοιπε τὴν πρὸς αὐτὸν ἀπόκρισιν ἐν τῷ πρὸς Σθένελον λόγῳ. δέδεικται οὖν καὶ ἐκ τούτου τὸ περὶ τὰς ἀποκρίσεις αὐτοῦ φιλότιμον· διὰ τοῦτο γὰρ οὐκ ἀντιλέγει ὅτι ἀμείνονα τοῦ πατρὸς αὐτὸν ἐν τῇ δημηγορίᾳ εἶπεν. νομοθετεῖ δὲ ποῖον δεῖ τὸν ἄρχοντα περὶ τοὺς ἀρχομένους εἶναι καὶ μᾶλλον ἐπαινεῖ ὡς αὐτοῦ καὶ τῆς φθορᾶς καὶ τῆς σωτηρίας τὰ τέλη ἀναλαμβάνεσθαι μέλλοντος.

422. ὡς δ' ὅτ' ἐν αἰγιαλῷ] οὐ πρὸς τὸν ἦχον, ἀλλὰ τὴν ἐπάλληλον τῶν φαλάγγων φοράν· πορεύονται γὰρ "σιγῇ δειδιότες σημάντορας" (431). Ζέφυρον γὰρ παρέλαβεν ἄνωθεν ἐπικυλίοντα τὰ κύματα, ἠρεμαίως τε ἄρχεται, ἐπιτείνεται δὲ ὕστερον· διὸ καὶ τὸ ὑποκινήσαντος. καὶ οὕτως κατὰ μέρος αὔξει τὰ τοῦ πολέμου, προανυψοῖ δὲ καὶ νῦν τὸ Διομήδους πρόσωπον.

423. Ζεφύρου ὕπο κινήσαντος] Πτολεμαῖος ἀναστρέφει τὴν πρό-

7. *ἐννέα] om.
8. *Ἀλκμαίων καὶ] om.
9. *Ἀμφιαράου] ἀμφιάρου
10. *Μέδων Ἐτεόκλου] om.

θεσιν, καλῶς· οἱ δὲ ἄλλοι παρέλκειν αὐτὴν φασι καὶ τὸν τόνον φυλάττειν.

426. ἀποπτύει δ' ἁλὸς ἄχνην] πτύελος γὰρ τῆς θαλάσσης ἐστὶν ὁ ἀφρὸς, ὃν ἐρευγομένη ἐκχέει.

429. ἀκὴν ἴσαν] ὅμοιον τῷ "ἀκὴν ἐγένοντο σιωπῇ" (Il. 3, 95). τὸ δὲ ἑξῆς οὕτως, οἱ δὲ ἄλλοι ἀκὴν ἴσαν σιγῇ. ἄρρητος δὲ ἡ ἐπίνοια σιωπὴν τοσούτου στρατοῦ εἰκάσαντος ἀφωνίᾳ. ὑποφαίνει γοῦν ἄκρως ὡς εὐπειθεῖς Ἕλληνες, τοὺς πολεμίους οὐ δεδιότες, ἀλλὰ μᾶλλον τοὺς ἡγεμόνας.

433. Τρῶες δ' ὥστ' ὄϊες] εἴωθεν ἀεὶ ἀντιπαραβάλλειν τὸ θορυβῶδες τῶν Τρώων. δειλὸν δὲ καὶ κατωφερὲς ἡ ὄϊς.

434. γάλα λευκόν] * Πορφυρίου. αἰτιῶνταί τινες τὰς τοιαύτας προσθήκας ὡς περιττὰς, γάλα λευκόν. ποῖον γὰρ γάλα μέλαν; τάφρον ὀρυκτήν (Il. 8, 179)· πῶς γὰρ ἂν γένοιτο τάφρος; ὑγρὸν ἔλαιον (Il. 23, 281)· ξηρὸν γὰρ πότ' ἂν γένοιτο; ὀφθαλμοῖσιν ἰδών (Il. 3, 28)· πῶς γὰρ ἄν τις ἴδοι; οἱ δ' οὔασι πάντες ἄκουον (Il. 12, 442)· οὐ γάρ πως ἄλλῃ αἰσθήσει ἀκούομεν. ἀλλ' ὅτε δὴ Λυκίην ἶξε Ξάνθον τε ῥέοντα (Il. 6, 172)· ποῖος γὰρ ἄλλος ποταμὸς οὐ ῥεῖ; ἔστι δὲ ἡ μὲν ὀρυκτὴ τάφρος πρὸς τὰς οὐκ ἐξ ὀρύγματος συνισταμένας τάφρους, ἤτοι ἀντιδιαιρουμένη, ἐκ χάσματος δὲ γῆς ἢ ἐξ ὑδάτων παρόδου ἢ ἐξ ἄλλης αἰτίας· ἡ ὀρυκτὴ τάφρος ἡ βαθὺ τὸ ὄρυγμα διαφαίνουσα· ὅταν γὰρ βαθὺ γένηται σκάμμα καὶ ἐπικίνδυνον εἰς διάβασιν, τότε ἀπείληφε τοῦ ὀρύγματος τὴν δύναμιν. τὸ δὲ γάλα λευκὸν, ὅτι σκιὰν οὐκ ἐπιδέχεται. ὑγρὸν δὲ τὸ ἔλαιον, ὅτι τὰ μὲν ἄλλα ὑγρὰ ἐκχυθέντα, εἰ καὶ παραυτίκα τὰ δευθέντα μαλακύνει, ἀλλ' οὖν ταχέως ξηραίνεται καὶ ἐκβληθέντα κραῦρα καὶ περίξηρα καταλείπει τὰ δεδευμένα· τὸ ἔλαιον δὲ ἐπὶ πολὺ διαμένει καὶ ἀνυγραίνει τὸ δεξάμενον, μαλακώτερόν τε ποιεῖ πρὸς τὴν ἁφὴν τὸ φύσει ἁπαλόν. τὸ δὲ ἰδεῖν ὀφθαλμοῖσιν ἀντιδιαίρεσιν ἔχει πρὸς τὸν διὰ φαντασίας βλέποντά τι, ὥσπερ καὶ κατὰ τοὺς ὕπνους δοκοῦμεν ὁρᾶν τι καὶ διηγουμένων ἄλλων ἀναπλάσσομεν τὰ διηγήματα· τὸ δὲ θεάσασθαι δι' ὀφθαλμῶν σημαίνει τὴν ἐναργῆ θέαν καὶ τὴν δι' αὐτοῦ κατάληψιν διὰ τῆς οἰκείας πρὸς τὸ ὁρώμενον αἰσθήσεως.

3. * πτύελος] πτύελον
6. * ἴσαν] ἦσαν
12. * Πορφυρίου] om.
21. * ἢ] om.
25. * τὰ] om.
27. * καταλείπει] καταλείπεται

ὡσαύτως δ' ἔχει τὸ οὔασιν ἀκοῦσαι, τὸ τὸν παρόντα αὐτὸν ἀκοῦσαι τοῦ λέγοντος καὶ μὴ ἄλλου ἀγγέλλοντος ἀκοῦσαι λόγου, ὡς καὶ ἐν τῇ συνηθείᾳ εἰώθασι λέγειν παρὰ ζώσης φωνῆς ἀκηκοέναι, καὶ μήτε διὰ γραπτῶν λόγων ἀκοῦσαι μήτε τὰ παρ' ἄλλου διηγουμένου. Ξάνθον τε ῥέοντα· ἤτοι ἐπεὶ Ξάνθος ἐστὶ καὶ πόλις τῆς Λυκίας, διέκρινε τὸν ποταμὸν τῷ ῥεύματι, ἢ τὸν σφόδρα ῥέοντα βούλεται λέγειν, ὡς τὸν δινήεντα· ἢ Ξάνθον ῥέοντα, ὡς εἰ ἔλεγε Ξάνθου ῥοάς· ἢ τὸν καλῶς ῥέοντα, ὡς "ποιητὰς ἐσέχυντο πύλας" (Il. 12, 470) τὰς εὖ πεποιημένας· ἢ ποιηταὶ πύλαι αἱ τέλος ἤδη λαβοῦσαι καὶ ἀποτετελεσμέναι. καὶ ὅλως ἐπὶ πάντων τῶν τοιούτων ζητῶν τις εὑρήσει εὔλογον τὴν τῆς προσθήκης αἰτίαν.

435. ἀζηχὲς] ηὔξησε τὸν θόρυβον παραλαβὼν τὰς ὔις ἀντιμηκαζούσας τοῖς νεογνοῖς.

437. οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος] εἰκότως τὸ βάρβαρον θορυβεῖ μᾶλλον, ἑτερόγλωσσον ὄν· ὃ γὰρ μή ἐστιν ὁμόφωνον, τοῦτο ἀνάγκη θορυβεῖν.

439. ὦρσε δὲ τοὺς μὲν Ἄρης] μεγαλοπρεπὴς ἡ φαντασία· δεῖ γὰρ αὐτοὺς ὅμοια τῶν ἡγουμένων πράσσειν. ἄλλως τε καὶ τὴν πρώτην συμβολὴν μᾶλλον αὔξει.

440. ἄπληστον, πολύ. παραγενέσθαι δὲ αὐτούς φησιν οὐχ ὡς συμμάχους, ἀλλ' ἐκ τῶν ἡμετέρων ταῦτα παθῶν ἐπλάσατο.

*καὶ Ἔρις] περὶ τῆς Ἔριδος οὐδ' ὑπεσταλμένως ἠλληγόρησεν Ὅμηρος, οὐδ' ὥστε δεῖσθαι λεπτῆς τινὸς εἰκασίας, ἀλλ' ἐκ τοῦ φανεροῦ τὰ κατ' αὐτὴν πεπόμπευκεν "ἥ τ' ὀλίγη μὲν πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα οὐρανῷ ἐστήριξε κάρη καὶ ἐπὶ χθονὶ βαίνει." διὰ γὰρ τούτων τῶν ἐπῶν οὐ θεὰ οὕτω τις παντάπασι τερατώδης ὑφ' Ὁμήρου μεμόρφωται, τὰς πρὸς ἑκάτερον μεταβολὰς τοῦ σώματος ἀπίστως ἔχουσα, καὶ ποτὲ μὲν ἐπὶ τῆς γῆς ἐρριμμένη, ποτὲ δ' εἰς ἄπειρον αἰθέρος ἐκτεινομένη μέγεθος, ἀλλ' ὅπερ ἔθος συμβαίνειν ἀεὶ τοῖς φιλονεικοῦσι πάθος ἐκ ταύτης τῆς ἀλληγορίας ἐδήλωσεν· ἀρχομένη γὰρ ἀπὸ λιτῆς αἰτίας ἡ ἔρις, ἐπειδὰν ὑποκινηθῇ πρὸς μέγα δή τι κακὸν διεγκοῦται. καὶ ταῦτα μὲν ἴσως μετριώτερα.

1. *αὐτὸν] αὐτοῦ

20. ἄπληστον, πολύ] Spectat ad ἄμοτον.

22. περὶ τῆς Ἔριδος—] Haec excerpta sunt ex Heracliti Alleg. c. 29 p. 61, ubi paullo aliter scripta leguntur.

29. *ὅπερ] ὅπως. Apud Heraclitum est ἀλλ' ὃ συμβέβηκεν ἀεί.

441. *κασιγνήτη*] *ἀπὸ τῆς ὁμοιότητος τῶν παθῶν πλάττει καὶ τὰς συγγενείας, ὡς Δεῖμος καὶ Φόβος καὶ Ἔρις. ἔστιν οὖν ἀδελφὴ οὐ τῇ συγγενείᾳ, ἀλλὰ τοῖς τρόποις. ποιητικῶς δὲ καὶ τῆς Ἔριδος τὸ πάθος ἐσήμανεν.*

445. *ὀφέλλουσα στόνον ἀνδρῶν*] *ἀπὸ γὰρ τοῦ ἐρίζειν καὶ πλείων ὁ φόνος γίνεται.*

447. **σύν ῥ' ἔβαλον ῥινούς*] *ἐλέγομεν περὶ τῶν παραβολῶν ὅτι πολλάκις τὰ οἰκεῖα τοῖς πράγμασιν ὀνόματα περιτίθησι τοῖς ἐν ταῖς παραβολαῖς ὁμοιώμασιν, ἐν πολλοῖς δὲ καὶ ἔμπαλιν. εἰς δὲ πίστιν τούτου παρακείσθω καὶ ταῦτα. συμβάλλουσι μὲν ἀλλήλοις στρατοὶ τὸν πόλεμον, "σύν ῥ' ἔβαλον ῥινούς, σὺν δ' ἔγχεα καὶ μένε' ἀνδρῶν" (Il. 12, 181). μίσγονται δὲ ποταμοὶ καὶ τὰ ὑγρά "οἱ μὲν ἂρ οἶνον ἔμισγον ἐνὶ κρητῆρσι καὶ ὕδωρ" (Od. 1, 110). ὅθεν τὸ καταδεχόμενον τοὺς ποταμοὺς χωρίον μισγάγκεια εἴρηται. ἀλλ' ὅμως ἑαυτὸς ἐναλλὰξ ἐπὶ μὲν τῶν ποταμῶν ἔφη τὸ συμβάλλειν ὅπερ ἦν ἐπὶ τῶν ἀνθρώπων "εἰς μισγάγκειαν συμβάλλετον ὄβριμον ὕδωρ" (Il. 4, 453). ἐπὶ δὲ τῶν στρατῶν τὸ μίσγεσθαι, ὅπερ ἦν οἰκεῖον ποταμῷ "ὡς τῶν μισγομένων γένετ' ἰαχή τε φόβος τε" (Il. 4, 456). συνεχώρει δὲ τὸ μέτρον εἰπεῖν ἐς μισγάγκειαν συμμίσγετον ὄβριμον ὕδωρ, Ὁμηρικοῦ ὄντος τοῦ παρετυμολογεῖν ὡς τὸ "τέμενος τάμον" (Il. 6, 194). καὶ "κειμήλια κεῖται" (Il. 6, 47). καὶ "ἅρπαι ἀνηρείψαντο" (Od. 1, 241). καὶ "μένος οἴχεται ὃ πρὶν ἔχεσκες" (Il. 5, 472). καὶ "φής που ἄτερ λαῶν πόλιν ἐξέμεν" (Il. 5, 473). ὁ δὲ προείλετο τὴν ἀντίδοσιν τῶν ὀνομάτων εἰς ἐνωτικὴν τοῦ φραζομένου πρὸς τὸ εἰκαζόμενον, εἴ γε αἱ αὐταὶ φωναὶ πρέπουσιν ἑκατέρις, ἐπὶ δὲ τῶν Αἰάντων καὶ τολμήσας νέφος εἶπε, καὶ κατὰ μεταφορὰν πεζῶν καὶ ὡς εὔλογον τὴν τόλμαν τῇ παραβολῇ ἐπιστώσατο, καὶ τὰς φωνὰς ἤμειψεν ἐπειπὼν τὸ παραβληθὲν τῷ παραβαλλομένῳ. "ἦλθε δ' ἐπ' Αἰάντεσσι κιὼν ἀνὰ οὐλαμὸν ἀνδρῶν, τὼ δὲ κορυσσέσθην, ἅμα δὲ νέφος εἵπετο πεζῶν" (Il. 4, 273). προαναφωνήσας οὖν νέφος πεζῶν ἐξ αὐτοῦ πλάσσει παραβολὴν "ὡς δ' ὅτ' ἀπὸ σκοπιῆς εἶδεν νέφος αἰπόλος ἀνὴρ ἐρχόμενον*

7. Scholion Porphyrii, quod iisdem fere verbis perscriptum legitur in Quaestionibus Homericis cap. 27.

14. μισγάκεια] μισγάγγεια hic et infra.

17. μίσγεσθαι] μίσγεαι

28. ἐπειπὼν] ἐποποιῶν. Correxi ex Porphyrio.

κατὰ πόντον ὑπὸ ζεφύροιο ἰωῆς. τῷ δέ τ' ἄνευθεν ἐόντι μελάντερον ἠὲ πίσσα φαίνετ' ἰὸν κατὰ πόντον· ἄγει δέ τε λαίλαπα πολλήν. τοῖαι ἄμ' Αἰάντεσσι διοτρεφέων αἰζηῶν δήϊον ἐς πόλεμον πυκιναὶ κίνυντο φάλαγγες κυάνεαι σάκεσίν τε καὶ ἔγχεσι πεφρικυῖαι" (Il. 4, 280–282). τὸ μὲν νέφος ἐρχόμενον καὶ ἰὸν καὶ ἄγον λαίλαπα εἶπεν, ὅ ἐστι πρᾶγμα στρατιώτου, ἐπὶ δὲ τῆς φάλαγγος κίνυντο, ὅπερ ἐπὶ νέφους τάττει κινήσει πυκινὴν νεφέλην καὶ πυκιναὶ φάλαγγες καὶ κυάνεον νέφος καὶ κυάνεαι φάλαγγες· ἤμειψε καὶ ἐπὶ τοῦ λέοντος καὶ τῆς Πηνελόπης τὰς φωνάς "ὅσσα δὲ μερμήριξε λέων ἀνδρῶν ἐν ὁμίλῳ δείσας ὁππότε μιν δόλιον περὶ κύκλον ἄγουσι, τόσσα μιν ὁρμαίνουσαν ἐπήλυθε νήδυμος ὕπνος" (Od. 4, 792–794). μερμηρίζει μὲν γὰρ κυρίως ἄνθρωπος, ὁρμαίνει δὲ λέων. ὁ δ' ἐνήλλαξε. τῷ δὲ τήκεσθαι κυρίως ἐπὶ τῆς χιόνος χρησάμενος ἐνδιατρίβειν ὡς ἐναργεῖ πολλάκις οὐκ ὤκνησε καὶ τῷ αὐτῷ χρήσασθαι ἐπὶ τῆς διὰ λύπην τοῖς δακρύοις διαρρεομένης, "ὡς δὲ χιὼν κατατήκετ'—ἦν τ' εὖρος κατέτηξε, τηκομένης δ' ἄρα τῆς—ὣς τῆς τήκετο καλὰ παρήϊα δακρυχεούσης" (Od. 19, 205), καίτοι ἐν ἄλλοις εἰπὼν "τῆς δ' ἐλεεινοτάτῳ ἄχεϊ φθινύθουσι παρειαί."

σύν ῥ' ἔβαλον ῥινούς, σὺν δ' ἔγχεα] τὰς μὲν πρὸς τὸ μηδὲν παθεῖν, τὰ δὲ, ἵνα τι δράσωσιν.

448. ὀμφαλόεσσαι] τὰς εὐομφάλους, ὡς πύλας ποιητάς ἤτοι εὐποιήτους. ὁτὲ μὲν οὖν αὐτὰς εὐκύκλους, ὁτὲ δὲ ὀμφαλοέσσας καλεῖ, τὴν ἀπὸ τοῦ κέντρου πρὸς τὸ τέλος τυπῶν αὐτῶν ἰσότητα, καὶ πάντοσ' εἴσας.

449. ὀρυμαγδός ἐστι πολέμου ἢ ὕδατος ἦχος, ἔχων ἐπὶ πολέμου κτύπον ὅπλων, στρατιωτῶν ἀλαλαγμὸν, ἡγητόρων παράκλησιν, εὐχὴν ἀγωνιώντων, οἰμωγὴν ἀπολλυμένων, θρῆνον ἐπὶ πεπτωκόσιν. ἔστιν οὖν ὀρυμαγδὸς ἔνθα ὄρνυται ὅμαδος.

450. οἰμωγή τε καὶ εὐχωλὴ] ἀκριβῶς ἔχει ἡ λέξις· πρότερον γὰρ ἂν ὁ παθὼν οἰμώξειεν, εἶθ' ὁ δράσας ἐπ' αὐτῷ μεγάλως χαροῖτο καὶ αὐχήσοι.

ῥέε] ἐμφαντικῶς· οὐ γὰρ εἶπεν ἐρραίνετο, ἀλλ' ὡς εἰ λέγοι ὅτι ἐπήγαζεν αὐτὴ τὸ αἷμα διὰ τὸ πλῆθος. κρουνοὶ δὲ στειναί τινες καὶ βαθεῖαι ἐκρύσεις.

7. τάττει κινήσει] πράττει κινήση. Correxi ex Porphyrio.

20. *τι] om.

25, 32. Primae manus scholia, non numeris notata, sed alio signo.

452. ὡς δ' ὅτε] ἔστιν ἀκοῦσαι δύο ποταμῶν ἦχον. πανταχόθεν δὲ αὐτῶν ἠύξησε τὸν ἦχον. οὐ γὰρ διὰ πεδίων, ἀλλ' ἐξ ὄρους ῥέουσιν, ἵνα μὴ ῥύσις, ἀλλ' ἐμβολὴ ὕδατος εἴη· καὶ εἰς τὸν αὐτὸν καταφέρονται τόπον, τῇ συμπτώσει τῶν ὑδάτων πολὺν ἀπεργαζόμενοι τὸν ἦχον· καὶ κρουνῶν ἐκ μεγάλων προστίθησι, τῷ πλήθει τοῦ καταρρέοντος ὕδατος τραχὺν ἐγείρων τὸν ψόφον· καὶ τὸ κοίλωμα τὸ δεχόμενον αὐτοὺς μισγάγκεια εἴρηται, τραχυνόμενον τῇ ὀνοματοποιίᾳ καὶ συναπειλοῦν τῷ ῥεύματι. ἴσως δὲ καὶ δύο τοὺς ποταμοὺς παρέλαβεν οὐκ αὐξήσεως μόνον ἕνεκεν, ἀλλ' ὅτι εἰσὶ καὶ τὰ στρατεύματα δύο. καὶ τούτους ἐμπίπτοντας ἀλλήλοις· καὶ γὰρ οἱ στρατοὶ ἀλλήλοις ἐπιφέρονται.

453. μισγάγκειαν] ὁ τόπος ἐν ᾧ μίγνυνται οἱ ποταμοί. τὸ δὲ ἑξῆς οὕτως· ὡς δὲ χείμαρροι κατ' ὄρεσφι ῥέοντες ἐς μισγάγκειαν συμβάλλετον τὸ ὕδωρ ἐκ τῶν κρουνῶν ἔσω τῆς χαράδρης, ὣς τῶν μισγομένων.

455. τῶν δέ τε τηλόσε] εἰς μακρὰν, φησὶν, ἀφικνουμένων ὁ ψόφος ἀκούεται. ἄμεινον δὲ τηλόθι γράφειν καὶ πρὸς τὸν ποιμένα ἀποδιδόναι· ἀποκέκλεισται γὰρ τηλόθι που χειμῶνος ὄντος ὁ ποιμήν.

457. πρῶτος δ' Ἀντίλοχος] τοῦτο χαρίζεται αὐτῷ, ἐπεὶ καὶ ἄλλην ἀριστείαν αὐτοῦ οὐ γράφει. ἄλλως τε καὶ ζηλοῖ τὸν πατέρα· "πρῶτος" γάρ φησιν "ἐγὼν ἕλον ἄνδρα" (Il. 11, 738). καὶ θεατὴν αὐτὸν ἔχει. θερμότητος δὲ τοῦτο νεωτερικῆς ἔργον. ἢ Τρῶες κατεφρόνουν Νέστορος, καὶ κατὰ τοῦτο μᾶλλον τὸ μέρος πρώτως ἔκρουσαν.

*Πορφυρίου. κορυστήν] γελοίως ὁ Ἀπίων τοὺς ἱπποκορυστὰς ἀπέδωκε τοὺς κόρυθας ἔχοντας ἱππείαις θριξὶ κεκοσμημένας. εἰ γὰρ παρὰ τὴν κόρυν συνέκειτο, κἂν ἱπποκόρυθες ἐλέγοντο· νῦν δὲ σημαίνει τὸν ἔφιππον ὁπλίτην· κορυστὴς γὰρ ἀπὸ μέρους ὁπλίτης καὶ μαχητής. "ὣς ῥα τὸν ὑψοῦ ἔχοντε δύο Αἴαντε κορυστά" (Il. 13, 201)· καὶ τὸν Ἄρεα δὲ ἔφη χαλκοκορυστήν. "Ἀργεῖοι δ' ὑπ' Ἀρηϊ καὶ Ἕκτορι χαλκοκορυστῇ" (Il. 5, 699), τὸν ὁπλίτην σημαίνων καὶ ἀντίθετον τῷ ἱπποκορυστῇ. ἐκ δὲ τοῦ κορύεσθαι, ὅπερ ἐν πλεονασμῷ τοῦ θ ἔφη κορύθεται, ἥ τε περικεφαλαία κόρυς, καὶ κορύνη ἀμυντήριον ἐκ κεφαλῆς ῥοπὴν ἔχον καὶ βάρος, παρὸ καὶ ῥόπαλον λέγεται, καὶ κορυνήτης ὁ τῇ κορύνῃ χρώμενος. ἔμπαλιν δὲ τὸ εἰς τὸ

3. εἴη] *ᾖ
19. *οὐ γράφει] συγγράφει
24. Πορφυρίου] Referendum ad
2, 1.
27. *τὸν ἔφιππον ὁπλίτην] τὸ ἐφ' ἵππων ὁπλίται

σκηρίπτεσθαι ἐπιτήδειον ξύλον σκηπάνιον καὶ σκῆπτρον· καὶ ἐπὶ τοῦ δόρατος τοῦ ἐπερεισθέντος τῇ γῇ "οὐδει ἐνισκήφθη" (Il. 16, 612). ὥσπερ δὲ ἐπὶ τοῦ δόρατος ᾧ καταχρῶνται εἰς τὸ σκηρίπτεσθαι "στῆ δ' ἄρ' ἐπὶ μελίας χαλκογλώχινος ἐρεισθείς" (Il. 22, 225), οὕτως ἐπὶ τοῦ ῥοπάλου, ὅταν λέγῃ "δὸς δέ μοι εἴ ποθί τοι ῥόπαλον τετμημένον ἐστὶ, σκηρίπτεσθαι" (Od. 17, 195). ἐν δὲ τῷ ἱπποκορυστὴς δύναται ἡ ἵππου γενικὴ συγκεῖσθαι, ἀντὶ τοῦ ἱππεῖς, ὡς τὸ "ἐν δ' ἄρα τοῖσιν ἀρήϊος ἵστατ' Ἀχιλλεὺς ὀτρύνων ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας" (Il. 16, 167)· τοὺς γὰρ ἵππους τοῖς ἀσπιδιώταις ἀνδράσιν ἀντιτιθεὶς, τουτέστι τοῖς ὁπλίταις, ἐμήνυσεν ὅτι ἀντὶ τῶν ἱππέων τοὺς ἵππους ἔφη, ᾧ τρόπῳ καὶ ἐν τῇ συνηθείᾳ λέγομεν ἡ ἵππος τῶν Περσῶν ἐνίκησεν ἀντὶ τοῦ οἱ ἱππεῖς. ἡγεμονικώτερι δὲ τῶν πεζῶν εὖτοι· διὸ ὀτρύνει ἵππους τε καὶ ἀνέρας. καὶ τὸ εὔδειν οὖν ἀνέρας ἱπποκορυστάς κατ' ἐπικράτειαν εἰρημένον δηλοῖ ὅτι οὐ μόνον οἱ ἱππεῖς, ἀλλὰ καὶ οἱ πεζοὶ, οὐδ' οἱ ἄνδρες μόνον, ἀλλὰ καὶ αἱ γυναῖκες ἐκάθευδον.

458. Θαλυσιάδην Ἐχέπωλον] κύριον τὸ δεύτερον· τότε γὰρ ἐπιθετικῶς, ὅτε λέγει ταχύπωλον καὶ εὔπωλον. οὐ χρῆται δὲ πατρωνυμικοῖς ἀντὶ κυρίων, εἰ μὴ ἐπὶ τοῦ Ἀργεάδην πολύμηλον (Il. 16, 417).

461. τὸν δὲ σκότος] ἱκανὴ μὲν καὶ ἡ αἰφνίδιος ὁρμὴ καὶ ἡ ἀπρόοπτος πληγὴ, εἰ καὶ καιρία μὴ ἦν, εἰς τὸ θανατῶσαι· νῦν δὲ καὶ ἄμφω ἐπισυμβαίνει· καὶ γὰρ αὐτῆς τῆς μήνιγγος ἥψατο, ἣ διείργει τὸν ἐγκέφαλον ἄνω καὶ κάτω κειμένη καὶ μόνως περιφυλάττουσα· ἄχρι γὰρ τῆς τοῦ ἐγκεφάλου βάσεως αὐτῆς εἰσέθορε τὸ δόρυ. σημείωσαι δὲ ὅτι τοὺς περὶ κεφαλὴν βαλλομένους ἀνωδύνως φησὶ τελευτᾶν· "τόν ῥ' ἔβαλε κεφαλὴν ὑπὲρ οὔατος, ὦκα δὲ θυμὸς ᾤχετ' ἀπὸ μελέων" (Il. 16, 606)· "αὐτὰρ ἔπειτ' Εὐρύαλον πέτρῳ βάλε μέσσην κακκεφαλὴν, ἀμφὶ δέ οἱ θάνατος χύτο" (ib. 415)· τοῦ κυρίου γὰρ τρωθέντος τόπου καιρίως ἀκολουθεῖ θάνατος τῇ πληγῇ, οὐδὲ ὀλίγον χρόνον εἰς ἀντίληψιν τῆς ὀδύνης παρέχων. καὶ ἐπὶ ὀμφαλοῦ ταὐτὸ "ἔνθα μάλιστα γίνετ' Ἄρης ἀλεγεινός" (Il. 13, 568)· "ἀντικρὺ δὲ διέσχε παρ' ὀμφαλὸν, γνὺξ δ' ἔριπ' οἰμώξας" (Il. 20, 416). οἱ γὰρ περὶ γαστέρα τόποι νευρώδεις ὄντες τὴν ἀπὸ τῶν ἡγεμονικῶν αἴσθησιν πλειόνως δέχονται.

6. *σκηρίπτεσθαι] ὥστε σκηρίπτεσθαι
7. *ἡ] om.
14. *ὅτι] om.
18. *ταχύπωλον καὶ εὔπωλον] ταχυπώλων καὶ εὐπώλων

462. ἤριπε] εἰς τὴν ἔραν ἔπεσε.

463. ὕπτιος γὰρ ἔπεσεν ὑπὸ τῆς ὁρμῆς τοῦ δόρατος.

465. ὑπ' ἐκ] ἡ ὑπό τὸν ὑποκύψαντα δηλοῖ, ἡ δὲ ἔξ τὴν ἔξω τοῦ κειμένου φοράν.

466. μίννυθα δέ] δικαίως κολάζεται ὡς αἰσχροκερδὴς, δέον γὰρ τῶν ζωῶν ἅπτεσθαι.

468. πλευρὰ τά οἱ—ἐξεφαάνθη] οἱ ἑταῖροι, φησὶ, τὰ πλευρὰ ἐθεάσαντο. καίριος δὲ ἡ πληγὴ κατὰ καρδίας ἢ πνεύμονος ἐνεχθεῖσα. τὸ δὲ παρ' ἀσπίδος ἀντὶ τοῦ παρενεχθέντος τοῦ ὅπλου. διδάσκει δὲ μηδὲν ἀσκόπως ποιεῖν.

470. ἔργον ἐτύχθη] ἀνανεοῦται τὴν στάσιν, καὶ πλείους δίδωσι τὰς τῶν ἀριστέων πτώσεις, καὶ τὸν πόλεμον ἐπιφανέστερον ποιεῖ. ἱκανὴν δὲ πίστιν ἐπάγει τοῖς λόγοις ὡς αὐτόπτης ὤν.

471. Τρώων καὶ Ἀχαιῶν] ἤλλακται ἡ φράσις· πρῶτοι γὰρ ὥρμησαν Ἕλληνες διὰ τὸν ἐξ αὐτῶν πεσόντα Ἐλεφήνορα.

473. Ἀνθεμίωνος υἱόν] πολλὴν πίστιν ἐπιφέρει τῷ λόγῳ ὡς αὐτόπτης ὢν, οὐ ψιλὸν τοῦ τετρωμένου τὸ ὄνομα θεὶς, ἀλλὰ καὶ τὴν αἰτίαν δι' ἣν ἐκαλεῖτο Σιμοείσιος, καὶ τοῦ πατρὸς τὸ ὄνομα καὶ τὸ χωρίον ἐν ᾧ ἐτέχθη, καὶ ἐπὶ τί πορευομένη ἡ μήτηρ ἔτεκεν αὐτὸν, καὶ τὴν ἡλικίαν ἣν ἔχων ἀπέθανεν, ὅτι ἡίθεος ἦν.

476. μῆλα ὁ ποιητὴς τὰ πρόβατα καὶ τὰς αἶγας, Ἡρόδοτος δὲ τὰ τετράπεδα πάντα.

477. οὐδὲ τοκεῦσι] διδάσκει μὴ καραδοκεῖν τὴν ἀπὸ τῶν παίδων γηροκομίαν τοὺς τοκεῖς διὰ τὸ ἄδηλον.

480. πρῶτον] ἐν τοῖς προμάχοις δηλονότι πρῶτον.

482. ὁ δ' ἐν κονίῃσι] καίριος ὁ τόπος· διελθὸν γὰρ τὸν πνεύμονα περὶ τὸν ὦμον ἀνέσχεν.

αἴγειρος ὥς] ποιητικὴ ἡ ἀναστροφὴ, οὐ μετρική.

483. μέχρι τούτου τὰ τῆς ὁμοιώσεως· τὰ δὲ λοιπὰ ἐναβρυνόμενός φησι καὶ διώκων τὴν ἡδονήν.

484. ὄζοι ἐπ' ἀκροτάτῃ πεφύασιν] τὰ γὰρ ἄοζα ἕτοιμα πρὸς κάμψιν. παρυδατίῳ δὲ φυτῷ εἴκασε τὸν παρὰ ποταμὸν γεγενημένον.

487. παράκειται τῷ ποταμῷ διὰ τὸ ὑπ' αὐτοῦ ἐαγῆναι, ὡς τὸ

10. ἀσκόπως] ἀπερισκέπτως ut p. 216, 8.
19. *ἐπὶ τί] ἐπεὶ
21. *δὲ] om.
31. *ἄοζα] ὄζα

"πολλὰς δὲ δρῦς ἀζαλέας, πολλὰς δέ τε πεύκας εἰσφέρεται" (Il. 11, 494). τίς δὲ παραπλέων ποταμὸν οὐχ ὑπομνησθήσεται τοῦ ἔπους;

491. *Πορφυρίου. ἀδύνατόν φασιν εἶναι ἐπὶ τὸν Αἴαντα τὸ βέλος πεμφθὲν εἰς Ἰθακήσιον ἐλθεῖν· οἱ γὰρ Ἰθακήσιοι πόρρω τεταγμένοι εἰσί, καὶ οὐ κατὰ τοὺς Σαλαμινίους καὶ Λοκρούς. λύεται δὲ ἐκ τῆς λέξεως· ὁ γὰρ ἑταῖρος οὐ πάντως πολίτης, ἀλλὰ καὶ φίλος καὶ συμπράττων. οὕτω καὶ Πάτροκλος Ἀχιλλέως οὐ πολίτης, ἀλλ' ἑταῖρος.

πῶς ἑταῖρον αὐτόν φησιν Ὀδυσσέως, μὴ στρατευομένων Ἰθακησίων πλησίον Σαλαμινίων; ἑταῖρον οὖν νῦν οὐ τὸν πολίτην, ἀλλὰ τὸν συνεργόν φησιν· τί γὰρ ἄτοπον εἰ Σαλαμίνιος ὢν ἑταῖρός ἐστιν Ὀδυσσεῖ; οἱ δὲ, ὅτι συγκέχυται ἡ μάχη. ἢ ὅτι ὁ Αἴας πάσας ἐπῄει τὰς τάξεις βοηθῶν. καί που γὰρ καὶ Ὀδυσσεῖ βοηθεῖ, ὡς δηλοῖ ἡ πεδιὰς μάχη (Il. 11, 472). καὶ Μενεσθεῖ βοηθεῖ ἐν τῇ τειχομαχίᾳ (Il. 12, 370)· καὶ Μενέλαος αὐτὸν ἐπὶ Πατρόκλου προσκαλεῖται (Il. 17, 120).

492. βουβῶνα] ἐμπεφύκασι τοῖς βουβῶσι μεγάλαι ἀρτηρίαι καὶ φλέβες αἱμορραγίας ποιοῦσαι, αἳ βοηθούμεναι μὲν ἐπικίνδυνοι, ἀμελούμεναι δὲ θανατώδεις εἰσίν.

493. νεκρὸς δέ οἱ ἔκπεσε χειρός] ὡς ἐκεῖ "μιννυθάδιος δέ οἱ γένεθ' ὁρμή" (466). περὶ ὃ δὲ μάλιστα ἐσπούδαζον, τούτου αὐτοὺς ὁ ποιητὴς στερῶν μᾶλλον κολάζει.

496. ἐγγὺς ἐών] ἐγγὺς τοῦ Λεύκου, καὶ τούτου ὑπερασπίζων.

497. παπτήνας] οἰκεῖον τὸ προνοητικὸν τῷ Ὀδυσσεῖ· οὐ γὰρ ὡς Ἐλεφήνωρ· οὗτος γὰρ περιεσκόπει μὴ γυμνόν τι εἴη τοῦ σώματος. κεκάδοντο δὲ διὰ τὴν τοῦ δόρατος ὁρμὴν, οἱ μὲν ἔνθεν, οἱ δὲ ἐκεῖθεν διαχωρισθέντες.

499. Δημοκόωντα] πρῶτος οὗτος Πριαμιδῶν ἀναιρεῖται.

500. Ἀβυδόθεν] τῆς Ἑλλησποντίδος Ἀβύδου μέμνηται· τὰς γὰρ πλησίον τῆς Τροίας πόλεις ἀσφαλεστέρας ἔδει εἶναι ὡς τῶν ἐπιτηδείων χορηγούς· διὸ οὐ πεπόρθηνται ὑπὸ Ἀχιλλέως. τὸ δὲ παρ' ἵππων ἀντὶ τοῦ ἐκ τῶν ἵππων, ὡς ἐκεῖ ὄντων τῶν ἱπποστασίων Πριάμου· οἱ δὲ ἀντὶ τοῦ ἐφ' ἵππων.

4. *Πορφυρίου] om.
*φασὶν] φησὶν
18. *ἐμπεφύκασι] ἐκπεφύκασι
32. *πεπόρθηνται] πεπόρθηται

502. κόρσην] τὸν κρόταφον λέγει· ἐπίκορσα γάρ φασιν Ἀττικοὶ τὰ ὑπεράνω τῶν γνάθων. ὡς οὖν ἔλος ἔλαφος, οὕτω κόρση κόρταφος κρόταφος.

505. χώρησαν δ'] πῶς νικῶσιν Ἕλληνες, οὓς ὁ Ζεὺς θέλει ἡττᾶσθαι; ἐροῦμεν ὅτι Ζεὺς ἐᾷ Τρῶας ποινὰς τῶν πλημμελημάτων τίνειν· ἢ ὅτι δι' ἀμφοτέρων τὴν τῶν Ἑλλήνων δύναμιν, ἵνα καὶ συμμαχῶν Τρωσὶν ἐπιδείξηται τὴν χάριν, εἴ γε ὃν ἔτρεψε μόνος Αἴας, οὗτος ἅμα Διὶ τοὺς πάντας Ἕλληνας διώκει.

506. νεκρούς] τοὺς ἰδίους. φιλάλληλοι γάρ, καὶ ὑπὲρ Ἐλεφήνορος πόλεμος γίνεται, καὶ νῦν ὑπὲρ Λεύκου.

507. νεμέσησε δ' Ἀπόλλων] φθονεῖ μὲν τῇ τῶν Ἀχαιῶν εὐπραγίᾳ, συνάχθεται δὲ τῇ τῶν Τρώων δυσπραγίᾳ. καλῶς δὲ πρῶτοι βοηθοῦνται, ἵνα καὶ Ἀθηνᾶ τούτοις εὐκόλως παραστῇ.

508. *Περγάμου ἐκκατιδών] τῆς ἀκροπόλεως. ἰστέον δὲ ὅτι οἱ παλαιοὶ ἔκτιζον τὰς ἀκροπόλεις ἐν τοῖς ὑψηλοῖς τόποις διὰ τὸ ἐκεῖ προσφεύγειν ἀπὸ τῶν κοιλοτέρων τόπων τοὺς ἐνοικοῦντας ἐν τοῖς κατακλυσμοῖς.

510. οὔ σφι λίθος χρὼς οὐδὲ σίδηρος] καὶ Ἀγησίλαος μαχόμενος ὑπεμίμνησκεν ὅτι πρὸς ἀνθρώπους καὶ τρωτοὺς ἡ μάχη· ὑπερβολὴ δὲ δέους, εἴ γε τοιούτους ὑπειλήφασι τοὺς πολεμίους.

512. οὐδ' Ἀχιλεύς] εἰδότας ὑπομιμνήσκει θρασυτέρους ποιῶν, καὶ ἡμᾶς εἰς ὑπόμνησιν ἄγει τῆς Ἀχιλλέως ἐξόδου καὶ ἐπιπόθησιν· ἅμα δὲ καὶ τὸ πρόσωπον αὔξει.

513. πέσσει] ἐπὶ πολὺ κατέχει. πολὺ δὲ τὸ μεταξὺ διάστημα μετὰ τὴν βλάστησιν τῶν καρπῶν ἄχρι τῆς πέψεως· ὅθεν καὶ τὴν παραβολὴν εἴληφε ταύτην.

515. Τριτογένεια] ὅτι γεννηθεῖσαν ἔτρεσαν αὐτὴν οἱ θεοί.
*ἢ ἡ τὸ τρεῖν τοῖς πολεμίοις γεννῶσα, ἢ ἡ ἐπὶ τῷ Τρίτωνι ποταμῷ τῆς Λιβύης γεννηθεῖσα.

516. ὄθι μεθιέντας ἵδρυτο] οὐχ ἁπλῶς ὡς Ἀπόλλων τοὺς πάντας, ἀλλὰ τοὺς ἀμελεῖς. τοῦτο γὰρ διορθώσεως δύναται τυχεῖν, πταῖσμα ὂν ἑκούσιον· τὸ δὲ μὴ δύνασθαι φυσικόν.

517. ἔνθ' Ἀμαρυγκείδην] νῦν ἀπὸ τῶν Ἑλλήνων ἤρξατο, ἐπειδὴ τότε ἀπὸ τῶν Τρώων. μοιρίδιον δὲ τὸν θάνατόν φησιν. καὶ τὸ ἐπέδησε δὲ καλῶς, ἐπεὶ κατὰ τὸν πόδα ἐβλήθη.

12. *δυσπραγίᾳ] δυσπραξίᾳ 34. μ. δὲ τὸν] μοῖραν δὲ τὸν μ. Bergler.

520. πῶς ἐν τῷ καταλόγῳ (Il. 2, 844) φησὶν ὅτι Θρήϊκας ἦγε σὺν Ἀκάμαντι, ὅσους Ἑλλήσποντος ἐντὸς ἐέργει, νῦν δὲ λέγει ὅτι Αἰνόθεν εἰληλούθει; ἢ τάχα οὗτοι μὲν πάντες περιῴκουν, τὰ δὲ βασίλεια ἐν Αἴνῳ ἦν τὰ αὐτοῦ.

522. ὕπτιος] εἰκότως ὕπτιος· σφοδρὰ γὰρ ἡ πληγὴ, ὅτι τὰ ὀστᾶ καὶ ἄμφω τὼ τένοντε συνηλόησεν ὁ λίθος.

523. χεῖρε—πετάσσας] τοῦτο ποιεῖ συμμαχίαν αἰτῶν.

526. *χολάδες καλοῦνται τὰ ἔντερα, ἐπειδὴ εἰς αὐτὰ χεῖται ἡ ξανθὴ χολὴ, τοῦτο μηχανησαμένης τῆς φύσεως πρὸς τὸ διαθερμαίνεσθαι καὶ ἐρεθίζεσθαι αὐτὰ τῇ δριμύτητι αὐτῆς πρὸς τὴν ἀπόκρισιν τῶν περιττῶν· ἤμελλε γὰρ ψυχρὰ ὄντα τῇ κράσει ἀργὰ μένειν καὶ μηδέποτε ποιεῖν τὴν ἀπόκρισιν· τοιαῦτα γὰρ τὰ νευρώδη πάντα.

τὰ παχέα ἔντερα· ὅθεν καὶ χόλιξ. χύντο δὲ, ὅτι μαλθακὰ καὶ ὁλισθηρὰ τὰ ἔντερα.

534. χασάμενος] καλῶς οὐκ ἐπὶ αὐτῶν, ἀλλὰ χασάμενος, μήποτε γυμνωθῇ τῆς ἀσπίδος.

539. οὐκέτι] πλεονάζει τὸ ἔτι· παντοδαπὰς δὲ πληγὰς καὶ πτώματα διελθὼν ἐπαναπαύει τὸν ἀκροατήν.

540. ἄβλητος καὶ ἀνούτατος λέγεται ὁ ἔτι μήτε ἀπὸ διαστήματος τρωθεὶς δόρατι ἢ ὀϊστῷ μήτε ἐκ τοῦ σύνεγγυς ξίφει· τοῦτο γὰρ διαφέρει βολὴ τρώσεως. βάλλω ἐκ τοῦ πόρρω, ἐξ οὗ καὶ βολή· τιτρώσκω ἐκ τοῦ σύνεγγυς, ὃ ἡ τρῶσις.

541. δινεύοι] συστρέφοιτο· ὅθεν καὶ αἱ συστροφαὶ τῶν ἀνέμων καὶ τῶν ὑδάτων δῖναι καλοῦνται.

ἄγχι δέ ἑ Παλλὰς Ἀθήνη] θεατὴν ἑαυτῷ ἀνέπλασε τῆς μάχης, ἵν' ἀθορύβως σκοπῇ καὶ ἐν μέσοις τοῖς μαχομένοις, καὶ ἵνα ἀκριβῶς θεῷτο.

ΕΙΣ ΤΗΝ Ε.

1. ἔνθ' αὖ] τότε ὅτε καὶ πολλοὶ ἀπώλοντο.

Διομήδεϊ] πῶς ἐν τῷ καταλόγῳ δεύτερον εἰπὼν Ἀχιλλέως Αἴαντα (Il. 2, 768) τὴν πρώτην ἀριστείαν οὐ τούτῳ, τῷ δὲ Διομήδει ἀνατίθησιν; ἢ ὅτι ὁ μὲν δυσκίνητος καὶ μεγαλόφρων τὴν φύσιν ὑπάρχων κατὰ πᾶσαν τὴν μάχην ἦν ἄριστος, ὁ δὲ ὀξὺς καὶ φιλότιμος ὢν ὑπὸ

6. *συνηλόησεν] συνηλλοίησεν. In Laurent. 32, 3 est συνηλλοίωσεν.
10. *ἀπόκρισιν] διάκρισιν

τῆς Ἀγαμέμνονος προτροπῆς ἀνεπτέρωται· οἱ γὰρ νεανίσκοι καὶ θυμώδεις ὑπερεθισθέντες εἰς μεγάλην τὴν ἐπίδοσιν ἀναφέρονται. ἢ ὅτι εἰς τὸν μείζονα κίνδυνον αὐτὸν φυλάττει τὸν περὶ τῶν νεῶν· ἧττον γὰρ ἀπεδίδρασκε καὶ διὰ τὸ δέος Ἀχιλλέως καὶ διὰ τῶν ὅρκων τὴν ὑποψίαν. καλῶς δὲ ὁ Διομήδης προτρέπεται ἰδίᾳ· ἡ γὰρ κοινὴ πρὸς τὸ πλῆθος προτροπὴ τὸν καθ' ἕνα ἀμελέστερον ἐργάζεται, ἡ δὲ πρὸς ἕνα τινὰ μονομαχία εὐθαρσέστερον καὶ γενναιότερον.

2. * *μένος καὶ θάρσος*] τὸ μένος ἐστὶ τοῦ σώματος, τὸ δὲ θάρσος τῆς ψυχῆς· ἵν' οὖν δύνηται καὶ θαρρῇ, ἀμφότερα δέδωκεν αὐτῷ· πολλοὶ γὰρ δύνανται μέν, οὐ θαρροῦσι δέ. θάρσος δὲ κατὰ μὲν τοὺς Στωϊκοὺς φιλοσόφους τὸ ἀσφαλῶς πεποιθέναι αὑτῷ ὅτι οὐδενὶ ἂν δεινῷ περιπέσοιεν, κατὰ δὲ τοὺς ἐξ Ἀκαδημίας καὶ τοὺς Ἐρετρικοὺς ἐπίτασις θαρραλέα, κατὰ δὲ τοὺς Κυρηναϊκοὺς καὶ Ἐπικουρείους εὐσταθεῖν κατὰ διάνοιαν καὶ λόγον ἐν δεινῶν ὑπομοναῖς, ὡς φησιν ὁ ποιητὴς "καί οἱ μυίης θάρσος ἐνὶ στήθεσσιν ἔθηκεν" (Il. 17, 570). τί θάρσος οὖν ἐστί; τὸ εὔλογον παράστημα τῆς ψυχῆς, θράσος δὲ τοὐναντίον. ἕτερον γὰρ ἑτέρου χωριζόμενον ἄπρακτον. οὐχ ὡς πρότερον δὲ μὴ ἔχοντος, ἀλλὰ τὸ ἔμφυτον ηὔξησεν. Θαρσὼ δὲ παρά τισιν ἡ Ἀθηνᾶ τιμᾶται. λέγεται δὲ θάρσος τὸ ὑπὸ θεοῦ ἔπαρμα τῆς ψυχῆς. ἔκδηλος δὲ ὅτι ἐπεσκοπεῖτο ὑπὸ τῆς Ἀχιλλέως ἀρετῆς.

μετὰ πᾶσιν] ἀντὶ τοῦ ἐν πᾶσιν εἰς τὸ "σφῶϊ μέν τ' ἐπέοικε μετὰ πρώτοισιν ἐόντας" (Il. 4, 341).

3. *ἄροιτο*] ἀπὸ τοῦ αἴρω. ἔστι δὲ μέσου δευτέρου ἀορίστου.

4. *ἄλλο φῶς ἀντὶ Ἀχιλλέως τοῖς Ἕλλησιν ἤστραψεν ὁ ποιητής. ἀστέρα δὲ ἐνταῦθα τὸν Ἀρκτοῦρον λέγει.*

6. *λείπει ἡ ἔξ. Ὠκεανὸς δὲ ὁ ὁρίζων, παρὰ τὸ ὠκέως περὶ αὐτὸν ἀνύεσθαι τὸν δρόμον τῶν ἄστρων. ὥσπερ δὲ ἐπὶ σωμάτων τὰ λαμπρότερα λελοῦσθαί φαμεν, οὕτως καὶ ἐπὶ ἡλίου καὶ τῶν ἄλλων ἄστρων. καὶ "πέμψεν ἐπ' Ὠκεανοῖο ῥοάων" (Il. 18, 240).*

** Κλέανδρος ὁ Συρακούσιος ἐν τῷ περὶ τοῦ ὁρίζοντος Ὁμηρόν φησι πρῶτον ἔννοιαν ὁρίζοντος δηλῶσαι, οὐκ ὀνομάσαντα μὲν ὁρίζοντα (μαθηματικὴ γὰρ ἦδε ἡ κλῆσις), εἰπόντα δὲ ἐπὶ τοῦ κυνὸς "λαμπρὸν παμφαίνων Ὠκεανοῦ·" ὁ γὰρ τοιοῦτος ἄνεισι μὲν ἐκ τοῦ Ὠκεανοῦ, ὅτε ἔτι κέκρυπται, ὑπερκύψας δὲ τὸν ὁρίζοντα λαμπρὸν παμφαίνησι λελουμένος Ὠκεανῖς· οὐ λέληθε δὲ καὶ τὸν Ἄρατον ἁρπάσαντα τὴν φωνὴν ἐπὶ τοῦ ὁρίζοντος φάναι "ὑψόθεν Ὠκεανοῖο" (26).

7. * πῦρ δαΐεν ἀπὸ κρατός τε καὶ ὤμων] ἀδύνατον τοῦτο· πῶς γὰρ ἂν ἔζησεν ὁ οὕτω καιόμενος ἀπὸ τῆς κεφαλῆς καὶ τῶν ὤμων; ἐγχωρεῖ μὲν οὕτως τῷ ἔθει λύειν, ὅτι συγκεχώρηται τὸ δοκεῖν τοὺς θεοὺς δύνασθαι τοιαῦτα δρᾶν τινὰ, ἃ τοῖς πάσχουσιν ἀκίνδυνά εἰσι κατὰ τὴν ἐκείνων προαίρεσιν· λύεται δὲ καὶ ἐκ τῆς λέξεως διχῶς, ἢ ὅτι τὸ πῦρ οὐ κυριολογεῖ, ἀλλ' ἐπὶ τῆς λαμπηδόνος τίθησιν, ἢ ὅτι μετωνυμικῶς ἀπὸ κρατός τε καὶ ὤμων λέγει ἀπὸ τῶν περιεχομένων ἐπὶ τὰ περιέχοντα· προείρηται γὰρ δαΐε οἱ ἐκ κόρυθός τε καὶ ἀσπίδος ἀκάματον πῦρ. ἢ καὶ ἐκ τοῦ ἔθους· εἴωθε γὰρ ἐπὶ τῶν μαχομένων τὸ πῦρ λαμβάνειν εἰς παράστασιν τῆς συντόνου καὶ ἐνθέρμου ὁρμῆς· "ὣς οἱ μὲν μάρναντο δέμας πυρὸς αἰθομένοιο" (Il. 11, 596) καὶ "μάχης καυστειρῆς ἀντιβολῆσαι" (Il. 4, 342). καὶ τὰ περὶ τὸν Διομήδη οὖν παραστατικὰ τῆς κατὰ τοὺς ὤμους καὶ τὰς χεῖρας ἐνθέρμου ὁρμῆς καὶ τῆς κατὰ τὴν κεφαλὴν πυκνοτέρας ἐπιστροφῆς· οὕτω γὰρ καὶ κορυθαίολος εἴρηται.

πῦρ ἐνταῦθα τὴν λαμπηδόνα καλεῖ.

8. κατὰ μέσσον] ἐκεῖ γὰρ ἡ μάχη τὰ τῶν πολεμιστῶν ἄνθη συναγείρει ἀεί.

9. ἦν δέ τις] τοῦτο τὸ εἶδος διήγησις λέγεται. τρεῖς ἀρεταὶ διηγήσεως, σαφήνεια, συντομία, πιθανότης, ἅπερ ἐνέθηκεν, τὸ ἔθνος, τὸ ὄνομα, τὸν τρόπον, τὴν τύχην, τὴν ἀρχὴν, τῶν παίδων τὰ ὀνόματα καὶ τὴν ἀρετὴν παραστήσας.

Δάρης εἴρηται διὰ τὸ τὰ θύη ἐκδέρειν.

10. ἱρεύς] ἀπὸ τοῦ ἱερεὺς συνήλειπται ὡς πόλιες πόλις. ψιλοῦται δὲ, ἐπεὶ τὸ ῐ μακρὸν ψιλοῦται μὴ ὂν ἐκ κλίσεως μηδὲ διὰ χρείαν ἐκτεινόμενον.

15. πρότερος] πρότερος Διομήδους· οἰκεῖον δὲ τῷ προπηδῶντι καὶ προακοντίζειν. ἀεὶ δὲ τοὺς πρώτους εἰσάγει ἐπὶ τὸ πλεῖστον ὀλλυμένους. ἅμα δὲ παρίστησιν ὅτι θρασεῖς οἱ Τρῶες.

20. * Ἰδαῖος δ' ἀπόρουσε] κατηγορεῖ καὶ τούτου Ζωΐλος, ὅτι λίαν φησὶ, γελοίως πεποίηκε τὸν Ἰδαῖον ἀπολιπόντα τοὺς ἵππους καὶ τὸ ἅρμα φεύγειν. ῥητέον οὖν ὅτι κατέθορε μὲν τοῦ ἅρματος ὡς ὑπερασπίσων τῷ ἀδελφῷ, εὐλαβηθεὶς δὲ τὸν πολέμιον εἰς φυγὴν

3. * ἐγχωρεῖ μὲν οὕτως] ἐγχειρεῖ μὲν οὖν
4. * τινὰ] τινὰς
12. ἀντιβολῆσαι] ἆνβολ͂
24. * συνήλειπται] συνείληπται
* πόλις] πόλεις

ὥρμησεν. οἱ δὲ λέγουσιν ὅτι εἰδὼς τὸ Διομήδους φίλιππον διὰ τοῦτο ἐᾷ τοὺς ἵππους, ὅπως περὶ αὐτοὺς γένηται. ἢ ὅτι οὐκ ἐπέστησε τῷ συμφέροντι· αἱ γὰρ φρένες ταραχθεῖσαι παρέπλαγξαν καὶ τὸν σοφόν. τοιοῦτος εὑρίσκεται παρ' αὐτῷ καὶ Ἀλέξανδρος, ἑλκόμενος ὑπὸ τοῦ ἐχθροῦ καὶ ἀγχόμενος ὑπὸ τῆς κόρυθος καὶ ἀγνοῶν χρήσασθαι τῷ ξίφει κατὰ τοῦ πολεμίου.

λιπὼν περικαλλέα δίφρον] ἵνα ἀσχολία Διομήδει τὸ λάφυρον γένηται.

21. ἀδελφειοῦ κταμένοιο] κατακερτομεῖ αὐτὸν ὀνειδίζων τὴν δειλίαν· Ὀδυσσεὺς δὲ ὑπὲρ Λεύκου ἀγωνίζεται ἑταίρου μόνον ὄντος.

22. οὐδὲ γὰρ οὐδέ] ἡ μία μὲν περισσὴ ἀπόφασις· "οὐδὲ γὰρ οὐδὲ βίη," "οὐδὲ γὰρ οὐδὲ Δρύαντος υἱός" (Il. 6, 130). καὶ ἔστιν ἡ μία μὲν ἐπὶ τοῦ πράγματος, ἡ ἑτέρα δὲ ἐπὶ τοῦ προσώπου. καὶ μὴ φονεύσαντι δὲ Διομήδει τὴν τῆς σφαγῆς ψῆφον δίδωσιν.

23. Ἥφαιστος ἔρυτο] ἠΰξηται μὲν Διομήδης ἀντιτασσομένου θεοῦ, πεπαιδεύμεθα δὲ ἡμεῖς εὐσεβεῖν· καὶ γὰρ Ἑλλήνων ὁ θεὸς, ἀλλ' ὅμως ἀμείβεται τὸν θεράποντα. εὐχάριστος δὲ ὁ Ἥφαιστος καὶ περὶ Θέτιν.

24. μὴ πάγχυ] ἐμφαίνει διὰ τούτου ὅτι παίδων ἑτέρων οὐκ εἶχεν ἐλπίδα Δάρης.

25. ἵππους δ' ἐξελάσας] ἱπποµανὴς ἀεὶ ὁ Διομήδης· Ἀργεῖος γὰρ, τὸ δὲ Ἄργος ἱππόβοτον.

26. κατάγειν] ἐν ταπεινῷ γὰρ τὸ ναύσταθμον, ἡ δὲ πόλις ἠνεμόεσσα.

28. καὶ μὴν ἀπήλαστο τὸ ἄρμα. ἢ τῷ τόπῳ τῶν ἁρμάτων φησίν. διό τινες ἔλεγον, παρ' ὅχεσφι πᾶσιν ὀρίνθη θυμὸς, ἵν' ᾖ οὕτως, τοῖς ἁρματηλάταις ὁ θυμὸς ὠρίνθη προσδοκῶσι τὸ δεινὸν καὶ ἐφ' ἑαυτοὺς ἥξειν. τὰ δὲ ἐπείγοντα πρῶτον εἰπὼν ἐπιφέρει καὶ τῶν Τρώων τὸ πάθος.

31. Ἄρες Ἄρες] ἐπαναλήψεως ὁ τρόπος. ὁ δὲ Ἰξίων τὸ δεύτερον ὀξύνει· οὐδέποτε γὰρ κλητικὴ παρὰ τῷ ποιητῇ ἀναδιπλασιάζεται. ἔστι δὲ ἀντὶ τοῦ βλαπτικέ. ἡ παράδοσις δὲ οὐχ οὕτως ἔχει.

32. οὐκ ἂν δή] ἀγωγὸν τὸ ἐρωτηματικὸν, τὸ δὲ προστατικὸν καὶ

2. * ἐπέστησε] ἐπέσπεισε 5. * ἀγχόμενος] ἀγόμενος

λυπηρόν. μάρνασθαι δὲ, ὅτι πυρώδης ὢν ὁ πόλεμος μαραίνει τοὺς πολλούς.

37. Τρῶας δ' ἔκλιναν Δαναοί] εἰκότως ἐπὶ τῇ Ἄρεως ἀπουσίᾳ καὶ τῇ ταραχῇ ᾗ παρέσχον οἱ Δάρητος παῖδες τοῦτο γίνεται.

38. πρῶτος δὲ ἄναξ] ἄτοπον γὰρ εἶναι ἀργὸν καὶ τοῖς ἄλλοις ἐγκαλοῦντα.

39. Ἀλιζώνων] τῶν Παφλαγόνων, διὰ τὸ ὑπεζῶσθαι τῇ ἁλί. καὶ ἐπὶ μὲν τῶν Δαρητιδῶν προετύπωσε τὴν μάχην, νῦν δὲ καὶ τὸ λεληθότως ἐπεῖπε· πρώτῳ γάρ φησι στρεφθέντι.

Ὀδίον] τὸ κύριον παροξύνεται, τὸ δὲ προσηγορικὸν προπαροξύνεται.

40. μεταφρένῳ] μεθ' ὅ εἰσιν αἱ φρένες. οὐδένα δὲ τῶν Ἀχαιῶν οὕτω φονεύει, εἰ μὴ τὸν ἔκδοτον ὑπὸ θεῶν Πάτροκλον.

43. Ἰδομενεύς παρὰ τὴν Ἴδην. δεύτερος δὲ Ἀγαμέμνονος ἀριστεύει ὡς ὑποσχόμενος αὐτῷ. εἶτα Μενέλαος· οὐ γὰρ συνεχώρει τὸ τραῦμα συνανδραγαθεῖν τῷ ἀδελφῷ.

44. Τάρνη ἐστὶν ἡ νῦν καλουμένη Σάρδις.

46. ἵππων ἐπιβησόμενον] ἐφαψάμενον τοῦ ἅρματος καὶ μέλλοντα τελειῶσαι τὴν βάσιν ἔφθασεν ἡ τοῦ πολεμίου πληγή.

48. ἐσύλευον θεράποντες] ἐν ἀκμῇ γὰρ τὰ τῆς συμβολῆς. Ἐλεφήνωρ δὲ παρὰ καιρὸν τοῦτο ποιῶν ἀναιρεῖται. σώζεται δὲ καὶ τὸ τοῦ βασιλέως ἀξίωμα.

49. Σκαμάνδριον] οἰκεῖον κυνηγῷ τὸ ὄνομα· ποταμοὶ γὰρ αὐτοῖς ἡ διαγωγὴ καὶ ὕλαι.

50. Ἀτρεΐδης Μενέλαος] καταπλήττει τοὺς πολεμίους καὶ θαρσύνει τοὺς Ἀχαιούς, ὑπογυίως τρωθεὶς καὶ μαχόμενος.

51. δίδαξε γὰρ Ἄρτεμις αὐτή] τὰς ἐν ταῖς τέχναις ἐξοχὰς προσάπτει θεοῖς.

53. ἀλλ' οὔ οἱ] δείκνυται διὰ τούτου τὸ τοῦ μοιριδίου ἀπαράβατον.

55. ἀλλά μιν' Ἀτρεΐδης] ἀσθενὴς γὰρ ἡ βολὴ Πανδάρου ἣν ἐβλήθη Μενέλαος· ἐξῆπται δὲ τῇ προθυμίᾳ ἢ διὰ τὴν ἀσέβειαν τῶν Τρώων ἢ διὰ τὴν τῶν θεῶν ἐπικουρίαν.

58. πρηνής] ἀπὸ τῆς τοῦ δόρατος βίας ἀνατραπείς. ἔδειξε δὲ ἡμῖν ὅπλα κραδαινόμενα τῇ τοῦ τεθνεῶτος πτώσει.

26. * ὑπογυίως] ὑπογύως 27. ἐξοχὰς] * ὑπεροχὰς

59. Φέρεκλος ὁ κλόνον φέρων διὰ τῶν νέων.

61. ἐφίλατο Παλλὰς Ἀθήνη] ὡς ὀργανική. διδάσκει δὲ μὴ κακῶς κεχρῆσθαι τοῖς παρὰ θεῶν δώροις, μηδὲ συμπράττειν ἀδίκοις.

62. ὃς] ὁ Ἁρμονίδης, ἐπειδὴ ὁ Φέρεκλος πρὸς τὰ δεύτερα ὑπαντᾷ, ὡς καὶ Λυκόφρων (97) "τράμπις σ' ὀχήσει καὶ Φερέκλειοι πόδες." ὁ δὲ Ἁρμονίδης ὄνομά ἐστι κύριον.

νῆας εἴσας] ἴσας φησὶ τὰς ναῦς, ὅτι ἀντιρρόπως πορεύονται. ἀντίρροπος δέ ἐστι ναῦς ἡ ἔχουσα ἴσα τὰ πλεῦρα κατά τε μέγεθος καὶ σχῆμα καὶ βάρος.

64. Λακεδαιμονίους φασὶ λιμῷ πιεζομένους τὸ αἴτιον ἀνακρίνειν τὸν θεόν· τὸν δὲ εἰπεῖν ἐξιλάσκεσθαι τοὺς ἐν Τροίᾳ κρονίους δαίμονας, Χιμαιρέα τε καὶ Λύκον· τὸν δὲ Μενέλαον ἀπελθόντα εἰς Ἴλιον ἐπιτελεῖν τὰ προσταχθέντα· συμμίξαντα δὲ Ἀλεξάνδρῳ ἅμα αὐτῷ ἀπιέναι εἰς Δελφούς, ἐρησόμενον περὶ παίδων γονῆς· ἐρωτᾶν δὲ καὶ Ἀλέξανδρον ὅπως ἂν ἁρπάσοι τὴν Ἑλένην· τὸν δὲ θεὸν εἰπεῖν "τίπτε δύω βασιλῆες, ὁ μὲν Τρώων, ὁ δ' Ἀχαιῶν, οὐκέθ' ὁμὰ φρονέοντες ἐμὸν ποτὶ νηὸν ἔβητε, ἦτοι ὁ μὲν γενεὴν ἵππου διζήμενος εὑρεῖν, αὐτὰρ ὁ πῶλον ἐλεῖν; τί νυ μήσεαι, ὦ μάκαρ ὦ Ζεῦ;" τοὺς δὲ μὴ νοήσαντας ὑποστρέψαι. τοῦτο οὖν φασὶ λέγειν τὸν ποιητήν, ἐπεὶ οὔτι θεῶν ἐκ θέσφατα ᾔδει.

*Ἑλλάνικος δέ φησι χρησμὸν δοθῆναι τοῖς Τρωσὶν ἀπέχεσθαι μὲν ναυτιλίας, γεωργίᾳ δὲ προσέχειν, μὴ τῇ θαλάσσῃ χρώμενοι ἀπολέσωσιν ἑαυτούς τε καὶ τὴν πόλιν.

67. κατὰ κύστιν] αἰσχρὸν τὸ τραῦμα τοῦ τῆς πορνείας ναυπηγοῦ. δηλοῦται δὲ καὶ ἡ τῆς πληγῆς βία· ὀστέοις γὰρ ἡ κύστις σκέπεται, ἃ παρῆλθε τὸ δόρυ.

68. πιθανὸν σπασμοῦ γεγονότος καὶ τὸν τρωθέντα συννεῦσαι.

70. βάρβαρον ἔθος τὸ τῶν πολλῶν γυναικῶν· Λαέρτης γοῦν "χόλον ἀλέεινε γυναικός" (Od. 1, 433). τάχα γὰρ ἤγνευεν αὐτή. νόμον δὲ τοιοῦτον ὑπογράφει ταῖς γυναιξὶν ὁ ποιητής. σώφρονος γὰρ γυναικὸς τὸ γεγονὸς ἁμάρτημα τοῦ ἀνδρὸς σκέπειν. δείκνυσι δὲ διὰ Θεανοῦς

10. λιμῷ] *λοιμῷ
11. τοὺς — δαίμονας] *τοὺς Τεύκρων δαίμονας
12. Χιμαιρέα] Ἰμερτώ
14. *Δελφοὺς] θεοὺς
18. πῶλον ἑλεῖν in spatio vacuo supplevit manus antiqua in Townl.: in B est ἄκοιτιν ἄγειν
21. *Ἑλλάνικος] ἑλληνικὸν
28. *ἔθος] ἦθος

ὡς ὁ ἀγαθὸς περιγίνεται τρόπος τῶν τοῦ λογισμοῦ παθῶν. ἕκαστον δὲ σαφηνίζει, τοὺς βάλλοντας καὶ πίπτοντας αὔξων καὶ τὸ προσκορὲς ἀφανίζων.

73. ἰνίου] τὸ κοῖλον τοῦ τένοντος. κέκληται δὲ οὕτως διὰ τὸ νευρώδες εἶναι. ἢ πλατὺ καὶ παχὺ νεῦρον τὸ ἀπὸ κεφαλῆς καθῆκον ἐπὶ τὸν αὐχένα.

74. ἀντικρὺ δ' ἀν' ὀδόντας] ὑπὸ τὴν γλῶσσαν διιὼν ὁ χαλκὸς τοὺς ὀδόντας ἀνέτεμεν. ὀξέως δὲ διὰ ἀναίμων ὀστέων διιόντος τοῦ σιδήρου ψυχρὸν αὐτὸν ὀνομάζει. ἀλλαχοῦ δὲ "πᾶν δ' ὑπεθερμάνθη ξίφος" (Il. 16, 333).

75. εἰκότως τελευτᾷ· ἠνέχθη γὰρ τὸ ὄρυ, καθὸ λήγει ὁ ἐγκέφαλος καὶ ὁ μυελὸς ἄρχεται ὁ νωτιαῖος. ἴσον δὲ τῇ τοῦ ἐγκεφάλου κοιλίᾳ δύναται τοῦτο τὸ μέρος.

*ψυχρὸν] ἢ διὰ τὸ ψυχρὸν καὶ ἄθερμον εἶναι τὸν σίδηρον, ἢ τὸν τοῦ ψύχους ποιητικόν, διὰ τὸ ἀποψύχεσθαι τοὺς ἀναιρουμένους ὑπ' αὐτοῦ· τὸν γοῦν ψυχροποιὸν σίδηρον τοῖς ὀδοῦσιν ἔλαβεν.

78. θεὸς δ' ὣς τίετο δήμῳ] διδάσκει πῶς χρὴ πρὸς τοὺς ἱερεῖς διακεῖσθαι.

80, 81. τὸ ἐξῆς οὕτως, μεταδρομάδην αἴξας ἤτοι ἐπιδιώξας τὸν φεύγοντα.

81. τὸ ῥάδιον τῆς ἐκτομῆς ἐδήλωσεν ἔξεσεν εἰπὼν, οὐκ ἀπέκοψεν.

82. οἶκτον ἔχει ἡ χεὶρ δίχα παντὸς τοῦ σώματος κειμένη· ὑπ' ὄψιν γοῦν ἤγαγε τὸ πάθος.

83. ἔλλαβε πορφύρεος θάνατος] ὁ μέλας, ὡς τὸ "πορφύρεον δέ ἑ κῦμα κάλυψεν" (Il. 23, 693).

84. οἱ μέν] ὡς καὶ ἄλλων τινῶν ἀσήμων ἐνεργησάντων.

85. ἡδὺ τὸ τῆς ἀποστροφῆς ὡς πρὸς πρόσωπον, οἷον "φαίης κεν ζάκοτόν τέ τιν' ἔμμεναι" (Il. 3, 220)· ἡ δὲ τῆς ἑρμηνείας θερμότης τὸν βεβακχευμένον Διομήδεα δείκνυσιν.

87. θῦνε] ἐνθουσιωδῶς μετά τινος ὁρμῆς ἐφέρετο. ἐπέτεινε δὲ αὐτὸν τῷ χειμάρρῳ, προεικονίσας ἡμῖν τί ἐστι χείμαρρος· οὐ μόνον δὲ, ἀλλὰ καὶ τῷ πλήθοντι. καλῶς δὲ κἀκ τῶν πασχόντων τοῦ ποταμοῦ τὴν βίαν ηὔξησεν.

8. *ἀναίμων ὀστέων] ἀνέμων ἀστείων 32. *μόνον] μὴν

88. * χειμάρρῳ] χείμαρρος ὁ μὴ ἀέναον τὸ ὕδωρ ἔχων, ἀλλὰ χειμῶνος πληρούμενος ὑπὸ τῶν συνεχῶν ὄμβρων.

89. τὸν δ'] ἡδὺ τὸ τῆς ἐναλλαγῆς τῆς πτώσεως ἐν τῇ ἐπαναλήψει, καὶ πάλιν ἐν τῇ γενικῇ "πολλὰ δ' ὑπ' αὐτοῦ ἔργα κατήριπε" (92).

90. * ἀλωάων] χωρίων ἀμπελοφύτων ἢ δενδροφύτων.

92. αἰζηῶν] ἀντὶ τοῦ ἀνθρώπων· ἐμφαντικῶς δὲ καὶ τὰ ὑπὸ νεανιῶν οἰκοδομούμενα παρασύρεσθαί φησιν.

98. καὶ βάλ' ἐπαΐσσοντα] καλῶς τιτρώσκει Διομήδεα, ἐπεὶ ῥέζοντά τι καὶ παθεῖν ἔοικεν. ἡ δὲ ὁρμὴ ἡ Διομήδους, καὶ τῷ βέλει συνήργησεν.

99. θώρηκος] τοῦτον ἐγκωμιάζων Ἕκτωρ ἡφαιστότευκτον οἶδε καλεῖν (Il. 8, 195), ἐπεὶ καὶ τὸ Πανδάρου τόξον Ἀπόλλωνος. γύαλον δὲ τὸ περὶ τὸν ὦμον κοῖλον τοῦ θώρακος μέρος.

101. ἄϋσε Λυκάονος ἀγλαὸς υἱός] οὐδεὶς τῶν βαλλόντων ἢ μόνος οὗτος ὁ ἀλαζὼν ἐφθέγξατο. διὸ ὥσπερ ἐλέγχων αὐτοῦ τὸ φλύαρόν φησι "τὸν δ' οὐ βέλος ὠκὺ δάμασσεν." οὐ φθέγγεται δὲ τρώσας Μενέλαον, ὅτι ἡ πρᾶξις αἰσχρὰ, καὶ ἔλεγχον βασιλείας ἔχει καὶ παρασπονδισμόν.

103. ἄριστος] ἀντὶ τοῦ ἀριστεύς· Αἴας γὰρ μετ' Ἀχιλλέα. ἢ διὰ τὴν εὐδαιμονίαν· "ὃν δὴ ἐγὼ κάρτιστον Ἀχαιῶν" (Il. 6, 98). ἢ ἑαυτὸν ὑψῶν ὁ Πάνδαρος ἄριστον τὸν τρωθέντα φησὶν ὑπ' αὐτοῦ.

108. ἔστη] γενναῖον τὸ Διομήδους ἦθος, ὅτι μὴ τελείως ἀναχωρεῖ, καίπερ καιρίαν λαβὼν τὴν πληγήν.

110. ὄφρα μοι] οὐδὲν ἀποιμώζει πρὸς τὴν πληγὴν, ἀλλὰ φέρει γενναίως καὶ μόνην τὴν χρείαν ἐπιζητεῖ.

111. Σθένελος δέ] πρεπόντως οὐδὲν ἐπιζητεῖ Σθένελος· καὶ γὰρ ἀνοίκειον τῷ καιρῷ.

112. βέλος ὠκὺ διαμπερὲς ἐξέρυσ' ὤμου] αὕτη ἐστὶν ἡ κατὰ διωσμὸν βελουλκία, ἵνα μὴ πάλιν τιτρώσκοιτο ταῖς ἀκίσιν ὑποστρεφούσαις.

113. ἀνηκόντιζε] ἐμφαντικὴ ἡ μεταφορὰ τοῦ αἵματος ἀναβέοντος μετὰ βίας· ἀρτηριώδης γὰρ καὶ φλεβώδης ὁ τόπος.

114. ἠρᾶτο] οὐ περὶ τῆς ἰάσεως, ἀλλὰ τῆς τοῦ βαλόντος εὔχεται τιμωρίας. οἰκείως δὲ τοῖς παθήμασιν οἱ εὐχόμενοι τοῖς θεοῖς τὰ

12. * τοῦτον] τοῦτο 19. * παρασπονδισμόν] παρασπονδησμόν

ἐπίθετα ποιοῦνται, καὶ νῦν μὲν ὁ καταπονούμενος ἀτρυτώνην, ἡ δὲ εὐχομένη τὴν Ἴλιον σώζεσθαι ἐρυσίπτολιν (Il. 6, 305). οἱ δὲ τὴν λείαν λαβόντες ἀνατιθέασι τῇ λητίδι (Il. 10, 460).

116. μοι] ἀντὶ τοῦ μου. προῳκονόμησε δὲ τὸν Τυδέα ὁ ποιητής.

117. ὑποστικτέον εἰς τὸ πολέμῳ. ἄμεινον δὲ ὀρθοτονεῖν τὸ ἐμέ, ἵν' ᾖ καὶ ἐμὲ ὡς ἐκεῖνον.

118. ἢ ἐμὲ ἰσχῦσαι πάλλειν τὸ δόρυ κατὰ τοῦ βαλόντος, ἢ ἐκεῖνον ἐλθεῖν πρὸς ἀντίστασιν τοῦ ἐμοῦ δόρατος. μόνον δὲ πλησιάσαι Πάνδαρον εὔχεται· πέποιθε γὰρ αἱρήσειν αὐτόν.

119. ὅς μ' ἔβαλε φθάμενος] καλῶς ἐπὶ τὴν τύχην, οὐκ ἐπὶ τὴν ἀρετὴν τοῦ βαλόντος ἀνήνεγκε τὴν ἀνδραγαθίαν. ἅπτεται δὲ τῶν κρειττόνων ἡ τῶν χειρόνων μεγαλαυχία.

122. γυῖα δ' ἔθηκεν ἐλαφρά] οἰκείως· τρωθεὶς γὰρ ἐβεβάρητο. οὐκ ἔχομεν οὖν εἰπεῖν, πῶς ἀριστεύει πάλιν;

126. Τυδεύς] φασὶν ἐν τῷ Θηβαϊκῷ πολέμῳ Τυδέα τρωθέντα ὑπὸ Μελανίππου τοῦ Ἀστακοῦ σφόδρα ἀγανακτῆσαι· Ἀμφιάρεων δὲ φονεύσαντα αὐτὸν δοῦναι τὴν κεφαλὴν Τυδεῖ· τὸν δὲ δίκην θηρὸς ἀναπτύξαντα ῥοφεῖν τὸν ἐγκέφαλον. κατ' ἐκεῖνο δὲ καιροῦ παρεῖναι Ἀθηνᾶν ἀθανασίαν αὐτῷ ἐξ οὐρανοῦ φέρουσαν, καὶ διὰ τὸ μύσος ἀπεστράφθαι. τὸν δὲ θεασάμενον παρακαλέσαι κἂν τῷ παιδὶ αὐτοῦ χαρίσασθαι τὴν ἀθανασίαν. ἱστορεῖ Φερεκύδης.

127. * Πορφυρίου. διὰ τί ἡ Ἀθηνᾶ ἀφείλετο τῷ Διομήδει τὴν ἀχλὺν, ὄφρ' εὖ γινώσκοι πότερον θεός ἐστιν ἢ ἄνθρωπος; καί φαμεν μέχρι τοῦ τὴν Ἀφροδίτην τρῶσαι καὶ τὸν Ἄρεα ἔδωκεν αὐτῷ τὴν δωρεὰν, ἀλλ' οὐκ ἀεί. τρωθέντων δὲ τούτων πάλιν κατὰ τὸ σιωπώμενον ἀποδίδοται καὶ ἡ οἰκεία ἀχλὺς, δι' ἣν ἀγνοεῖ καὶ τὸν Γλαῦκον. καὶ ἀναπυνθάνεται πότερον θεός ἐστιν ἢ ἄνθρωπος.

παιδευτικῶς ἐδογμάτισεν ἀχλὺν ἐπικεχύσθαι τοῖς ἀνθρώποις, ὅπως ἀεὶ δοκοῖμεν ἡμῖν παρεστάναι τὸν θάνατον καὶ τὸ θεῖον εὐχόμεθα.

128. ὄφρ' εὖ γινώσκοις] ὅπως εὖ διακρίνοις καὶ τὸν ἄτρεπτον θεὸν καὶ τὸν ὡς ἄνδρα πάλιν θεόν.

131. ἀτὰρ εἴ κε] ἡ γὰρ πρακτικὴ φρόνησις, καὶ καταφρονεῖν αὐτὸν παρασκευάζει τῶν ἡδονῶν.

4. * προῳκονόμησε] προῳκοδόμησε
9. * αἱρήσειν] αἱρήσων
20. * αὐτοῦ] αὐτὴν
21. * τὴν ἀθανασίαν] om.
22. * Πορφυρίου] om. hic et p. 237, 8.

132. διὰ τί κατὰ χειρὸς τιτρώσκεται ἡ Ἀφροδίτη; ὅτι τῆς χειρὸς λαβομένη παρήνει τὴν Ἑλένην.

136. ὥστε λέοντα] καλῶς τῶν μὲν τετραπόδων τὰ ἀσθενέστερα παρείληφε, τῶν δὲ θηρίων τὸν ἀλκιμώτατον λέοντα, καὶ τὸν μὲν ὑπὸ τῆς πληγῆς ἠρεθισμένον, τὰ δὲ τοῦ φυλάττοντος ἔρημα.

137. ἐπ' εἰροπόκοις ὀίεσσιν] ἀντὶ τοῦ ταῖς ἐπαύλεσιν, ὡς τὸ "ποιμαίνων δ' ἐπ' ὄεσσι μίγη" (Il. 6, 25).

*Πορφυρίου. ἐν μὲν τοῖς ἀγροῖς τὰς οἰκοδομὰς οὕτω καταλέγουσιν. αὐλὴ, καὶ ἐν ταύτῃ σταθμοὶ, ἔνθα ἕστηκε τὰ ζῷα, καὶ κλισίαι, ἔνθα καθεύδουσιν οἱ ἄνθρωποι, καὶ σηκοὶ, ἔνθα ἐγκλείουσι τὰ νεογνὰ, ὅταν τὰς μητέρας ἀμέλγωσιν ἢ εἰς νομὴν ἐκπέμπωσι. καὶ ἐπὶ μὲν τῆς αὐλῆς "ὅν ῥά τε ποιμὴν ἀγρῷ ἐπ' εἰροπόκοις ὀίεσσιν χραύσῃ μέν τ' αὐλῆς ὑπεράλμενον, οὐδὲ δαμάσσῃ." λέγει δὲ καὶ μέσαυλον, ὅτι ὁ τῆς αὐλῆς τόπος ἐν μέσῳ ἐστὶ τῶν βοῶν καὶ ἀπὸ μεσαύλοιο (Il. 11, 548) αὐλῆς. ἐν χόρτῳ δέ φησι (ib. 774) τῷ περιωρισμένῳ τόπῳ καὶ περιέχοντι τὸ χώρισμα τῆς αὐλῆς. περὶ δὲ τῶν σταθμῶν "ἀλλὰ κατὰ σταθμοὺς δύεται, τὰ δ' ἐρῆμα φοβεῖται," δηλονότι εἰς τόπον ἐνδοτέρω τῆς αὐλῆς, ὃν σταθμὸν προσηγόρευον ἀπὸ τῶν ἑστώτων ἐν αὐτῷ ζῴων. διὸ καὶ Ἥφαιστος ποιεῖ "σταθμούς τε κατηρεφέας ἠδὲ σηκούς" (Il. 18, 589)· κατηρεφεῖς γὰρ καὶ ἐστεγασμέναι αἱ κλισίαι διὰ τὸ τὴν αὐλὴν μὴ εἶναι τοιαύτην· τὸ γὰρ κατηρεφέας ἐκ κοινοῦ τῶν τε κλισιῶν καὶ τῶν σταθμῶν ἀκούουσιν. σηκοὶ δὲ ἔνθα συνέκλειον τὰ νεογνά· "ὡς δ' ὅταν ἄγραυλοι πόριες περὶ βοῦς ἀγελαίας ἐλθούσας ἐς κόπρον, ἐπὴν βοτάνης κορέσωνται, πᾶσαι ἅμα σπαίρουσιν ἐναντίαι, οὐδέ τι σηκοὶ ἴσχουσ', ἀλλ' ἀδινὸν μυκώμεναι ἀμφιθέουσι μητέρας" (Od. 10, 410). ἔρσας καλεῖ ὁ ποιητὴς τὰς ἁπαλὰς καὶ νεογνὰς, καὶ νεηγενέας γαλαθηνάς (Od. 4, 336). συμβέβηκε ταύτας ἐν τοῖς μυχοῖς καθεῖρχθαι. καὶ πάλιν "Τρῶες δ', ὥστ' ὄϊες πολυπάμονες ἀνδρὸς ἐν αὐλῇ μυρίαι ἑστήκασιν, ἀμελγόμεναι γάλα λευκὸν, ἀζηχὲς μεμακυῖαν ἀκούουσαι ὅπα ἀρνῶν" (Il. 4, 433)· αὗται γὰρ ἐν τῇ αὐλῇ ἀμέλγονται, τὰ δὲ ἀρνία ἐν τῷ σηκῷ κατακέκλεισται. λέγει δὲ πάλιν "στείνοντο δὲ σηκοὶ ἀρνῶν ἠδ' ἐρίφων" (Od. 9, 219). ἐκ τούτων τοίνυν μεταφέρων ἐπὶ τῶν Τρώων φευγόντων φησὶν "ἔνθα κε λοιγὸς ἔην καὶ ἀμήχανα ἔργα γένοντο, καί νύ κε σήκασθεν κατὰ Ἴλιον ἠΰτε ἄρνες" (Il. 8, 130)·

ἠλάθησαν γὰρ τῆς Ἰλίου εἰς τὸν ἐνδότατον τόπον, ὡς εἰς σηκὸν ἄρνες. ταῦτα μὲν οὖν ἐν ἀγροικίᾳ· ἐν δὲ τῇ πόλει ἀνάλογον τῷ σταθμούς τε κλισίας τε κατηρεφέας ἠδὲ σηκοὺς λέγειν, πλὴν τόδ' ἄρ' αἴθουσαί τε καὶ ἔρκεα καὶ δόμοι ἀνδρῶν. αἴθουσαι δὲ αἱ ὑψηλαὶ στοαὶ ἀνθήλιοι, παρὰ τὸ καταίθεσθαι ὑπὸ τοῦ ἡλίου. εἶτα αὐλή· κατὰ γὰρ παράλειψιν τῆς αὐλῆς ἔφη τὰ ἔρκεα· ἐν γὰρ ἄλλοις τὸ πλῆρες ἔφη "καὶ τότ' ἐγὼ θαλάμοιο θύρας πυκινῶς ἀραρυίας ῥήξας ἐξῆλθον, καὶ ὑπέρθορον ἑρκίον αὐλῆς" (Il. 9, 475)· καὶ πάλιν ἄλλως ἔφη "παρὲκ μέγα τειχίον αὐλῆς" (Od. 16, 165)· ἄλλοι δὲ ἀκριβέστερον αἰθούσας λέγουσι τῆς αὐλῆς τὰς στοάς, ἵνα μὴ ἔξω ὦσι τῆς αὐλῆς, ἀλλὰ τὸ μὲν ἄστεγον καὶ ὑπαίθριον αὐλή, αἱ δὲ πέριξ τοῦ ὑπαιθρίου στοαὶ αἴθουσαι· αὐτὸς γὰρ ἔφη "οὐδέποτ' ἔσβη πῦρ, ἕτερον μὲν ὑπ' αἰθούσῃ εὐερκέος αὐλῆς, ἄλλο δ' ἐνὶ προδόμῳ πρόσθεν θαλάμοιο θυράων" (Il. 9, 471). ἦσαν γὰρ μετὰ τὰς αἰθούσας οἱ πρόδομοι, ὧν πάλιν ἐνδότεροι θάλαμοι, οὓς καὶ μυχοὺς καλοῦσι διὰ τοῦτο· "κέκλετο δ' Ἀρήτη λευκώλενος ἀμφιπόλοισι δέμνι' ὑπ' αἰθούσῃ θέμεναι" (Od. 7, 335)· εἶτα ἐπιφέρει "ὣς ὁ μὲν ἔνθα καθεῦδε πολύτλας δῖος Ὀδυσσεὺς τρητοῖς ἐν λεχέεσσιν ὑπ' αἰθούσῃ ἐριδούπῳ· Ἀλκίνοος δ' ἄρ' ἔλεκτο μυχῷ δόμου ὑψηλοῖο." ὅτι γὰρ τῆς αὐλῆς τῆς αὐτῆς ἔνδον εἰσὶν οἱ δόμοι, σαφῶς παρίστησι διὰ τούτων "αὐτίκ' ἔπειτ' ἀναστάντες ἔβαν δόμον εἰς Ὀδυσῆος" (Od. 16. 407)· εἶτα ἐπάγει "κῆρυξ γάρ οἱ ἔειπε Μέδων, ὃς ἐπεύθετο βουλὰς αὐλῆς ἐκτὸς ἐών, οἱ δ' ἐνδόθι μῆτιν ὕφαινον." καὶ πρόδομος οὖν ὁ μεταξὺ τόπος τοῦ τε δόμου καὶ τοῦ θαλάμου· "ἄλλο δ' ἐπὶ προδόμῳ πρόσθεν θαλάμοιο θυράων" (Il. 9, 473). καὶ ὅταν οὖν λέγῃ "ἀλλ' ἐξελθόντες μεγάρων ἕζεσθε θύραζε ἐκ φόνου εἰς αὐλήν" (Od. 22, 375), ἐκ τῶν δόμων λέγει.

138. χραύσῃ] εὖ τὸ μὴ φάναι τύψῃ ἢ βάλῃ, ἀλλὰ θίξῃ διὰ τὴν ἐπιπολαίαν πληγήν.

140. **οἱ μὲν οὕτως ἑρμηνεύουσιν, ἔνιοι δὲ οὕτως, τάδ' ἐρῆμα, τουτέστι τὰ πρόβατα ἔρημα γενόμενα τοῦ ποιμένος φεύγει.

141. ἀγχηστῖναι] οὕτως γὰρ συνέρχονται ἀλλήλαις, ἐπειδὰν πτοηθῶσιν. ἤτοι δὲ τὰς ζώσας φησὶν ἢ τὰς καταβαλλομένας. διὰ δὲ τοῦ κέχυνται τὸ πλῆθος δηλοῖ, ὡς τὸ "μελισσάων ἀδινάων"

1. ἐνδότατον] ἐνδότᾱ 22. *ὃς] ἂς

(Il. 2, 87) καὶ "μῆλ' ἀδινά" (Od. 1, 92). ἐναργῶς δὲ τὸ τῶν δεδιότων ἐσήμανε σχῆμα.

142. ἔξω ὢν ἄλλεται κατὰ τῆς αὐλῆς. ἢ ἀντὶ τοῦ καθάλλεται. ἢ ὑπεράλλεται τῆς αὐλῆς, ὡς ἐξωγκῶσθαι λέγομεν τὸ ὑπερυψῶσθαι. ἔμφασις δὲ, εἴγε καὶ ὑψηλῆς οὔσης τῆς αὐλῆς ἄλλεται αὐτήν. ἔστι δὲ ὡς τὸ "Τρώων ὁρμήσειαν" (Π. 4, 335)· οὐ γὰρ ἀναχωροῦντι τῷ λέοντι εἴκασεν αὐτόν.

143. ὡς μεμαώς] δῆλον ὅτι τῆς προθυμίας ἐποιήσατο τὴν ὁμοίωσιν. οὐκέτι δὲ καθ' ἕνα, ἀλλὰ σύνδυο ἀναιρεῖ. ὅρα δὲ τὴν ποικιλίαν τῆς ἑρμηνείας.

147. πλῆξεν] ἀπὸ μετοχῆς εἰς ῥῆμα, ὡς τὸ "ἰσῖσίν τε τιτυσκόμενοι λάεσσί τ' ἔβαλλον" (Il. 3, 80).

150. καὶ ἄλλως ἔστιν εἰπεῖν οἷσπερ μὴ ἐπανιοῦσι τοῦ πολέμου ὁ γέρων ἔκρινε τοὺς ὀνείρους. ἔστι γὰρ ἕν τι τῶν ἀμφιβόλων· ἤτοι γε ἐμαντεύσατο ὡς οὐκ ἐπανερχομένοις, ἢ ἐν ᾗ ἦθει λέλεκται, καὶ οὐ προεῖπε διὰ τῶν ὀνείρων ὅτι ἀναιρεθήσονται. οὐχ ὅτι οὐδαμῶς ἔκρινεν αὐτοῖς ἐρχομένοις ὁ πατὴρ τοὺς ὀνείρους καὶ τὰ συμβησόμενα ἐμαντεύσατο, ἀλλ' ὅτι οὐκ ἐπανήξουσιν ἀπὸ τοῦ πολέμου ἔκρινεν αὐτοῖς τοὺς ὀνείρους.

ἐρχομένοις εἰς τὴν μάχην οὐκ ἐμαντεύσατο. ἔστι δὲ ὅμοιον τῷ "ἀλλ' οὔ οἱ τότε γε χραῖσμ' Ἄρτεμις" (53).

153. *τηλυγέτω] ὅτι μὲν ὁ τηλύγετος δηλοῖ παρ' αὐτῷ καὶ τὸν μόνον γενόμενον παρίστησι τὰ ὑφ' Ἑλένης περὶ Ἑρμιόνης λεγόμενα "παῖδά τε τηλυγέτην καὶ ὁμηλικίην ἐρατεινήν" (Il. 3, 175). σημαίνει δὲ τὸν τηλοῦ τῆς ἡλικίας τῷ πατρὶ γεγονότα, ὡς ἐνταῦθα· ὡς ἐπὶ δυοῖν γὰρ γηράσκοντι τῷ πατρὶ γενομένων ἔφη "ἄμφω τηλυγέτω· ὁ δ' ἐτείρετο γήραϊ λυγρῷ, υἱὸν δ' οὐκ ἔτεκ' ἄλλον." ἐπὶ τοίνυν τοῦ Ἰδομενέως, ὅταν λέγῃ "ἀλλ' οὐκ Ἰδομενῆα φόβος λάβε τηλύγετον ὥς" (Il. 13, 470), ἐνδέχεται μὲν ἀκοῦσαι ἀπὸ τῶν μονογενῶν παίδων κατὰ μεταφορὰν τὸν μεμονωμένον, ἐνδέχεται δὲ καὶ ὡς τηλοῦ γενεᾶς ὄντα, τουτέστι πρεσβύτην· ἔφη γὰρ περὶ αὐτοῦ "ἔνθα, μεσαιπόλιός περ ἐών, Δαναοῖσι κελεύσας, Ἰδομενεὺς Τρώεσσι μετάλμενος ἐν φόβον ὦρσε" (ib. 361). παρέχει δὲ τὴν ἀμφίβολον ἐκδοχὴν αὐτὸν ποιήσας λέγοντα τὸν Ἰδομενέα ἐπιόντος τοῦ Αἰνείου

29. *μὲν ἀκοῦσαι] ἀκοῦσαι μὲν *μονογενῶν] ὁμογενῶν

"δεῦτε φίλοι καί μ' οἷῳ ἀμύνετε, δειδια δ' αἰνῶς" (ib. 481)· ἐκ γὰρ τοῦ οἷῳ ἀμύνετε τηλύγετον ἔστιν ἐκδέξασθαι τὸν μόνον. ὅταν δὲ ὁ αὐτὸς πάλιν ἐπάγῃ "καὶ δ' ἔχει ἥβης ἄνθος, ὅ τε κράτος ἐστὶ μέγιστον· εἰ γὰρ ὁμηλικίη γε γενοίμεθα τῷδ' ἐνὶ θυμῷ, αἶψά κεν ἠὲ φέροιτο μέγα κράτος ἠὲ φεροίμην," ἀμφίβολον γίνεται, μὴ ὅτι μὴ τηλύγετόν γε ἔοικεν ἐπὶ τοῦ μὴ ὁμήλικος, ἀλλὰ πρεσβυτέρου καὶ τῆς τηλοτέρας γενεᾶς ὄντος, ὡς ἔφη ποτὲ ἐπὶ τοῦ μὴ ὁμήλικος "οὗτος δὲ προτέρας γενεῆς προτέρων τ' ἀνθρώπων" (Il. 23, 790). ἀλλ' Ἰδομενεὺς μὲν μεσαιπόλιος, καὶ διὰ τοῦτο τῆς προτέρας γενεᾶς.

μεθ' οὗς οὐκ ἐπαιδοποίησεν ὁ πατὴρ, οἱ τῆλε τῆς ἡλικίας γενομένῳ τῷ πατρὶ τεχθέντες. ἐλέγχει δὲ τοὺς ἐπὶ γήρᾳ οἰομένους δεῖν παιδοποιεῖν, ὅπως διαδόχοις χρήσαιντο, ὡς κακῶς οἰομένους· νικᾷ γὰρ ἡ πήρωσις.

158. χηρωσταί] οἱ τὸν χῆρον οἶκον διανεμόμενοι κληρονόμοι. χηρωσταί δὲ ὡς ἀθληταί. προληπτικῶς δὲ τοῦτό φησιν· οὔπω γὰρ ἀπέθανεν ὁ γέρων.

162. εἰπὼν τὸ γενικὸν ἐπὶ τὰ ἴδια ἔρχεται. ὁ δὲ ἠέ ἀντὶ τοῦ καί, ὡς τὸ "εἰ δέ κ' Ἄρης ἄρχωσι μάχης ἢ Φοῖβος Ἀπόλλων" (Il. 20, 138).

166. *ἀλαπάζοντα] κενοῦντα· διὸ καὶ Ἀθηναῖοι τὰ κενώματα λάπαθα καλοῦσιν, ἐκ μεταφορᾶς τῆς λαπάθου καλουμένης βοτάνης. ἡ γὰρ λάπαθος κενωτική ἐστι τῶν κατὰ γαστέρα παθῶν· καὶ μετὰ τοῦ ἐπιτατικοῦ ᾱ ἀλαπάζοντα.

167. βῆ δ' ἴμεν] τὸ ὁμοειδὲς ἐκκλίνει, καὶ πρόθυμον Πάνδαρον ποιεῖ ἀθυμοῦντα ἐπὶ Διομήδει.

169. εὗρε Λυκάονος υἱόν] αὐτὸς ἔξω κινδύνων στὰς τοξότην ἀντικαθίστησιν αὐτῷ· οὐ γὰρ ἐθέλει κινδυνεύειν Αἰνείας.

171. πτερόεντες ὀϊστοί] οἰκεῖα τὰ ἐγκώμια τῶν ὀϊστῶν τῇ προτροπῇ, ὡς εἰς αὐτὸν ἀφορώσης μόνου τῆς τῶν Τρώων σωτηρίας.

172. *οὔτις] κατὰ ἀπόφασιν, ἀντὶ τοῦ οὐδείς.

177. εἰ μή τις] πρὸς τὸ ἀμφίβολον, εἰ μὴ οὗτος αὐτὸς θεός ἐστιν ὁ ἐναντιούμενος, ἢ εἰ μή τις θεὸς ἐγκοτῶν τοῖς Τρωσὶ τῷ πολεμίῳ ἀρήγει. οἰκείως ὑπονοεῖ θεὸν ὁ προελθὼν ἐκ θεᾶς. ἅμα δὲ καὶ ἦθος ὁ λόγος ἔχει.

2. *ἐκδέξασθαι] εἰσδέξασθαι 4. γε] om. 5. ὅτι Vill.] ὃ

178. κατὰ παρολκήν ἐστιν ἡ ἐπί πρόθεσις· διὸ οὐκ ἀμείβει τὸν τόνον.

182. καὶ πῶς γινώσκει πολέμιον ὄντα; ὅτι ἔστιν ὅτε καὶ κατ' αὐτὸν τὸν πόλεμον συναντῶσιν ἀλλήλοις καὶ γνωρίζονται, ἔστι δ' ὅτε καὶ μὴ ὄντος πολέμου κατοπτεύοντες βλέπουσι τοὺς ἀλλήλων ἀριστεῖς.

*αὐλώπιδι] περικεφαλαίᾳ αὐλίσκον ἐχούσῃ καθ' ὃν πήγνυται ὁ λόφος. τρυφαλείᾳ δὲ τῇ φάλους ἐχούσῃ τρεῖς· φάλοι δέ εἰσιν οἱ κατὰ τὸ μέτωπον τῆς περικεφαλαίας χρυσοῖ ἧλοι ἢ ἀστερίσκοι.

191. οὐκ ἐδάμασσα] ἠθικῶς φησὶ διὰ τὸ μὴ ἀναιρεθῆναι αὐτόν.

193. ἀλλά που ἐν μεγάροισι] κερτομεῖ τὸ ἑαυτοῦ φιλάργυρον, ὡς ἀμελοῦντος τῆς ἰδίας σωτηρίας χρημάτων φειδοῖ.

194. πρωτοπαγεῖς] πρώτως παγέντες, ὅ ἐστιν ἐξόχως, ἢ νέοι.

ὅρα τὸν φειδωλὸν καὶ ἀχράντους φυλάξαντα ὡς ἀναθήματα τοὺς δίφρους, καὶ ταῦτα πλῆθος ἔχοντα συνωρίδων.

196. ἐρεπτόμενοι] κυρίως ἀπὸ τῆς ἔρας λαμβάνοντες· οὕτω γὰρ δηλοῖ διαιρουμένη ἡ λέξις.

197. γέρων] ἐπιτείνει τὴν φειδωλίαν· τοὐναντίον γὰρ ἔδει. τὸ φιλότιμον δὲ τῶν νέων ἐπέχουσιν οἱ γονεῖς ὡς γέροντες· ὁ δὲ καὶ τοῦ γέροντος ἐναντίως μικρολογώτερος ὤφθη.

203. ἄδδην] Νικίας δὲ διὰ δύο γράφει δδ διὰ τὸ μέτρον, ὁμοίως τῷ "κύον ἀδδεές" (Il. 21, 481), καὶ ψιλοῖ. ὁ δὲ Ἀρίσταρχος δι' ἑνὸς δ καὶ βραχέως καὶ δασέως· τὸ γὰρ ᾱ πρὸ τοῦ δ δεκτικὸν μὲν ψιλοῦται, ἀδολέσχης ἀδρανής, μὴ οὕτως δὲ ἔχον δασύνεται "ἄδε δ' Ἕκτορι" (Il. 12, 80) "ἄδος τέ μιν ἵκετο θυμόν" (Il. 11, 88). καὶ τὸ Ἄδωνις δέ τινες δασύνουσι παρὰ τὸ ἥδω.

206. ἤδη γὰρ δοιοῖσιν] ὡς πρὸς φίλον ὁμιλῶν ἐξέλκεται ὑπὸ μεγαλαυχίας καὶ τὰ ἑαυτοῦ ὁμολογεῖν ἀπόρρητα.

208. ἀτρεκὲς αἶμ' ἔσσευα] ἀντὶ τοῦ ἀτρεκέως εἶδον αὐτό, οὐκ ἠπάτημαι. διαστολὴ δὲ εἰς τὸ βαλών.

211. μετὰ τὸ Τρώεσσιν ἀναπαύσασθαι δεῖ· ἠγούμην τῶν Τρώων χάριν φέρων τῷ Ἕκτορι. τὸ δὲ Τρώεσσιν καθολικῶς, ὡς τὸ "Τρώων δ' οἰάθη καὶ Ἀχαιῶν" (Il. 6, 1), καὶ τοῖς ὑφ' Ἕκτορος τεταγμένοις, ὡς τὸ "Τρωσὶ μὲν ἡγεμόνευε μέγας κορυθαίολος Ἕκτωρ"

21. *Νικίας] νεικίας 23. *βραχέως—δασέως] βραχέος—δασέος
34. *Τρωσὶ] τρώων

(Il. 2, 816)· ἢ καὶ τοῖς Ζελείταις "οἳ δὲ Ζέλειαν ἔναιον ὑπαὶ πόδα νείατον Ἴδης, Τρῶες, τῶν αὖτ' ἦρχε Λυκάονος ἀγλαὸς υἱός" (ib. 824). τινὲς δὲ μὴ θέλοντες Τρῶας εἶναι τοὺς Ζελείτας, τὸ Ἕκτορι ἀντὶ τοῦ δι' Ἕκτορά φασιν, ὡς τὸ "σοὶ πάντες μαχόμεσθα" (Il. 5, 875), οὐκ εὖ.

216. διακλάσσας] διὰ τῆς διπλασιάσεως τοῦ σ̄ τὸν ἀπὸ τῆς συντριβῆς τῶν κεράτων γινόμενον ἦχον ἐμιμήσατο.

ἀνεμώλια] ἀνέμοις ἀπολέσθαι ὀφείλοντα, οἷον ἀλλαχοῦ (Od. 1, 241) φησὶν "ἅρπυιαι ἀνηρείψαντο," τουτέστι θύελλαι, ἄνεμοι νιφώδεις.

219. νώ] ἐπὶ τῷδε τῷ ἀνδρί· ἐνταῦθα δὲ μόνον κέχρηται τῷ νω̄ καὶ ἐν Ὀδυσσείᾳ ἅπαξ.

222. Τρώϊοι] τοῦτο κοινόν, εἰ μὴ τοὺς ἀπὸ Τρωὸς λάβοιμεν.

Τρώϊοι] ἢ οἱ τῷ Τρωὶ κεχαρισμένοι ἀντὶ τῆς ἁρπαγῆς Γανυμήδους.

223. συνέτεμε τὸ ἐγκώμιον πρὸς εἰδότα λέγων. Διομήδης δὲ (263) ἐξέτεινεν, ὅπως μὴ καταφρονήσῃ ὁ Σθένελος.

224. τὼ καὶ νῶϊ] πιθανῶς ἀλαζονευόμενος ἐπ' αὐτοῖς στέρεται αὐτῶν, καὶ πρὸ πείρας φυγὴν προσδοκᾷ. Διομήδης δὲ τοὐναντίον.

226. *σιγαλόεντα] τὰ εὐδιάσειστα, ἢ λαμπρὰ καὶ ποικίλα καὶ θαυμαστὰ τῇ κατασκευῇ καὶ σιωπὴν ἐκ τοῦ θαύματος ἐντιθέντα, οἱονεὶ σιγηλόεντά τινα ὄντα.

227. δέξαι] ἀπὸ τοῦ ἡνιόχου.

Ζηνόδοτος ἐπιβήσομαι· φησὶ γοῦν "εἰς ἅρματα ποικίλα βάντες" (239). ἐὰν δὲ γραφῇ ἀποβήσομαι, ἀντὶ τοῦ ἐκστήσομαι τῆς ἐπιμελείας αὐτῶν.

231. ὡς ἄπειρος προφασίζεται, ἐπεί τοι Κεβριόνου ἀποθανόντος ἄλλον Ἕκτωρ δίδωσιν ἡνίοχον, καὶ Διομήδης σὺν αὐτοῖς ἀγωνίζεται, καὶ Μενέλαος Αἴθῃ τῇ Ἀγαμέμνονος ἵππῳ.

233. *ματήσετον] μάταιόν τι πράξωσιν.

οὐδὲ περὶ αὐτῶν χρηστόν τι μαντεύεται. Δημοσθένης δέ φησι "δεῖ τοὺς ἀγαθοὺς ἄνδρας ἐγχειρεῖν μὲν ἅπασιν ἀεὶ τοῖς καλοῖς,

1. οἳ δὲ—Τρῶες] om.
4. *ὡς τὸ—εὖ] om.
9. *νιφώδεις] νειφώδεις
13. *λάβοιμεν] λάβωμεν
21. *θαύματος ἐντιθέντα] θαυμαστῶς ἐντιθέμενα

τὴν ἀγαθὴν προβαλλομένους ἐλπίδα, φέρειν δ' ἃ ἂν ὁ θεὸς διδῷ μάλα γενναίως" (p. 258).

241. τοὺς δὲ ἴδε Σθένελος] ὡς ἀπὸ τοῦ δίφρου ὑψηλότερος ὢν ἐθεᾶτο. ἢ ὡς ἀσχολουμένου Διομήδους περὶ τοὺς πολεμίους.

242. αἶψα] ἐπείγει γὰρ τοὺς λόγους ὁ καιρός.

245. ἀπέλεθρον] ἀντὶ τοῦ ἄμετρον, πολλήν· τὸ γὰρ πλέθρον μέτρον ἐστὶ γῆς, ἔχον πήχεις ξ' δίμοιρον.

ὁ μέν] ἀντὶ τοῦ τούτων ὁ μέν, ὁ δὲ ὡς τὸ "ἐξ ὁμόθεν πεφυῶτε, ὁ μὲν φυλίης, ὁ δ' ἐλαίης" (Od. 5, 477). στιγμὴ δὲ εἰς τὸ ἔχοντας· ἀπέλεθρον δὲ λέγει τὴν ἀνάριθμον. τὸ δὲ πέλεθρον ἔχει πήχεις ξ' καὶ δίμοιρον.

246. υἱὸς δ' αὖτε Λυκάονος] οὐκ ἀκαίρως γενεαλογεῖ· συνίστησι γὰρ ἐκ προγόνων αὐτοὺς, οὐκ εὐχερῆ τὴν πρὸς τούτους μάχην δεικνύς. καὶ ἐπὶ μὲν τοῦ πατρὸς εὔχεται, ἐπὶ δὲ τῆς μητρὸς ἐστίν, ὡς τὸ "μήτηρ μέν τέ μέ φησιν" (Od. 1, 215).

249. ἐφ' ἵππων] ἀντὶ τοῦ εἰς ἵππους, ὥσπερ ἐπὶ Ἀθηνῶν πλεῖν φαμὲν, καὶ "πέτανται ἐπ' ὠκεανοῖο ῥοάων" (Il. 3, 5).

οὐκ ἀναχωρεῖν αὐτῷ τῆς μάχης ἐπὶ τῶν ἵππων κελεύει, ἀλλ' ἀναβῆναι ἐπὶ τὸ ἅρμα καὶ μὴ πεζὸν πρὸς ἱππέας ἀγωνίζεσθαι· ἐπικίνδυνον γάρ.

252. ὡς γενναῖος καὶ τὴν ἐπὶ τὸ ἅρμα ἀνάβασιν φυγὴν ὁρίζει, καὶ τὸ μετακινῆσαί τι τῆς στάσεως ἐν οἵᾳ κατελήφθη. ἠθικὸν δὲ τὸ σέ, καὶ τῶν πάνυ φίλων. ἠθικὸν δὲ καὶ τὸ οἵω.

256. ἔα] συστέλλεται τὸ ᾱ καὶ βαρύνεται, ἵν' ᾖ παρατατικοῦ εἶων εἴας εἴα, καὶ τὸ προστακτικὸν "ἀλλ' ἔα ὥς οἱ πρῶτα δόσαν γέρας" (Il. 1, 276). ποιητικῶς οὖν συνέσταλται τὸ ᾱ καὶ ἔστιν ὁ παρατατικὸς ἰσοδυναμῶν ἐνεστῶτι. εἰ δὲ ἐνεστώς ἐστιν, ἔθει Ὁμηρικῷ λυθήσεται· τὰ γὰρ τῆς δευτέρας συζυγίας κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον πολλάκις διαλύει εἰς δύο ᾱᾱ, ὧν τὸ μὲν πρῶτον συνέσταλται, τὸ δὲ δεύτερον ἐκτέταται καὶ σὺν τῷ ῐ γράφεται "οὐχ ὁράᾳς οἷος κἀγώ" (Il. 21, 108), "ἦτ' ἐκπεράᾳ μέγα λαῖτμα" (Od. 9, 323), "οὐκ ἐάᾳ Κρονίδης" (Il. 8, 414). τοῦτο τοίνυν τὸ ἐάᾳ ἀποκέκοπται, ἔνθεν καὶ συνεστάλη τὸ ᾱ καὶ βεβάρυνται. ἀνδρείου δὲ καὶ εὐσεβοῦς τὰ τοιαῦτα ῥήματα, τῷ πάντα τῇ θείᾳ ἀνατιθέναι προνοίᾳ.

1. *ἃ ἂν] ἃ om. 2. μάλα] *om. 6. *πλέθρον] πελεθρον

257. τούτω δ' οὐ] πολὺ τὸ διάφορον αὐτοῦ καὶ τῶν Πανδάρου λόγων.

258. γενναῖον τὸ λῆμα, εἰ μὴ ἀμφοτέρων, ἀλλά γε τοῦ ἑτέρου κρατήσειν πέπεισται. ἅμα δὲ καὶ ἀνθρωπίνως οὐ περὶ τῶν δύο ἀποφαίνεται, τὸ δὲ ὅλον τῇ Ἀθηνᾷ ἀνατίθησιν.

284. *κενεῶνα τὸν ὑπὸ τὰς πλευρὰς τόπον, τὴν λαγόνα, διὰ τὸ κενὸν εἶναι αὐτὸν ὀστέων.

293. *παρὰ νείατον ἀνθερεῶνα] ζητοῦσι πῶς τοῦ Πανδάρου τῷ δόρατι πεπληγότος κατὰ τὸν ὀφθαλμὸν τὸ δόρυ ἐξῆλθε διὰ τοῦ γενείου. ῥητέον οὖν ὅτι ἡ Ἀθηνᾶ μείζων οὖσα καὶ ὑψηλοτέρα ἄνωθεν κατενεχθῆναι ἐποίησε τὸ δόρυ, ῥῖνα παρ' ὀφθαλμὸν, καὶ οὕτως λευκοὺς διεπέρησεν ὀδόντας.

306. *ἰσχίον λέγεται τὸ ὑπὸ τὴν ὀσφῦν ὀστέον, εἰς ὃ ἔγκειται τὸ ἱερὸν ὀστοῦν, ὅπερ καὶ γλουτὸς καλεῖται καὶ κοτύλη παρὰ τὴν κοιλότητα.

334. *ὀπάζων] ἡ λέξις αὕτη πλείονα σημαίνει, ποτὲ μὲν τὸ περιποιεῖν καὶ διδόναι, ὡς ἐκεῖ "Τρωσὶ μὲν καὶ Ἕκτορι κῦδος ὀπάζει." ποτὲ δὲ τὸ καταφέρεσθαι, ὡς ἐν ἐκείνοις "χειμάρρους κατ' ὄρεσφιν ὀπαζόμενος Διὸς ὄμβρῳ" (Il. 11, 493)· ποτὲ δὲ τὸ ἐπιλέγεσθαι, ὡς τὸ "ἦ, καὶ νεώτερον υἱὸν ὀπάσσατο κυδαλίμοιο" (Il. 19, 238)· ποτὲ δὲ τὸ διώκειν, ὡς ἐνταῦθα.

336. *πολλάκις ἡ καθ' Ὁμήρου τραγῳδία σκηνοβατεῖ παρὰ τοῖς ἀγνωμόνως αὐτὸν ἐθέλουσι συκοφαντεῖν, ὅτι παρεισάγει κατὰ τήνδε τὴν ῥαψῳδίαν τιτρωσκομένους θεοὺς, Ἀφροδίτην τὸ πρότερον ὑπὸ Διομήδους, εἶτα Ἄρην. προστιθέασι δὲ τούτοις ὅσα κατὰ παρηγορίαν ἡ Διώνη περὶ τῶν ἔτι πρότερον ἀτυχησάντων ἀπαγγέλλει θεῶν. ἐν μέρει δ' ὑπὲρ ἑκάστου τὸν λόγον ἀποδώσομεν ἡμεῖς, οὐδεμιᾶς ἐκτὸς ὄντα φιλοσοφίας. Διομήδης γὰρ Ἀθηνᾶν ἔχων σύμμαχον, τουτέστι τὴν φρόνησιν, ἔτρωσεν Ἀφροδίτην, ἤτοι τὴν ἀφροσύνην, οὐ

2. γενναῖον — ἀνατίθησιν] Ultimum hoc est scholion folii 67 b numero notatum ι': proximum est ad v. 356 numero notatum ιε', a quo incipit folium 70 a: nam exciderunt folia manus primae 68 et 69, versus complexa 259—355, quos supplevit manus recentior, omissis quorum copia non fuerat scholiis manus primae, quibus substituta sunt recentiora pauca et longiora quaedam ad v. 272 ex Suida s. v. Φόβος et ad v. 320 ex Diogene Laertio 7, 94 et ex Suida excerpta, vol. 1 p. 18 ed. Kust. Ἀγαθὸν — p. 20 φέρε εἰπεῖν et p. 17 Ἀγαθοῦ δαίμονος—φιλοσοφίας.

21. πολλάκις (πολλάπερ B.)] Apud Heraclitum c. 30 est πολλὴ—σκηνοβατεῖται.

μὰ Δία θεάν τινα, τὴν δὲ τῶν μαχομένων βαρβάρων ἀλογιστίαν. αὐτὸς μὲν γὰρ ἅτε διὰ πάσης ἐληλυθὼς μαθήσεως, καὶ τοῦτο μὲν ἐν Θήβαις, τοῦτο δ' ἐν Ἰλίῳ δεκαετῆ χρόνον τοῦ μάχεσθαι πρϊστάμενος ἐμφρόνως, εὐμαρῶς διώκει τοὺς βαρβάρους· οἱ δ' ἀναίσθητοι καὶ λογισμῶν ὀλίγα κοινωνοῦντες ὑπ' αὐτοῦ διώκονται, καθάπερ ὄϊες πολυπάμονες ἀνδρὸς ἐν αὐλῇ. πολλῶν οὖν φονευομένων, ἀλληγορικῶς Ὅμηρος τὴν βαρβαρικὴν ἀφροσύνην τετρῶσθαί φησιν ὑπὸ Διομήδους. ὁμοίως δὲ ὁ Ἄρης οὐδέν ἐστιν ἄλλο πλὴν ὁ πόλεμος, παρὰ τὴν ἀρὴν ὠνομασμένος, ἥπερ ἐστὶν ἡ βλάβη. γένοιτο δ' ἂν ἡμῖν τοῦτο σαφὲς ἐκ τοῦ λέγειν αὐτὸν "μαινόμενον, τυκτὸν κακὸν, ἀλλοπρόσαλλον" (831)· ἐπιθέτοις γὰρ ἁρμόζουσι πολέμῳ κέχρηται μᾶλλον ἢ θεῷ. μανίας γάρ εἰσι πλήρεις ἅπαντες οἱ μαχόμενοι, πρὸς τὸν κατ' ἀλλήλων φόνον ἐνθουσιαστικῶς ζέσαντες. καὶ τὸ ἀλλοπρόσαλλον ἑτέρωθί που διὰ πλειόνων ἐξηγεῖται, λέγων "ξυνὸς Ἐνυάλιος, καί τε κτανέοντα κατέκτα" (Il. 18. 309)· νεμεσηταὶ γὰρ αἱ πολέμων ἐπ' ἀμφότερα ῥοπαὶ, καὶ τὸ νικηθὲν οὐδὲ προσαντῆσαν αἰφνιδίως πολλάκις ἐκράτησεν, ὥστε τῆς ἐν ταῖς μάχαις ἀμφιβολίας ἄλλοτε πρὸς ἄλλους μεταφοιτώσης ἐτύμως κακὸν ἀλλοπρόσαλλον εἴρηκε τὸν πόλεμον. ἐτράφη δὲ ὑπὸ Διομήδους Ἄρης οὐ κατ' ἄλλο τι μέρος, ἀλλὰ νεάτου ἐς κενεῶνα σφύδρα πιθανῶς· ἐπὶ γὰρ τὰ κενὰ τῆς μὴ πάνυ φρουρουμένης τῶν ἀντιπάλων τάξεως παρεισελθὼν εὐμαρῶς ἐτρέψατο τοὺς βαρβάρους. καὶ μὴν χάλκεον λέγει τὸν Ἄρην, τὰς τῶν μαχομένων πανοπλίας ὑποσημαίνων· σπάνιος γὰρ ἦν ὁ σίδηρος ἐν τῷ πάλαι χρόνῳ, τὸ δὲ σύμπαν ἐσκέποντο χαλκῷ. διὰ τοῦτό φησιν "ὅσσε ἄμερσεν αὐγὴ χαλκείη κορύθων ἄπο λαμπομενάων θωρήκων τε νεοσμήκτων" (Il. 13, 340). ἀναβοᾷ δὲ τρωθεὶς "ὅσσον τ' ἐννεάχιλοι ἐπίαχον ἢ δεκάχιλοι" (860). καὶ τοῦτο δὲ τεκμήριον πολλῶν διωκομένων ἐν τῷ πολέμῳ πολεμίων· οὐ γὰρ ἂν εἷς θεὸς ἀνεβόησε τοσοῦτον, ἀλλ' ἡ φεύγουσα μυρίανδρος, ὡς οἶμαι, τῶν βαρβάρων φάλαγξ, ὥστ' ἐναργέστι τεκμηρίοις καὶ διὰ τῶν κατὰ μέρος ἐδείξαμεν οὐκ Ἄρην τὸν τετρωμένον ὑπὸ Διομήδους, ἀλλὰ τὸν πόλεμον. αὗται δ' αἱ παρεκβάσεις τῶν προτέρων ἀλληγοριῶν. δι' ὧν καὶ τεχνικωτέραν ἔχουσιν ἐμπειρίαν. ἐν οἷς φησὶ "τλῆ μὲν Ἄρης, ὅτε μιν

25. ἄμερσεν] Recte ἄμερδεν ap. Heracl. Heraclitum c. 31. τὸν πόλεμον] τοὺς πολεμίους Mehlerus.

31. οὐκ Ἄρην τὸν] οὐ τὸν Ἄρην

Ὧτος κρατερός τ' Ἐφιάλτης, παῖδες Ἀλωῆος, δῆσαν κρατερῷ ἐνὶ δεσμῷ" (385). γεννικοὶ γὰρ οὗτοι καὶ κατ' ἀλκὴν ἰσχυροὶ νεανίαι γεγονότες, ἐπειδὴ πολέμων καὶ ταραχῶν μεστὸν ἤδεσαν τὸν βίον, εὐδεμιᾶς εἰρηνικῆς ἀναπαύσεως μέσης τοὺς παρ' ἕκαστα κάμνοντας ἀνιείσης, ἰδίοις ὅπλοις ἐκστρατευσάμενοι τὴν ἐπιπολάζουσαν ἀηδίαν ἀνέστειλαν. ἄχρι μὲν οὖν τρισκαίδεκα ὁ οἶκος μηνῶν αὐτῶν ἀκλινὴς καὶ ἀστασίαστος ἐν ὁμονοίᾳ καὶ εἰρήνῃ διεστρατήγει, μήτρυιὰ δὲ παρεισπεσοῦσα φιλόνεικος, οἰκίας νόσος, ἀνέτρεψε πάντα καὶ διέφθειρε τὴν πρώτην εὐστάθειαν. ἐκ δευτέρας δὲ πάλιν ὁμοίας ταραχῆς ἀναφυείσης, ἔδοξεν ὁ Ἄρης ἀπὸ τοῦ δεσμωτηρίου λυθῆναι, τουτέστιν ὁ πόλεμος. Ἡρακλέα δὲ νομιστέον οὐκ ἀπὸ σωματικῆς δυνάμεως ἀναχθέντα τοσοῦτον ἰσχῦσαι τοῖς τότε χρόνοις, ἀλλ' ἀνὴρ ἔμφρων καὶ σοφίας οὐρανίου μύστης γεγονὼς, ὥσπερεὶ κατὰ βαθείας ἀχλύος ἐπιδεδυκυῖαν ἐφώτισε τὴν οἰκουμένην, καθάπερ ὁμολογοῦσιν οἱ φιλόσοφοι καὶ Στωϊκῶν οἱ δοκιμώτεροι. περὶ μὲν οὖν τῶν ἄλλων ἄθλων, ὁπόσοι τῆς παρ' Ὁμήρου μνήμης ὑστεροῦσι, τί δεῖ παρὰ καιρὸν ἐκμηκύνειν φιλοτεχνοῦντας; ὅτι κάπρον μὲν εἶλε τὴν ἐπιπολάζουσαν ἀνθρώποις ἀκολασίαν, λέοντα δὲ τὴν ἀκρίτως ὁρμῶσαν ἐφ' ἃ μὴ δεῖ φορὰν, κατ' αὐτὸ δὲ θυμοὺς ἀλόγους πεδήσας, τὸν ὑβριστὴν ταῦρον ἐνομίσθη δεδεκέναι. δειλίαν γε μὴν ἐφυγάδευσεν ἐκ τοῦ βίου τὴν κερυνίαν ἔλαφον. καί τις ἀπρεπῶς ὀνομαζόμενος ἆθλος αὐτῷ Αὐγέου κόπρος ἐκμεμόχθηται, διακαθήραντος αὐτοῦ τὴν ἐπιτρέχουσαν ἀνθρώποις ἀσέλγειαν. ὄρνεις δὲ τὰς ὑπηνέμους ἐλπίδας, αἳ βόσκουσι τὸν βίον ἡμῶν, ἀπεσκέδασε δὲ καὶ τὸν πολύχουν κόπρον. καὶ τὴν πολυκέφαλον Ὕδραν, τὴν ἡδονὴν, ἥτις ὅταν ἐκκοπῇ πάλιν ἄρχεται βλαστάνειν, ὥσπερ διὰ πυρός τινος τῆς παραινέσεως ἐξέκαυσεν. αὐτός γε μὴν ὁ τρικέφαλος δειχθεὶς ἡλίῳ Κέρβερος εἰκότως ἂν τὴν τριμερῆ φιλοσοφίαν ὑπαινίττοιτο· τὸ μὲν γὰρ αὐτῆς λογικὸν, τὸ δὲ ἠθικὸν, τὸ δὲ φυσικὸν ὀνομάζεται, ταῦτα δ' ὥσπερ ἀφ' ἑνὸς αὐχένος ἐκπεφυκότα τριχῇ κατὰ κεφαλὴν μερίζεται. περὶ μὲν δὴ τῶν ἄλλων ἄθλων, ὥσπερ εἶπον, ἐν συντόμῳ δεδήλωται· τετρωμένην δ' Ὅμηρος ὑπεστήσατο τὴν Ἥραν, τοῦτο ἀκριβῶς παραστῆσαι βουλόμενος, ὅτι τὸν θολερὸν ἀέρα καὶ πρὸ τῆς ἑκάστου διανοίας ὑπαχλύοντα πρῶτος

21. κερυνίαν] Κερυνείαν Munck. ad Hygin. p. 72.
21–25. In his nonnulla turbata: v. Mehler. p. 68.
23. ὄρνεις] ὄρνῖς ὑπηνέμους Hemsterh.] συνανέμους

Ἡρακλῆς θείῳ χρησάμενος λόγῳ διήρθρωσε, τὴν ἑκάστου τῶν ἀνθρώπων ἀμαθίαν πολλαῖς νουθεσίαις κατατρώσας, ὅθεν ἀπὸ γῆς εἰς οὐρανὸν ἀφίησι τὰ τόξα. τὰ δὲ λοιπὰ ζήτει ἔμπροσθεν εἰς τὸ "τλῆ δ' Ἥρη" (Il. 5, 392). ὥσθ' αἱ Ἡρακλέους χεῖρες ἀγνεύουσι παντὸς Ὀλυμπίου μύσους. ἀρχηγὸς δὲ πάσης σοφίας γενόμενος Ὅμηρος ἀλληγορικῶς παρέδωκε τοῖς μετ' αὐτὸν ἀρύσασθαι πάνθ' ὅσα πρῶτος παρεφιλοσόφησεν.

341. *οὐ γάρ] ἄλογος ὁ συλλογισμός. οὐ γὰρ διότι σῖτον καὶ οἶνον οὐ προσφέρονται, διὰ τοῦτό εἰσιν ἀναίμονες καὶ ἀθάνατοι· πολλὰ γὰρ καὶ ἄλλα ζῷα οὐ προσφέρεται ταῦτα. λύεται δὲ ἐκ τῆς λέξεως· ὑπακοῦσαι γὰρ δεῖ τῷ "οὐ σῖτον ἔδουσιν," ἀλλ' ἀμβροσίαν, τῷ δὲ "οὐ πίνουσιν οἶνον," ἀλλὰ νέκταρ.

*οὐ διὰ τὸ μὴ ἄρτον αὐτοὺς ἐσθίειν μήτε οἶνον πίνειν θεοὶ ὑπάρχουσιν, ἀλλὰ διὰ τὸ ἀθανάτους εἶναι τῶν τοιούτων τροφῶν ἀπέχονται. τὸ δὲ ἀναίμονες ἀντὶ τοῦ ἄνευ αἵματος, ἐπεὶ οὐ τρέφονται. ἀθάνατοι δὲ, ὅτι ἀναίμονες· ὁ γὰρ θάνατος ψύξει τοῦ θερμοῦ γίνεται.

342. τὸ τοὔνεκα ἀντὶ τοῦ διὰ τοῦτο. τουτέστι διὰ τοῦτό εἰσιν ἀναίμονες καὶ ἀθάνατοι καλέονται, διότι οὔτε σῖτον ἔδουσ' οὔτε οἶνον πίνουσι.

348. *δηϊοτῆτος] παρὰ τὸ ἐν αὐτῇ δῃοῦσθαι πολλοὺς, ὅ ἐστιν ἀφανίζεσθαι.

356. ἐκέκλιτο] ἐκέκλιτο ἀπὸ τοῦ κλίνω, ὡς τὸ "σάκε' ὤμοισι κλίναντες" (Il. 11, 592) καὶ "στήλῃ κεκλιμένος ἀνδρομήτῳ" (Il. 11, 371).

357. διαστολὴ εἰς τὸ ἐριποῦσα, καὶ τὸ ἑξῆς κασιγνήτοιο φίλοιο. οἰκεῖον δὲ καὶ τὸ γνύξ τῇ ἀνάλκιδι, ὡς τὸ "ἡ δ' ἐν γούνασι πῖπτε Διώνης" (370).

358. πολλὰ λισσομένη] οὐκ εὖ φασὶ προσκεῖσθαί τινες τὸ πολλά· καὶ γὰρ ἐραστής ἐστι καὶ ἀδελφὸς, καὶ τοῖς αὐτοῖς βοηθεῖ. ῥητέον δὲ ὅτι τὸ γυναικεῖον καὶ ἀσθενὲς ἐμφαίνει ἡ πολλὴ δέησις καὶ τὸ γονυπετεῖν.

371. βιωτικὰ ταῦτα, καὶ τὸ τοὺς προβεβηκότας τῶν παίδων ὡς μικροὺς ὑπὸ τῶν γονέων θωπεύεσθαι. διὰ δὲ τὸ τρυφερὸν τῆς δαίμονος πῖπτεν εἶπεν, ἅμα καὶ τὴν ἐκ τοῦ τραύματος παρειμένην ἐμφῆναι βέλων.

6. ἀρύσασθαι Vill.] ἀρρύσασθαι 13. *αὐτοὺς] αὐτὸν
16. *ψύξει] ψύχει

373. *τοῦτο καὶ κατ' ἐρώτησιν καὶ κατ' ἀγανάκτησιν καὶ κατὰ θαυμασμόν.

374. μαψιδίως] ἴδιον γονέων ἀδικοῦσι παισὶν ὑπερασπίζειν. τὸ δὲ ἐνωπῇ ἤτοι ἐν ὄψει ἀδικοῦσαν. *τινὲς δὲ γράφουσιν ἐνιπῇ.

376. ὑπέρθυμος] ἀλόγιστος καὶ μεστὸς θυμοῦ.

377. οὕνεκ' ἐγὼ φίλον υἱόν] ηὔξησε τὸ θράσος Διομήδους, εὔλογον ἔχουσα τὴν αἰτίαν.

380. ἀλλ' ἤδη Δαναοί] ὡς Τρωσὶ βοηθοῦσα κοινοποιεῖται τὸ πταῖσμα, καὶ ἵνα μὴ δοκῇ μόνη ἀδικεῖσθαι.

384. ἐξ ἀνδρῶν] τινὲς συνάπτουσιν, ἵν' ᾗ δι' ἀνδρῶν ἀλλήλους κακοποιοῦντες.

385. Ἀδώνιδος τοῦ Κινύρου ἐρασθεῖσα Ἀφροδίτη, καὶ τὸν φθόνον ὑφορωμένη, παρέθετο τοῖς περὶ Ὦτον καὶ Ἐφιάλτην, οἳ θέσει μὲν ἦσαν Ἀλωέως, φύσει δὲ Ποσειδῶνος καὶ Ἰφιμεδείας. τοῦτον θηρολετοῦντα ἐν τῷ Λιβάνῳ τῆς Ἀραβίας ἀναιρεῖ Ἄρης. οἱ δὲ ὀργισθέντες ἐπὶ τρισκαίδεκα μῆνας ἀποκλείσαντες τὸν Ἄρεα εἶχον ἐν εἱρκτῇ. ἡ δὲ τούτων μητρυιὰ Ἠερίβοια, ἡ Εὐρυμάχου τοῦ Ἑρμοῦ, ἀπήγγελλεν Ἑρμῇ. ὁ δὲ καὶ ταύτῃ χαριζόμενος καὶ τῇ Ἥρᾳ κλέπτει τὸν Ἄρεα. ὁ δὲ φυγὼν εἰς Νάξον ἦκε, καὶ κατέκρυψεν ἑαυτὸν εἰς τὴν σιδηροβρῶτιν λεγομένην πέτραν. ἐκεῖνοι δὲ ἐρασθέντες τῶν Ἥρας καὶ Ἀρτέμιδος γάμων ἀλλήλους ἐν κυνηγεσίοις ἀπέκτειναν· κατὰ πρόνοιαν γὰρ Ἀρτέμιδος ἔλαφος διὰ μέσων διῆλθεν αὐτῶν, καθ' ἧς ῥίψαντες ἀμφότεροι διεχρήσαντο ἀλλήλους. ἐπίτηδες δὲ μύθους συλλέξας ὁ ποιητὴς Διώνῃ περιτίθησι, δι' ὧν Διομήδης ἀπαλλάττεται τοῦ τῆς βλασφημίας ἀντιποίνου, ὡς οὐ καιναῖς, ἀλλὰ παλαιαῖς πιθήσας παραδόσεσιν. οὐδὲν δὲ ἄτοπον τοὺς Ποσειδῶνος δῆσαι Ἄρεα.

*οὕτω βέλτιον φιλοσοφεῖν διὰ τῆσδε τῆς ῥαψῳδίας, ὡς καὶ δι' ὅλης τῆς ποιήσεως. Ἄρην ὀνομάζει τὸν θυμόν, Ὦτον δὲ καὶ Ἐφιάλτην τοὺς ἐν παιδείᾳ λόγους. τούτων γὰρ ὁ μέν τις ἐκ μαθήσεως καὶ διδασκαλίας κινεῖται, ὁ δ' ἕτερός ἐστιν ἐνδιάθετος καὶ ἐκ φύσεως παραπεμπόμενος τοῖς ἀνθρώποις. τὸν μὲν οὖν διὰ τῆς μαθήσεως διδασκόμενον λόγον Ὦτον προσηγόρευσεν, ὅτι διὰ τῶν ὤτων αὐτὸν καὶ τῆς ἀκοῆς ἐκμανθάνομεν παιδευόμενοι· τὸν δὲ ἐνδιάθετον καὶ ἐκ φύσεως παραπεμπόμενον τοῖς ἀνθρώποις Ἐφιάλτην ὠνόμασεν, οἷον τὸν αὐτομάτως ἐφαλλόμενον, τουτέστιν ἐμβαλλόμενον, ταῖς ἀκοαῖς.

ὑπὸ τούτων δ' ἀμφοτέρων φησὶ δεθῆναι τὸν Ἄρη, τουτέστι τὸν θυμόν, καὶ ἐπὶ πολὺ βασανισθῆναι, ἐπειδὴ οἱ ἐν παιδείᾳ λόγοι ἐκπαιδεύουσι καὶ διδάσκουσι τοὺς ἀνθρώπους κατέχειν μὲν τὴν ὀργὴν καὶ ἐπιθυμίαν, ἥκιστα δὲ θυμῷ χρῆσθαι· ὅπερ φησὶν Ὅμηρος κατέχεσθαι θυμὸν μὲν ἐπὶ τῶν λόγων τούτων, ἐπεὶ πάντοτε οἱ τῆς παιδείας λόγοι ἐκπαιδεύουσι καὶ διδάσκουσι τοὺς ἀνθρώπους μετὰ γνώμης ἅπαντα πράττειν καὶ μὴ πολλῇ ὀργῇ χρωμένους κατὰ τῶν φίλων ἀνήκεστόν τι πράττειν, ἐκδιδάσκουσι δὲ καὶ ὃν τρόπον δεῖ γονέων ἐπιμελεῖσθαι καὶ φίλων καὶ ἀδελφῶν κήδεσθαι καὶ τῶν ἄλλων πάντων. αἴθις δὲ λυθῆναι αὐτὸν ὑπὸ Ἑρμοῦ, Ἡεριβοίας τοῦτο μηνυούσης, Ἑρμῆν πάλιν ὀνομάζων τὸν λόγον, ὅτι ἑρμηνεὺς γίνεται πάντων ὁ λόγος, Ἡερίβοιαν δὲ ὀνομάζων τὴν στάσιν παρὰ τὸ μεγίστῃ φωνῇ χρῆσθαι τὰ στασιάζοντα πλήθη ἐν ταῖς πόλεσιν, ἐπειδὴ πολλάκις ὁ λόγος ἐξουσίαν δίδωσι τῷ θυμῷ χρῆσθαι τῇ οἰκείᾳ ῥώμῃ, ὅταν ὑπὲρ πατρίδος δέῃ καὶ ὑπὲρ παίδων καὶ γονέων καὶ κτημάτων καὶ πολιτείας πρὸς πολεμίους ἀγωνίζεσθαι. τότε γὰρ ὁ λόγος οὐκέτι κατέχει τὸν θυμὸν, οὐδὲ εἴργει χρῆσθαι τῇ οἰκείᾳ δυνάμει, ἀλλὰ τοὐναντίον αὐτὸς καὶ παρακελεύεται καὶ προτρέπει χρῆσθαι κατὰ τῶν οἰκείων, μᾶλλον δὲ τῶν ἐχθίστων, ἵνα μὴ ὑπὸ πολεμίων ληφθέντες κακῶς πάθωσιν.

388. ἀπόλοιτο] ἢ ὑπερβολικῶς εἶπεν, ἢ ἀντὶ τοῦ ἀφανὴς ἐγένετο, ὥσπερ φαμὲν "ἀπόλωλεν ὁ παῖς."

392. φιλόσοφος Ἡρακλῆς καὶ σοφίας οὐρανίου μύστης, ὃς ὥσπερ εἰς τὰ βάθη εἰσδεδυκυῖαν ἀχλύς τὴν φιλοσοφίαν ἐφώτισε. τὸν θολερὸν τοίνυν ἀέρα καὶ πρὸς τὴν ἑκάστου διάνοιαν ἐπαχλύοντα πρῶτος Ἡρακλῆς θείῳ διήρθρωσε λόγῳ, τὴν ἑκάστου τῶν ἀνθρώπων ἄνοιαν πολλαῖς νουθεσίαις κατατρώσας. ὅθεν ἀπὸ γῆς εἰς οὐρανὸν ἀφίησι τὰ βέλη· πᾶς γὰρ φιλόσοφος ἐν ἐπιγείῳ σώματι πτηνὸν ὥσπερ τι βέλος τὸν νοῦν εἰς τὰ μετέωρα διαπέμπεται. διὰ δὲ τοῦ τριγώνου βέλους ἡ τριμερὴς ἡμῖν φιλοσοφία δεδήλωται. μετὰ δὲ Ἥραν τοξεύει Ἀιδην· οὐδεὶς γὰρ ἄβατος φιλοσοφίᾳ χῶρος, ἀλλὰ μετὰ τὸν οὐρανὸν ἐζήτηκε τὴν κατωτάτω φύσιν. διὸ καὶ ἀνελήλυθέναι τὸν Ἀιδην φησὶ, μόνον οὐχὶ συνάπτων ἄμφω τὰς γνώσεις· καὶ τὸν ἀλαμπῆ γὰρ πᾶσιν ἀνθρώποις τόπον ὁ τῆς φιλοσοφίας ἴστὸς

19. πάθωσιν] * πάθωμεν

22. Scholion manus primae, excerptum ex Heracl. c. 34 p. 69, multa cum diversitate scripturae. Conf. p. 247, 1.

διευκρίνησεν. ἡ δὲ ἱστορία ὅτι ἐν τῇ πρὸς Πυλίους μάχῃ αὐτὴν ἔτρωσεν· οἱ δέ φασιν ὅτι, διότι νήπιον ὄντα οὐκ εἴασεν αὐτὸν σπάσαι τὸν ἴδιον μαζόν, ἔτρωσεν αὐτήν. διὰ μειζόνων δὲ προσώπων παραμυθεῖται Ἀφροδίτην.

395. τλῆ δ' Ἀΐδης] φασὶν Ἡρακλέα, ἐπιταχθέντα ὑπὸ Πλούτωνος ἄνευ ἀσπίδος καὶ σιδήρου χειρώσασθαι τὸν Κέρβερον, τῇ μὲν δορᾷ χρήσασθαι ἀντὶ ἀσπίδος, ταῖς δὲ λιθίναις ἀκίσιν ἀντὶ τῶν βελῶν· μετὰ δὲ τὴν νίκην πάλιν ἐναντιουμένου τοῦ θεοῦ τὸν Ἡρακλέα ὀργισθέντα τοξεῦσαι αὐτόν.

401. τῷ ἐπί] πρὸς τὸ πεῖσαι τὴν θυγατέρα ἐναργῶς περὶ τοῦ πλήγματος διαλέγεται. οὐκ ἀναστρεπτέον δὲ τὴν πρόθεσιν· τῷ γὰρ ἑξῆς συντέτακται.

402. ἠκέσατ'] ἤὐξησε τὴν ἰατρικήν, εἴ γε καὶ θεοὶ δέονται αὐτῆς. παραμυθεῖται δὲ τὴν παῖδα ὡς οὐδὲν ἐκ τῆς πληγῆς πεισομένην. Παιήονα δὲ οὐ τὸν Ἀπόλλωνα λέγει.

404. τοξοισιν] οὐδέποτε οἶδεν ὁ ποιητὴς Ἡρακλέα ῥοπάλῳ χρώμενον.

405. σοὶ δ' ἐπί] οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν· πρὸς γὰρ τὸ ἀνῆκε συντέτακται. οὐχ ὑπὸ θνητοῦ δὲ τέτρωται, ἀλλ' ὑπὸ θεοῦ ἰσοτίμου· καὶ ὁ ὑπηρετήσας δὲ οὐκ ἀβλαβὴς ἐκφέρεται.

406. νήπιος] ἡδὺ τὸ τῆς ἐξαλλαγῆς. ὁ δὲ δέ ἀντὶ τοῦ γάρ.

407. μάλ' οὐ δηναιός] οὐ μάλα δηναιὸς καὶ χρόνιος. εἰς εὐσέβειαν δὲ ἡμᾶς διὰ τούτων παρακαλεῖ.

408. οὐδέ τί μιν] σεμνύνει τὴν παιδοποιίαν, τοὺς ἀσεβοῦντας κολάζεσθαι λέγων ἀτεκνίᾳ. εἰ δὲ λέγοις, καὶ μὴν "τέτρατον ἦμαρ ἔην ὅτ' ἐν Ἄργει" (Od. 3, 180), ἴσθι ὡς οἱ ἑταῖροι ὑπέστρεψαν, οὐ Διομήδης. λανθάνει δὲ τὸ ταπεινὸν τῆς λέξεως παρεντεθὲν καὶ διὰ τὸ λέγον καὶ διὰ τὸ ἀκοῦον πρόσωπον· οὐ γὰρ ἐξ ἄρσενος λέγεται, οὐχ ἥρωος, οὐ θεοῦ, ἀλλ' ὑπὸ θεᾶς καὶ μητρὸς ἐναγκαλισαμένης τὴν παῖδα.

412. μὴ δὴν Αἰγιάλεια] φασὶν Αἰγιάλειαν τὴν μίαν τῶν Ἀδρηστίδων, τὴν νεωτέραν, γυναῖκα Διομήδους οὖσαν, σφόδρα αὐτὸν ἐπιποθεῖν καὶ ἀπολοφύρεσθαι τὰς νύκτας. ὕστερον δὲ κατὰ μῆνιν Ἀφροδίτης

4. *Ἀφροδίτην] ἀφροδίτη
28. *τὸ λέγον] τὸν λόγον
31. τὴν μίαν τῶν Ἀδρηστίδων, τὴν νεωτέραν γυναῖκα, Διομήδους οὖσαν] *τὴν νεωτέραν τῶν Ἀδρηστίδων, γυναῖκα Διομήδους (omisso οὖσαν)

πάσῃ τῇ τῶν Ἀργείων νεολαίᾳ συγκωμάσαι αὐτὴν, ἔσχατον δὲ καὶ Κομήτῃ τῷ Σθενέλου, ὃς ἦν ὑπὸ Διομήδους πιστευθεὶς τὰ κατ' οἶκον. ἥκοντα δὲ αὐτὸν μέλλων ἀνελεῖν ἐφείσατο διὰ τὸ καταφυγεῖν εἰς τὸν τῆς Ἀθηνᾶς βωμόν· ὅθεν αὐτὸν φυγόντα φασὶν ἥκειν εἰς Ἰβηρίαν, κἀκεῖ, ὡς μέν τινες, δολοφονηθῆναι ὑπὸ Δαύνου τοῦ βασιλέως, ὡς δέ τινες, ἀπολέσθαι ὑπὸ Ἰουνίου τοῦ Δαύνου παιδὸς ἐν κυνηγεσίοις· ὅθεν, ὥς φασιν, αὐτὸν μὲν ἀπεθέωσεν Ἀθηνᾶ, τοὺς δὲ ἑταίρους εἰς ἐρωδιοὺς μετέβαλεν. τὸ δὲ δήν ἄμεινον εἶναι χρονικὸν ἐπίρρημα, ἵν' ᾖ τὸ ἑξῆς οὕτω, φραζέσθω μή πώς τις αὐτῷ ἀμείνων σεῖο μάχηται, καὶ μὴ δήν, ὅ ἐστιν ἐπὶ πολὺ, μείνῃ αὐτὸν ἡ γυνὴ θρηνοῦσα.

Βουλευέσθω μή πως ἡ Αἰγιάλεια ποθοῦσα αὐτὸν, ἀκούσασα δὲ τὴν αὐτοῦ ἀπώλειαν, θρηνοῦσα ἐκ τοῦ ὕπνου τοὺς οἰκείους ἀνεγείρῃ. οὐκ οἶδε δὲ ὁ ποιητὴς τὸν τοῦ Κομήτου πόθον.

414. τὸν ἄριστον Ἀχαιῶν] εἰρωνεία ἐστὶ· τὸν φρόνημα ἔχοντα ὅτι ἄριστός ἐστιν. ἢ ὡς αὐτὴ λέξει θρηνοῦσα. ἢ καὶ πρὸς παραμυθίαν τῆς Ἀφροδίτης λέγει, ὅτι ὁ τρώσας αὐτὴν ἄριστος τῶν ἄλλων ἐστὶν, ἀλλ' οὐκ οὐδαμινός.

416. ἀπ' ἰχῶ] Ἀττικόν ἐστι κατὰ ἀποκοπὴν τοῦ ρ̄ καὶ ᾱ, ἢ κατὰ συναίρεσιν, ἰχῶρα ἰχῶ. ἡ δὲ ἀπὸ πρὸς τὸ ὀμόργνυ τάττεται, ἢ πρὸς τὸ χειρός.

417. ἄλθετο χείρ] ἔδειξεν ἐπὶ ποίῳ τραύματι ἤσχαλλεν Ἀφροδίτη, ὅπου οὐκ ἐδέησεν ἰατροῦ. καὶ ὅτι τὸ λάλον ἐνδείκνυται τῶν γυναικῶν, πῶς τε τὰ δοκοῦντα μικρὰ μεγάλα διὰ τὸ λάλοι εἶναι ποιοῦσιν. ἄλθετο δὲ τὸ ὑγιοῦτο, ἐκ τοῦ ἄλθω τὸ αὔξω· τὰ γὰρ ὑγιῆ καὶ αὔξεται.

419. κερτομίοις] ἐπεὶ ἐκερτόμησεν αὐτὰς ὁ Ζεὺς "δοιαὶ μὲν Μενελάου" (Il. 4, 7), τρωθείσης Ἀφροδίτης ἀντικερτομοῦσι τὸν Δία. τοῦτο δὲ καὶ αὐτὸς συνεὶς ἐμειδίασεν. ἅμα δὲ τὴν κατὰ Διομήδους ὀργὴν μαλάσσουσιν, ἃ μέλλουσι κατηγορεῖσθαι, ταῦτα προδιασύρουσαι.

420. εὖ τὸ τῇ Ἀθηνᾷ τὴν τῆς εἰρωνείας προκαταρχὴν ἐπιθεῖναι· ἡ γὰρ Ἥρα μείζονός ἐστιν ἀξιώματος.

2. Κομήτῃ τῷ Σθενέλου] Σθενέλῳ τῷ Κομήτου. Ex Tzetza ad Lycophr. 610 et Eustathio p. 566, 3 correxit Schneidewinus in Philologo vol. 1 p. 151.
4. Ἰβηρίαν] * Καλαυρίαν
27. * Μενελάου] μενελάῳ
31. ἐπιθεῖναι] * περιθεῖναι

422. ἦ μάλα δή τινα Κύπρις] ὡς προκαταρχούσης τῆς εἰς Ἑλένην ἀδικίας. διὰ δὲ τοῦ καταμύξατο λελῃθότως ἀπολογεῖται.

*τὸ ἀνιεῖσα ἀντὶ τοῦ ἀναπείθουσα.

*τὸ ἐπίθετον τῆς Ἀφροδίτης, ὃ οὐκ ἐνόησαν οἱ πρὸ ἡμῶν τί σημαίνει. συμπλανηθέντες γὰρ τῷ Ἡσιόδῳ ἔδοξαν ὅτι Κύπρις λέγεται, ὡς φησιν Ἡσίοδος, Κυπρογένεια, διὸ γεννᾶται ἐν τῷ περικλύστῳ, ἐν Κύπρῳ (Th. 199), ὥσπερ καὶ τὴν φιλομειδῆ, ὅτι μηδέων ἐξεφαάνθη. Ὅμηρος δ' οὐκ εἶπεν οὕτως, ἀλλὰ τὴν μειδιάματα φιλοῦσαν, οἷον ἱλαρὰν, διὰ τὴν ἐγκειμένην αὐτῇ δύναμιν ἀπὸ τῆς συνουσίας. ὥσπερ οὖν τὸ πῦρ Ἥφαιστον λέγει ὁμωνύμως τῷ εὑρόντι, οὕτω καὶ Ἀφροδίτην ποτὲ τὴν ἀνδρὸς πρὸς γυναῖκα συνουσίαν, ἡνίκα ἂν περὶ τῶν μνηστήρων λέγῃ "καὶ ἐκλελάθοντ' Ἀφροδίτης, ἣν ἄρ' ὑπὸ μνηστῆρσιν ἔχον, μίσγοντο δὲ λάθρῃ" (Od. 22, 444). τὸ οὖν ἐπίθετον τὸ διὰ τοῦ Κύπρις σημαινόμενον ἀπὸ τῆς περὶ αὐτὴν δυνάμεως Ὁμήρῳ παρείληπται. ἔστι γοῦν κατὰ συγκοπὴν εἰρημένον κυπρίς, ἡ τὸ κίειν πορίζουσα· ἴδιον γὰρ Ἀφροδίτης τοῦτο· οὐ γὰρ ἄλλως γυναῖκες κυΐσκουσιν χωρὶς τῆς Ἀφροδισιακῆς συνουσίας. τὸ δὲ πλανῆσαν τὸν Ἡσίοδον καὶ τοὺς ἄλλους ἐστὶ τὸ ἐν τῇ Θ ῥαψῳδίᾳ λεγόμενον "ἡ δ' ἄρα Κύπρον ἵκανε, φιλομμειδὴς Ἀφροδίτη, ἐς Πάφον· ἔνθα δέ οἱ τέμενος βωμός τε θυήεις" (Od. 8, 362). οὐκ εἴ τις δ' ἔν τινι τόπῳ τετίμηται, ἐκεῖθι καὶ γεγέννηται καὶ διὰ τοῦτο τῷ ἐπιθέτῳ κοσμεῖται. οὐδέποτε γοῦν Δήλιος ὁ Ἀπόλλων παρ' Ὁμήρῳ οὐδὲ Πύθιος· καίτοι γε καὶ ἑκάτερον τῶν ἱερῶν οἶδε, δι' ὧν φησὶ ποτὲ μὲν "Δήλῳ δή ποτε τοῖον Ἀπόλλωνος παρὰ βωμῷ φοίνικος νέον ἔρνος ἀνερχόμενόν γ' ἐνόησα" (Od. 6, 162), ποτὲ δὲ "οὐδ' ὅσα λάϊνος οὐδὸς ἀφήτορος ἐντὸς ἐέργει Φοίβου Ἀπόλλωνος Πυθοῖ ἔνι πετρηέσσῃ" (Π. 9, 404). οὐδ' ἐπεί φησιν "ἵκετο δ' εἰς Αἰγὰς, ὅθι οἱ κλυτὰ δώματ' ἔασιν" (Od. 5, 381), Αἰγαῖός ποτε εἴρηται ὁ Ποσειδῶν παρ' Ὁμήρῳ. καὶ ἡ Κυθέρεια δὲ καθ' Ὅμηρον οὐχ ὅτι "προσέκυρσε Κυθήροις" (Hesiod. Th. 198). οἶδε μὲν γὰρ τὰ Κύθηρα, οὐκ ἀπὸ τούτου δὲ εἴρηται. Κυθέρεια δὲ ἡ κευθόμενον ἔχουσα ἐν ἑαυτῇ τὸν πάσης τῆς ἐρωτικῆς φιλίας ἐξηρτημένον ἱμάντα, οἷον

1. *Ἑλένην] ἕλληνος
10. *τῷ εὑρόντι] εὑρὼν τί
12. *περὶ] παρὰ
λέγῃ] λέγει
14. *διὰ τοῦ] *δι' αὐτοῦ
16. *πορίζουσα] πορίσκουσα
18. Θ] om.
19. *φιλομμειδὴς] φιλομειδὴς

τὸν ἔρωτα, ὃν πᾶσι τοῖς νέοις ἐφίησι· διὰ γὰρ τοῦ κεστοῦ ταῦτα παρέπεται. "ἔνθ' ἔνι μὲν φιλότης, ἐν δ' ἵμερος, ἐν δ' ὀαριστύς, πάρφασις, ἥτ' ἔκλεψε νόον πύκα περ φρονεόντων" (Π. 14, 216). ἐπεί τοι καὶ Ἀλαλκομενὶς Ἀθήνη παρὰ τοῖς εὖ λογιζομένοις ἀπὸ τῆς ἐνεργείας, ἡ ἀπαλλάσσουσα τῷ ἰδίῳ μένει τοὺς ἐναντίους· οὐ γὰρ πειθόμεθα τοῖς νεωτέροις, οἵ φασιν ἀπὸ Ἀλαλκομενίου τινὸς εἰρῆσθαι, οὐδ' ὡς Ἐρατοσθένης παρήκουσεν Ὁμήρου εἰπόντος "Ἑρμείας ἀκάκητα" (Π. 16, 185), ἤγουν ἀπὸ Ἀκακησίου ὄρους, ἀλλ' ὁ μηδενὸς κακοῦ μεταδοτικὸς, ἐπεὶ καὶ δοτὴρ ἐάων. πάντ' οὖν ἀπὸ τῶν παρεπομένων τοῖς θεοῖς· καὶ γὰρ ἡ γλαυκῶπις οὐκ ἀπὸ τοῦ "ἥ τ' ἄκρης θῖνα Γλαυκώπιον ἵζει," ἀλλ' ἀπὸ τῆς περὶ τὴν πρόσοψιν τῶν ὀφθαλμῶν καταπλήξεως. καὶ τἄλλα δὲ τῶν ἐπιθέτων ἐπιοῦσιν ἡμῖν πάρεστιν ὁρᾶν οὐκ ἀπὸ τῶν ἱερῶν τόπων ὠνομασμένα, ἀπὸ δὲ τῶν ψυχικῶν ἐνεργειῶν, ἢ νὴ Δία συμβεβηκότων περὶ τὸ σῶμα, ὡς ἡ λευκώλενος Ἥρη καὶ ἀργυρόπεζα Θέτις καὶ Φοῖβος Ἀπόλλων καὶ ἀκερσεκόμης, καὶ πάλιν ἀπὸ πράξεως, Ἕκατος, Ἑκάτη, ἑκατηβελέτης, ἑκηβόλος· Ἄρτεμις δὲ καὶ ἀγροτέρα καὶ ἰοχέαιρα καὶ πάντα τὰ παραπλήσια. καὶ γὰρ εἰ σπανίως Ἑλικώνιον τὸν Ποσειδῶνα εἴρηκεν ἀπὸ Ἑλικῶνος, ὡς ὁ Ἀρίσταρχος βούλεται, ἐπεὶ ἡ Βοιωτία ὅλη ἱερὰ Ποσειδῶνος — οὐ γὰρ ἀρέσκει ἀπὸ Ἑλίκης, ἐπεί φησιν "οἵ δέ τοι εἰς Ἑλίκην τε καὶ Αἰγὰς δῶρ' ἀνάγυσιν" (Π. 8, 203)· Ἑλικήϊον γὰρ ἂν εἶπε, συγχωροῦντος τοῦ μέτρου —· δύναται δὲ Ἑλικώνιος λέγεσθαι διὰ τὸ ἕλικας καὶ περιφερεῖς εἶναι τὰς τῆς θαλάσσης δίνας. ἔτι δὲ εἴπερ ἦν ἡ Κύπρις ἀπὸ τῆς Κύπρου, πολλῷ μᾶλλον ἀπὸ τῆς Πάφου, ἐν ᾗ "βωμός τε θυήεις" αὐτῆς (Od. 8, 363), Παφίη ἐλέγετο· ἀλλ' οὐδέποτε Παφίην εἶπε τὴν Ἀφροδίτην ὁ Ὅμηρος, ὡς οἱ νεώτεροι.

11. * *θῖνα*] *τινά*. In scriptura corrupta consentiunt codices Etymologici M. p. 547, 3. In scholiis minoribus scriptum est *ἥ τ' ἄκρης θῖνα γλαυκώπιον ἵζει*. Est versus Callimachi, ut ostendit Naekius in Dissert. de Hecale c. 6 p. 58, quem in Thes. vol. 4 p. 368 sic correxi, *ἥ τ' ἄκρης πόλιος θῖνα Γλαυκώπιον ἵζει*. Schneiderus ad Callim. Fragm. p. 773 coniecit *ἥ τ' ἐπ' ἄκρης πόλιος θιναῖς Γλαυκώπιον ἵζει*, Hesychio confisus cuius in glossa *θιναί*: *ψάμμοι, ὑψηλοὶ τόποι*, haud dubio *θῖνες* corrigendum, ut dixi in Thes. vol. 4 p. 386, et poeta de viribus herbarum v. 3 qui *ἐπὶ θιναῖς* dixit. De Glaucopio Attico res incerta est, de quo dixerunt Wachsmuthius in libro de urbe Athenarum et novissime R. Schoellius in Ephem. Ienensibus a. 1875 no. 39 p. 686.

14. * *ἡ νὴ Δία*] *ἴν' ᾗ διὰ*
* *τὸ*] om.

καὶ γὰρ εἴπερ γε σπανίως ἐπίθετα ἐξενήνοχε τοπικὰ, ἀλλ' ἐξ ἡρωϊκοῦ προσώπου κατὰ τὸ εἰκὸς αὐτὰ λέγει. Ἀχιλλεὺς γὰρ Θεσσαλὸς ὢν φησι "Ζεῦ ἄνα Δωδωναῖε Πελασγικὲ, τηλόθι ναίων" (Il. 16, 233), καὶ Ἑκάβη "ἀλλ' εὔχεο σύ γ' ἔπειτα κελαινεφέϊ Κρονίωνι Ἰδαίῳ, ὅς τε Τροίην κατὰ πᾶσαν ὁρᾶται" (Il. 24, 290)· εἰ γὰρ ἡ Ἴδη τῆς Τροίας, εἰκείως ἡ Ἑκάβη ἔσχηκε παρονομάσαι τὸν Δία Ἰδαῖον. ὁ δὲ Ὅμηρος οὐκ ἂν εἶπεν ἀπὸ τῆς Κύπρου τὸ ἐπίθετον, ἐξ ἰδίου προσώπου λέγων "ὁ δὲ Κύπριν ἐπῴχετο νηλεϊ χαλκῷ."

425. πρὸς τὸ ἀσθενὲς τῆς πληγῆς. Ἀρίσταρχος δὲ τὸ ἀραιήν ἐπὶ μὲν τοῦ ἀσθενῆ δασύνει, ἐπὶ δὲ τοῦ ἐπιβλαβῆ ψιλοῖ. τὸ δὲ κατεμύξατο καταμύξατό φησι διὰ τοῦ ᾱ.

428. οὔ τοι τέκνον ἐμόν] τὸ γνῶθι σαυτὸν ἐνταῦθα λέγει. οὐδὲν δέ φησιν· οἶδε γὰρ αὐτὴν τὴν αἰτίαν ἔχουσαν διὰ τὴν ἁρπαγὴν Ἀλεξάνδρου, ἣν ταῖς αὐτῆς βουλαῖς ἐποιήσατο. διὸ οὐδὲ αὐτὴ φθέγγεται ὡς ἡμαρτηκυῖα, ἀλλὰ μᾶλλον ἀσκεῖ σιωπήν.

429. ἔργα γάμοιο] τὰ περὶ τὸν ἔρωτά φησι καὶ τοὺς ἐργαζομένους τὸν γάμον.

432. Αἰνείᾳ δ' ἐπόρουσε] οὐδὲν πράσσει, δεικνὺς ὡς οὐδὲ τὸ κατὰ Ἀφροδίτην αὐτοῦ ἦν.

443. ἀνεχάζετο τυτθὸν ὀπίσσω] ἐμφαίνει τὴν ἀρετὴν Διομήδους διὰ τοῦ τυτθόν. ἐπὶ δὲ Πατρόκλου πολλὸν ὀπίσω φησίν (Il. 16, 710)· ὑπ' οὐδενὸς γὰρ θεοῦ βοηθεῖται, καὶ τὸν Ἀπόλλωνα δεδοικέν.

446. ὄθι οἱ νηός γ' ἐτέτυκτο] καὶ Ἀθηνᾶς δὲ ἦν αὐτόθι ναός· "νηὸν Ἀθηναίης γλαυκώπιδος ἐν πόλει ἄκρῃ οἴξασαι" (Il. 6, 88).

448. ἀκέοντο] θεοὶ γὰρ εἰς ἀνθρώπους πράσσειν πάντα πεφύκασιν.

κύδαινόν τε] λόγῳ παρεμυθοῦντο. ἀκολούθως δὲ τοῖς ἰατρικοῖς παραγγέλμασι τοὺς τραυματίας λόγῳ θεραπεύει. ἄλλως τε καὶ Ἀφροδίτης ἦν υἱὸς καὶ τῶν Τρώων ἄριστος μεθ' Ἕκτορα.

449. αὐτὰρ ὁ εἴδωλον τεῦξ' ἀργυρότοξος Ἀπόλλων] εἴδωλον μὲν ἀκούει πᾶν τὸ δημιούργημα τοῦ κόσμου, ὅπερ τύπος ὢν τοῦ ὄντως ὄντος ὑπὸ πάντων μὲν τῶν ἐγκοσμίων θεῶν κοσμεῖται, προηγουμένως δὲ ὑπὸ ἡλίου, ὅς ἐστιν ἡγεμὼν παντὸς γενητοῦ τε καὶ ὁρατοῦ. οὐδὲν δὲ ἧττόν ἐστι τὸ Αἰνείου εἴδωλον υἱοῦ Ἀφροδίτης καὶ Τρωὸς, ὅ ἐστι

1. *τοπικὰ] τοῦ ποιητοῦ
2. *προσώπου] om.
*λέγει] om.
6. *παρονομάσαι τὸν Δία Ἰδαῖον] παρωνυμασμένον τὸν Ἰδαῖον
21. *διὰ τοῦ] διὰ τὸ

τὸ ἐγχώριον κάλλος. πᾶν γὰρ ἐξ Ἀφροδίτης κάλλος ἐστὶ, περὶ ὃ αἱ ὑλικώτεραι τῶν ψυχῶν οὐκ ἀπαλλάσσονται προστριβόμεναι. εἴδωλον δὲ ποιεῖ, ἵνα φιλοτιμοτέρως μάχωνται Τρῶες, τὸ πτῶμα σῶσαι θέλοντες.

431. ἀμφὶ δ' ἄρ' εἰδώλῳ] καὶ πῶς Διομήδης οὐ μηνύει τοῖς Ἀχαιοῖς ὅτι εἴδωλον ἦν, τὴν ἀχλὺν ἀφῃρημένος "ὄφρ' εὖ γινώσκοι θεὸν ἠδὲ καὶ ἄνδρα;" ῥητέον δὲ ὅτι τὸ εἴδωλον ἀμφοτέρων τούτων ἐστέρηται.

453. *Πορφυρίου. τὸ λαισήϊα εἰ καὶ ἄλλοι ἄλλως ἀποδεδώκασιν, ἀλλ' ἐγώ φημι σάκη λέγειν κοῦφα ἤγουν ἐλαφρά (τοῦτο γὰρ δηλοῖ τὸ πτερόεντα), λαισήϊα δὲ εἰρῆσθαι τὰ ἐν τῇ λαιᾷ βασταζόμενα μικρὰ ἀσπιδίσκια, ὥς ποτε ἔφη "ὁ δ' ἀριστερὸν ὦμον ἔκαμνεν, ἔμπεδον αἰὲν ἔχων σάκος αἰόλον" (Il. 16, 106). πτερόεντα δὲ ὡς κοῦφα· "τῷ δ' εὖτε πτερὰ γίνετο" (Il. 19, 386).

λαισήϊα οἱ μὲν τοὺς ἐπιμήκεις θυρεοὺς, οἱ δὲ ἐκ τριχῶν δερμάτων γεγονότα· οἱ δὲ καὶ λάσια εἶναί φασιν.

454. Ἄρηα] φυλάσσεται μὲν αὐτὸς τὴν πρὸς Ἀθηνᾶν ἔχθραν, πείθει δὲ τὸν ἀλλοπρόσαλλον.

461. Τρωὰς] ἀντὶ τοῦ Τρωϊκάς· καὶ δεῖ ὑποστίζειν εἰς τὸ στίχας. εἰ δὲ γράφει Τρῶας, ὑποστικτέον εἰς τὸν δέ, ἵν' ᾖ τὰς δὲ στίχας, ἤτοι τάξεις ὁ οὖλος Ἄρης μεταβὰς τοὺς Τρῶας ὤτρυνεν· ἢ οὕτως τοὺς Τρῶας μετελθὼν ὁ Ἄρης τὰς στίχας ὤτρυνεν.

465. ἐς τί] τὸ ἐς ἀντὶ τοῦ ἕως, τὸ δὲ τί ἀντὶ τοῦ τίνος, ἵν' ᾖ ἕως τίνος· διὸ καὶ εἰς τὸ τί ἡ ὀξεῖα. καὶ ἔστι πρόθεσις ἀντὶ ἐπιρρήματος.

466. ἦ εἰσόκεν ἀμφὶ πύλῃς] ὅμοιόν ἐστι τῷ "ἦ μένετε Τρῶας" (Il. 4, 247).

467. κεῖται ἀνὴρ] οὐκ ἀγνοῶν τὰ περὶ αὐτοῦ τοῦτο λέγει, ἀλλὰ παρορμῶν. εὖ δὲ τὸ μὴ Ἀφροδίτης νῦν φάναι, ἀλλ' Ἀγχίσου, ἵνα δειχθῇ ὅτι συγγενής ἐστιν αὐτῶν ὁ ἀνῃρημένος.

4. Post hoc scholion B a manu secunda apponit folio 71 b quae apud Suidam leguntur s. v. εἴδωλον (εἴδωλον—εἰς θεοὺς ἔπος) cum hac scripturae diversitate ab editione Kusteri, αἰθεροειδὴς· καὶ Βακχυλίδης] ἀεροειδὴς· ὡς καὶ Βακχυλίδης μακρὸν] μικρὸν τῶν ὑφεστώτων] εἰκάσματα addit τὸ προσκυνῆσαι] τὸ om. Σοφοκλῆς] καὶ Σοφοκλῆς hic et infra καὶ οἱ τοῦ Ἐφραὶμ] οἱ om.

9. Πορφυρίου] om.

472. μένος οἴχεται] ἀνεδύετο γὰρ τὴν μάχην, οὐ διὰ δειλίαν, ἀλλὰ τὴν τῶν ὅρκων σύγχυσιν, οὓς αὐτὸς ἐπεπρυτανεύκει.

473. φῆς] ὑπέλαβες· οὐ γὰρ ἂν Ἕκτωρ ἐφθέγξατό τι τοιοῦτον εἰς τοὺς συμμάχους. λαῶν δὲ λέγει τῶν τῆς πόλεως.

477. ἔνειμεν] οὕτως αἱ Ἀριστάρχου. τὸ ἁπλοῦν ἐστὶν εἰμέν· πᾶν δὲ ῥῆμα ὀξυνόμενον ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον.

479. τηλοῦ γὰρ Λυκίη] ὅμοια τοῖς Ἀχιλλέως "ἐπεὶ μάλα πολλὰ μεταξὺ οὔρεά τε σκιόεντα" (Il. 1, 156).

480. ἔνθ' ἄλογόν τε] ὅτι τῶν φιλτάτων πρώτην τὴν σὴν φιλίαν, οὐχ ὡς ἀστυγείτονα δεδιὼς, ἀλλ' οὐδὲ πόθῳ χρημάτων ἁλούς.

481. κτήματα πολλά] ἔχω, φησὶ, τὰ πρὸς ζωὴν, ὥστε μὴ μάτην ὑπὲρ ἀλλοτρίων κινδυνεύειν.

482. ἀλλὰ καὶ ὧς] ἀντιπαραβαλὼν ἑκατέρους τοὺς λαλοῦντας, ὄψει πόσον πρὸς αἰσχύνην ὁρῶσιν οἱ λόγοι.

485. τύνη δ' ἔστηκας] ἀπὸ τοῦ σύ ἐστιν ἐν παραγωγῇ τύνη. πῶς δὲ ἂν αὐτὸς ἀμελῶν τοὺς ἄλλους πείσειε προκινδυνεύειν αὐτοῦ;

486. ὄρεσσι] ταῖς ὑμῶν. ὅμοιον δέ ἐστι τῷ "ἄλοχοι δ' ἄλλοισι μιγεῖεν" (Il. 3, 301). αἴξει δὲ τὸν γάμον. ὄρεσσι δὲ ἀπὸ τοῦ ὀαρίζειν κατὰ συγκοπήν· καὶ "ὀάρων ἕνεκα σφετεράων" (Il. 9, 327).

487. * ἀψῖσι] ψιλωτέον τὸ ἀψῖσι.

ἁλόντε] ὑμεῖς καὶ αἱ γυναῖκες. ἀλλοτριοῖ δὲ τῶν κινδύνων ἑαυτὸν, ὡς περὶ τῶν ἐκείνοις συμφερόντων λαλῶν. ἡ δὲ τοῦ λίνου ὁμοίωσις οἰκεία, πολλῶν καὶ διαφόρων ἀνθρώπων ὡς ἰχθύων περιληφθέντων.

490. σοὶ δὲ χρὴ] ὀνειδιστικῶς· ὃν ἐχρῆν καὶ τοὺς ἄλλους ὀτρύνειν, ὑπὸ τῶν συμμάχων προτρέπεται.

492. * ἐχέμεν] ἐπιμελεῖσθαι, καὶ βαστάζειν καὶ ὑπομένειν τὸν πόλεμον καὶ μὴ ὑποχωρεῖν καὶ φεύγειν.

ἀποθέσθαι ἐνιπήν] τοιοῦτος γὰρ Ἕκτωρ· "οὐ γὰρ ἐγὼ πληθὺν διζήμενος ἐνθάδ' ἀφ' ὑμετέρων πολίων ἦγειρα ἕκαστον" (Il. 17, 221). ἀπὸ κοινοῦ δὲ τὸ χρή.

493. δάκε] ἠνίασε· "θυμοδακὴς γὰρ ὁ μῦθος" (Od. 8, 185).

494. αὐτίκα δ' ἐξ ὀχέων] ἔδει γὰρ ἔργοις, ἀλλ' οὐ λόγοις ἀπολογεῖσθαι.

5. * οὕτως αἱ Ἀριστάρχου] om.
14. * ὁρῶσιν] om.
16. * πείσειε] ἔπεισε

495. καὶ εἰς τὸ δοῦρα δύναται καὶ εἰς τὸ στρατόν εἶναι στιγμή· εὐκρινὲς γὰρ κατ' ἄμφω τὸ νόημα.

499. ἀλφάς] ὡς ἀγαθάς· ἀπὸ γὰρ τοῦ ἀλφή, ὃ σὺν τῷ ῑ γράφεται· ἀπὸ γὰρ τοῦ ἀλοιᾶ ἐστίν.

502. ὑπολευκαίνονται ἀχυρμιαί] καλῶς ἡ ὑπό· οὐ γὰρ ἀθρόα ἡ τῶν ἀχύρων ἐπὶ τὴν ἄλω φορά, κατ' ὀλίγον δὲ ἑτεροιοῦται τὸ χρῶμα τοῦ ὑποδεχομένου αὐτὰ χωρίου· ὁμοίως δὲ καὶ τοῖς μαχομένοις κατ' ὀλίγον προσεκάθιζεν ὁ κονιορτός. κατ' ὀξεῖαν δὲ τὸ ἀχυρμιαί, Ἰωνικώτερον ὄν, ὡς τὸ ἀγυιαί θαμειαί τορφειαί. εἰσὶ δὲ οἱ τόποι ἔνθα ἐκτινάσσεται τὰ ἄχυρα.

505. ἀψ ἐπιμισγομένων] ἐκ δευτέρου τῶν Τρώων προσμιγνύντων τοῖς Ἀχαιοῖς. καὶ οἱ μὲν ἡνίοχοι ἐπιστρέφουσι τοὺς ἵππους, οἱ δὲ ἐπιβάται τὸ μένος φέρουσιν.

506. ἀμφὶ δὲ νύκτα] ὁ Ἄρης σκοτοῖ αὐτούς, ὡς εἰ καὶ θέλοιεν, μὴ δύναιντο φυγεῖν, ὡς τὸ "πίτνα πρόσθε βαθεῖαν ἐρυκέμεν" (Il. 21, 6). ἢ ἑαυτὸν ἐσκέπασεν, ὅπως μὴ ὁρῷτο κακῶν τοὺς Ἕλληνας. ἢ ἵνα οἱ μὲν λευκανθέντες ὁρῷντο, οἱ δὲ σκέποιντο. στιγμὴ δὲ εἰς τὸ μάχῃ.

509. *χρυσάορον αὐτὸν ὠνόμασεν οὐχ ὡς ὑπεζωσμένον χρυσοῦν ξίφος (ἀνοίκειον γὰρ Ἀπόλλωνι τὸ ὅπλον· τοξότης γὰρ ὁ θεός), ἀλλ' ἐπειδήπερ ἐξ ἀνατολῆς χρυσῷ μάλιστα τὸ φέγγος ὁραθὲν ἔοικεν, εὑρέθη πρέπον ἡλίῳ διὰ τὰς ἀκτῖνας τὸ χρυσάωρ. ὅθεν, οἶμαι, κἀν τῇ θεομαχίᾳ Ποσειδᾶνι ἵσταται διαμιλλώμενος· ἀεὶ γὰρ ἄσπονδος ἔχθρα πυρὶ καὶ ὕδατι, τῶν δύο στοιχείων ἐναντίαν πρὸς ἄλληλα φύσιν ἀποκεκληρωμένων. διὰ τοῦθ' ὁ Ποσειδῶν, ὑγρά τις ὕλη καὶ παρὰ τὴν πόσιν οὕτως ὠνομασμένος, ἐξ ἀντιπάλου μάχεται ταῖς διαπύροις ἀκτῖσι τοῦ ἡλίου· πρὸς γὰρ Ἀπόλλωνα ποίαν ἔχει πρόφασιν ἐξαίρετον ἀπεχθείας;

511. πιθανῶς αὐτοὶ τῆς ἀδικίας πρὰρχουσιν, ἵνα μὴ προλάβῃ ἡ θεομαχία.

512. πίονος] τοῦ κεκνισωμένου καὶ λελιπασμένου.

516. μετάλλησάν γε μὲν οὕτι] πιθανῶς τὸ ψυχρὸν τῆς δισσολογίας περιεῖλε, τὴν διάθεσιν αὐτῶν τὴν ἄδικον ἤδη ἐμφήνας.

520. οἱ δὲ καὶ αὐτοί] ἱκανὸν καὶ τοῦτο πρὸς αὔξησιν. ἄλλως τε καὶ τὴν παρὰ τῶν ἀκουόντων εὔνοιαν κτῶνται ἔρημοι θεῶν ὄντες Ἕλληνες· δικαίως οὖν ἀνθίσταται ἡ Ἀθηνᾶ τῷ Ἄρει.

522. νεφέλῃσιν ἐοικότες] διὰ τί μὴ πύργοις ἢ ὄρεσιν; ὅτι ὕστερον κινηθήσονται.

523. νηνεμίης] ποικίλως ἄνω μὲν ἀπὸ ταραχῆς ἀνέμου ἔλαβε τὴν εἰκόνα, ἐνταῦθα δὲ ἀπὸ νηνεμίας.

524. ἄφρ'] τὸ ἐν ὅσῳ ἐνταῦθα δηλοῖ. τὸ δὲ εὔδησιν τὸ εὕδει. τὸ δὲ ἀτρέμας καὶ τοῖς ἄνω δύναται καὶ τοῖς κάτω συνάπτεσθαι.

526. ἀέντες] ὡς τιθέντες· ἀπὸ τοῦ ἄημι παράγεται.

528. πολλὰ κελεύων] ἄνω παραλιπὼν αὐτὸν, ἰάσατο διὰ τοῦ πολλά τὸ ἐλλεῖπον.

529. ἀνέρες ἔστε] οὐκ εἶπεν ἀνδρεῖοι. ἀλλὰ μὴ προδῶτε, φησὶ, τὴν φύσιν.

530. ἀλλήλους τ' αἰδεῖσθε] εἰκότως· κατὰ φῦλα γάρ εἰσι. δογματίζει δὲ ὅτι χρήσιμον αἰδὼς οὐ μόνον ἐν εἰρήνῃ, ἀλλὰ καὶ ἐν πολέμῳ. μετρίως δὲ οὐ λέγει αἰσχύνθητε ἐμὲ, ἀλλ' ἀλλήλους. τελεία δὲ εἰς τὸ ὑσμίνας.

531. αἰδομένων δ' ἀνδρῶν] οὐ γὰρ τὸ περὶ αὐτεῦ μόνον σκοπεῖ, ἀλλ' αὐτός τε χωρίζεται συμμαχίας καὶ τοὺς ἄλλους χωρίζει.

533. * Πορφυρίου. τὸ ἦ ὅτι μὲν ταυτὸν σημαίνει τῷ ἔφη δισυλλάβῳ καὶ τῷ φῆ διγραμμάτῳ ῥήματι παρ' Ὁμήρῳ δῆλον· καὶ δοκεῖ γεγενῆσθαι τὸ ἦ ἀπὸ τοῦ φῆ κατὰ ἀφαίρεσιν τοῦ φ. ζητοῦσι δὲ τίς ἡ διαφορὰ τοῦ ἦ πρὸς τὸ φῆ. διαφέρειν δὲ φαίνεται ὅτι τὸ μὲν ἦ ἐπὶ προειρημένοις λόγοις ἐπιλέγεται, οἷον ἐν τούτοις "ἦ καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων" (Il. 1, 528) "ἦ καὶ ἐπ' ἀργυρέῃ κώπῃ σχέθε χεῖρα βαρεῖαν" (ib. 219)· προειπόντος γὰρ τοῦ Διὸς καὶ τοῦ Ἀχιλλέως ταῦτα ὁ ποιητὴς λέγει, καὶ δι' ἀμφοτέρων ὅλων τῶν ποιήσεων οὕτως αὐτὸ καὶ μόνον ὑποτάττει. τὸ δὲ φῆ καὶ τὸ ἔφη καὶ προτάσσεται τῶν ῥηθησομένων λόγων, καὶ τούτοις ὑποτάσσεται. καὶ μία μὲν αὕτη διαφορὰ τοῦ φῆ καὶ ἔφη πρὸς τὸ ἦ, δευτέρα δὲ αὕτη· τὸ μὲν γὰρ ἦ καθ' ἕνα σχηματισμὸν ἐκφέρεται, καὶ σημαίνει ῥῆμα τὸ εἶπεν, ὁριστικὸν ἐνικὸν ἀορίστου χρόνου, δηλωτικὸν ὑπάρχον τρίτου προσώπου· τὸ δὲ φῆ κλίσιν εἰς ἅπαντας τοὺς χρόνους καὶ τοὺς ἀριθμοὺς καὶ τὰ πρόσωπα καὶ τὰ γένη λαμβάνεται, καὶ τρέπεται καθάπερ τῶν ἄλλων ῥημάτων τὰ παραπλήσια. παρὰ δὲ τοῖς Ἀττικοῖς ἐστί τι μονοσύλλαβον ῥῆμα καὶ μονογράμματον ἦ, σημαίνει δὲ

18. * Πορφυρίου] om. Scholion totum repetitum ad Od. 8, 186 nulla fere cum diversitate scripturae.

31. κλίσιν] Addendum videtur δέχεται

δύο, τὸ μέν τι ταὐτὸ τῷ παρ' Ὁμήρῳ· χρῶνται γὰρ αὐτῷ παραπλησίως ἀντὶ τοῦ ἔφη, κατὰ τοῦ τρίτου προσώπου· τὸ δέ τι ταὐτὸ τῷ ὑπῆρχον, ὃ πιεῖ ἦν, ὅπερ ἐπιπολάζει νῦν. τῶν δὲ Ἀττικῶν οἱ μὲν ἀρχαῖοι μονογράμματον αὐτὸ προσέφερον, οἱ δὲ νεώτεροι σὺν τῷ ν, καθάπερ τῶν πρεσβυτέρων τινές. χρῆται δὲ τούτῳ ὁ ποιητὴς ποτὲ μὲν εἰς δύο συλλαβὰς διαιρῶν αὐτὸ καὶ δύο γράμματα βραχέα, οἷον ἐπὶ τοῦ Νέστορος "εἴ ποτε κοῦρος ἔα. νῦν αὖτέ με γῆρας ἱκάνει" (Il. 4, 321) καὶ "τοῖος ἔα ἐν πολέμῳ, ἔργον δέ μοι οὐ φίλον ἦεν" (Od. 14, 222)· τούτων τὸ πρότερον ἐκτείνων γράμμα εἰς τὸ συγγενὲς τὸ ῆ, οἷον "ἀλλ' ὅτε δὴ σχεδὸν ἦα κιὼν νεὸς ἀμφιελίσσης" (Od. 10, 156). ἐν γὰρ τούτοις ταυτόν τι λέγει τῷ ἤμην. τὸ δὲ μονοσύλλαβον οὐχ εὑρίσκομεν παρ' αὐτῷ κατὰ τῆς δυνάμεως ταύτης, ἀλλὰ κατὰ τῆς ἑτέρας μόνον. τῶν δὲ Ἀττικῶν ἐστὶ παρὰ Κρατίνῳ ἐν Πυτίνῃ "γυνὴ δ' ἐκείνου πρότερον ἦ, νῦν δ' οὐκέτι," καὶ παρὰ τῷ Σοφοκλεῖ ἐν τῇ Νιόβῃ (fr. 399) "ἦ γὰρ φίλη ἐγὼ τῶνδε τοῦ προφερτέρου," καὶ ἐν Οἰδίποδι τῷ ἐπὶ Κολωνῷ (O. R. 1123) "ἦ δοῦλος οὐκ ὠνητός, ἀλλ' οἰκοτραφής," καὶ παρὰ Πλάτωνι τῷ φιλοσόφῳ (Rep. 1 p. 328 c.) "οὐ γὰρ ἐγὼ ἔτι ἐν δυνάμει ἦ τοῦ ῥᾳδίως."

καὶ ἀκόντισε] καλῶς τοῖς ἑαυτοῦ πρώτως ὑπακούει κελεύσμασιν, τύπον τοῖς ἄλλοις παρεχόμενος.

539. νειαίρῃ δ' ἐν γαστρί] τῷ παχεῖ ἐντέρῳ, ἢ τῇ κύστει.

541. ἕλεν ἄνδρας ἀρίστους] δικαίως, ἐπεὶ καὶ ἀριστεὺς, καὶ παρώξυνται διὰ τὸν ἑταῖρον, καὶ προθυμίαν ἔχει τὴν Ἀπόλλωνος.

542. υἱὲ Διοκλῆος] Ἑλληνικὸν καὶ φιλάδελφον τὸ συναποθνήσκειν τοῖς ἀδελφοῖς, ἀλλ' οὐχ οἷον τὸ Φηγέως ἦθος (11).

543. τῶν ῥα πατήρ] προσυνίστησιν αὐτοὺς, τὴν περὶ αὐτῶν μάχην αἴξων. οὐ μέμνηται δὲ αὐτῶν ἐν τῷ καταλόγῳ, ἐπεὶ Μεσσήνιοί εἰσιν, οἳ καὶ ὑπὸ Μενελάῳ δῶρα ἐτέλουν. διὰ τοῦτο καὶ πεσόντων αὐτῶν ἄλλος οὐδεὶς ἢ Μενέλαος ἐλεεῖ.

550. ἠβήσαντε] ηὔξησε τὸ πάθος, καὶ ὅτι ἠβῶντες καὶ ὅτι δίδυμοι ἦσαν δηλώσας, καὶ εἰς οἶκτον κινεῖ τὸν ἀκροατήν.

554. οἵω τώ γε λίοντε] λίοντε μὲν διὰ τὸ εὐγενὲς ἄνωθεν καὶ εἰς

2. τὸ δέ τι ταὐτὸ τῷ ὑπῆρχον addidi ex schol. Od.

7. εἴ ποτε κοῦρος ἔα schol. Od.] εἴ ποτ' ἔα.

13. Κρατίνῳ ἐν Πυτίνῃ] κρᾶ / ἐν πῦ /

14. ἦ νῦν] ἦν νῦν et infra ἦν δοῦλος et ἦν τοῦ.

25. οἷον τὸ Φηγέως ἦθος] * οἷον τὸ Ἰδαίου ἦθος τοῦ ἀδελφοῦ τοῦ Φηγέως

ἀλκὴν προκόπτον, ἀτελεῖς δὲ διὰ τὸ μήπω θαρρεῖν τῇ δυνάμει. ἡ δὲ λέαινα δύο τίκτει, δύο μαζοὺς ἔχουσα, οἱ τὴν μήτραν ἀμύξαντες τοῦ λοιποῦ ποιοῦσι τὴν μητέρα στεῖραν. ἡ δὲ πόρδαλις τέσσαρα τίκτει.

556. ἁρπάζοντε] ἁρπάζειν λέγεται ἐπὶ τῶν κωλυομένων λαβεῖν· διὰ μιᾶς οὖν λέξεως ἐδήλωσε καὶ τῶν πασχόντων τὴν ἄμυναν καὶ τῶν ἁρπαζόντων τὴν βίαν.

557, 558. σταθμοὺς ἀνθρώπων — ἀνδρῶν ἐν παλάμῃσι] πιθανῶς ἐπὶ μὲν τῶν βλαπτομένων τὸ τῶν ἀνθρώπων ἔθηκεν ὄνομα, ἐπὶ δὲ τῶν κτεινόντων τὰ θηρία τὸ τῶν ἀνδρῶν.

560. περιπαθῶς τὸ ἐλάτῃσιν ὑψηλῇσι διά τε τὸ κάλλος καὶ τὴν ἥβην.

563. Ἄρης] ἀνθρωποπαθεῖς εἰσάγων τοὺς θεούς, πλέον πάντων τὸν ἀλλοπρόσαλλον Ἄρεα.

567. ἀποσφήλειε] ἀποτυχεῖν ποιήσειεν· "αὐτίκα γάρ" φησι "μνήσονται Ἀχαιοί" (Il. 4, 172).

569. * ἐχέτην] ἐκράτουν.

570. Ἀντίλοχος δέ] ἐν τοῖς καιροῖς τοῖς τοιούτοις ὀξὺς ἀεὶ ὁ Ἀντίλοχος. τιμᾷ δὲ αὐτὸν διὰ Νέστορα τιμῶντα τοὺς βασιλεῖς καὶ ὑπ' αὐτῶν τιμώμενον. καὶ ὁ μὲν Ἀλέξανδρος ὡς ἠδικηκὼς τοῖς Τρωσὶν "ἀπήχθετο ἶσον κηρὶ μελαίνῃ" (Il. 3, 454), ὁ δὲ Μενέλαος εὐνοεῖται ὑπὸ τῶν Ἑλλήνων ὡς ἠδικημένος.

572. ὡς εἶδεν δύο φῶτε] δείκνυσιν ὅσον αἰδὼς καὶ φιλαλληλία, ἣν ἔχειν συνεβούλευσεν Ἀγαμέμνων.

574. καλῶς τὸ δειλώ· προεῖπε γὰρ τὸ ἐμπαθὲς τῆς ἡλικίας, τῆς ὁμογενείας, τοῦ θανάτου, τῆς περὶ τοὺς φίλους σπουδῆς· μηδέπω γὰρ καλοῦντος τοῦ καιροῦ ἦκον ἐπίκουροι.

576. * Πορφυρίου. τὸ "ἔνθα Πυλαιμένεα ἐλέτην ἀτάλαντον Ἄρηϊ" μάχεται τῷ ἐν τῇ παρὰ νηυσὶ μάχῃ ζῶντι καὶ ἑπομένῳ τῷ παιδὶ Ἀρπαλίωνι· "παρὰ δέ σφι πατὴρ κίε δάκρυα λείβων" (Il. 13, 658). ἡ δὲ λύσις ἀπὸ τῆς λέξεως· καὶ γὰρ ὁ Πυλαιμένης ὁμώνυμος εἶναι δύναται· καὶ τὸ "μετὰ δέ σφι πατὴρ κίε δάκρυα λείβων" μετωνυμικῶς ἐκδέχεται ἡ τοῦ πατρὸς μνήμη· καὶ τὸ "ἔνθα Πυλαιμένεα ἐλέτην" οὐ πάντως ἐστὶν ἀνεῖλον, ἀλλὰ κατέ-

1. * ἀτελεῖς] ἀτελέσι
2. * ἀμύξαντες] πρώτως ἀνοίξαντες
3. πόρδαλις] * πάρδαλις
4. * ἐπὶ] ἀπὸ
27. *Πορφυρίου] om.

λαβον, ὡς ἐπὶ τοῦ "ζωὸν ἕλον· ἵππω γάρ οἱ ἀτυζομένω πεδίοιο" (Il. 6, 38)· οὐδὲ γὰρ ἀγῶνα αὐτοῦ εἴρηκεν, οἷα εἴωθε λέγειν τοῖς ἀποθανοῦσι. τάχα οὖν αὐτὸ μόνον τέτρωται.

ἑτέρου εἰς τὸ αὐτό. πῶς οὖν τῷ υἱῷ ἕπεται δάκρυα λείβων ἐν τῇ ἐπὶ ταῖς ναυσὶ μάχῃ· "ἔνθα" γάρ "οἱ υἱὸς ἑπάλτο Πυλαιμένεος βασιλῆος" (Il. 13, 643); ἔστιν οὖν ὁμωνυμία· καὶ ὁ μὲν βασιλεὺς, οὗτος δὲ ἄρχων. διὸ καὶ ἡ πλείων σπουδὴ ἐκεῖσε γίνεται Παφλαγόνων καὶ Ἀλεξάνδρου.

*ἀτάλαντον] τὸ τάλαντον ὁ μὲν Ἀριστοτέλης ἄλλως ἐξηγεῖται, καὶ εὑρήσεις τοῦτο ἔμπροσθεν ἐν τῷ N εἰς τὸν οὕτως ἔχοντα στίχον "ὣς φάτο, Μηριόνης δὲ θοῷ ἀτάλαντος Ἄρηϊ" (Il. 13, 295). ὁ δὲ Διόδωρος ὡς φησιν ἐν τῷ περὶ σταθμῶν, τάλαντόν ἐστι μνῶν ξ', ἡ δὲ μνᾶ δραχμῶν ρ', ἡ δὲ δραχμὴ ὀβολῶν ς', ὁ δὲ ὀβολὸς χαλκῶν ή, ὁ δὲ χαλκοῦς λεπτῶν ξ'. τὸ τάλαντον δὲ τὸ νῦν λεγόμενον Ἀττικόν· παρὰ δὲ Σικελιώταις τὸ μὲν ἀρχαῖον ἦν μνῶν κδ', νῦν δὲ ιβ'. δύναται δὲ εἶναι τρία ἡμιωβόλια, ὡς ἐν τοῖς περὶ Σώφρονος Ἀπολλόδωρος ἐκ τῶν Διογενιανοῦ τῆς ἐπιτομῆς Ἑλληνικῶν ὀνομάτων.

582. ἐκ δ' ἄρα χειρῶν] ἐπάδυνος ἡ πληγή· διὸ καὶ τὰς ἡνίας ἀπέβαλε καὶ φεύγων μηδ' ὅλως εὐάλωτος γίνεται.

583. λεύκ' ἐλέφαντι] λείπει τὸ ὡς, ἵν' ᾖ λευκὰ ὡς ἐλέφας. οἱ δὲ, ἐξ ἐλεφαντίνων λελευκασμένα ὀστῶν· ἔχουσι γὰρ αἱ ἡνίαι ἐλεφαντίνους ἀστραγάλους ἑκατέρωθεν, δι' ὧν ἕλκουσιν οἱ ἡνίοχοι.

584. ξίφει ἤλασε κόρσην] πῶς ἐπὶ τοῦ ἅρματος ἑστηκὼς τὴν κεφαλὴν ξίφει πλήττεται; τάχα οὖν τὰς ἡνίας ἀναλαβεῖν θέλων ἢ ναρκήσας ὑπὸ τῆς πληγῆς κατέκυψεν.

586. βρεχμοῦ] βρεχμὸς λέγεται ἡ τοῦ αὐχένος σπονδυλώδης ἀρχή· καὶ βρέχμα δὲ τὸ τοῦ θώρακος ἀπόπτυγμα.

587. δηθὰ μάλ' εἰστήκει] οὐκ ἀπίθανον τοῦτο· ἠνέχθη γὰρ μεταξὺ τῶν ἵππων καὶ τοῦ ἅρματος, καὶ ἦν ἡ μὲν κεφαλὴ βυθισθεῖσα, οἱ δὲ ὦμοι ἐξαῖοι ὄντες μετὰ τοῦ σώματος, οἱ δὲ πόδες τῷ ἅρματι ἐσειόμενοι. γέγονε δὲ τοῦτο διὰ τὸ τοῦ θανάτου αἰφνίδιον· ψυχορραγῶν γὰρ ἔτι ἔπνει καὶ ἐνήλατο. ἀκριβῶς δὲ τὸ κύμβαχον διὰ τούτου ἐπεξηγήσατο.

593. ἔχουσα κυδοιμὸν] ἡ δύναμιν ἐν αὐτῇ θορυβώδη ἔχουσα, ἢ

4. *ἑτέρου εἰς τὸ αὐτό] om.
12. ὡς φησιν] *om. Exspectes ἐν τῷ π. στ. φησὶν ὡς
13. *ὁ δὲ ὀβολὸς χαλκῶν ή] om.
14. *τὸ νῦν] τὸ om.
19. *ἀπέβαλε] ἀπέχει
26. *σπονδυλώδης] σποντυλώδης
31. †ἔτι] ἔτνει

ὡς φίλη τῆς χειρὸς κατέχουσα, ἢ ὡς τὸ "τέρας μετὰ χερσὶν ἔχουσα" (Il. 11, 4).

596. ῥίγησε] ἐπεὶ ἀπείρητο αὐτῷ μὴ συνάπτειν τινὶ τῶν ἄλλων θεῶν πόλεμον.

597. ἀπάλαμνος] ἄπειρος, ἐπεὶ καὶ Διομήδης ἄπειρος τῆς πρὸς Ἄρεα μάχης. τὸ δὲ ἄπειρος, ἤγουν τοῦ νήχεσθαι ἄπειρος.

605. ἀλλὰ πρὸς Τρῶας] κατ' ὀλίγον ἀναχωρεῖτε ὑποποδίζοντες. διδάσκει δὲ πῶς δεῖ τὰς τροπὰς ποιεῖσθαι.

ἄμφω ποιεῖ, τῷ τε θεῷ εἴκειν παραινεῖ, καὶ τὸν πόλεμον μὴ ἐκφεύγειν προτρέπεται.

609. Μενέσθην] ὥσπερ ἀπὸ τοῦ ὄρος Ὀρέστης, οὕτως ἀπὸ τοῦ μένος Μενέστης, καὶ μεταβολῇ Μενέσθης.

613. ἀλλά ἑ Μοῖρα] διδάσκει τοὺς πλουσίους θνητὰ φρονεῖν καὶ τὸν θάνατον νομίζειν μηδὲν ἧττον παρεῖναι, ἀλλὰ μὴ πλούτῳ ἐπῆρθαι.

619. σάκος δ' ἀνεδέξατο πολλά] τὸ πλῆθος τῶν βληθέντων δοράτων καὶ τὴν ἀνδρείαν τοῦ βαλλομένου δηλοῖ.

631. *υἱὸς θ' υἱωνός τε Διός] ὁ μὲν Σαρπηδὼν υἱὸς τοῦ Διός, ὁ δὲ Τληπόλεμος υἱὸς Ἡρακλέους, ἔγγονος δὲ Διός.

φασὶν Εὐρώπῃ τῇ Φοίνικος ἀνθολογούσῃ φανῆναι τὸν Δία ἐν σχήματι ταύρου κρόκον ἐκ τῶν ῥινῶν βλαστάνοντος· ἐπικαθεσθείσης δὲ τοῖς νώτοις τῆς κόρης εἰς ἀπανθισμὸν, ἁρπάσας εἰς Κρήτην ἐκόμισεν· ἀφ' ἧς φασὶ Σαρπηδόνα γενέσθαι.

ταχέως ἄμφω ἐδήλωσεν· τὸν μὲν γὰρ ἴσμεν διὰ τοῦ καταλόγου, τὸν δὲ νῦν γνωσόμεθα. πῶς οὖν συγγενεῖς ὄντες μάχονται; οὐκ ἐδόκει μιαρὸς εἶναι ὁ ἐν πολέμῳ θάνατος. ἄλλως τε καὶ ἀρνοῦνται τὴν συγγένειαν· φησὶ γὰρ ὅτι "ψευδόμενοι δέ σέ φασι Διὸς γόνον" (635).

635. ψευδόμενοι δέ] ἀλλοτριοῖ αὐτὸν ἐκείνου ἐφ' ᾧ αὐτὸς αὐχεῖ. ἄλογος δὲ ὁ μὴ τὰ ἑαυτοῦ διεξιὼν, ἀλλὰ τὰ τοῦ πατρός. ἠρέμα οὖν ἐλέγχει ὁ ποιητὴς τοὺς ἐπὶ πατράσιν αὐχοῦντας καὶ τούτου χάριν ἐθέλοντας πρωτεύειν· διὸ καὶ Τληπόλεμον ἀναιρεῖ.

638. δασυντέον τὸ οἷον· θαυμαστικὸν γάρ. τινὲς δὲ ψιλοῦσι καὶ ἐκδέχονται ἀντὶ τοῦ μόνον. οἱ δὲ ὑφ' ἓν ἀλλοῖον, ἵν' ᾖ οὕτως· πάντες μὲν ἀγαθοὶ οἱ ἀπὸ Διὸς, ἐξηλλαγμένον δὲ καὶ ὑπὲρ πάντας

6. τὸ δὲ ἄπειρος—ἄπειρος] Haec verba a m. sec. addita. 14. * μηδὲν ἧττον παρεῖναι] om.

φασὶν εἶναι τὸν Ἡρακλέα. ὁ δὲ Πῖος ἀντὶ τοῦ ὁποῖον, οὐχ ὡς εἶ σὶ, φησὶν, ἀλλ' οἷος ὁ Ἡρακλῆς· οὕτω γὰρ, φησὶ, βούλεται ὁ ἀλλά.

639. θρασυμέμνονα] τοὺς θρασεῖς καὶ ἀπηνεῖς ὑπομένοντα. φασὶ δὲ ἀεὶ Λυκίους Ῥοδίοις ἐχθρεύειν.

640. δεῦρ' ἐλθὼν] εὖ τὸ παράδειγμα τῆς Ἡρακλέους ἀρετῆς, ὅτι οὐκ ἄλλοθεν αὐτὸ φέρει ἢ ἐκ τῆς νῦν πολεμουμένης πόλεως. Μενεκλῆς δέ φησιν ἐψεῦσθαι τὴν ἐπὶ Ἴλιον στρατείαν.

642. χήρωσε] αὕτη ἡ μεταφορὰ τὴν μετὰ λύπης ἐδήλωσεν ἐρημίαν. τὸ δὲ κακός ἀντὶ τοῦ δειλός.

649. ἀνέρος ἀφραδίῃσιν] εὐτέλισε τὴν δύναμιν Ἡρακλέους, τὴν ἀδικίαν Λαομέδοντος αἰτίαν εἶναι φήσας τῆς ἁλώσεως. ἔδει δὲ ἐπαγαγεῖν, σὺ δὲ ἀδίκως πολεμᾶν ἁλώσῃ, οὐχ αἱρήσεις ἡμᾶς δικαίως πολεμοῦντας· ὁ δὲ θυμῷ φερόμενος ἐκομμάτισε τὸ ἔπος. ἢ ἠθικὸς ὁ λόγος, οἷον ἐκεῖνος μὲν τὴν Ἴλιον εἶλεν, ἐγὼ δὲ σέ· τὰ δὲ ἐν μέσῳ πρὸς μείωσιν Ἡρακλέους ἐστίν.

651. οὐδ' ἀπέδωχ' ἵππους] ἐξ ἀμφοῖν δηλοῦται ἡ ἱστορία· ὁ μὲν γάρ φησιν ὅτι διὰ ἵππους, ὁ δὲ διὰ ποίους ἵππους. λέγει δὲ τὴν περὶ τὸ ἀμφίχυτον τεῖχος ἱστορίαν (Il. 20, 145).

653. ἐξ ἐμέθεν τεύξεσθαι] ὁ μὲν Τληπόλεμος πρότερος καυχησάμενος ἀναιρεῖται, ὁ δὲ Σαρπηδὼν μόνον τιτρώσκεται, ἐπεὶ ἀνταλαζονεύεται.

654. κλυτοπώλῳ] ἐνδόξους ἵππους ἔχοντι, ἢ οὗ κλυτή ἐστιν ἡ ἐπιπώλησις, οἷον ἀκουστὴ διὰ τὰς ἐπὶ τοῖς ἀποθνήσκουσιν οἰμωγάς. ἢ ἔοικε τῷ ἐπιθέτῳ καὶ κατὰ τοῦ Ἅιδου κεχρῆσθαι διὰ τὴν τῆς Περσεφόνης ἁρπαγήν. ἢ κλυτοπώλῳ τῷ ἱππικῷ. ἁρμόδιον τὸ ἐπίθετον· ἅμα γὰρ νοήματι τὰ πανταχοῦ ζῷα καταλαμβάνει.

656. ὁ μὲν Ἀρίσταρχος τὸ ἁμαρτῇ χωρὶς τοῦ ῑ γράφει καὶ ὀξύνει, οἱ δὲ περὶ Ἡρωδιανὸν περισπῶσι καὶ προσγράφουσι, παρὰ τὸ

2. Addit B folio 75 b excerptum ex Suida s. v. Ἡρακλῆς Ἀλκμήνης (οὗτος ὁ Ἡρακλῆς—ἄχρι θανάτου) cum hac scripturae diversitate, quam communem habet cum cod. Lips.

Ἡρακλῆς Ἀλκμήνης υἱός· τοῦτον] οὗτος ὁ Ἡρακλῆς ἦν Πίκου τοῦ καὶ Διὸς υἱὸς καὶ Ἀλκμήνης· τοῦτον

ῥόπαλον — μῆλα] ῥόπαλον φέροντα τῇ δεξιᾷ χειρὶ, τῇ δ' ἀριστερᾷ τρία μῆλα

πολυποίκιλον—πονηρᾶς] πολυποίκιλον δράκοντα τουτέστι τὸν τῆς πονηρᾶς

ῥοπάλου τῆς] ῥόπαλον ἤγουν τῆς

ἔχοντα περιβόλαιον—λέοντος] ἔχοντα ὡς περιβὸν τὴν δορὰν τοῦ λέοντος ἤγουν τὴν φρύνησιν

μῆλα, ὅ ἐστι] μῆλα τουτέστι

καὶ τὸ μὴ φιλαργυρεῖν] καὶ om.

ἰῶν] υἱῶν

4. ἀεὶ] αἰεὶ

12. * ἁλώσῃ] ἁλώσειν

ἅμα καὶ τὸ ἀρτῶ περισπώμενον. οὕτως δὲ αὐτὸ καὶ ἡ συνήθεια δέχεται, καὶ τοῦτο ἐπεκράτησεν.

659. νὺξ ἐκάλυψεν] τοῦ βρόγχου διαιρεθέντος καὶ τῆς ἀναπνοῆς εἰργομένης ταχὺς ὁ θάνατος ἐπεγένετο. ὑπὸ συγγενοῦς δὲ ἀναιρεῖται, ὅτι καὶ συγγενῆ ἀνεῖλε τὸν Λικύμνιον· "φίλον" γὰρ "μήτρωα κατέκτα" (Il. 2, 662).

662. πατὴρ δ' ἔτι] προαναφωνεῖ μὲν διὰ τοῦ ἔτι τὸν τοῦ Σαρπηδόνος θάνατον, παραμυθεῖται δὲ καὶ τὴν ἧττταν τοῦ πολεμίου, ἀργὸν ποιήσας αὐτόν.

667. ἐπ' αὐτῷ ταρασσομένων, ἢ οἷον ἐπιβῆναι αὐτὸν σπευδόντων. ἄκρως δέ ἐστι μιμητὴς ἀληθείας ὁ ποιητής· πολλὰ γὰρ τῶν χρησίμων σπεύδοντες παρορῶμεν.

670. μαίμησε δέ οἱ] συνεπάθησε, φησὶ, καὶ συνήλγησε τῷ νεκρῷ.

671. μερμήριξε] διδάσκει δι' Ὀδυσσέως κἂν τοῖς κινδύνοις φρονήσει δεῖν χρῆσθαι, μὴ θυμῷ καὶ πάθει.

672. προτέρω] ἀπὸ τοῦ προσσοτέρω γέγονεν ἐν συγκοπῇ.

683. ὀλοφυδνόν] οἰκτρὸν καὶ ταπεινὸν διὰ τὸ ἐπιθυμεῖν ἐν τῇ σφετέρᾳ ἀποθανεῖν. ἐπιρραπίζει δὲ διὰ τούτων ὁ ποιητὴς τοὺς οἰομένους τὸ μὴ ἐν τῇ οἰκείᾳ ἀποθανεῖν μηδὲν εἶναι.

Χρομίος καὶ Ὀδίος καὶ τὰ τοιαῦτα τριβράχεα ἐπὶ κυρίων τιθέμενα παροξύνεται, πλὴν τοῦ Ἄνιος, Ξένιος, Κρόνιος, Ἄλιος.

686. ἐπεὶ οὐκ ἄρ' ἔμελλον ἔγωγε] ἐντέχνως ὑπομιμνήσκει τῆς συμμαχικῆς χάριτος τὸν Ἕκτορα.

689. οὔτι προσέφη] πέπονθε γὰρ τῇ ὄψει καὶ τῷ λόγῳ. ἀλλ' οὐδὲ ἀδολεσχίας ὁ τοιοῦτος ἦν καιρός.

690. λελιημένος] τῷ θυμῷ θερμαινόμενος καὶ ὑποκαιόμενος· λιαρὸν γὰρ τὸ θερμόν.

693. ἀπαγαγὼν ἡμῶν τὸν νοῦν τῆς μάχης ὑπὸ ἀνθηρὰν ἴζει δρῦν τὸν τραυματίαν. καλῶς δὲ αὕτη ἱερὰ τοῦ Διός, ἐπεὶ βαλάνοις πρώην ἐχρῶντο, καὶ ἵνα ὑπὸ τοῦ πατρὸς ἰαθῇ· πλησιάζον γὰρ ἦν καὶ ἱερὸν, εἰς ὃ παρεγένετο, εἰ καὶ ἐπὶ δρῦν λέγει.

695. *Πορφυρίου. ὅς οἱ φίλος ἦεν ἑταῖρος] τοὺς ἑταίρους ἀπὸ τῶν φίλων διαιρεῖ· οἱ μὲν γὰρ ἑταῖροι οἱ προσοικειωθέντες κατὰ φιλίαν, οἱ δὲ φίλοι οἰκεῖοι καὶ κατὰ γένος προσήκοντες, ὥσπερ καὶ ὁ ἕτης καὶ

3. *βρόγχου] βρόγχμου
8. *πολεμίου] πολέμου
14. *κἀν] καὶ
32. *Πορφυρίου] om.

ὁ γείτων· ἔται μὲν γὰρ οἱ συνέστιοι, γείτονες δὲ οἱ πλησίον μένοντες "γείτονες ἠδὲ ἔται" (Od. 4, 16). καὶ ὅτι ἑταίρους συνδαίτας εἶδεν "ἐπεί οἱ ἑταῖρος ἦεν φίλος εἰλαπινιστής" (Il. 17, 577)· καὶ "ἐρίηρας ἑταίρους" (Od. 9, 100) τοὺς διὰ τῆς χρείας φίλους· καὶ "Ἕκτορι δ' ἦεν ἑταῖρος" (Il. 18, 251), παραλιπὼν ἐνταῦθα τὸ εἶδος. ὁμοίως δ' αὖ "σοὶ δ' ὁδὸς οὐκέτι δηρὸν ἀπέσσεται, ἣν σὺ μενοινᾷς· τοῖος γάρ τοι ἑταῖρος ἐγὼ πατρώϊός εἰμι, ὅς τοι νῆα θοὴν στελέω καὶ ἅμ' ἕψομαι αὐτός" (Od. 2, 285)· καὶ "ἐγὼ δ' ἀνὰ δῆμον ἑταίρους αἴψ' ἐθελοντῆρας συλλέξομαι" (ib. 292). καὶ μεταφέρων ἐκ τοῦ εὐκνήμιδας Ἀχαιοὺς λέγει "Τηλέμαχ', ἦδη μέν τοι εὐκνήμιδες ἑταῖροι" (ib. 402), καὶ ἐκ τοῦ κομώντες Ἀχαιοί "εὗρεν ἔπειτ' ἐπὶ θινὶ καρηκομόωντας ἑταίρους" (ib. 408). φίλος δὲ υἱός, καὶ φίλη μήτηρ, καὶ φίλα γυῖα, καὶ φίλαι χεῖρες. καὶ διακρίνων "ἢ μετὰ οἷς ἑτάροισι δάμη Τρώων ἐνὶ δήμῳ, ἠὲ φίλων ἐν χερσίν, ἐπεὶ πόλεμον τολύπευσεν" (Od. 1, 237)· οὐκ ἂν, φησὶν, ἐλυπήθην, εἰ ἐν τῇ Τροίᾳ μετὰ τῶν αὐτοῦ ἑταίρων ἀπώλετο πολεμῶν, ἢ εἰ κατεργασάμενος τὸν πόλεμον καὶ ἐπανελθὼν ἐν ταῖς χερσὶ τῶν οἰκείων ἐτελεύτησεν. καταχρώμενος δὲ καὶ τὴν φύξιν ἑταίραν τοῦ φόβου λέγει "φίζα φόβου κρυόεντος ἑταίρη" (Il. 9, 2), καὶ ἄνεμον "ἴκμενον οὖρον ἵει πλησίστιον ἐσθλὸν ἑταῖρον" (Od. 11, 7). καὶ πάλιν ὅλην τὴν οἰκειότητά φησι δηλῶν "ὄφρα ἴδῃ πρότερόν τε πόσιν πηούς τε φίλους τε" (Il. 3, 163), τὸν ἄνδρα, τοὺς συγγενεῖς, τοὺς οἰκείους. διὸ ἐπιζητεῖ ἡ Ἑλένη τοὺς ἀδελφούς.

696. ψυχὴ τὸ ἐκπνεόμενον πνεῦμα. διὰ τὴν αἱμορραγίαν δὲ ὀλιγώρησε πάντως.

697. ἀμπνύνθη] ἀνέλαβε τὴν πνοήν. ὃ δὲ ἐνέλιπε τῷ πνεύματι, προσεπορίζετο ὁ ἄνεμος. κάπος δὲ λέγεται τὸ πνεῦμα.

* ἀμπνύνθη] ἐν ἑαυτῷ γέγονεν.

700. οὔτε ποτὲ προτρέποντο] τὸ γὰρ προτροπάδην φεύγειν ὄνειδος ἡγεῖται. ἐπεξηγεῖται δὲ αὐτὸ σαφέστερον διὰ τοῦ "αἰὲν ὀπίσσω χάζοντο."

703. διὰ τοῦ ᾱ τὸ ἐξενάριξαν.

704. χάλκεος Ἄρης] αὔξων τὴν Ἕκτορος ἀρετὴν συνέζευξεν αὐτὸν τῷ Ἄρει. οὐκ ἀτόπως δὲ τρωθήσεται καὶ δι' ἑαυτοῦ φονεύων ὁ Ἄρης.

2. συνδαίτας scripsi pro συνδιαίτας. V. Thes. vol. 7 p. 1257.

7. τοῖος Bekk.] καὶ τοῖος

31. διὰ τοῦ ᾱ τὸ ἐξενίριξαν] Hoc extra seriem scriptum nullo praefixo numero, sed signo ∴. Pariter p. 266, 34. 270, 31.

708. τὸ Ὕλη ἐνταῦθα μὲν συστέλλει, ἐν δὲ τῷ καταλόγῳ ἐκτείνει "ἠδ' Ὕλην καὶ Πετεῶνα" (Il. 2, 500).

μέγα πλούτοιο μεμηλώς] μεγάλως τῆς γεωργίας ἐπιμελόμενος, ὅπως ἐκ ταύτης κτήσαιτο πλοῦτον.

709. κεκλιμένος] ἀντὶ τοῦ παρακείμενος, ὡς τὸ "αἴθ' ἀλὶ κεκλί- 5
αται" (Od. 4, 608).

722. Ἥβη δ'] ὑπηρετικήν τινα τὴν Ἥβην παρεισάγει ὁ ποιητής· καὶ ἀνωτέρω γὰρ (Il. 4, 2) εὐωχουμένοις τοῖς θεοῖς διηκόνει. ἐν δὲ τοῖς ἑξῆς (905) καὶ τὸν Ἄρεα λούει· παρθενικὸν γὰρ τὸ τοιοῦτον, ὡς Τηλέμαχον Πολυκάστη (Od. 3, 464). τὸν δὲ τῆς Ἥρας δίφρον 10
οὕτως ἡ Δημὼ φυσιολογεῖ. Ἥραν γάρ φησιν εἶναι τὸν ἀέρα, τὴν δὲ φύσιν τοῦ στοιχείου τὸν ποιητὴν ἐκτιθέμενον τὰ μὲν περίγεια αὐτοῦ μέρη, ἅπερ ἐστὶ ζοφωδέστερά τε καὶ πολὺ τὸ γεῶδες ἔχοντα, ταῖς παχυτέραις ὕλαις εἰκάζειν, χαλκῷ τε καὶ σιδήρῳ· καὶ χρυσὸν δὲ μερικῶς ἐγκατέμιξεν, ἴσως διὰ τὸ ποσῶς ὑπὸ ἡλίου φωτίζεσθαι· τὰ 15
δὲ μετεωρότερα, τὸν ῥυμόν φημι, ἀργύρεον λέγει, τὸ δὲ πάντων ἀνωτέρω καὶ συνημμένον τῷ αἰθέρι χρύσεον ζυγόν (συνέζευκται γὰρ τούτῳ), ἱμάντας δὲ χρυσοῦς καὶ ἀργυροῦς τοὺς ἐξ ἡλίου καὶ σελήνης φωτισμούς, δύο δὲ ἄντυγας τὸ ὑπόγειόν τε καὶ ὑπέργειον ἡμισφαίριον. 20

723. τὰ μὲν ἐνεργῆ μέρη τοῦ ἅρματος ταῖς στερεαῖς ὕλαις κοσμεῖ, τὰ δὲ ἄλλα ταῖς πολυτελέσιν.

ὀκτάκνημα] κνῆμαι αἱ ἀπὸ τῆς χοινικίδος ἕως τῆς τοῦ τροχοῦ διήκουσαι ῥάβδοι.

ἄξονι] ἄξων τὸ εἰς τὰς χοινικίδας ἐμβαλλόμενον ἑκατέρου τροχοῦ 25
ξύλον.

724. ἴτυς] ἡ ἁψὶς εἰς ἣν αἱ κνῆμαι αἱ ἀπὸ τῆς χοινικίδος ἐμπήγνυνται.

725. *ἐπίσσωτρα] τὰ ἐπάνω τῶν τροχῶν σίδηρα, ἃ καὶ κανθοὶ καλοῦνται, ἤγουν ὁ ἔξωθεν τὸν τροχὸν συνέχων σίδηρος ἢ χαλκός, ἃ 30
καὶ στέφανοι.

ἐπίσσωτρον τὸ εἰς γῆν κυλινδούμενον, ἤτοι τοῦ παντὸς περιφεροῦς· τὸ τελευταῖον.

ἔν τισι διὰ τοῦ ο ὀπίσσωτρα.

5. *ἀλὶ] ἅλιον 13. *τὸ γεῶδες] τὸ om.
28. *ἐμπήγνυνται] μίγνυνται

726. πλῆμναι λέγονται διὰ τὸ πλήσσεσθαι ὑπὸ τοῦ ἄξονος· ταύτας δὲ ἔνιοι χνόας ὀνομάζουσι. καλῶς δὲ καὶ τὸ εἰσί πρὸς ἀληθείας ὑπόληψιν. εἰσὶ δὲ πλῆμναι αἱ χοινικίδες.

727. δίφρος] ἀπὸ τοῦ δύο φέρειν.

728. ἄντυγες] τὰ ἐπὶ τοῦ δίφρου ἡμίκυκλα, ἔνθεν καὶ τὰ ἡνία ἐξάπτονται.

729. ῥυμός] τὸ ἀπὸ τοῦ δίφρου μέχρι τοῦ ζυγοῦ ξύλον, ἀπὸ τοῦ ἐρύειν.

730. ζυγὸς παρὰ τὸ δύο εἰς ἓν αὐτὸν ἄγειν.

λέπαδνα] τὰ περιτραχήλια τῶν ἵππων κύκλα.

734. πέπλον] πρέπω πρέπαλος πέπαλος πέπλος. τὸ δὲ κατέχευεν ἀντὶ τοῦ τὰς περόνας λύσασα καταφέρεσθαι ἀφῆκε. γυμνὴν δὲ ἡμῖν τὴν Ἀθηνᾶν διὰ τῆς λέξεως παρέστησεν.

736. ἡ] δασυντέον τὸ ἦ· ἄρθρον γάρ ἐστιν ἀντωνυμικόν. τινὲς δὲ φιλοῦσι, σύνδεσμον ἐκδεχόμενοι τὸν ᾗ ἠδέ, κακῶς. οὗτος δὲ ὁ χιτὼν ἐπιτήδειός ἐστιν ἐν πολέμῳ, ἵν' ᾖ ἴση περιβολὴ Διὸς καὶ Ἀθηνᾶς ὡς Ἀχιλλέως καὶ Αἴαντος. τεύχεσι δὲ λέγει τῇ αἰγίδι καὶ τῇ περικεφαλαίᾳ.

739. δεινήν] διὰ τὸ δυνάμεις ἀρεϊκὰς ἐντετυπῶσθαι ἐν αὐτῇ.

ἐστεφάνωτο] κύκλῳ περιείχετο· ἀναστρεπτέον δὲ τὴν περι.

740. ἐν δ' Ἔρις] ἄδηλον εἰ εἴδωλα ταῦτά ἐστιν ἢ διαθέσεις, ὡς τὸ "ἔνθ' ἔνι μὲν φιλότης" (Π. 14, 216).

741 *Πορφυρίου. διὰ τί ποτὲ μέν φησι τὴν κεφαλὴν τῆς Γοργόνος ἐν Ἅιδου εἶναι, λέγων "μή μοι Γοργείην κεφαλὴν δεινοῖο πελώρου ἐξ Ἅιδου πέμψειε" (Od. 11, 633), ποτὲ δὲ τὴν Ἀθηνᾶν ἔχειν ἐν τῇ αἰγίδι, λέγων "βάλετ' αἰγίδα θυσσανόεσσαν," καὶ ἐπάγει "ἐν δ' Ἔρις, ἐν δ' ἀλκή, ἐν δὲ κρυόεσσα ἰωκή, ἐν δέ τε Γοργείη κεφαλὴ δεινοῖο πελώρου." φησὶ δ' Ἀριστοτέλης ὅτι μήποτε ἐν τῇ ἀσπίδι οὐκ αὐτὴν εἶχε τὴν κεφαλὴν τῆς Γοργόνος, ὥσπερ οὐδὲ τὴν Ἔριν οὐδὲ τὴν κρυόεσσαν ἰωκήν, ἀλλὰ τὸ ἐκ τῆς Γοργόνος γιγνόμενον τοῖς ἐνορῶσι πάθος καταπληκτικόν. καὶ μήποτε πάλιν ῥητέον ὅτι οὐκ αὐτὴν εἶχεν, ἀλλ' ὅτι γεγραμμένην τῇ ἀσπίδι ὥσπερ σημεῖόν

2. *χνόας] χήσας
9. ἐν αὐτὸν] ἑαυτὸν
19. *αὐτῇ] αὐτοῖς
20. Sequitur in B excerptum manus secundae ex Zonarae Lexico additum s. v. φόβος.
23. *Πορφυρίου] om. Eadem fere traduntur in scholio ad Odyss. 11, 634. V. Rosium p. 162.

τι. ῥητέον δὲ ὅτι οὐδὲ Ὀδυσσεὺς λέγει ὡς ἦν ἐν Ἅιδου ἡ Γοργόνος κεφαλή, ἀλλ' ὅτι αὐτὸς ἐφοβήθη μὴ τοιοῦτος δαίμων ἐκπεμφθῇ· φοβηθεὶς οὖν οὐκ ἰδεῖν. ἢ ὅτι ἡ μὲν ψυχὴ ἐν Ἅιδου, τὸ δὲ σῶμα ἐν τῇ ἀσπίδι. καὶ Γοργείην κεφαλὴν οὐ πάντως τὴν τῆς Γοργόνος, ἀλλά τινα φοβερὸν δαίμονα, ὡς "τοίην γὰρ κεφαλὴν πάθεον υἷες Ἀχαιῶν."

οἷον κατάστημά τι γοργότητος δεινὸν ἦν καὶ βλοσυρόν. Ἡσίοδος γὰρ τὸν τῶν Γοργόνων μῦθον διέπλασε.

*πέλωρ ὄνομα οὐδέτερον· σημαίνει δὲ τὸ ἐξαίσιον καὶ φοβερόν, καὶ γίνεται παρὰ τὸ πέλω τὸ ὑπάρχω καὶ τὸ ὥρα, ὃ σημαίνει τὴν φροντίδα, οἷς ὑπάρχει ἀεὶ ἡ φροντὶς διὰ τὸ μέγεθος. ἐτυμολογεῖται δὲ οὕτως· παράγεται δὲ παρὰ τὸ προσπελάζειν καὶ προσεγγίζειν τῷ Ὡρίωνι, ὡς λέγει ὁ ποιητὴς ἐν τῳ Χ, διὰ τὸ μέγεθος αὐτοῦ, ὅτι εἶδεν ὁ Πρίαμος τὸν Ἀχιλλέα "παμφαίνονθ' ὥστ' ἀστέρ' ἐπεσσύμενον πεδίοις, ὅς ῥά τ' ὀπώρης εἶσιν, ἀρίζηλοι δέ οἱ αὐγαὶ φαίνονται πολλοῖσι μετ' ἄστρασι νυκτὸς ἀμολγῷ, ὅν τε κύν' Ὡρίωνος ἐπίκλησιν καλέουσι· λαμπρότατος μὲν ὅ γ' ἐστί, κακὸν δέ τι σῆμα τέτυκται." λοιπὸν πέλωρ πέλωρος, τὸ οὐδέτερον πέλωρον.

742. σμερδνή] ὡς ἀλαπάζω ἀλαπαδνός, οὕτως μερίζω μεριδνός καὶ σμερδνός.

*μερίζεται γὰρ ἡ ψυχὴ τῶν ῥώντων τῷ φόβῳ, καὶ οὐκ ἐᾷ ἐν τῷ αὐτῷ μένειν.

*τέρας] τὸ σημεῖον. διαφέρει δὲ ὅτι τὸ μὲν τέρας ἐστὶ τὸ παρὰ φύσιν γινόμενον πρᾶγμα, οἷον ἐπὶ τῆς στρουθοῦ (Il. 2, 313)· οὐδέποτε γὰρ ἡ στρουθὸς ὀκτὼ γεννᾷ· σημεῖον δὲ τὸ παρὰ τὴν κοινὴν συνήθειαν γινόμενον.

744. ἑκατὸν πόλεων πρυλέεσσ' ἀραρυῖαν] εἶχε γάρ, φασίν, ἐν ἑαυτῇ ὁπλίτας τετυπωμένους πόλεων ρ'. ὑποτυποῖ δὲ ἡμῖν τὸ μέγεθος τῆς φερούσης· εἰ γὰρ ἡ κόρυς τοσαύτη, πόσον τὸ μέγεθος τῆς περικειμένης; καὶ ἐπὶ Ποσειδῶνος "ὅσον τ' ἐνεάχιλοι" (Il. 14, 148)· οὐ γὰρ εἰπὼν τὸ μέγεθος αὐτοῦ, ὥσπερ οὐδὲ τὸ τῆς Ἀθηνᾶς, κατ' ἔμφασιν δέδωκε συλλογίζεσθαι πηλίκος ἦν ὁ τὴν τοιαύτην φωνὴν ἔχων.

3. φοβηθεὶς] φοβηθῇ
27. *φασὶν] φησὶν
28. ὁπλίτας Hermannus in dissertatione de hyperbole p. 6] πολίτας
29. φερούσης] *φερούσης αὐτὴν

745. φλόγεα] τὰ κατὰ τὴν κίνησιν ὡς πῦρ, ἢ μᾶλλον ἀεί.

746. οὐκ ἄνδρας εἶπεν, ἀλλ' ὑπερφυῶς στίχας ἀνδρῶν.

749. Ὧραι] ἐπεὶ τὴν τῶν οὐρανίων τάξιν καὶ τοὺς καιροὺς διοικοῦσιν. ἐμφαίνεται δὲ καὶ τὸ ἀξίωμα τῶν θεῶν, εἴ γε ἐκοῦσαι αἱ πύλαι εἴκουσιν αὐταῖς. οὐρανὸν δὲ νῦν τὸν ὑπὲρ τὰ νέφη λέγει τόπον.

*ἔχον] τὸ ἔχον ἐνταῦθα ἀντὶ τοῦ ἐφύλασσον.

752. κεντρηνεκέας] τοὺς οὕτω φέροντας ἑαυτοὺς καὶ τοὺς ἐπιβάτας ὡς ὑπὸ κέντρου μαστιζομένους, παρὰ τὸ κέντρον καὶ τὸ ἐνεγκεῖν.

757. Ζεῦ πάτερ] χαριέντως τὸν υἱὸν ἁμαρτάνοντα παρὰ γνώμην τοῦ κυρίου κολάζειν οὐκ ἐπιχειρεῖ. πῶς οὖν Ἀθηνᾶ τοῦτο οὐκ ἀναμένει; ὅτι οὐκ ἴδιον Ἀφροδίτης πέλεμος, ὡς καὶ Ζεὺς "οὔ τοι, τέκνον ἐμόν, δέδοται πολεμήϊα ἔργα" (428).

759. ἔκηλοι] δασυντέον· τὸ γὰρ ε̄ πρὸ τοῦ κ̄ δασύνεται. εἰ μὴ ἐκ κλίσεως εἴη. σεσημείωται τὸ ἐκεχειρία.

760. τέρπονται] πιθανῶς, ἵνα μὴ δοκῇ μάτην τετρῶσθαι.

765. ἔπορσον Ἀθηναίην] ἄνωθεν κατασκευάζει τὴν τρῶσιν Ἄρεως. ἄλλως τε τὸν ταραχώδη ἡ τῆς συνέσεως προεστηκυῖα καταλύει.

770. διὰ τοῦ ἐν ἡμῖν ὀξυτάτου ἐδήλωσε τὸ τάχος τῶν ἵππων· ὅσον γάρ τις ἐκτείνει τὴν ὄψιν, εἰς τὸν παρὰ θάλασσαν ἀτενίζων ἀέρα, μηδενὸς ἀντιπίπτοντος, ἀλλὰ τοῦ ὁρωμένου παντὸς ἀέρος ὄντος, τοσοῦτον, φησίν, ἐστὶ τὸ βῆμα τῶν θείων ἵππων ὁρμώντων. ἠεροειδὲς δὲ τὸ τοῦ ἀέρος εἶδος.

*Πορφυρίου. ἀέρα λέγει τὸ ὁμιχλῶδες καὶ ἀόρατον· "ἀὴρ γὰρ παρὰ νηυσὶ βαθεῖ' ἦεν" (Od. 9, 144)· ὅθεν καὶ ἠεροφοῖτις Ἐρινύς (Il. 9, 571) ἡ σκοτεινῶς καὶ ὁμιχλωδῶς φοιτῶσα. τὸ οὖν ἠεροειδὲς ὅσον εἶδε μέχρι τοῦ ἀεροειδοῦς, τουτέστι τοῦ ἀφανοῦς καὶ ἀχλυώδους. ἠερόφωνοι οὖν κήρυκες, ὧν ἡ φωνὴ καὶ μέχρι τοῦ ἀφανοῦς καὶ ἀχλυώδους διικνεῖται, ὅπερ ἐν ἄλλοις "φωνὴ δ' αἰθέρ' ἵκανεν" (Il. 15, 686). ἀφανὴς δὲ οὗτος ἀνθρώποις.

772. ὑψηχέες] ὑψαύχενες, ἤτοι εἰς ὕψος ἀειρόμενοι μετὰ ἤχου. ἄριστοι γὰρ οἱ κυμβαλίζοντες ἵπποι.

774. τὸ σχῆμα προεπίζευξις· προθεὶς γὰρ ἓν ὄνομα δυϊκὸν ἐπάγει πληθυντικόν, καὶ λοιπὸν ἀναπληροῖ τῇ ἐπαγωγῇ· "ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε ῥέουσι Κωκυτός τε" (Od. 10, 513) "εἰ

3. *τάξιν καὶ] καὶ om. * διοικοῦσιν] διακρίνει _ 24. *Πορφυρίου] om.

δέ κ' Ἄρης ἄρχωσι μάχης καὶ Φοῖβος Ἀπόλλων" (Il. 20, 138). ἀλλαχοῦ δὲ "μεσσηγὺ Σιμόεντος ἰδὲ Ξάνθοιο ῥοάων" (Il. 6, 4).

776. ἠέρα πουλὺν] ἀντὶ τοῦ πολλήν. ἀεὶ γὰρ θηλυκῶς φησὶ καὶ τὸ σκότος δηλοῖ· τὸ δὲ ἐπὶ τοῦ συνήθους ἅπαξ εἶπε "δι' ἀέρος αἰθέρ' ἵκανεν" (Il. 14, 288).

777. τοῖσιν δ' ἀμβροσίην Σιμόεις] ποιητικοῦ κάλλους ἴδια ταῦτα, ὡς καὶ ἐπὶ τοῦ λέχους τοῦ Διός (Il. 14, 347). καλῶς δὲ οὐχ ὁ Σκάμανδρος ἀνέτειλε· Τρωσὶ γὰρ ἦν βοηθὸς οὗτος.

778. ἴθμαθ' ὁμοῖαι] τὴν ὁρμὴν καὶ τὴν πτῆσιν· ἄτοπον γὰρ τρυφερῶς βαδίζειν τὰς εἰς πόλεμον ἐσκευασμένας. ἄλλως. καλῶς τῶν βουλομένων λαθεῖν τὰ ἴχνη περιστεραῖς εἴκασεν· ἀφανῆ γὰρ αὐτῶν τὰ ἴχνη, ὡς Ἀριστοτέλης. ἢ καὶ διὰ τὸ καθαρὸν, ἢ διὰ τὸ ταχύ.

*οὐ περιστεραὶ γενόμεναι, ἀλλ' ὅμοιαι τοῖς ἴθμασιν ἤγουν τοῖς ὁρμήμασι καὶ ταῖς πτήσεσι τῶν περιστερῶν εἰς τὸ στρατόπεδον ἔρχονται· τὸ γὰρ ὡς πελειάδας τὰς θεὰς πορεύεσθαι ἀπρεπές.

785. Στέντορι] τινὲς αὐτὸν Θρᾳκά φασιν, Ἑρμῇ δὲ περὶ μεγαλοφωνίας ἐρίσαντα λέγουσιν ἀναιρεθῆναι, αὐτὸν δὲ καὶ τὴν διὰ κύχλου μηχανὴν εἰς τὰς μάχας εὑρεῖν. ἔθος δὲ Ὁμήρῳ τοῖς μὴ παροῦσιν εἰκάζειν τοὺς θεούς.

786. ἔν τισιν οὐκ ἦν ὁ στίχος, διὰ τὴν ὑπερβολὴν ταύτην τὴν ψυχράν.

788. Ἀχιλλεύς] οὐκ ἐᾷ λήθῃ δίδοσθαι τὸ ὄνομα τοῦτο ὁ ποιητής.

789. Δαρδανιάων] τῶν Σκαιῶν· φησὶ γὰρ "ἀλλ' ὅσον ἐς Σκαιάς τε πύλας καὶ φηγὸν ἵκανον" (Il. 9, 354).

795. ἀναψύχοντα, τό μιν βάλε] γυμνοῦντα πρὸς τὸ ἀποβαλεῖν τὸν λύθρον. οὐ τὸ ἔλκος δὲ ἔβαλεν, ἀλλὰ βαλὼν εἰργάσατο ἕλκος, ὡς τὸ "νεκρὸν ἄγειν προτὶ ἄστυ, τὸν ἔκτανε δῖος Ἀχιλλεύς" (Il. 24, 151). πάντως γὰρ ὁ κτανὼν νεκρὸν εἰργάσατο. ἀνδρείου δὲ καὶ καρτερικοῦ τὸ μὴ εἰς τὰς ναῦς μετὰ τὸ τραῦμα ἀναχωρῆσαι.

797. Ἀρίσταρχος τείρετο, αἱ δὲ κοιναὶ τρίβετο.

799. ἱππείου δὲ θεὰ ζυγοῦ ἥψατο] ἄκρως τοῦ ἀνθρωπίνου ἤθους μέμνηται· τοῦτο γὰρ καὶ νῦν γίνεται.

1. *ἄρχωσι—ἰδὲ] ἄρχουσι—ἠδὲ

24. Omisi, quam manus secunda in B versui 792 apponit, Io. Philoponi (ad Aristotelis de anima lib. 1) de θυμῷ disputationem, receptam a Suida vv. θυμός· θυμὸς ἑπταβόειος. θυμὸς ὀργῆς. BEKK.

25. ἀποβαλεῖν] *ἀποψῆν

801. Τυδεύς] τῇ ἐπαναλήψει τοῦ ὀνόματος ηὔξηται Τυδεύς.

802. καί ῥ' ὅτε περ] καὶ ὅτε αὐτὸν ἐγὼ ἀπετρεπόμην, ἡνίκα ἦλθεν ἄγγελος εἰς Θήβας, ὅμως ἐκεῖνος μαχητὴς ἦν. τὸ δὲ ἑξῆς ἀσύνδετον.

803. ἐκπαιφάσσειν] φῶ τὸ φαίνω, φάσσω, ἀναδιπλασιασμῷ παφάσσω, πλεοναστικῷ παιφάσσω, οἱονεὶ φανερῶ, ὡς πτῶ πταίνω παπταίνω. ἐκπαιφάσσειν δὲ τὸ φανεροῦν ἑαυτὸν, ἀλλ' ἐν ἀγγέλου μᾶλλον εἶναι σχήματι. δύναται δὲ εἰς τὸ ἐκπαιφάσσειν εἶναι στιγμὴ, εἶτα ἀπὸ ἄλλης ἀρχῆς τὸ ὅτ' ἦλυθεν.

ὅτε ἦλθε, φησὶν, εἰς Θήβας, ἐγὼ μὲν ἐκέλευον δαίνυσθαι, ὁ δὲ ἐπολέμει. ὑπερβολὴ δὲ, εἴ γε καὶ ὑπὸ τῆς πολεμικωτάτης θεοῦ κελεύεται ἡσυχάζειν ὡς ἂν ἄμετρον ἔχων δύναμιν.

807. πάντα] πάντα κοῦρον, ἢ τὰ ἀγωνίσματα. οὐ καθόλου δὲ εὑρέθη παρὰ Ἀριστάρχῳ τὸ "ῥηϊδίως· τοίη τοι ἐγὼν ἐπιτάρροθος ἦα" ἐναντίον γάρ ἐστι τοῖς προκειμένοις.

809. σοὶ δ' ἤτοι] ἐκ τῆς τοιαύτης ἀντιπαραθέσεως ἐλέγχει αὐτόν.

811. κάματος πολυάϊξ] ἐκ γὰρ πολλῆς κινήσεως ὁ κόπος.

812. ἀκήριον] τὸ εἰς ἀψυχίαν σε ἄγον φησίν.

827. μήτε σύ γ' Ἄρηα] οὐ καθολικὴ, ἀλλὰ πρὸς τὸ παρὸν προτρεπτικὴ ἡ παραίνεσις.

831. τυκτὸν κακόν] οὐ μόνον, φησὶ, φυσικὸν, ἀλλὰ καὶ ἐπιτηδευτόν.

836. *ἐμμαπέως] αὐτίκα, εὐθὺς, ἅμα τῷ λόγῳ. γίνεται δὲ ἐκ τοῦ ἅμα καὶ τοῦ ἔπος, καὶ κατὰ ἀναστροφὴν ἐμμαπέως.

838. ἐμψύχως τὸ ἔβραχεν, ὡς τὸ "ἔκλαγξαν δ' ἄρ' ὀϊστοί" (Il. 1, 46).

843. Ὀχησίου] Ὀχήσιος Οἰνέως υἱὸς, ὥς φησι Νίκανδρος ἐν τοῖς Αἰτωλικοῖς. κατὰ Διομήδους οὖν καὶ αὕτη τοῦ Ἄρεως ἡ πρᾶξις.

845. μή μιν ἴδοι] ἐπὶ τῷ πρὸ τῆς πληγῆς λαθεῖν· ἀμέλει μετὰ τὴν πληγὴν ὁρᾶται, ὡς καὶ τὸν Ἄρεα κατ' αὐτῆς πρὸς τὸν Δία λέγειν.

12. δύναμιν] * ὁρμήν

15. ἐναντίον γάρ ἐστι τοῖς προκειμένοις] Trimeter iambicus.

851. ὑπέρ] τινὲς ἀντὶ τῆς ὑπό, ἵνα τρώσῃ αὐτὸν λαθών.

853. καὶ τό γε] δύναται μὲν Ἄρεϊ μονομαχεῖν Ἀθηνᾶ, φυλάσσει δὲ τὸν πόλεμον εἰς ἕτερον ὁ ποιητὴς καιρόν.

855. μόνον ὁρμᾶται Διομήδης, καὶ μόνον ἔχει τρώσεως ὄνομα. δύο οὖν παρίστησι, καὶ τοὺς ἀσθενεῖς τῶν κρειττόνων πειῶν κρατεῖν διὰ προστασίας θεοῦ καὶ τοὺς ἀτακτοῦντας κολάζων.

857. νείατον ἐς κενεῶνα] κατὰ τὸ ἔσχατον τῆς λαγόνος ἤτοι τὸ ἐνδότατον. εἰ οὖν ἐπταπέλεθρος ὁ Ἄρης, πῶς τὸ δόρυ Διομήδους τρῶσαι αὐτὸν δύναται κατὰ κενεῶνος; ὅτι νῦν ἀνδρὶ εἰκασται· "πάρα γάρ οἱ κεῖνος Ἄρης" φησὶ "βροτῷ ἀνδρὶ ἐοικώς." τὸ δὲ μίτρην κατὰ δοτικὴν Ἀρίσταρχος, Ἡρωδιανὸς δὲ μετὰ τοῦ ν, ὃ καὶ βέλτιον.

865. καύματος ἐξ] ὅταν γὰρ καυματώδους οὔσης τῆς ἡμέρας πρὸς ἀνατολὴν ἡ δύσις ὁ ἀὴρ μέλας δοκῇ, προσδοκῶσιν ἄνεμον. τὸ δὲ ἑξῆς οὕτως, ἐκ καύματος ἀνέμου ὁρμήσαντος δυσαέος, ὅ ἐστι σφοδροῦ. γίνονται γὰρ καὶ καυσωνικαὶ πνοαὶ κατὰ τὰς ἐαρινὰς καὶ θερινὰς ὥρας, ὅτε νότοι πνέουσιν.

867. *τὸ ὁμοῦ ὁμοίως τοῖς νέφεσι διὰ τὸ σκοτεινόν.

εἰς τὸ νεφέεσσι διαστολὴ, ἵν' ᾖ ἐγγὺς τῶν νεφῶν. καὶ Δημοσθένης "Ἀθηναῖοι δέ εἰσιν ὁμοῦ δισμύριοι" (adv. Aristogit. 1 p. 785). οἱ δὲ συνάπτουσιν ὅλον, ἀντὶ τοῦ ὑπὸ νεφῶν καλυπτόμενος καὶ ἀνιὼν εἰς οὐρανόν.

870. αἷμα] οὐκέτι προσέθηκε τὸ ἰχώρ· προεδίδαξε γὰρ ἡμᾶς ὁποῖόν τί ἐστιν ἰχώρ.

871. ὀλοφυρόμενος] κυρίως ὀλοφυρμὸς ὁ μετὰ τίλσεως τριχῶν θρῆνος, παρὰ τὸ τὰς οὐλας, ὅ ἐστι τὰς τρίχας, φύρειν.

874. ἀλλήλων ἰότητι] χαριζόμενοι, φησὶν, ἀνθρώποις ἀλλήλους διατίθεμεν κακῶς, οὐχ ὑπ' ἀνθρώπων δὲ πάσχομεν· οὗτοι γὰρ ἀσθενεῖς πρὸς ἡμᾶς εἰσίν.

875. σοί] ἢ διὰ σέ, ἢ σὺ πᾶσι πολέμιος εἶ, ταύτην ἐπιτρέπων καθ' ἡμῶν ἀδεῶς. τὸ δὲ τέκες ἁπλοϊκῶς, ὡς ἐπὶ Ἡφαίστου "ἀλλὰ τοκῆε δύω" (Od. 8, 312).

876. ἀήσυλα] ἤδω ἤσω, ἤσυλον καὶ ἀήσυλον. δηλοῖ δὲ τὰ μὴ τέρποντα καὶ ἥδοντα, μᾶλλον δὲ λυποῦντα.

15. * ὁρμήσαντος] ὁρμήσοντος

877. ἄλλοι μὲν γάρ] τῇ ἀντιπαραθέσει χαλεπωτέραν ἐποιήσατο τὴν κατηγορίαν. διὰ δὲ τοῦ πειθηνίου καὶ τοὺς ἄλλους θεοὺς ἐπάγεται.

878. περὶ πρόσωπον τὸ σχῆμα, ὡς παρὰ Εὐριπίδῃ (Or. 1483) "διαπρεπεῖς ἐγένοντο Φρύγες," ἕκαστος καλῶς μαχόμενος.

879. πρωτιβάλλεαι] ὑπερβάλλεις, νικᾷς, ὅπως ὑπακούσι σοι.

880. αὐτὸς ἐγείνας] τοῦτο δέδωκεν ἀφορμὴν Ἡσιόδῳ τὸ αὐτὸς ἀντὶ τοῦ μόνος λαβεῖν, ὅπερ ὁ ποιητὴς οὐκ οἶδεν, ἀλλὰ λέγει ἀνιεῖς αὐτήν, ἐπεὶ καὶ σὺ ἀΐδηλον αὐτὴν ἐγέννησας, ἤτοι ἐπιβλαβῆ.

882. *μαργαίνειν] μαίνεσθαι· καὶ μάργος ὁ μαινόμενος.

883. Κύπριδα μέν] ῥητορικὸν τὸ μὴ ἐκ τῶν οἰκείων ἄρχεσθαι κατηγοριῶν, ἀλλ' ἐξ ἑτέρων ὁμολογημένων.

884. δαίμονι ἶσος] ἐπιφθόνως καὶ κινητικῶς τοῦτό φησιν· ἢ ἀλαζονικῶς, ἵνα μὴ δοκῇ ὑπὸ τοῦ τυχόντος τετρῶσθαι.

886. πήματ' ἔπασχον] καὶ πῶς ἂν ὁ Ἄρης ἔπασχε δεινὰ ἐν τοῖς νεκροῖς κείμενος; εἰ μὲν γὰρ ζῶν, πῶς ἐπιφέρει διαστέλλων "ἤ κεν ζὼς ἀμενηνός;" εἰ δὲ καὶ τεθνηκὼς, πῶς θεὸς ἀποθανεῖν ἠδύνατο ὡς καὶ ἀποθανὼν ἔτι ἔπασχε δεινά; λύσις γὰρ τῶν δεινῶν ὁ θάνατος. ῥητέον οὖν ὅτι ὁ δεύτερος ἢ ἀντὶ τοῦ εἰ συναπτικοῦ κεῖται, ὡς τὸ "ὄφρα καὶ Ἕκτωρ εἴσεται, ἢ καὶ ἐμὸν δόρυ μαίνεται ἐν παλάμῃσιν" (Il. 16, 243)· καὶ ὁ λόγος οὕτως, δεινὰ ἂν ἔπασχον ἐν τοῖς νεκροῖς κείμενος, εἰ ζῶν ἀσθενὴς διὰ τὸ τραῦμα ἦν.

887. ζώς] ἡ γενικὴ ζωοῦ· ἀπὸ γὰρ τοῦ ζώς ἐστιν ἡ συναίρεσις.

890. ἔχθιστος δέ μοί ἐσσι] ἀπαλλάσσει ἡμᾶς ὁ ποιητὴς τῶν τοιούτων, καὶ πατρὶ ὄντι μεμισῆσθαι διὰ ταῦτα λέγων τῷ Διὶ τὸν Ἄρεα. ἄχθεται δὲ αὐτῷ οὐχ ὅτι ἔριδι χαίρει, ἐπεὶ καὶ αὐτὸς γελᾷ ὅθ' ὁρᾶτο θεοὺς ἔριδι ξυνιόντας (Il. 21, 391), ἀλλ' ὅτι ἀεὶ καὶ πάνυ. καὶ οἰνόφλυξ λέγεται ὁ οἴνῳ χαίρων.

892. μητρός τοι μένος] τῆς Ἥρας μέγας ὁ θυμὸς κατὰ σοῦ. ἢ ἀνίκητός σού ἐστιν ἡ μήτηρ, πρὸς ἣν ἀντιτάσσῃ.

893. *σπουδῇ] ἀντὶ τοῦ μόλις.

895. ἀλλ' οὐ μάν] ἔοικεν ἦθος πατέρων διὰ τούτου τοῦ σχήματος.

1. *ἀντιπαραθέσει] παραθέσει
2. *πειθηνίου] πιθηνίου
4. τὸ] *om.
*παρὰ Εὐριπίδῃ] om.
16. *ἤ κεν] εἴ κεν
25. *πατρὶ ὄντι μεμισῆσθαι] πάτριον μῖσος δείκνυσι
27. *ὁρᾶτο] ὁρᾷ τοὺς

898. εἰ μὴ ὅτι αὐτὴν ὡς πατὴρ ἐπέχω τῆς κατὰ σοῦ ὁρμῆς, πάλαι ἂν, φησὶν, ἧς τῶν ποτὲ οὐρανίων Τιτάνων ὑποχθονιώτερος.

902. ὡς δ' ὅτ' ὀπὸς] οὕτω καὶ τὸ φάρμακον, φησὶν, συνέπηξε τὸ αἷμα καὶ ἐσάρκωσε τὴν πληγήν. ταχέως δὲ παρῆλθε τὸν τῆς ἰάσεως τρόπον· ὁ μὲν γάρ ἐστι θεὸς καὶ τὴν τέχνην ἔχων, ὁ δὲ θεὸς καὶ τὴν ἴασιν φθάνων.

*ὀπὸς ἡ παρὰ τοῖς ἰδιώταις λεγομένη πιτύα. ἔνιοι δὲ λέγουσι τὸν ἀπὸ τῶν σύκων ὀπόν· βέλτιον δὲ τὸ πρῶτον.

903. κυκόωντι] δοτικὴ ἀντὶ γενικῆς· κυκόωντι γὰρ ἀντὶ τοῦ ὑπὸ κυκόωντος.

905. ὡς ἀλλοπρόσαλλος ἤδη ἐπιλέλησται ὧν πέπονθε· διὸ τὸ ἔπος Ζηνόδοτος ἀθετεῖ.

907. αἱ δ' αὖτις] καλῶς οὐ πάρεισιν ὅτε ἐνετύγχανεν Ἄρης, ἵνα μήτε ἀδολεσχοῖεν μήτε κατὰ δειλίαν δοκοῖεν σιωπᾶν. οὐ διὰ τῶν ἵππων δὲ ὑποστρέφουσι· προετερατολόγησε γὰρ αὐτοὺς ὁ ποιητής.

ΕΙΣ ΤΗΝ Ζ.

1. Τρώων] ἡ Τροία τὰ μὲν θαλάσσια πρὸς Ἑλλήσποντον ἔχει, τὰ δὲ βόρεια πρὸς Ζέλειαν, τὰ δὲ ὑποκείμενα πρὸς Φρυγίαν, τὰ δὲ μεσημβρινὰ πρὸς Λυδίαν. ὡς φιλέλλην δὲ ἐπάγει τοὺς θεούς, καὶ ἐξέτασιν ἀμφοτέρων ποιεῖ. ἐμονώθη δὲ ἡ μάχη τῆς τῶν θεῶν συμμαχίας οὕτως· Ἥρα μὲν γὰρ καὶ Ἀθηνᾶ εἰς τὸν Ὄλυμπον ἀπίασιν, Ἀπόλλων δὲ εἰς Πέργαμον· ὁ δὲ Ἄρης καὶ ἡ Ἀφροδίτη τέτρωνται ὑπὸ Διομήδους. τινὲς δὲ τὸ οἰώθη ἀντὶ τοῦ ἰσώθη, ὡμοιώθη. φύλοπις δὲ ὁ ἐμφύλιος πόλεμος κακῶς παρά τισι λέγεται· ἀλλ' ἡ μετὰ βοῆς φῦλα συνάπτουσα ἀμφότερα τῶν τε Τρώων καὶ Ἑλλήνων μάχη. λέγεται δὲ καὶ ἡ κατὰ φῦλα, οἷον ἔθνους μετὰ ἑταίρου οἰκείου πολεμούντων ἄλλων διὰ τὸ ὁμοψυχεῖν· "κρῖνε" γάρ φησιν "ἄνδρας κατὰ φῦλα, κατὰ φρήτρας, Ἀγάμεμνον" (Il. 2, 362).

*φύλοπις] ἀπὸ τοῦ κατὰ φῦλα μάχεσθαι συνερχομένους.

2. ἔνθα καὶ ἔνθ'] ἢ ἐν τῷ διώκειν καὶ φεύγειν, ἢ ἐπὶ τὰ δεξιὰ καὶ ἀριστερά. ἐξηγεῖται δὲ τὸ πολυάϊκος πολέμοιο (Il. 1, 165). ἴθυσε δὲ τὸ ἰθὺς ὥρμησεν.

3. * συνέπηξε] ἔπηξε

18. * πρὸς Φρυγίαν] πρὸς om.

4. πρότερον ἐγέγραπτο "μεσσηγὺς ποταμοῖο Σκαμάνδρου καὶ στομαλίμνης·" ὕστερον δὲ Ἀρίσταρχος ταύτην τὴν γραφὴν εὗρὼν ἐνέκρινεν. Χαῖρις δὲ γράφει "μεσσηγὺς ποταμοῖο Σκαμάνδρου καὶ Σιμόεντος."

Ξάνθοιο] διὰ τὸ τραχὺ τοῦ Σκαμάνδρου εὗρεν ὄνομα τῷ μέτρῳ ἐμπῖπτον, ἵνα μὴ δόξῃ ἄτιμον εἶναι. πολλάκις δὲ καὶ ἐφ' ὧν τὸ μέτρον οὐ κωλύεται, διττὰ ὀνόματα τάττει· "χαλκίδα κικλήσκουσι θεοί, ἄνδρες δὲ κύμινδιν" (Il. 15, 291) "ὃν Βριάρεων καλέουσι θεοί, ἄνδρες δέ τε πάντες Αἰγαίωνα" (Il. 1, 403)· "ἄνδρες Βατίειαν κικλήσκουσιν, ἀθάνατοι δέ τε σῆμα" (Il. 2, 813). διὰ ταύτην τὴν αἰτίαν καὶ τῷ Ἕκτορος υἱῷ Σκαμανδρίῳ ἕτερον ὄνομα περιτίθησι τὸ Ἀστυάναξ. εἰ δέ τις ἐπιζητεῖ πῶς ἐν τοῖς ἑξῆς οὐ μόνον Ξάνθον, ἀλλὰ καὶ Σκάμανδρον τὸν ποταμόν φησιν, ἴστω ὅτι ψεύδους παρεῖχεν ὑποψίαν τὸ μὴ παραλαβεῖν ποτὲ τὸ κύριον.

5. Αἴας δὲ πρῶτος] τρισὶ μεταφοραῖς κέχρηται ἐπιφαίνων τὴν ὁμοιότητα. ὃ γὰρ δύναται πρὸς ἀσφάλειαν πόλεως τεῖχος, τοῦτο πρὸς σωτηρίαν στρατοῦ γενναῖος ἀνήρ· καὶ πάλιν ὃ δύναται ῥῆξις ἐσθῆτος τὴν σκέπην ἀναιρεῦσα, τοῦτο ἐδυνήθη ῥησσομένη ἡ φάλαγξ καὶ τὸν στρατὸν παραβλάπτουσα· καὶ πάλιν ὡς ὀνίνησι φῶς τοὺς σκότῳ κατεχομένους, οὕτως καὶ τοὺς θλιβομένους ὑπὸ τῆς τοῦ πολέμου ἀχλύος ἡ τοῦ Αἴαντος ἐπέλαμψεν βοήθεια.

6. *ζητεῖται πῶς Αἴας ἀνελὼν τὸν Ἀκάμαντα "φόως δ' ἑτάροισιν ἔθηκε," μήπω ἀριστείας αὐτοῖς παραδεδομένης. ῥητέον οὖν ὅτι κατὰ τοῦτο φοβερὸς ἔδοξεν ὁ Ἀκάμας εἶναι, καθὸ ὁ Ἄρης αὐτῷ ἀπείκασται πολλοὺς Ἑλλήνων ἀναιρῶν.

9. κόρυθος φάλον] τὸ τῆς περικεφαλαίας λαμπρὸν, τὸ προμετωπίδιον.

10. τινὲς τὸ μετώπῳ δυϊκῶς. καὶ ἀλλαχοῦ γάρ φησιν "ἐμῆς κόρυθος λεύσσουσι μέτωπα" (Il. 16, 70).

12. Ἄξυλον] οἰκείῳ φιλοξένῳ τὸ ὄνομα· Ἄξυλος γὰρ παρὰ τὸ ἄγειν, ὡς καὶ παρὰ τὸ καλεῖν Καλήσιος. τινὲς δὲ τὸν ξύλα δαπανῶντά φασιν, ἐπιτάσει τοῦ ᾱ.

3. *ἐνέκρινεν] ἐπέκρινεν
*Χάρης (recte Χαῖρις La Roche *Textkr.* p. 81) δὲ γράφει] ἄλλοι δὲ
15. *ἐπιφαίνων τὴν ὁμοιότητα] ἐπὶ τὴν τῶν ἐπιφανῶν ὁμοιότητα
23. μήπω] τῆς Vill.
25. ἀπείκασται] ἀπείκᾶ

14. ἀφνειὸς βιότοιο] πλούσιος τῷ βίῳ. δηλονότι δι' ὅλης πλευτῶν τῆς ζωῆς.

15. πάντας, φησὶ, τοὺς παρατυγχάνοντας. ἡ δὲ ἐπί ἀντὶ τῆς παρά, ὡς τὸ ἐπὶ λιμένι οἰκῶν.

*Πορφυρίου. τὸ ὁδῷ ἔπι οἰκία ναίων οὐκ ἔστι τὸ παρὰ τὴν ὁδὸν οἰκῶν, ἀλλ' ἡ ἐπί δηλοῖ ἐν τούτοις τὸ ὑψηλὸν ἀπὸ τῆς γῆς· ἐπεὶ τοίνυν ἐστὶν ἡ οἰκία ὑψηλοτέρα τῆς γῆς, καὶ ὁ οἰκῶν ἐν αὐτῇ ἐπάνω γῆς οἰκεῖ. οὕτως ἔφη καὶ τὸ "τὴν μὲν ἔπειτ' ἐπὶ βωμὸν ἄγων πολύμητις Ὀδυσσεύς" (Il. 1, 440), ἤγουν παρὰ τὸν βωμόν, ὅτι κυρίως βωμὸς κατασκεύασμα ἐλέγετο ἀναβαθμοὺς καὶ βήματα ἔχον, ὑψηλὸν ἀπὸ τῆς γῆς· διὰ τοῦτο οὖν ἐπὶ βωμὸν Ὀδυσσεὺς ἄγει. καὶ οὗτος μὲν ὁ βωμὸς θυήεις, εἰς ὃν ἀναβαίνειν ἔστιν. ἔστι δὲ καὶ ἄλλος ὅπου τὰ ἅρματα ἐτίθετο· "ἅρματα δ' ἅμ βωμεῖσι τίθει" (Il. 8, 441). καὶ ἐπὶ τούτου οἰκείως χρησάμενος τῇ ἀνά προθέσει, καὶ τὸ "ἥδ' ἧσται ἐπ' ἐσχάρῃ" (Od. 6, 305) σημαίνει ὡς τοῦ θρόνου ὑψηλοτέρου ὄντος τῆς ἐσχάρας, καὶ τὸ "γενεὴ δέ τοι ἔστ' ἐπὶ λίμνῃ Γυγαίῃ" (Il. 20, 390), ἡ γένεσις καὶ ἡ γονὴ καὶ ὁ τόπος ἐν ὕψει τῆς λίμνης.

16. ἀλλά οἱ οὕτις] δοκεῖ ἡ προσθήκη αὕτη τὸ κάλλιστόν τε καὶ βιωφελὲς ἐξευτελίζειν ὡς οὐκ ὂν καλόν· καίτοι μᾶλλον ἐχρῆν καὶ βοηθόν τινα ἐκ θεῶν τούτῳ ἀναπλάσαι, ἵν' ἡμεῖς προτρεπώμεθα ἐπὶ τὸ φιλόξενον. ἢ οὖν ἁπλῶς ἀναπεφώνηται, ὡς τὸ "οὐδὲ ἑκηβολίαι" (Il. 5, 54)· ἢ ἀποδοκιμάζει τὴν ἄκριτον φιλοξενίαν καὶ τὸ μὴ ἐπικρίνειν ποῖός τίς ἐστιν ᾧ μέλλει δεξιὰν συνάπτειν. ἐναρέτων γὰρ ἴδιον οὐχὶ τὸ πάντας φιλεῖν, ἀλλὰ τινάς· διὸ οὐδένα φίλον ἔσχεν. εἶτα καὶ ἐπίορκος μετὰ τῶν ἄλλων ὑπόκειται· τὰ δὲ καλὰ καθαρεύειν ἀπὸ τῶν ἐναντίων ὀφείλει.

17. πρόσθεν ὑπαντιάσας] ἢ ὑπερασπίσας, ἢ ἐναντιωθεὶς Διομήδει, ἢ ἀντὶ τοῦ πρὸ τούτου, ἵνα ᾖ πρὸς Διομήδην καὶ καθ' ὑπερβατόν· ἀλλὰ πρόσθεν ὑπαντιάσας ἄμφω θυμὸν ἀπηύρα, τουτέστιν ἀμφοτέρων ἀφελόμενος τὸν θυμὸν αὐτοὺς ἀφείλετο· ἀφῃρημένης γὰρ τῆς ψυχῆς κωφὸν τὸ σῶμα λείπεται.

19. πλεονάζει ἡ ὑπό, ὡς τὸ ὑποδμώς. ἢ ὅτι καὶ ὁ παραβάτης ἡνίοχος λέγεται, ὡς τὸ "θρασὺν ἡνίοχον φέροντες Ἕκτορα" (Il. 8, 89). τὸ δὲ γαῖαν ἐδύτην φησὶν, ὅτι γῆν ταφέντες ἐνεδύσαντο.

5. *Πορφυρίου] om. 6. Post οἰκῶν signum scholii finiti (:—)

21. Αἴσηπον] οὗτος μὲν ἐξ Αἰσήπου τοῦ ποταμοῦ λέγεται, ὁ δὲ Πήδασος παρὰ τὸ πηδᾶν. οἱ δὲ περὶ Ἀρίσταρχον Πήρεχον τὴν Πήδασον λέγουσιν.

22. Νηΐς] ἢ παρὰ τὰ νήματα ἢ παρὰ τὰ νήϊα ξύλα· φασὶ γὰρ τὰς λεγομένας Νηΐδας νύμφας ἐν ἑλώδεσιν ὄρεσι διαιτᾶσθαι. τὸ δὲ Ἀβαρβαρέη κύριον· λέγει δὲ τὸ πολὺ καὶ χυδαῖον ἀβέρβηλον.

23. ἀγαυοῦ] τῷ γένει ἢ τῷ κάλλει· τὸν γὰρ Λαομέδοντος τρόπον οὐκ ἐπαινεῖ, ἐπειδὴ τοὺς περὶ Ἀπόλλωνα καὶ Ποσειδῶνα θεοὺς ἠδίκησε, καὶ αἴθις Ἡρακλέα.

24. σκότιον τὸν ἐξ ἀδᾳδουχήτων γάμων λέγει. σκότιον δὲ ὡς λόγιον· τὸ γὰρ κύριον παροξύνεται παρὰ Πινδάρῳ.

* σκότιον τὸν ἐκ λαθραίας μίξεως γεννηθέντα. τὸ δὲ κύριον ὄνομα Σκοτίος.

25. Ἀττικῶς ἀπὸ τῶν ὄντων τὸν τόπον δηλοῖ, ὡς τὸ "δήεις τόν γε σύεσσι παρήμενον" (Od. 13, 407).

* τὸ ἐπί ἀντὶ τῆς παρά.

27. καὶ μὲν τῶν] οὗ μὲν τὰ γένη τῶν θανάτων προλέγει, οὗ δὲ ἐπιλέγει ἀεί ποτε.

35. ταύτην τὴν Πήδασον Μονηνίαν φασὶ τὸ πρότερον καλεῖσθαι· Ἀχιλλέως δὲ αὐτὴν ἐπὶ πολὺ πολιορκοῦντος, εἶτα μέλλοντος ἀναχωρεῖν, πηδήσασά τις παρθένος ἐρασθεῖσα αὐτοῦ ἐν μήλῳ ἔγραψεν οὕτως "μὴ σπεῦδ', Ἀχιλλεῦ, πρὶν Μονηνίαν ἕλῃς· | ὕδωρ γὰρ οὐκ ἔχουσι· διψῶσιν κακῶς." ὁ δὲ περιμείνας ὑπέταξε τὴν πόλιν, καὶ Πήδασον ὠνόμασε διὰ τὴν παρθένον.

37. ζωὸν ἕλ.'] καλὸν ἐπεισόδιον πρὸς ἐξαλλαγὴν ταυτότητος.

ἀτυζομένω] ἀπὸ τοῦ ἄττω, ἀτῶ, ἀτύσω, Αἰολικῶς ἀτύζω.

39. μυρικίνῳ] ἐπεὶ μεταξὺ ποταμῶν ἡ μάχη, εἰκότως μυρῖκαι πολλαί· καὶ ἐπὶ Δόλωνος "βῆκεν ἀνὰ μυρίκην" (Il. 10, 466). ἀγκύλον δὲ διὰ τοὺς τροχούς.

2. Πήρεχον] *Τήρεχον

4. * νήματα] νάματα

6. ἀβέρβηλον] Sic correxi pro ἀβέρβελλον (* ἀβέρβρερε). Hoc vocabulum Hesychius et Suidas explicant inter alia per πολὺ, ἐπαχθὲς, μέγα, βαρύ.

19. * Μονηνίαν alii codices, ut hic et infra ap. Eustathium p. 623 bis: in B priore loco μενήνειαν, altero μενηνίαν.

21. πηδήσασά τις] * Πεισιδίκη

23. ἔχουσι] * ἔνεστι cum Eustathio.

26. ἀπὸ τοῦ ἄττω ἀτῶ ἀτύσω (ἀτύω Philemo p. 278, ἀτύσσω Etym. M. p. 168)] * ἄτω ἄττω ἀτύω ἀτύσω

40. ῥυμῷ] ἐνταῦθα ἡ τὸν ἄξονα λέγει, ἢ τὸ τοῦ ῥυμοῦ τέλος, ὃ προσερείδεται τῷ ζυγῷ. ἄμεινον δὲ λέγειν τὸν ἄξονα· καὶ γὰρ καὶ "παρὰ τροχὸν ἐξεκυλίσθη" (42).

αὐτὼ μέν] γραφικῶς οἱ μὲν ἵπποι φεύγουσιν ἐπικειμένου τοῦ ζυγοῦ· τὸ δὲ ἅρμα ἐπιπλέκεται μυρίκης κλάδῳ· ὁ δὲ Ἄδραστος κυλισθεὶς ἐκ τοῦ ἅρματος κεῖται παρὰ τὸν τροχὸν ἐπὶ πρόσωπον· ὁ δὲ Μενέλαος ἀνατετακὼς τὸ δόρυ ἐφέστηκεν αὐτῷ.

46. ἄξια δέξαι ἄποινα] οὐχ ὥρισε ποσότητα, ἀλλ' ἐν ἑαυτῷ τὸν ἀριθμὸν κατέλιπεν. ἀπὸ δὲ διηγηματικοῦ εἰς μιμητικὸν μέτεισιν.

48. πολύκμητος] ὁ ἤδη εἰργασμένος, ἢ ὁ πολλοὺς κάμνειν (ὅ ἐστιν ἀποθνήσκειν) ποιῶν· ἢ ὁ εἰς πολλοὺς καμάτους ἐπιτήδειος· ἢ ὁ δυσκατέργαστος. ταῦτα δὲ λέγει, ἵνα μὴ ὡς πένητι αὐτῷ ἀπιστήσῃ.

49. χαρίσαιτο] μετὰ χαρᾶς δοίη. ἢ τὴν πρᾶσιν ἑτέρῳ ὀνόματι περιεκάλυψεν.

51. τῷ δ' ἄρα θυμόν] μαλθακός ἐστιν αἰχμητὴς, ὅτι λόγος πολεμίου τὴν ψυχὴν αὐτοῦ ὥρινεν.

53. καταξέμεν] ὑψηλὴ γὰρ καὶ ἀνεμόεσσα ἡ Ἴλιος.

54. ἦλθε θέων] ἦλθε πρὸ τοῦ συνθέσθαι Μενέλαον. τὸ δὲ ἀντίος ὁ μὲν Ζηνόδοτος διὰ τοῦ ν̄ γράφει, ἀντίον, ὁ δὲ Ἀρίσταρχος διὰ τοῦ σ̄, ἀντίος· ὃ καὶ ἄμεινον.

56. ἦ] περισπαστέον τὸν ἦ· διαπορητικὸς γάρ ἐστι. πολὺ δὲ τὸ ἦθος ἐμφαίνει, λέγων ἆρα καλὰ πέπουθας πρὸς αὐτῶν.

58. στικτέον εἰς τὸ ἡμετέρας.

μηδ' ὅντινα γαστέρι μήτηρ] μισητὰ καὶ οὐχ ἁρμόζοντα βασιλικῷ ἤθει τὰ ῥήματα· τρόπου γὰρ ἐνδείκνυσι θηριότητα, ὁ δὲ ἀκροατὴς ἄνθρωπος ὢν μισεῖ τὸ ἄγαν πικρὸν καὶ ἀπάνθρωπον. ὅθεν κἂν ταῖς τραγῳδίαις κρύπτουσι τοὺς δρῶντα τὰ τοιαῦτα ἐν ταῖς σκηναῖς, καὶ ἢ φωναῖς τισὶν ἐξακουομέναις ἢ δι' ἀγγέλων ὕστερον σημαίνουσι τὰ πραχθέντα, οὐδὲν ἄλλο ἢ φοβούμενοι μὴ αὐτοὶ συμμισηθῶσι τοῖς δρωμένοις. δεκτέον δὲ λέγειν ὅτι εἰ μὲν ἔλεγε ταῦτα πρὸ τῆς ἐπιορκίας, ἦν ἂν ἔγκλημα· ἐπειδὴ δὲ μετὰ τοὺς ὅρκους καὶ τὴν παράβασιν, οὐκ ἐπαχθῆ· σχεδὸν γὰρ καὶ ὁ ἀκροατὴς τοῦτο βούλεται, τὸ

31. δεκτέον δὲ λέγειν ὅτι] *λεκτέον δὲ ὅτι
32. *ἂν] om.
33. ἐπαχθῆ] * ἐπαχθὴς Ἀγαμέμνων

μηδὲ γένος ἐπιλιμπάνεσθαι τῶν ἐπιόρκων· τάχα γοῦν καὶ ὑπὲρ τῶν θεῶν ὀργίζεται. ἄλλως τε πρᾶος μέν ἐστι τοῖς ἀρχομένοις, βαρὺς δὲ τοῖς ἀντιπάλοις· τοῦτο γὰρ βασιλέως ἀγαθοῦ καὶ ἰσχυροῦ.

60. ἀκήδεστοι] μὴ ἔχοντες τὸν κηδεύοντα. ἄφαντοι δὲ, ὡς μηδὲ μνημεῖον αὐτῶν παραλείπεσθαι.

62. αἴσιμα] τὰ πρέποντα τοῖς ἀδικουμένοις. ἐμαρτύρησε δὲ αὐτῷ ὡς καλῶς διαθεμένῳ τοὺς λόγους. ὁ δὲ Μενέλαος ὡς ἱκέτην οὐ φονεύει. μέτριον οὖν καὶ ἀόργητον τὸ τούτου ἦθος χαρακτηρίζει· ὁ πρότερον γὰρ ἀδικηθεὶς, νῦν δὲ τρωθεὶς ἐπὶ σπονδαῖς, φείδεται τοῦ πολεμίου.

66. μακρόν] ὡς πρὸς τὴν ἑαυτοῦ δύναμιν μακρόν· ἢ καὶ αὐτὸς ὑπὸ τῆς χαρᾶς ἐπιρρώννυται.

70. κτείνωμεν] τῷ πόνῳ συζεύγνυσιν ἑαυτὸν, δυσωπῶν τοὺς νέους. διὰ δὲ τὸ νεμεσητὸν οὐ πρὸ τῆς συμβολῆς τοῦτο παραινεῖ. τακτικὸς γάρ ἐστι καὶ καλῶς παραινεῖν οἶδε. νεκροὺς δὲ λέγει τεθνειῶτας τὸ ὂν δηλῶν, ὡς τάφρου ὀρυκτήν. ὁ δὲ Ζηνόδοτος "Τρώων ἀμπεδίου συλήσομεν ἔντεα νεκρῶν," ἵνα μὴ μόνον εἰς τὴν πρᾶξιν, ἀλλὰ καὶ εἰς τὸ κέρδος συμπεριλαμβάνοι ἑαυτὸν ὁ Νέστωρ. ἀγνοεῖ δὲ ὅτι ἔθος ἐστὶν Ὁμηρικὸν τὸ τοιοῦτον, ὡς τὸ "ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες" (Il. 2, 139)· ὤφειλε γὰρ πείθεσθε. καὶ "νῦν μὲν δόρπον ἕλεσθε κατὰ στρατὸν ἐν τελέεσσιν" (Il. 18, 298). ἔδει γὰρ εἰπεῖν ἑλώμεθα.

73. ἔνθα κεν αὖτε Τρῶες] λίαν οἶδε τὸ τῆς εἱμαρμένης ὁ ποιητὴς, ὡς καὶ ἐπὶ Ἀχιλλέως. καὶ νῦν οὖν ἀπεφθάρησαν ἂν, εἰ μὴ ἱκέτευσαν.

77. διὰ τὸ ἀλαζονικὸν συμπεριλαμβάνει καὶ Αἰνείαν· ταχὺς γὰρ ὁ Ἕκτωρ πρὸς τοὺς συμβούλους.

78. ἐγκέκλιται] ἐρήρεισται, ἐπίκειται, ἐκ μεταφορᾶς τῶν καμνόντων ἀρρωστίαις καὶ προσαναπαυομένων ἰσχυροτέροις σώμασιν, ἢ τῶν ζυγοστατουμένων. Λυκίων δὲ κατ' ἐξοχὴν τῶν συμμάχων. φησὶ δὲ ὅτι ἐὰν ὑμεῖς ἀπόλησθε, στραφήσεται ὁ πόλεμος καὶ ἡ βουλή.

*Πορφυρίου. τί βούλεται τὸ "Αἰνεία τε καὶ Ἕκτορ ἐπεὶ — φρονέειν τε;" τὸ μὲν οὖν ἐγκεκλίσθαι τὸν πόνον αὐτοῖς ἔχει τὴν μεταφορὰν ἤτοι ἀπὸ τῶν χειραγωγουμένων δι' ἀσθένειαν καὶ ἐπικλι-

5. *παραλείπεσθαι | παραλιπέσθαι. Fortasse περιλείπεσθαι. καταλείπεσθαι Bekkerus.

νόντων αὐτοὺς πρὸς τοὺς κυφίζοντας, ἢ ἀπὸ τῶν ζυγοστατούντων καὶ ῥεπόντων εἰς μέρος. ἡ ῥοπὴ οὖν τῶν πραγμάτων πρὸς ὑμᾶς ἐστὶ κεκλιμένη· τὸ ἀσθενὲς καὶ ἑαυτὸ φέρειν μὴ δυνάμενον ὑμεῖς διακρατεῖτε ὀρθοῦντες. ἢ ἀπὸ τῶν ἐγκεκλιμένων τινὶ ζῴων. ἐγκέκλιται οὖν, ἐν τῇ ὑμετέρᾳ φροντίδι περικέκλεισται ἡ σωτηρία τῶν πραγμάτων· καὶ ἡ αἰτία, οὕνεκ' ἄριστοι πᾶσαν ἐπ' ἰθὺν ἐστε. ἡ ἰθὺς οὖν ἡ ὁρμὴ, ἀπὸ τοῦ πρόσω φέρεσθαι· ἐπὶ πᾶσαν οὖν ὁρμὴν καὶ τοῦ φρονεῖν καὶ τοῦ μάχεσθαί ἐστε ἄριστοι. ἢ ἰθὺς ἡ ὀρθότης· ἄριστοι οὖν ἐστὲ ἐν πάσῃ ὀρθότητι τοῦ τε φρονεῖν καὶ μάχεσθαι.

ἀρετὴ τῶν ἡγουμένων βουλεύεσθαι μὲν ἄριστα τὸ συμφέρον, πράττειν δὲ κάλλιστα τὸ βεβουλευμένον. θεραπεύει δὲ αὐτοὺς, ἵνα ὡς φρόνιμοι δέξωνται τὴν συμβουλήν. Ἕκτορα δὲ πέμπει ὡς πείσοντα τὴν θεὸν διὰ τῆς ἀξιοπιστίας.

80. στῆτ' αὐτοῦ καὶ λαὸν ἐρυκάκετε] ὁ τρόπος σύλληψις· τῷ μὲν ἑνὶ στῆναι κελεύει πρὸ τῶν πυλῶν μὴ συγχωροῦντι φυγεῖν, τῷ δὲ ἑτέρῳ περιιέναι ὀτρύνοντι. ἢ τὸ στῆτε τῆς φυγῆς παύεσθε. οἱ δὲ ἀντιστρέφουσιν, ὡς τὸ "εἵματά τ' ἀμφιέσασα θυώδεα καὶ λούσασα" (Od. 5, 264).

81. χερσὶ γυναικῶν] καλῶς οὐκ εἶπε πύλῃσιν ἢ οἴκοισιν, τοῦτο γὰρ εὐσχημονέστερον, ἀλλὰ χερσὶ γυναικῶν· τοῦτο δὲ ἀσχημονέστερον καὶ ἀτιμότερον.

84. ἡμεῖς] ἐγὼ καὶ Αἰνείας. πιθανῶς δὲ τοῖς ἐπικινδύνοις ἑαυτὸν καταλέγει.

87. γεραιάς] τινὲς γεραιρὰς ἀναγινώσκουσιν, ἵνα δηλοῖ τὰς ἱερείας, τὰς ἐκ τῶν ἱερῶν γέρας δεχομένας.

88. εἰς τὸ γλαυκώπιδος στικτέον, καὶ λείπει ἡ εἷς· συνάγουσα εἰς τὸν ναὸν τὰς γεραιὰς καὶ ἀνοίξασα τὰς θύρας αὐτοῦ ἐν τῇ ἀκροπόλει. ἢ περισσοὶ οἱ δύο στίχοι· διὸ οὐδὲ ὑπὸ τοῦ Ἕκτορος λέγονται· οὐ γὰρ αὐτῇ τὸ οἴξαι προσῆκεν.

90. διδάσκει ἐκ τῶν καλλιστευόντων τὸ θεῖον τιμᾶν.

92. ἡ ἐπί ἀντὶ τῆς παρά, ὁμοίως τῷ "ἡ μὲν ἐπ' ἐσχάρῃ ἧστο." Στράβων γάρ φησι καθῆσθαι πρώην τὰ ἀγάλματα τῆς Ἀθηνᾶς. ἢ ἐξαρτῆσαι αὐτῆς κελεύει. φασὶ δὲ τὸ διισπετὲς ἀνδρὸς δορὰν ἡμ-

2. ἐστὶ κεκλιμένη] ἐστὶν ἐγκεκλιμένη Vill.

8. ἢ ἰθὺς ἡ Bekkerus] ἡ ἰθὺς

17. ἀμφιέσασα—λούσασα] ἀμφιέσασθαι—λούσασθαι

φιέσθαι, ἔχειν δὲ στέμματα καὶ ἠλακάτην, ἐν δὲ τῇ κεφαλῇ πόλιν, ἐν δὲ τῇ δεξιᾷ δόρυ.

*πῶς δὲ ὀρθοῦ ὄντος τοῦ Παλλαδίου τὸν πέπλον ἐπὶ γούνασι θεῖναι παρακελεύεται; καὶ τινὲς μὲν οὖν φασὶν ὅτι πολλὰ τῶν Παλλαδίων κάθηται. οἱ δὲ ἀπὸ μέρους τὸ ὅλον σῶμα, ὡς ἐπὶ τοῦ εὐκνήμιδες Ἀχαιοί. οἱ δέ, ὅτι γούνατα καὶ τὰς ἱκετείας φησί· λέγει γὰρ "ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται" (Od. 1, 267), τουτέστιν ἐν τῇ τῶν θεῶν λιτανείᾳ καὶ δεήσει. θεῖναι τὸν πέπλον ἐπὶ γούνασιν Ἀθηναίης ἀντὶ τοῦ ἐπὶ λιτανείᾳ καὶ δεήσει. καὶ τὸ ἐπί οὖν ἀντὶ τῆς παρά, ὡς ἐν τῷ "ποιμαίνων δ' ἐπ' ὄεσσιν ἐμίγη φιλότητι" (Il. 6, 25) ἀντὶ τοῦ παρὰ τοῖς ὄεσσιν. οὕτω γοῦν καὶ ἐπὶ γούνασιν ἀντὶ τοῦ παρὰ γούνασιν Ἀθηναίης.

102. οὔτι κασιγνήτῳ ἀπίθησεν] καὶ γὰρ καὶ τὸ μονομάχιον τούτῳ πεισθεὶς ἐποίησεν. δεισιδαίμων δὲ ὢν οὐ θέλει παρέργως τὴν θυσίαν γενέσθαι. ἄλλως τε παροξύνει αὐτοὺς καὶ καταλείπει Αἰνείαν. ἢ πρὸς ἀνάπαυσιν τῶν στρατευμάτων. διὸ καὶ τὸ μονομάχιον Γλαύκου παράγεται. ἢ ἐπεὶ ὠνείδισται ὑπὸ Σαρπηδόνος, Ἀλέξανδρον θέλει παρεγεῖραι.

106. ἐλελίχθησαν] διεγείρει γὰρ αὐτὸν ἡ τοῦ "πάντη ἐποιχόμενοι" (Il. 6, 81) ἔπειξις.

108. δέ] ὁ δὲ ἀντὶ τοῦ γάρ.

109. ὣς] ἀντὶ τοῦ οὕτως· τινὲς δὲ συνάπτουσιν ὅλον, τὸ ὡς ἀντὶ τοῦ ὅτε λέγοντες.

110. ἐκέκλετο] ἀπὸ τοῦ κέλω ἐκέλετο, καὶ πλεονασμῷ τοῦ κ ἐκέκλετο.

112. ἐπιπληχθεὶς ὑπὸ Σαρπηδόνος μετριώτερος γέγονε, καὶ τὴν προσφώνησιν φιλανθρωποτέραν ποιεῖται.

3. πῶς—Ἀθηναίης] Hoc scholion infra ad v. 273 repetitur cum levi scripturae diversitate sic scriptum, πῶς ὀρθοῦ ὄντος τοῦ παλλαδίου τὸν πέπλον ἐπὶ γούνασι θεῖναι παρακελεύεται; καὶ τινὲς μὲν οὖν φασὶν ὅτι πολλὰ τῶν παλλαδίων κάθηται· οἱ δὲ ἀπὸ μέρους τὸ ὅλον σῶμα, ὡς ἐπὶ τοῦ εὐκνήμιδες Ἀχαιοί· οἱ δὲ ὅτι γούνατα καὶ τὰς ἱκετείας λέγει· φησὶ γὰρ "ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται" (Od. 1, 267), τουτέστιν ἐν τῇ τῶν θεῶν ἱκετείᾳ καὶ δεήσει. θεῖναι οὖν Ἀθηναίης ἐπὶ γούνασι, τουτέστιν ἐπὶ τῇ λιτανείᾳ (λιτᾷ codex) καὶ δεήσει τὸν πέπλον. οἱ δὲ ὅτι τῇ ἐπί ἀντὶ τῆς παρά εἴωθε χρῆσθαι, ὡς τὸ (25) "ποιμαίνων δ' ἐπ' ὄεσσι μίγη φιλότητι," ἀντὶ τοῦ παρὰ τοῖς ὄεσσι. καὶ "ἡ μὲν ἐπ' ἐσχάρῃ ἧστο" ἀντὶ τοῦ παρὰ τῇ ἐσχάρῃ. οὕτω γοῦν καὶ ἐπὶ γούνασι τὸ παρὰ γούνασιν Ἀθηναίης.

15. ἄλλως τε] ἄλλως τε καὶ Bekkerus.

26. *ἐπιπληχθεὶς] ἐπεὶ πληχθεὶς

113. ὄφρ' ἂν ἐγὼ βείω] ταύτην τὴν ἀπολογίαν ποιεῖται, ἵνα μὴ δοκῇ φεύγειν.

114. βουλευτῆσι] ὁ μὲν Ἕλενος ἔλεγεν "εἰπὲ δ' ἔπειτα μητέρι σῇ καὶ ἐμῇ· ἡ δὲ ξυνάγουσα γεραιάς." ὁ δὲ Ἕκτωρ τὴν μὲν ὑπὲρ Διομήδους ἐκκλέπτει εὐχήν, τοῦ δὲ εὐπρεποῦς ἕνεκα προστίθησι τοὺς προβούλους γέροντας. πιθανῶς δὲ καὶ τοῖς βουλευταῖς φησὶν, ἵνα μὴ δοκῇ γυναῖκας μόνας ἐπὶ τοῦ στρατεύματος ὀνομάζειν.

115. δαίμοσιν ἀρήσασθαι] ἐπέρρωσεν αὐτοὺς χρηστῇ ἐλπίδι· δεδίασι γὰρ ὡς παρασπονδήσαντες.

116. ἀπέβη] καὶ πῶς ἔδει τοσαύτῃ περιστάσει συνεχομένων τῶν Τρώων ἀναχωρεῖν καὶ μὴ μᾶλλον ἐπικηρυκεύσασθαι τὴν θυσίαν; ἀλλ' ἤδει τοὺς Τρῶας ἐθελοκακοῦντας τῇ ἀπουσίᾳ Ἀλεξάνδρου, καὶ μᾶλλον ἐπὶ τοῦτον ὥρμητο, ἵνα διεγείρῃ καὶ αὐτόν.

*Πορφυρίου. ἡ εἰς τὴν Ἴλιον ἐπάνοδος τοῦ Ἕκτορος ἀλόγως ἔχειν δοκεῖ· καὶ γὰρ διὰ κήρυκος τὰ περὶ τὴν θυσίαν ἀποσταλῆναι ἠδύνατο. ἡ λύσις ἐκ τοῦ καιροῦ. τῶν γὰρ Τρώων ἐθελοκακούντων διὰ τὴν τοῦ Ἀλεξάνδρου ἀπουσίαν, τὸ πλέον ἐπὶ τούτους πορεύεται.

*ἀποροῦσιν ἐπὶ τῇ ἀποστάσει Ἕκτορός τινες τῇ εἰς τὴν πόλιν γεγονυίᾳ, πάσης οὕτως τῆς ῥοπῆς τῶν πραγμάτων παρὰ τοῖς Ἕλλησιν οὔσης. δυνάμενος ὁ Ἕκτωρ καὶ ἄλλον ἀποστέλλειν πρὸς τὴν μητέρα, ἵνα εὔξηται καὶ τὰς ἄλλας εἰς τοῦτο παρακαλέσῃ, οὐ ποιεῖ τοῦτο, ἀλλ' αὐτὸς ἄπεισιν. οἱ μέν φασιν, ὅπως τῇ γυναικὶ διαλεχθῇ, τοῦτο τὸν ποιητὴν οἰκονομῆσαι· οἱ δὲ τοῦτο μὲν ἄλλως φασὶν ἐπακολουθῆσαι, προηγούμενον δὲ ἰδεῖν ὡς εὔλογον εἶναι ἀπαίτησιν. . . . φασὶν ὅτι παρών τε οὐδὲν ὠφέλει καὶ ἀπελθὼν ἐξ ὧν ὁ μάντις ἔλεγεν ἀπαλλαγὴν τῶν παρόντων εὕρισκε, παρασκευάσας τὸ θεῖον εὐμενές. καὶ οὐ μικρὰν δὲ ἔφασαν ἐπιστροφὴν τοῦ θείου εἶναι τὸ ἢ διὰ τοῦ τυχόντος ἢ διὰ τοῦ προεστῶτος τῶν πραγμάτων γίνεσθαι τὴν θεραπείαν, ἐπεὶ οὐδὲ τὸ ὑπὸ οἰκέτου τυχεῖν διακονίας ὅμοιον τῷ ὑπὸ τοῦ υἱοῦ ἢ ἀδελφοῦ ἢ γυναικός· ὑπὸ τῶν ἀρίστων γὰρ τιμωμένους τοὺς θεοὺς εἰκὸς μᾶλλον χαίρειν ἢ ὑπὸ τῶν τυχόντων. ἔπειτ' οὐ περὶ τοῦ Ἕκτορος ζητεῖν δεῖ, διὰ τί χωρίζεται πεισθεὶς τῷ μάντει καὶ τούτου

14. *Πορφυρίου] om.
17. τούτους] τοῦτον Vill.
19. πάσης] Post πάσης (π̃ . . . codex) et infra post ἄπεισιν et post ἀπαίτησιν (in cod. ἀπαιτοῦ . . . quod correxit Vill.) aliquot litterae exciderunt, quae hodie legi non possunt.
27. μικρὰν Vill.] μικροῖς

ἀκούσας ἐκτελεῖ τὴν πρόσταξιν, συντελεῖν τὰ κελευόμενα πρὸς τοὺς θεοὺς καθήκειν κρίνας· πρὸς δὲ τὸν μάντιν, εἰ ἄρα, ζητεῖν ἔδει δι' ἣν αἰτίαν καὶ τοῦτον ἀπάγει. εἶπε δ' ἂν ὅτι οὐ πρὸς τὰς δόξας τῶν πολλῶν ἅπαντα πέφυκεν εἰς τοὺς θεοὺς καθήκοντα, ἀλλ' ὥσπερ ἐφάνη δεῖν εὔξασθαι, καὶ θεῷ οὐκ ἄλλῳ, ἀλλὰ τῇ Ἀθηνᾷ, πέπλον τε ἀναθεῖναι τὸν χαριέστατον ἠδὲ μέγιστον, καὶ βουθυσίας ὑποσχέσθαι, καὶ διὰ πρεσβυτίδων γυναικῶν καὶ ἐντίμων καὶ τῶν ἱερειῶν γενέσθαι τὰς εὐχάς, οὕτωσὶ δὲ καὶ ὅτι διὰ πρεσβευτοῦ καὶ ἀξιόχρεω Ἕκτορος παντὶ λῷον ἐφάνη τὴν πραγματείαν γενέσθαι, μείζονα ἔχοντος τὴν τοῦ συμφέροντος κατάληψιν ἢ οἱ ἄλλοι ἰδιῶται. καὶ μῆνις θεῶν πολλάκις ἰδίως διά τινος λύεται προσώπου, καὶ διὰ τοῦδε μᾶλλον τοῦ ἱερείου ἢ τοῦδε, καὶ τῶνδε παρόντων ἢ τῶνδε. χωρὶς δὲ τούτων, οὐκ ἔρημον ἄρχοντος κατέλιπε τὸ στρατόπεδον, ἀλλ' οἵ τε ἀδελφοὶ παρῆσαν πολλοὶ καὶ ὁ Αἰνείας καὶ οἱ Ἀντηνορίδαι καὶ Πουλυδάμας, ἀξίωμα ἐπὶ τῷ μάχεσθαι καὶ φρόνημα οὐ μικρὸν ἔχοντες. δεῖ οὖν μᾶλλον λογίζεσθαι διὰ τὴν εἰρημένην χρείαν καὶ ἄλλα παρευρίσκειν ὠφελεῖν μέλλοντα τοὺς οἰκείους, ὧν καὶ τὸ ἐξαγαγεῖν κρυπτόμενον τὸν Ἀλέξανδρον καὶ οἶκοι διατρίβοντα· πρὸς ὃν εἰκὸς ἀγανακτοῦντας τοὺς Τρῶας ἐθελοκακεῖν ἐν τῷ πολέμῳ. ῥᾳδίως δὲ οὐκ ἂν ἐξήγγελλε, πέμψας ἄλλους πρὸς αὐτόν.

117. ἀμφὶ δέ μιν σφυρὰ] ἐναργῶς ἐδήλωσε θέοντα καὶ ὑπὸ τῆς ἀμφιβρότης ἀσπίδος τυπτόμενον. καταλλήλως δὲ εἶπεν ὅτι κατὰ τὰ σφυρὰ καὶ τὸν αὐχένα ἡ δερματίνη ἄντυξ αὐτὸν ἔτυπτεν. οὐκ ἐπὶ ἵππων δὲ ἀναχωρεῖ διὰ τὸ μὴ δοκεῖν φεύγειν, ἢ ἐπεὶ πρὸς ἱκετείαν ἄπεισιν· ἢ ὅπως καὶ οἱ πολέμιοι θεώμενοι τὸ ἅρμα μὴ δοκοῖεν αὐτὸν ἀπηλλάχθαι.

119. διαναπαύει τὸν ἀκροατὴν γενεαλογίας καὶ μύθους παρεμβαλών, οὐκ ἐᾷ τε κενὴν τὴν ἄφιξιν Ἕκτορος, ὅ τε στρατὸς διαναπαύεται ἀφορᾶν τὸ τέλος τῶν ἀριστέων. καὶ Ἑλλήνων ὑποχωρησάντων καὶ κενοῦ ὄντος τοῦ μεταιχμίου προπηδᾷ Γλαῦκος. ἐν τάχει μὲν οὖν πέφρασται, ὅμως δὲ πρὸς ὠφέλειαν ταῦτα ὁ ποιητὴς ἐπεξείργασται.

120. ἐς μέσον ἀμφοτέρων] διεστῶτες γὰρ ἦσαν καὶ ἀναπαυόμενοι.

7. ἱερειῶν Bekkerus] ἱερείων 28. ἄφιξιν] *ἔξοδον
31. *πέφρασται] πέφραται

123. τίς δὲ σύ ἐσσι] μέχρι γὰρ τοῦ τρῶσαι τοὺς θεοὺς τὴν ἀχλὺν ἀφῄρητο· νῦν δὲ περίκειται αὐτήν.

124. οὐ μὲν γάρ ποτ' ὄπωπα] δευτέραν γὰρ Σαρπηδόνος ἔχων τὴν τάξιν οὐ προεμάχει. ἢ ἐν τῇ πρὸς ἐμὲ, φησὶ, μάχῃ οὔ πώ σε τεθέαμαι.

125. προβέβηκας] ὡς δὴ ἀναπαυομένων τῶν φαλάγγων χώραν λαβὼν ἔπεισιν αὐτῷ.

127. δυστήνων] κακὴν ἐχόντων τὴν στάσιν, ἢ δυσθανῶν.

128. ὡς τὸ "βὰν δὲ κατ' Ἰδαίων ὀρέων" (Il. 8, 410) καὶ "ὣς φαμένη κατέβαιν' ὑπερῴϊα σιγαλόεντα" (Od. 18, 205), ἵνα καὶ τοῦτο τῷ εἰλήλουθας συντάσσοιτο. οἱ δὲ ἀντὶ τῆς ἀπό. τοῦτο δέ φησιν, ἐπεὶ εἶπε "φὰν δέ τιν' ἀθανάτων" (108)· τὸ γὰρ παράδοξον τῆς τόλμης ἀπιστεῖν αὐτὸν εἰκότως ἐργάζεται.

129. *Πορφυρίου. πῶς, φασὶ, λέγει Διομήδης "οὐκ ἂν ἔγωγε— Λυκούργου" καὶ τὰ ἑξῆς; πῶς γὰρ παραιτεῖσθαι λέγων τὸ θεομαχεῖν αὐτὸς μὲν δύο τέτρωκε θεοὺς ἤδη, τὸν Διόνυσον δὲ ἐν αὐτοῖς τούτοις μαινόμενον λέγει καὶ πεφευγέναι εἰς θάλασσαν φοβηθέντα; ἄτοπον γὰρ καὶ ψεύστην ὁμοῦ καὶ βλάσφημον τὸν Διομήδη κατελέγχον. λύσις. τὸ μὲν οὖν τρῶσαι θεοὺς οὐ κατὰ προαίρεσιν αὐτοῦ γέγονε, καθ' ὑπηρεσίαν δὲ ἄλλης θεοῦ, κατὰ θεῶν ἔπεσθαι καὶ αὐτῆς κελευσάσης. τοῖς δύο δ' εἰρηκυίας Ἀθηνᾶς μόνοις δεῖν ἐναντιωθῆναι, καὶ διὰ τούτους τὴν ὁμίχλην ἀφελούσης καὶ τὴν ἀπὸ τούτων μόνων ἀγνωσίαν ἀφῃρημένης, προσθείσης δὲ "μή τί σύ γ' ἀθανάτοισι θεοῖς ἀντικρὺ μάχεσθαι τοῖς ἄλλοις" (Il. 5, 130), καὶ τοῦ Διομήδους εἰπόντος "ἀλλ' ἔτι σῶν μέμνημαι ἐφετμέων ἃς ἐπέτειλας, οὔ μ' εἴας μακάρεσσι θεοῖς ἀντικρὺ μάχεσθαι τοῖς ἄλλοις" (ib. 818), Γλαύκου δὲ θρασύτερον ἐπιόντος, εὐλαβεῖται μή τις εἴη θεὸς, καὶ τῆς παραγγελίας εἰς μνήμην ἀγείρει, λέγων "οὐκ ἂν ἔγωγε θεοῖσιν ἐπουρανίοισι μαχοίμην." μαινόμενος δὲ ὁ Διόνυσος οὐ κατὰ βλασφημίαν εἴρηται, ἀλλὰ παραστατικῶς τῆς τοῦ θεοῦ κατὰ βακχείαν ὁρμῆς, φλέγοντος ἰσχυρῶς καὶ ἀκμάζοντος καὶ ἐρρωμένου ἐν τῇ τῆς χορείας καταστάσει, ὁμοίως τῷ "μαίνετο δ' ὡς ὅτ' Ἄρης ἐγχέσπαλος ἢ ὁλοὸν πῦρ" (Il. 15, 605). καὶ ἐν τῇ συνηθείᾳ δὲ ἐπὶ τῶν

4. προεμάχει] προεμάχη
18. κατελέγχον Bekk.] κατελέγχοῦ
25. ἐπέτειλας] ἐπέτελλ
28. εἰς μνήμην ἀγείρει] μνήμην ἐγείρει Vill.
31. καὶ ἐρρωμένου Vill.] καὶ om.

ὑπερβαλλόντων τοῖς ἔργοις κατ' ἀνδρείαν μαίνεται φαμὲν, μανίαν τὴν ἐνθουσιαστικὴν πρᾶξιν λέγοντες. καὶ Πλάτων δὲ διαιρῶν τὰς μανίας δείκνυσι τὰς ἀγαθάς τε καὶ θείας αἰτινές εἰσι. φυγὴν δὲ Διονύσου, οὐχ ὁ Διομήδης κατέγνωκε. τοῖς δὲ λεγομένοις καὶ κεκρατηκόσι μύθοις Ὅμηρος κρίνων αὐτοὺς εἰς χρῆσιν κατὰ καιρὸν τοῖς ἥρωσιν ἀνατέθεικεν. τὰ δὲ κατὰ τὴν Λυκούργειαν οἰκεῖον ἦν εἰδέναι τῷ Διομήδει. Οἰνεὺς γὰρ ὁ πάππος αὐτοῦ ὁμόλεκτρος λέγεται Διονύσῳ γενέσθαι· οἷδεν οὖν εἰκότως τὰ κατὰ τὸν Διόνυσον, καὶ ὁποίου τέλους ἔτυχεν ὁ πρὸς τοῦτον μαχεσάμενος Λυκοῦργος. ἐναργῶς δὲ καὶ ἐν ὀλίγοις καὶ κυρίᾳ τῇ λέξει χρώμενος χορείαν ἀπήγγειλε Βακχῶν· ὁ μὲν γὰρ Λυκοῦργος τὸν πέλεκυν ἀνατετακὼς ὁρᾶται (οὗτος γάρ ἐστιν ὁ βουπλήξ), αἱ δὲ φεύγουσαι κατὰ τὸ ὄρος, οἱ δὲ θύρσοι κείμενοι χαμαὶ, ὁ δὲ Διόνυσος διὰ δέος καταδυόμενος εἰς τὴν θάλασσαν ὡς ἂν ἔτι παῖς, καὶ Θέτις ὑποδεχομένη τοῖς κόλποις ὡς νήπιον ἔτι καὶ παῖδα, τὸν δὲ δεδιότα διὰ τὴν ἀπειλὴν τοῦ ἐπανατεινομένου τὸν πέλεκυν ἀνδροφόνου Λυκούργου. καὶ τὸ τὰ θύσθλα δὲ καταχέαι φάναι, ἀλλὰ μὴ ῥῖψαι, τὸ ἄβρὸν τῶν περὶ τὸν Διόνυσον Βακχῶν παραστήσει.

132. * νομίζουσί τινες μηδὲ Διόνυσον εἶναι παρ' Ὁμήρῳ θεὸν, ἐπειδήπερ ὑπὸ Λυκούργου διώκεται, καὶ μόλις δοκεῖ σωτηρίας τυχεῖν Θέτιδος αὐτῷ παραστάσης. τὸ δ' ἐστὶν οἶνου συγκομιδῆς γεωργικὴ ἀλληγορία, δι' ὧν φησὶν "ὅς ποτε μαινομένοις—κόλπῳ δειδιότα." μαινόμενον μὲν εἴρηκεν ἀντὶ Διονύσου τὸν οἶνον, ἐπειδήπερ οἱ πλείονες τῷ πότῳ χρώμενοι τοῦ λογισμοῦ διασφάλλονται, ὥσπερ τὸ δέος χλωρὸν καὶ πευκεδανὸν, εἰ τύχοι, λέγει τὸν πόλεμον· ἃ γὰρ ἀπ' αὐτῶν συμβαίνει, ταῦτα ἐκείνοις εἴρηκε περιάψας ὅθεν ἄρχεται τὰ πάθη. Λυκοῦργος δὲ ἀνὴρ καὶ ἀμπέλου λήξεως δεσπότης, μετὰ τὴν ὀπωρινὴν ὥραν, ὅτε συγκομιδὴ τῶν Διονυσιακῶν καρπῶν ἐστὶν, ἐπὶ τὴν εὐφορωτάτην ἐξεληλύθει Νῦσαν. τιθήνας δὲ τοῦ Διονύσου νομίζειν δεῖ τὰς ἀμπέλους. καὶ μετὰ τοῦτο ἔτι δρεπομένων τῶν βοτρύων φησὶ "Διώνυσος δὲ φοβηθείς," ἐπειδήπερ ὁ μὲν φόβος εἴωθε τρέπειν τὴν διάνοιαν, ὁ δὲ τῆς σταφυλῆς καρπὸς τρεπόμενος, θλιβόμενος εἰς οἶνον·

4. οὐχ ὁ Διομήδης] οὐκ Ἰδομενέως Bekk. οὐκ Ἰδομενῆος Vill.
6. Λυκούργειαν] λυκουργίαν
7. αὐτοῦ Bekk.] αὐτῷ
11, 18. Βακχῶν] βάκχων
12. αἱ δὲ φεύγουσαι] οι et ι (i. e. οἱ δὲ φεύγουσι) superscr.
25. χλωρὸν—λέγει Vill.] καὶ π. εἰ τύχῃ καὶ χ. λέγει
29. Νῦσαν] νύσσαν

ἔθος γὰρ τοῖς πολλοῖς ἐπὶ φυλακῇ τοῦ διαμένειν ἀκλινῆ τὸν οἶνον ἐπικιρνᾶν θαλαττίῳ ὕδατι. παρὰ τοῦτο ὁ Διόνυσος "δύσεθ' ἁλὸς κῦμα, Θέτις δ' ὑπεδέξατο κόλπῳ," ἡ τελευταία μετὰ τὴν ἀπόθλιψιν τοῦ καρποῦ θέσις· αὕτη γὰρ ἐσχάτη δέχεται τὸν οἶνον, διότι τὸν ἐν ἀρχῇ τοῦ νεοθλιβοῦς γλεύκους παλμὸν καὶ τὴν μεθαρμόζουσαν ὁρμὴν δέος εἶπε καὶ τρόμον. οὕτως ὁ Ὅμηρος οὐ φιλοσοφεῖν μόνον ἀλληγορικῶς, ἀλλὰ καὶ θεωρεῖν ἐπίσταται. θύσθλα δὲ αἱ κράδαι αἱ βακχικαί, ἤτοι συκῆς φύλλα. ἔνιοι δὲ τὰ ἐπιφερόμενα τοῖς βωμοῖς· οἱ δὲ τὰ φύλλα τῆς ἀμπέλου, ἢ κισσὸν, ἢ κλάδους, ῥάβδους, νάρθηκας, θύματα, στεφάνους, χοάς.

133. ἐν διαφόροις τόποις ἱστοροῦσι τὰ περὶ Νυσίαν· ἄμεινον δὲ τὰ περὶ Θρᾴκην ἀκούειν καὶ Σαμοθρᾴκην, καὶ τὸν Διόνυσον ἐκεῖσε δύνειν ἔνθα καὶ Θέτις διῆγε "μεσσηγὺ Σάμου τε καὶ Ἴμβρου παιπαλοέσσης" (Il. 24, 78).

134. θύσθλα] οἱ μὲν τοὺς κλάδους, οἱ δὲ τὰς ἀμπέλους, οἱ δὲ τοὺς θύρσους, οὓς ἐβάσταζον, ὃ καὶ ἄμεινον.

135. φοβηθείς] μικρὸς γὰρ ἦν ἀπὸ τοῦ καὶ τὰς τιθήνας αὐτῷ συγκαταλέγεσθαι καὶ εἰς τὸν κόλπον αὐτὸν δεδυκέναι καὶ Λυκοῦργον μὴ τιμωρήσασθαι.

138. ῥεῖα ζώοντες] ὁ γὰρ ἡμῶν βίος παρὰ τὴν βίαν ὅλως ἐστίν.

139. τυφλὸν ἔθηκε] ἐπεὶ τὰς τελετὰς ὁρῶν οὐκ ἐσωφρόνει, οἰκείως τὰς ὄψεις κολάζεται.

148. τηλεθόωσα] εἰς ὕψος θάλλουσα καὶ αὐξομένη.

149. ἠμὲν—ἠδ'] δύναται μὲν καὶ ἄρθρα εἶναι, ἄμεινον δὲ συνδέσμους αὐτοὺς ἐκδέχεσθαι. Ἀλεξίων δὲ εὐθύνει τὰ ἄρθρα σολοικισμὸν κατὰ τὴν φράσιν νομίζων, καί φησι, πῶς ἑνικὸν ὂν τὸ γενεὴ ἐπιμερίζεσθαι δύναται; κακῶς δέ· δύναται γὰρ καὶ ἐξ ἑνικοῦ ἐπιμερισμὸς γενέσθαι.

*φύει] τὸ φύω σημαίνει τρία, τὸ ἀναβλαστάνω, ὡς ἐνταῦθα, καὶ τὸ ὑπάρχω, ὡς τὸ "θεὸς πεφυκώς," καὶ τὸ κρατῶ καὶ περιπλέκομαι, ὡς τὸ "ἐν τ' ἄρα οἱ φῦ χειρί" (Il. 6, 253) καὶ τὸ "ὣς ἔχετ' ἐμπεφυυῖα" (Il. 1, 513).

150. εἰς τὸ θέλεις ὑποστικτέον, ἵνα ᾖ τὸ δαήμεναι ἀντὶ τοῦ δάηθι.

7. Post ἐπίσταται signum est scholii finiti (:—). Reliqua recentiora sunt.

152. τὴν Κόρινθον λέγει. εἰσὶ δὲ Ἔφυραι καὶ ἄλλαι, ἡ ἐν Θεσπρωτίᾳ, ἡ ἐν Θεσσαλίᾳ, ἡ ἐν Οἰνόῃ, καὶ νῆσος περὶ Μῆλον.

153. κέρδιστος] μέσον ἐστὶ τοῦτο τὸ ὄνομα· ὡς συγγενὴς δὲ οὐ βλασφημεῖ. ἡ δὲ ἐπανάληψις τὸν ἔνδοξον παρίστησι καὶ τὸν συνετόν.

155. *Βελλεροφόντην] οὗτος πρότερον ἐκαλεῖτο Ἱππόνους. ἀνελὼν δὲ Βέλλερον τὸν Κορινθίων δυνάστην Βελλεροφόντης ἐκλήθη. ἦν δὲ φύσει μὲν παῖς Ποσειδῶνος, ἐπικλήσει δὲ Γλαύκου. λαβὼν δὲ παρὰ Ποσειδῶνος τὸν Μεδούσης τῆς Γοργόνος Πήγασον πτερωτὸν ἵππον (διὰ γὰρ τοῦτο ἔσχε καὶ τὴν προσηγορίαν, ὅτι ἐκπεπηδήκει ἐκ τοῦ τῆς Γοργόνος τραχήλου), τούτῳ ἐπωχεῖτο. δράσας δὲ ἐμφύλιον φόνου, Βέλλερον γάρ τινα, ὡς ἔφην, τῶν πολιτῶν ἀποκτείνας φεύγει εἰς Ἄργος· τυχὼν δὲ καθαρσίων παρὰ τοῦ βασιλέως Προίτου μετ' αὐτοῦ διέτριβεν. Ἄντεια δὲ ἡ Προίτου γυνὴ, ἐρασθεῖσα τοῦ Βελλεροφόντου, ἐδέετο ὅπως συνευνασθῇ· ὁ δὲ δεξιούμενος τὸ ὅσιον ἀντέλεγεν. ἡ δὲ Ἄντεια δείσασα μὴ τῷ Προίτῳ προλαβὼν ἐξείποι τοὺς αὐτῆς ἔρωτας, ἔφθασε τὸν Βελλεροφόντην κατειποῦσα ὡς ἄρα εἴη βεβιασμένη παρ' αὐτοῦ. ὁ δὲ Προῖτος αὐτόχειρ μὲν οὐκ ἠβουλήθη ἀποκτεῖναι τὸν Βελλεροφόντην, πέμπει δὲ αὐτὸν εἰς Λυκίαν πρὸς τὸν πενθερὸν Ἰοβάτην, ἀδοκήτως καθ' ἑαυτοῦ κομίζοντα γράμματα. ὁ δὲ πολλοῖς αὐτὸν ἐγγυμνάσας ἄθλοις, ὡς οὐχ ἑώρα φθειρόμενον, ὑπετόπησε τὴν κατ' αὐτοῦ στρατηγῆσαι δεινὴν καταβολήν· τοσοῦτον γὰρ κακῶν ὄχλον τῇ δυνάμει κατηγωνίσατο. ἔδωκε δὲ αὐτῷ τὴν ἰδίαν θυγατέρα Κασάνδραν καὶ τῆς βασιλείας μοῖράν τινα. ἐπαρθέντα δὲ αὐτὸν ἐφ' οἷς ἔπραξε λέγεται θελῆσαι μετὰ τοῦ Πηγάσου τὸν οὐρανὸν κατοπτεῦσαι· τὰ γὰρ νῶτα, ὡς ἔφαμεν, πτερωτὰ εἶχεν ὁ ἵππος· τὸν δὲ Δία μηνίσαντα οἶστρον ἐμβαλεῖν τῷ Πηγάσῳ, ὅθεν ἐκπεσεῖν μὲν τὸν Βελλεροφόντην καὶ κατενεχθῆναι εἰς τὸ τῆς Λυκίας πεδίον, ἀλᾶσθαι δὲ κατὰ τοῦτο πηρωθέντα, τὸν δὲ ἵππον λαβεῖν τὴν Ἠῶ δεηθεῖσαν τοῦ Διὸς δῶρον πρὸς τὸ ἀκόπως περιιέναι τὰς τοῦ κόσμου περιόδους. ἡ ἱστορία παρὰ Ἀσκληπιάδῃ ἐν τραγῳδουμένοις.

4. καὶ τὸν συνετόν] Additamentum manus secundae.

21. στρατηγῆσαι δεινὴν καταβολήν] * στρατηγηθεῖσαν δεινὴν καταβολήν. In scholiis minoribus ὑπετόπησε κατ' αὐτοῦ στρατηγῆσαι τὴν δεινὴν διαβολήν.

29. *Ἠῶ] ἡμέραν

31. Scholio de Bellerophonte aliud inferius in B adiectum est de eodem scholion ex Palaephati

Λεωφόντης ἐκαλεῖτο· Βέλλερον δὲ ἱππικῇ φονεύσας οὕτως ὠνόμασται.

156. *κάλλος τε καὶ ἠνορέην*] οὐδὲν γὰρ κάλλος ἄνευ ἀνδρείας. δυεῖν δὲ ὄντων πλεονεκτημάτων τὴν ἀνδρείαν ἐρατεινὴν εἶπεν.

158. *ὅς ῥ' ἐκ δήμου*] ὁ Προῖτος ἐκ τοῦ τῶν Ἀργείων δήμου, διὰ τὴν ἀρχήν· τοὺς γὰρ Ἀργείους ὁ Ζεὺς τῇ βασιλείᾳ Προίτου ὑπέταξεν.

160. *ἀποτρέπων ἡμᾶς τοῦ τοιούτου μανίαν ὀνομάζει τὸ πάθος· ἢ καὶ δῖα οὖσα ἐπεμήνατο. τινὲς δὲ Διάντεια ὁμοῦ ἀναγινώσκουσι, κακῶς, ἀγνοοῦντες ὅτι τὸ δῖα πολλαχῶς παρ' Ὁμήρῳ νοεῖται.*

162. *πεῖθ'*] ὁ παρατατικὸς τὴν πολλάκις τοῦτο λέγουσαν ἐδήλωσε. τὸ δὲ *ἀγαθὰ φρονέοντα ἀφ' ἑαυτοῦ ἐκπεφώνηκε· κακεῖ γὰρ κατὰ μοιχῶν νομοθετῶν φησὶν "ὡς ἀπόλοιτο καὶ ἄλλος"* (Od. 1, 47) καὶ *"οὐκ ἀρετᾷ κακὰ ἔργα"* (Od. 8, 329). δῆλον δὲ ἦν καὶ μὴ προστεθέντος τοῦ ὀνόματος ὅτι Βελλεροφόντης λέγεται. περὶ γὰρ τούτου ὁ λόγος ἦν. ἀλλ' ὅμως ἐπὶ τῇ σωφροσύνῃ τοῦ ἀνδρὸς ἡδόμενος διὰ στόμα αὐτὸν ἔχει· οἷς γὰρ ἡδόμεθα, τούτους ἀνὰ στόμα ἀεὶ περιφέρομεν.

c. 29 a manu recentiore descriptum, scriptura proxime ad codicem Mosquensem accedente, *Φασὶν ὅτι Βελλεροφόντην ὑπόπτερος ἵππος Πήγασος ἔφερεν. ἐμοὶ δὲ δοκεῖ οὐδέποτε ἵππος τοῦτο δύνασθαι, οὐδ' εἰ πάντα τὰ τῶν πτηνῶν πτερὰ λάβοι· εἰ γὰρ ἦν ποτὲ τοιοῦτον ζῷον, καὶ νῦν ἂν ἦν. τούτῳ δὲ φασὶ τὴν Ἀμισοδάρου χίμαιραν ἀνελεῖν. ἦν δὲ ἡ χίμαιρα πρόσθε λέων, ὄπισθε δράκων, μέση δὲ χίμαιρα. ἔνιοι δοκοῦσι τοιοῦτον γεγενῆσθαι θηρίον τρεῖς ἔχον κεφαλάς, σῶμα δὲ ἕν· ἀδύνατον δὲ ἔφην καὶ λέοντα καὶ αἶγα ὁμοίᾳ τροφῇ χρῆσθαι καὶ τὸ θυητὴν φύσιν ἔχον πῦρ ἀποπνεῖν εὔηθες. ποίαις δὲ τῶν κεφαλῶν τὸ λοιπὸν σῶμα ἐπακολουθεῖ· τὸ δ' ἀληθὲς ἔχει ὧδε. Βελλεροφόντης ἦν Φρύγιος ἀνήρ, γένος Κορίνθιος, καλὸς καὶ ἀγαθός. κατασκευάσας δὲ πλοῖον μακρὸν ἐληΐζετο τὰ παραθαλάσσια χωρία περιπλέων καὶ ἐξεπόρθει. ὄνομα δὲ ἦν τῷ πλοίῳ Πήγασος, ὡς καὶ νῦν ἕκαστον τῶν πλοίων ὄνομα ἔχει. ἐμοὶ δὲ δοκεῖ πλοίῳ μᾶλλον ἢ ἵππῳ ὄνομα κεῖσθαι Πήγασος. βασιλεὺς δὲ Ἀμισόδαρος ᾤκει ἐπὶ τῷ Ξάνθῳ ποταμῷ· ὄρος δὲ ὑψηλὸν ἐξ οὗ ἡ Τελμισὶς ὕλη προσκέχωται, πρὸς ὃ δὴ ὄρος προσβάσεις εἰσὶ δύο μὲν ἔμπροσθεν ἐκ πόλεως τῆς Ξανθίων, τρίτη δὲ ὄπισθεν τῆς Καρίας. τὰ δὲ ἄλλα κρημνοὶ ὑψηλοί· ἐν μέσῳ δὲ αὐτῶν χάσμα ἐστὶ τῆς γῆς μέγα, ἐξ οὗ δὴ καὶ πῦρ ἀναφέρεται. τούτῳ τῷ ὄρει ὄνομα Χίμαιρα. τότε δὲ ἦν, ὡς λέγουσιν οἱ προσχώριοι, κατὰ μὲν τὴν πρόσθειν πρόσβασιν λέων οἰκῶν, κατὰ δὲ τὴν ὄπισθεν δράκων· οἳ δὴ καὶ ἐσίνοντο τοὺς ὑλοτόμους καὶ νομέας· τότε δὴ Βελλεροφόντης ἐλθὼν τὸ ὄρος ἐνέπρησε καὶ ἡ Τελμισία κατεκάη, καὶ τὰ θηρία ἀπώλετο. ἔλεγον οὖν οἱ προσχώριοι Βελλεροφόντην ἀφικόμενον μετὰ τοῦ Πηγάσου τὴν Ἀμισοδάρου χίμαιραν ἀπολέσαι. τούτου οὕτως γενομένου ὁ μῦθος προσανεπλάσθη.*

1. Λεωφόντης] * ἢ Ἱππόνους πρότερον addunt alii.

3. * *ἀνδρείας — ἀνδρείαν*] ἀνδρίας —ἀνδρίαν.

164. τεθναίης] καλόν σοι, φησὶ, τὸ ἀποθανεῖν, εἰ μὴ κατισχύσεις τοῦ καθυβρίσαντός σε· ἀλλ' εἰ βούλει ζῆν, ἐκεῖνον ἄνελε· εἰ γὰρ ἐμὲ ἠθέλησε βιάσασθαι, οὐδὲ σοῦ φείσεται. δείκνυσι δὲ ὅτι τέλος ἔρωτος ἀποτυχόντος μῖσός ἐστιν.

* Πορφυρίου. οὐχ ὥς τινες ἐξεδέξαντο τεθνήξῃ ἀναιρεθεὶς ὑπὸ τοῦ ἐπιβούλου, εἰ μὴ φθάσας σὺ τοῦτον ἀποκτείναις. ἔστι δὲ ἠθικὴ ἡ φράσις λεγούσης ὅτι καλόν σοι ἀποθανεῖν, Προῖτε, εἰ μὴ τιμωρήσεις τὸν ὑβρίσαντά σε διὰ τὸ θέλειν μιγῆναί μοι οὐκ ἐθελούσῃ· ἀποθάνοις, ὦ Προῖτε, εἰ μή μ' ἐκδικήσειας κατὰ ἀρὰν λεγούσης· συντόμως δὲ τὰ ἀρχαῖα δεδήλωκε μιγῆναι οὐκ ἐθελούσῃ, ἀλλ' οὐχ ὥσπερ Ἡσίοδος τὰ περὶ τοῦ Πηλέως καὶ τῆς Ἀκάστου γυναικὸς διὰ μικρῶν ἐπεξελθών.

165. μιγήμεναι οὐκ ἐθελούσῃ] τρεῖς τρόποι μίξεων· ἢ βούλεταί τις μὴ βουλομένῃ μιγῆναι, ὡς νῦν οὗτος λοιδορεῖται· ἢ μὴ βουλόμενος βουλομένῃ, ὡς Ὀδυσσεὺς "παρ' οὐκ ἐθέλων ἐθελούσῃ" (Od. 5, 155) τῇ Καλυψοῖ· ἢ ὡς Αἴγισθος τῇ Κλυταιμήστρᾳ ἐθέλων ἐθελούσῃ (Od. 3, 272). τέταρτος δὲ τρόπος οὐκ ἔστιν· οὐδεὶς γὰρ ἄκων ἀκούσῃ πώποτε μίγνυται.

166. εἶον] ἀντὶ τοῦ παράδοξον. πῶς δὲ οὐκ ἤλεγξεν; ἢ διασύρει διὰ τούτου τὸ τῶν ἀνδρῶν γυναικοπαθὲς Ὅμηρος.

168. σήματα μὲν τὰ γράμματα, πίνακα δὲ τὸ λεγόμενον πινακίδιον.

172. ῥέοντα] καὶ ποῖος, φασὶ, ποταμὸς οὐ ῥεῖ; ῥητέον ὅτι ἐπεὶ Ξάνθος ἐστὶ Λυκίας πόλις, πρὸς ἀντιδιαστολὴν ἁπλῶς τὸ ῥέοντα τέθεικεν. ἢ τὸν ἀέναον λέγει καὶ ἀεὶ ὡσαύτως ἔχοντα. ἢ μᾶλλον τὸν ῥευματώδη.

173. τῖεν] ἢ ὡς παρὰ κηδεστοῦ ἥκοντα φιλοφρονεῖται, ἢ ὅτι ἐν θυσίαις αὐτὸν εὗρεν· ἢ ὀκνῶν οὗτος οὐκ ἀπεδίδου, μὴ θέλων τάχιστα διὰ τὴν γυναῖκα ἀποδημεῖν.

4. * ἀποτυχόντος] ἀποτευχθέντος

5. * Πορφυρίου] om.

5–18. In codice Scorialensi haec duo scholia in unum sunt coniuncta ita ut post ἐπεξελθὼν pergatur, τρεῖς δὲ οὗτοι τρόποι μίξεως· ἢ γὰρ βούλεταί τις μὴ βουλομένης τῆς γυναικὸς, ὡς ἡ Ἄντεια τὸν Βελλεροφόντην διέβαλεν, ἢ μὴ βουλόμενος βουλομένῃ σύνεστιν ὥσπερ Ὀδυσσεὺς "παρ' οὐκ ἐθέλων θελούσῃ" τῇ Καλυψοῖ· ἢ βουλομένῃ βουλόμενος, ὥσπερ Αἴγισθος τῇ Κλυταιμνήστρᾳ· καὶ γὰρ ἐθέλων ἐθέλουσαν ἀνήγαγεν ὅνδε δόμονδε· τέταρτος γὰρ τρόπος οὐκ ἔστιν. οὐδὲ γὰρ ἄκων ἀκούσῃ σύνεστιν, et sic fere Leidensis quoque et Harl.

5. οὐ] * οὐ γὰρ Scor. et Harl.

11. Ἀκάστου scripsi pro Ἀκάτου

18. * ἢ] om.

20. σήματα μὲν] * Πορφύριος μὲν σήματα

27. ἀποδημεῖν] * ἐπιδημεῖν

180. θεῖον γένος] τὰ τερατώδη εἰς θεοὺς ἀναφέρει. ἤτοι οὖν διὰ τὸ παρηλλαγμένη κεχρῆσθαι φύσει, ἢ διὰ τὸ ἐκ Τυφῶνος καὶ Ἐχίδνης μυθολογεῖσθαι γεννηθῆναι αὐτήν.

181. πρόσθε λέων] εἰ τὸ πλεῖον καὶ ἐμπρόσθιον μέρος εἶχε λέοντος, ἔδει αὐτὸ χίμαιραν μὴ καλεῖσθαι, ἀλλὰ λέοντα. ἦν οὖν τὸ πᾶν χίμαιρα, ἀφ' οὗ καὶ ὠνομάζετο, κεφαλὴν δὲ εἶχε λεαίνης, οὐρὰν δὲ δράκοντος. τοίνυν πῦρ εἰσάγεται ἀναπνέουσα διὰ τοῦ στόματος τοῦ λέοντος. Ἡσίοδος δὲ ἠπατήθη τρικέφαλον αὐτὴν εἰπών.

183. θεῶν τεράεσσι πιθήσας] ἀπίστου ὄντος πῶς τὸ τοιοῦτον θηρίον ἀνάλωσε, τὸ ἄπιστον ἰάσατο, θείαν ἐπαγαγὼν δύναμιν.

185. φάτο] εὖ τὸ μὴ εἰπεῖν ὅτι ἄλλοι ἔφασαν, ἀλλ' αὐτὸς ὁ πεπειραμένος.

186. Ἀμαζόνας] αὗται γὰρ κατατρέχουσαι τὴν Ἀσίαν ἐληΐζοντο· οὐ μόνον δὲ, ἀλλὰ καὶ Φρυγίην εἰσήλυθον.

187. *Ἀμαζόναι] ἔνιοι λέγουσιν ὅτι οὐκ ἦσαν γυναῖκες αἱ στρατεύσασαι, ἀλλ' ἄνδρες βάρβαροι. ἐφόρουν δὲ χιτῶνας ποδήρεις καὶ τὴν κόμην ἀνεδοῦντο μίτραις, ἐξυρῶντο δὲ καὶ τοὺς πώγωνας, καὶ διὰ τοῦτο ἐκαλοῦντο παρὰ τῶν πολεμίων γυναῖκες. Ἀμαζόνες δὲ τὸ γένος, μάχεσθαι δ' ἀγαθοὶ ἦσαν· στρατείαν δὲ γυναικὸς οὐδέποτε εἰκὸς γενέσθαι· οὐδὲ γὰρ νῦν οὐδαμοῦ.

188. φῶτας ἀρίστους] διδάσκει μόνους τοὺς ἀρίστους λοχᾶν· "ἔνθα μάλιστ' ἀρετὴ διαείδεται ἀνδρῶν" (Il. 13, 277). ἀπὸ ἰδίας δὲ ὁ στίχος ἀρχῆς.

189. λόχον] δῆλον ὡς καὶ αὐτὸς διὰ τὴν καλοκαγαθίαν τοῦ ἀνδρὸς οὐκ ἠθέλησεν αὐτὸν προφανῶς φονεῦσαι.

191. ἡ πρᾶξις αὐτὸν ὡς θεοῦ ἔδειξεν υἱόν· ἐκ τῶν πράξεων γὰρ τὰς εὐγενείας ἀξιοῖ κρίνεσθαι ὁ ποιητής.

194. Λύκιοι] ὡς τῶν δεινῶν δι' αὐτοῦ ἀπηλλαγμένοι· πολλὰ γὰρ παρὰ τῶν γειτονούντων δεινὰ καθ' ἑκάστην ἔπασχον.

199. καὶ πῶς ἐν ἑτέρᾳ ἱστορίᾳ Εὐρώπης αὐτόν φησιν; λέγομεν δὲ ὅτι ἡ αὐτή ἐστιν. εἴρηται γὰρ Εὐρώπη οὐχὶ κυρίως, ἀλλὰ τοῦ ῥ πλεονάζοντος· εὐόφθαλμος γὰρ ἦν.

14. *οὐ μόνον] οὐ μὴν εἰσήλυθον] *εἰσήλυθον. ἀμέλει ἐξ αὐτῶν Ἔφεσος καὶ Σμύρνα καλεῖται.

15. Scholion manus recentioris.

19. στρατείαν δὲ γυναικός] Fortasse στρατιὰν δὲ γυναικῶν scripsit.

200. καὶ κεῖνος] ὥσπερ καὶ οἱ ἀπόγονοι αὐτοῦ Ἴσανδρος καὶ Λαοδάμεια, ἢ ὡς οἱ ὑπ' αὐτοῦ ἀναιρεθέντες.

*τίς ἡ αἰτία, φασὶ, τοῦ τὸν Βελλεροφόντην ἀπεχθῆ θεοῖς γενέσθαι καὶ τὴν τῶν ἀνθρώπων συναναστροφὴν ἐκκλίνειν; καὶ πρὸς τίνα ἔχει τὴν ἀναφορὰν τὸ "ἀλλ' ὅτε δὴ καὶ κεῖνος ἀπήχθετο πᾶσι θεοῖσιν, ἤτοι ὁ καππεδίον τὸ ἀλήϊον οἷος ἀλᾶτο;" τόν θ' ἑαυτοῦ πρόγονον πῶς οὐκ ἀφρόνως ὁ Γλαῦκος ἀπεχθῆ γενέσθαι θεοῖς καταγγέλλει, ἀφ' οὗ τὴν τῆς ξενίας φιλίαν καταβάλλεσθαι ἔμελλεν; ῥητέον δὲ ὅτι οὐδέπω γνωρισθεὶς ὁ Γλαῦκος Διομήδει, καὶ ὡς προγονικὴν ἔχων πρὸς αὐτὸν φιλίαν, ὑπεύθυνός ἐστιν ἁπλοϊκώτερον διηγούμενος τὰ κατὰ τὸν πάππον καὶ ἀληθέστερον μᾶλλον ἢ κεχαρισμένως. ὥσπερ δ' ἐν ἀρχῇ διέσυρε τὰ ἀνθρώπινα, τὸ φρύαγμα τοῦ Διομήδους καθαιρῶν "Τυδείδη μεγάθυμε, τίη—ἠδ' ἀπολήγει," οὕτω καθαιρεῖ δι' οἰκείων παραδειγμάτων. ἢ μήποτε τῶν καθόλου ῥηθέντων περὶ ἀνθρώπων ἐν τοῖς πρόσθεν πίστις ἡ περὶ τὸν πρόγονον μεταβολὴ ἐκ τοσαύτης ἀρετῆς καὶ εὐδαιμονίας γενομένη. ἐκεῖνο δὲ πάλιν ὅπερ ἔπρεπε τῷ ἀπογόνῳ γεγονέναι τὴν συμφορὰν, οὐκ ἀπεκάλυψε. μήποτ' οὖν ὥς φαμεν "ἀλλ' ὅτε δὴ καὶ κεῖνος," ἀναφορὰν εἰς τὰ καθόλου περὶ τῶν ἀνθρώπων ῥηθέντα, ὡς θάλλει τε ὁμοῦ καὶ πάλιν μαραίνεται. κἀκεῖνος οὖν ὅτε τὰ ἀνθρώπινα πάσχειν ἔμελλε καὶ ταῖς τύχαις ἐνίσχεσθαι ταῖς ἀνθρωπίναις, μεταβέβληκεν. ἐπειδὴ τὰς μὲν εὐτυχίας εἰώθασιν ἀναφέρειν εἰς τὸ θεοφιλὲς, τὰς δὲ δυστυχίας εἰς ἀπέχθειαν θεῶν, τὴν μεταβολὴν ἐπὶ τὸ χεῖρον τοῦ Βελλεροφόντου εἰκότως εἰς ἀπέχθειαν θεῶν ἀνατέθεικεν. ὅτι δὲ πολλή τις ἡ κατ' αὐτὸν μεταβολὴ γέγονε δηλοῖ ἃ καταλέγει δυστυχήματα αὐτοῦ· Ἴσανδρον μὲν γὰρ τὸν υἱὸν αὐτοῦ Ἄρης μαρνάμενον Σολύμοισι κατέκτανε, Λαοδάμειαν δὲ τὴν θυγατέρα χωσαμένη χρυσήνιος Ἄρτεμις ἔκτα. οὐκ ἀπεικὸς οὖν ὑπερπαθήσαντα αὐτὸν ἐπὶ τῇ τῶν τέκνων ἀπωλείᾳ φιλέρημον γενέσθαι, καὶ πενθοῦντα ἀνακαλεῖσθαι τοὺς θεοὺς ὡς θεομισῆ γενόμενον. ἅπερ οὖν ἐκεῖνος δυστυχῆ περὶ ἑαυτοῦ κατακέκρικε, ταῦτ' εἰς τὰ γίνη διαδοθέντα εἰκὸς ἦν μὴ ἀγνοῆσαι τὸν ἔκγονον. ἄμεινον γὰρ διὰ τὰ τέκνα φάναι τὸ τῆς λύπης μέγεθος γενέσθαι ἢ νόσῳ ἀνενέγκαι τὴν αἰτίαν τῇ τῶν μελαγχολώντων, οἳ φιλέρημοι γίνονται καὶ

23. εἰς ἀπέχθειαν Vill.] ἔπχθεῖ, omisso εἰς

τὰς λεωφόρους ἐκτρέπονται λυπούμενοι ἐπὶ μηδενὶ λύπης ἀξίῳ. Ἀντίμαχος δὲ ἐν τῇ Λυδῇ, ὅτι τοὺς Σολύμους ἀνεῖλε θεοῖς ὄντας προσφιλεῖς, διὰ τοῦτο μισηθῆναι αὐτόν φησιν ὑπὸ τῶν θεῶν. Λέων δὲ ἐν τοῖς Χρυσαορικοῖς γεγράφθαι φησὶν ὡς ἀπήχθετο πᾶσι θεοῖς, Προίτῳ μὲν διαβεβλημένος ὑπὸ τῆς γυναικὸς ἀδίκως, Ἰοβάτῃ δὲ ἢ Ἀμφιάνακτι ἐκ τῶν γραμμάτων· τούτῳ δ' ἀκόλουθον εἶναι καὶ τὸ πάτου ἀνθρώπων ἀλεείνων. φασὶ δὲ τοὺς ὕστερον Πισίδας κληθέντας Σολύμους πρότερον κεκλῆσθαι.

201. ἀλήϊον οἷος ἀλᾶτο] ἡ τῶν παίδων ἀπώλεια γέγονεν αὐτῷ τοῦ μονασμοῦ αἰτία, ὡς καὶ τῷ Λαέρτῃ. ἀλήϊον δὲ πεδίον, ὅπερ ᾄκει ἀλεείνων τοὺς ἀνθρώπους. τάχα δὲ καὶ τὰ τῆς τίχης εἰς θεοὺς ἀναφέρει. ὥσπερ δὲ ἐν ἀρχῇ διέσυρε τὰ ἀνθρώπινα, τὸ φρύαγμα Διομήδους καθαιρῶν, καὶ νῦν οὐκ ἀπώκνησε τὴν τῆς τύχης περὶ τὸν πρόγονον ὁμολογῆσαι μεταβολήν. ἢ τάχα πιστοῦται τὰ ἀγαθὰ διὰ τῆς ὁμολογίας τῶν ἀτυχιῶν. τὸ δὲ ἀλήϊον τινὲς ἐδάσυναν παρὰ τὸ τοὺς ἄλας ἐκεῖ πήγυυσθαι· ἄμεινον δὲ ψιλοῦν ἀπὸ τῆς ἄλης.

*ἀξιῶν δὲ ἐγὼ Ὅμηρον ἐξ Ὁμήρου σαφηνίζειν, αὐτὸν ἐξηγούμενον ἑαυτὸν ὑπεδείκνυον, ποτὲ μὲν παρακειμένως, ἄλλοτε δ' ἐν ἄλλοις. τῷ γὰρ εἰροκόμῳ παράκειται συνεζευγμένη ἡ ἐξήγησις· "γρηῒ δέ μιν εἰκυῖα παλαιγενέϊ προσέειπεν εἰροκόμῳ" (Il. 3, 386). τίς οὖν ἡ εἰροκόμος; "ἥ οἱ" φησίν "ἤσκειν εἴρια καλά" ἡ γὰρ ἀσκοῦσα τὰ ἔρια αὐτοῦ ἐξηγησαμένου εἴη ἂν ἡ εἰροκόμος· κομεῖν δὲ τὸ ἀσκεῖν καὶ καλλωπίζειν, ὡς τὸ "χρυσὸν κέρασι περιχεύῃ ἀσκήσας, ἵν' ἄγαλμα θεὰ κεχαροίατ' ἰδοῦσα" (Od. 3, 437). καὶ πάλιν "ἄλλους τ' αἰδέσθητε περικτίονας ἀνθρώπους" (Od. 2, 65). τίνες οὖν οἱ περικτίονες; ἐπάγει "οἳ περιναιετάουσι." "βοῦν ἦνιν εὐρυμέτωπον ἀδμήτην" (Il. 10, 292). ἆρ' οὖν τὸ ἀδμήτην τὴν ἄγαμον δηλοῖ; οὐχί, ἀλλὰ "τὴν οὔπω ὑπὸ ζυγὸν ἤγαγεν ἀνήρ." καὶ πάλιν "ἔνθ' οἵ γ' εὐκέτι πάμπαν ἀφέστασαν, ἦρχε γὰρ Ἄρης" (Il. 21, 391). τί οὖν ἔστιν ἦρχε; "καὶ πρῶτος Ἀθηναίη ἐπόρουσεν." ἐπὶ δὲ τῆς

18. Πορφυρίου nomen praescripsit Vill.
20. τῷ γὰρ εἰροκόμῳ Vill.] τῆς τε γὰρ εἰροκόμου
21. προσέειπεν εἰροκόμῳ Vill.] εἰροκόμῳ προσεῖπε
23. κομεῖν δὲ τὸ ἀσκεῖν Vill.] ἀσκεῖν δὲ τὸ κομεῖν
26. τ'] om.
28. τὸ et τὴν addidit Vill.

Πηλιάδος μελίης καὶ φιλοτιμουμένῳ ἔοικε πολλαχόθεν τὴν κλῆσιν προσοῦσαν δεικνύναι· ἢ γὰρ ἀπὸ τοῦ μόνον αὐτὴν ἐπίστασθαι πῆλαι τὸν Ἀχιλλέα "ἀλλά μιν οἷος ἐπίστατο πῆλαι Ἀχιλλεύς" (Il. 16, 142)· ἢ ἀπὸ τοῦ Πηλέως τοῦ πατρός "τὴν πατρὶ φίλῳ τάμε Χείρων" (ib. 143)· ἢ ἀπὸ Πηλίου τοῦ ὄρους ὅθεν ἐτμήθη "πατρὶ φίλῳ τάμε Χείρων Πηλίου ἐκ κορυφῆς." ἀλλ' ἐπεὶ μελίη τὸ δόρυ ἀπὸ τοῦ δένδρου τῆς μελίας, καὶ "οὐδ' ἄρ' ἀπ' ἀσφάραγον μελίη τάμε" (Il. 22, 328), δῆλον ὡς καὶ τὸ μείλινον ἔγχος (Il. 5, 655) ἐκ μελίας τοῦ δένδρου, οὐ μὴν ὡς οἱ πολλοί, τὸ μακρόν. καὶ ἔγχεα ὀξύεντα (ib. 568) τὰ ἐξ ὀξίας τοῦ δένδρου. ὡς καὶ Ἀρχίλοχος "ὀξίη πιτᾶτος," ἀλλ' οὐ τὰ ὀξέα, ὡς οἱ γραμματικοὶ ἀποδεδώκασιν. πάλιν ἔφη "ἤτοι ὁ καππεδίου τὸ ἀλήϊον." διὰ τί οὖν ἀλήϊον; ἆρά γε παρὰ τὸ ἄσπορον καὶ μὴ ἔχειν λήϊα; οὐδαμῶ, ἀλλ' ἐκ τοῦ οἷον αὐτὸν ἐν αὐτῷ ἀλᾶσθαι. καὶ τί οὖν τὸ οἷον ἀλᾶσθαι; ἐξηγεῖται "πάτον ἀνθρώπων ἀλεείνων." ἐν δὲ τῷ "καὶ μέν οἱ Λύκιοι τέμενος τάμον" ταχέως δεδήλωκεν ὅτι ἀπὸ τοῦ τετεμνῆσθαι καὶ ἀφωρίσθαι τὸ τέμενος λέγεται "τέμενος τάμον." οὕτω καὶ κειμήλια ἔφη κεῖσθαι (47)· ἀπὸ γὰρ τοῦ κεῖσθαι κειμήλια λέγεται. πάλιν πτωχὸν ἔφη παυδήμιον (Od. 18, 1). τίς οὖν οὗτος; "ὃς κατὰ ἄστυ πτωχεύεσκ' Ἰθάκης," ἀλλ' οὐχ ὡς Ὀδυσσεὺς ἐν μιᾷ οἰκίᾳ. πάλιν δέ "μετέπρεπε γαστέρι μάργῃ" (ib.). τίς οὖν ἡ γαστριμαργία; ὥσπερ ὅρον ποιούμενος ἐπάγει "ἀζηχὲς φαγέμεν καὶ πιέμεν," τὸ ἀδιαλείπτως ἐσθίειν καὶ πίνειν μεταλαβὼν εἰς τὸ ἀζηχές, ὃ ἐν ἄλλοις (Od. 9, 74) ἔφη "συνεχὲς αἰεί." καὶ ἐπὶ ἄλλου μὲν ἔφη ἐν πᾶσι διαπρέποντος "ὁ δ' ἔπρεπε καὶ διὰ πάντων" (Il. 12, 104), ἐπὶ δὲ τοῦ Ἴρου "μετὰ δ' ἔπρεπε γαστέρι μάργῃ," ὅτι ἐπὶ τῇ γαστριμαργίᾳ μόνῃ διέπρεπε. πόθεν οὖν Ἶρος καλεῖται; "οὕνεκ' ἀπαγγέλλεσκε κιὼν, ὅτε πού τις ἀνώγοι" (Od. 18, 7). καὶ πάλιν "οὐκ ἀΐεις ὅτι δή μοι ἐπιλλίζουσιν Ἀχαιοί" (ib. 11). τί οὖν τὸ ἐπιλλίζειν; τὸ διανεύειν· "ἑλκέμεναι δὲ κέλονται," ἀπὸ τοῦ τοὺς διανεύοντας ἐπίλλειν τοὺς ὀφθαλμούς· καὶ ἰλλάδες οἱ συνεστραμμένοι ἱμάντες, ὡς ἀλλαχοῦ ἔφη "ἐν δὲ στρόφος ἦεν ἀορτήρ" (Od. 13, 438). "τὸν μὲν ἄκμονα ἐόντα βάλ' ἀργυρότοξος

10. ὀξυόεντα—ὀξύας—ὀξύη Vill.] ὀξειόεντα—ὀξείας—ὀξείη
12. ἔφη addidit Vill.
16. τετεμνῆσθαι] Mira forma perfecti. τετμῆσθαι Vill.
24. ὃ addidit Vill.

Ἀπόλλων" (Od. 7, 64). *τίς οὖν ὁ ἄκουρος;* "*μίαν οἴην παῖδα λιπόντα.*" *ὡσαύτως καὶ τὸ κύμβαχος ἐξηγεῖται, ἐπάγων* "*ἐπὶ βρεχμόν τε καὶ ὤμους δηθὰ μάλ' εἰστήκει*" (Il. 5, 586). *γυῖα δ' ἐξηγεῖται* "*πόδας καὶ χεῖρας ὕπερθεν*" (ib. 122). *καὶ ἀμφιγυήεις οὖν ὁ περὶ τὰ γυῖα βεβλαμμένος, ὃν καὶ κυλλοπόδιονα προσεῖπε.* 5 *καὶ τὸ* "*γυιώσω μέν σφωϊν ὑφ' ἅρμασιν ὠκέας ἵππους*" (Il. 8, 402), *σκελεαγεῖς ποιήσω· ἐπάγει γὰρ* "*κατὰ δ' ἅρματα ἄξω.*" *φιλοτιμεῖται καὶ τὸ λυκόφως ἐξηγήσασθαι οἷόν ἐστιν* "*ἦμος δ' οὔτ' ἄρ πω ἠὼς, ἔτι δ' ἀμφιλύκη νύξ*" (Il. 7, 433)· *οὐ γὰρ εἰ μηδέπω ἠώς, ἔτι ἦν ἡ νύξ, ἀλλ' ἡ ἀμφιλύκη ἦν, ὁ βαθὺς ὄρθρος.* 10 *ἠῶ δὲ λέγει νῦν τὸν ὄρθρον καὶ τὸ πρὸ ἀνατολῆς ἡλίου πεφωτισμένον διάστημα· ὅτι γὰρ καὶ τοῦτο τὸ διάστημα λέγει ἠῶ δηλοῖ ἐπὶ τῆς νεὼς τοῦ Τηλεμάχου εἰπὼν* "*παννυχίη μὲν ἄρ' ἦγε καὶ ἠῶ πεῖρε κέλευθον*" (Od. 2, 434), *ἐπάγει* "*ἠέλιος δ' ἀνόρουσε λιπὼν περικαλλέα λίμνην*" (Od. 3, 1). *καὶ ἡμεῖς δὲ τὸ πρὸ ἡλίου ἐξ ἑωθινοῦ* 15 *φαμὲν καὶ ἕωθεν, ὅπερ ὁ ποιητὴς* "*ἠῶθεν δ' ἀγορήνδε*" *φησίν* (Od. 1, 372). *ἕως οὖν καὶ ἠώς τὸ πρὸ ἀνατολῆς ἡλίου· τὸ δὲ πρὸ τῆς ἕω λυκόφως καὶ νὺξ ἀμφιλύκη. λέγει μέντοι καὶ τὸ ἀπὸ ἀνατολῆς ἡλίου ἄχρι μεσημβρίας διάστημα ἠῶ.* "*ἔσσεται ἢ ἠὼς ἢ δείλη ἢ μέσον ἦμαρ*" (Il. 21, 111) "*ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν* 20 *ἦμαρ*" (Il. 8. 66) "*εὗδον παννύχιοι καὶ ἐπ' ἠῶ καὶ μέσον ἦμαρ*" (Od. 7, 288). *λέγει ἠῶ καὶ ὅλην τὴν ἡμέραν* "*ἦδε δὴ ἠὼς εἶσι δυσώνυμος*" (Od. 19, 571) "*ἦδε δέ μοι νῦν ἠὼς ἑνδεκάτη*" (Il. 12, 155), *περὶ οὗ φησὶν* "*ἕνδεκα δ' ἤματα θυμὸν ἐτέρπετο οἷσι φίλοισιν ἐλθὼν ἐκ Λήμνοιο*" (ib. 45). *ἠὼς δὲ καὶ ἡ θεός·* "*ὣς μὲν ὅτ' Ὠρίων' ἔλετο* 25 *ῥοδοδάκτυλος ἠώς*" (Od. 5, 121). *πάλιν αὐτὸν ἐξηγεῖται παρακειμένως δι' ὧν ἐπάγει ἐν τούτοις* "*Ἰρῳ δὲ κακῶς ὠρίνετο θυμός*" (Od. 18, 75). *τί οὖν τὸ κακῶς ὀρίνεσθαι τὸν θυμόν; ἐπάγει* "*δειδιότα.*" *τί οὖν παρακολούθημα δέους;* "*σάρκες δὲ περιτρομέοντο μέλεσσιν.*" *ὁ δὲ δειλὸς κακὸς, ἀφ' οὗ τὸ κακόν· καὶ πάλιν τὸ δεδιέναι, ὅπερ πάθος ἐν* 30 *τῇ ψυχῇ γίνεται, καὶ τὸ τρέμειν, ὅπερ ἐν τῷ σώματι, ἐπιτέμνων ἔφη* "*εἰ δὴ τοῦτόν γε τρομέεις καὶ δείδιας αἰνῶς*" (ib. 80). *ἐπιμένων δὲ τῇ ψυχρᾷ φύσει τοῦ φόβου, κρυόεντα καλεῖ τὸν φόβον* "*φόβου κρυόεντος ἑταίρη*" (Il. 9, 2) *καὶ ἐν ἄλλοις* "*ψυχρὸν δέος εἶλε*" *καὶ* "*ῥίγησεν δ' ὁ γέρων*" (Il. 3, 259), *φοβηθείς. εἰ δ' ὁ φόβος* 35

16. *φησὶν* addidit Vill. 19. *ἠῶ*] *ἠώς*

ψύχει, δῆλον ὡς τὸ θάρσος θάλπει· εἰκότως ἄρα θαλπωρὴν λέγει τὸ θάρσος. ἐκ δὴ τούτων παρακειμένας ἐχόντων τὰς ἐξηγήσεις δεῖ παρατηρεῖσθαι καὶ τὰ ἐν διαφόροις ἐπὶ τῆς αὐτῆς διανοίας παραλαμβανόμενα εἰς ἐξήγησιν τῶν ἀσαφεστέρων.

202. πάτον ἀνθρώπων ἀλεείνων] οὐχ ὡς οἱ νεώτεροί φασι, μελαγχολήσας, ἀλλ' ὀδυνώμενος ἐπὶ τῇ τῶν ἑαυτοῦ παίδων ἀπωλείᾳ ἐμόναζε. διδάσκει δὲ πόσην ἔχει ψυχαγωγίαν ἡ συντυχία, καὶ μάλιστα ἡ τῶν ἰδίων, ὅτι δι' αὐτοὺς τὴν ψυχὴν ἀπελέγετο.

203. *ὁ δέ ἀντὶ τοῦ γάρ.

204. Σολίμοισι] ἴσως γηράσαντος τοῦ Βελλεροφόντου πάλιν ἀπέστησαν, ὁ δὲ τῆς πατρῴας ἀντιποιούμενος ἀρχῆς ἐπολέμει αὐτοῖς.

206. *τὴν Λαοδάμειαν.

208. αἰὲν ἀριστεύειν] τοῦτο ἀναφέρει πρὸς τὸ ὑπὸ Διομήδους εἰρημένον "ἀτὰρ μὲν νῦν γε πολὺ προβέβηκας ἁπάντων" (125).

211. αἵματος] τοῦ σπέρματος λέγει· τὸ γὰρ αἷμα εἰς θορὸν μεταβάλλεται. οἱ γοῦν συνεχῶς ἀφροδισιάζοντες τελευταῖον αἷμα φέρουσιν· τὸ γὰρ μεταβαλλόμενον ἀναλώσαντες τὸ ἀμετάβλητον ἐξέλκουσιν.

212. γήθησε] ἔοικε διὰ τὸ ὄνομα Βελλεροφόντου καὶ τοὺς πολλοὺς ἀνασχέσθαι τοῦ Γλαύκου λόγους.

213. ἔγχος μὲν κατέπηξεν] γραφικῶς καὶ τοῦτο. ἵνα γὰρ μηκέτι πόλεμος εἶναι δοκῇ, καταπήγνυσι τὸ ἔγχος ὁ Διομήδης.

214. μειλιχίοισι] ἐπὶ φιλοξενίαν προτρέπεται, δεικνὺς ὡς καὶ ἐκ κινδύνων ῥύεται.

220. Βελλεροφόντης δὲ] ὁ μὲν ὡς μένοντι δίδωσιν, ὁ δὲ ὡς ἐκδημοῦντι.

221. καί μιν ἐγὼ] ἄπαιδος γὰρ τελευτῶντος Οἰνέως Διομήδης αὐτὸν κληρονομεῖ.

*τὸν πάππον ἤτοι τὸν Οἰνέα.

226. ἔγχεα δ' ἀλλήλων] ἀλλήλων τὰ ἔγχη ἐκκλίνωμεν. γράφεται δὲ καὶ ἔγχεσιν, ἵν' ᾖ ἀλλήλων ἀποτύχωμεν, καίτοι ἐν πλήθει ὄντες· τὸ γὰρ δι' ὁμίλου ἀντὶ τοῦ ἐπὶ παντὸς τοῦ πλήθους, ὅπως γνῶσιν ὅτι ξεῖνοί εἰσιν· ἢ διὰ πάσης τῆς μάχης, ὡς τὸ "τανυσσά-

2. ἐχόντων τὰς Vill.] ἔχονθ' (i. e. ἔχοντας)

μενος διὰ μήλων" (Od. 9, 298). ἢ καὶ ἡμεῖς καὶ αἱ ἡμέτεραι στρατιαὶ παραφυλάξωνται τὴν πρὸς ἀλλήλας ἐν πολέμῳ στάσιν ἐκκλίνουσαι.

228. ὅν κε θεός γε πόρῃ] καίτοι εὐημερῶν παραπεφυλαγμένως λαλεῖ, ὡς πρὸς φίλον μετριάζων.

230. τεύχεα δ' ἀλλήλοις ἐπαμείψομεν] ἁπλοϊκῶς φησὶ τοῦτο διὰ φιλίας σύμβολον, ἀλλ' οὐ δι' αἰσχροκέρδειαν.

οἵδε] δῆλον οὖν ὡς ἐν ἡσυχίᾳ εἰσὶ τὰ πλήθη καραδοκοῦντες τὸ τέλος.

234. Γλαύκῳ Κρονίδης φρένας ἐξέλετο Ζεύς] εἰκότως ὁ Γλαῦκος τοῦ προγόνου τὸ φιλότιμον ἀκούσας Βελλεροφόντου χρυσὸν δωρεῖται πρὸς τὸ παρόν· ἄλλως τε ὑπερήδεται τῇ συντυχίᾳ, γενόμενος ἰδιόξενος τοῦ παναρίστου Διομήδους. τὸ δὲ ἐξέλετο ἀντὶ τοῦ ὑπερηύξησε τῇ φιλοτιμίᾳ, ὡς τὸ "γέρας ἔξελον" (Il. 16, 56). ἢ μᾶλλον αἰτιᾶται αὐτὸν, ὅτι λαμπροῖς ὅπλοις ἐκοσμεῖτο κατὰ ἑαυτοῦ καὶ τῶν συμμάχων· ὅπου γὰρ ταῦτα, εὔκαιρος ἡ τῶν πολεμίων ὁρμή. καὶ πῶς οὐ Διομήδης φρενῶν λείπεται γυμνούμενος, πρὸ μικροῦ τῶν Τρώων παρασπονδησάντων; τάχα οὖν τὸν ζωστῆρα μόνον καὶ τὸ ξίφος ὡς οἱ περὶ Ἕκτορα (Il. 7, 303) ἤμειψαν· οὐ γὰρ ἂν τὴν ἀσπίδα πρὸς χάριν ἐδίδουν. ἢ γὰρ ἂν προὔκρινε τὴν Λίαντος Ἕκτωρ, εἰ ἐδίδοτο, ὑπὲρ τὴν Νέστορος.

*Πορφυρίου. διὰ τί ὁ μὲν Γλαῦκος προήχθη εἰς φιλοτιμίαν τοῦ ἀλλάσσειν τὰ ὅπλα χρυσᾶ ὄντα πρὸς Διομήδην, ὁ δὲ ποιητὴς ἐπιτιμᾷ ὡς οὐ δέον, οὐδ' εἰ φίλος εἴη, προῆσθαι πλείονος ἄξιον; προγόνων ὁ Γλαῦκος φιλοτιμίαν ἐξηγησαμένου Διομήδους ἀκούσας οὐκ ᾠήθη δεῖν ἐλαττοῦσθαι ταύτης· "Οἰνεὺς γάρ ποτε—δέπας ἀμφικύπελλον" (216–220). ταῦτ' οὖν ἀκούσας ὁ Γλαῦκος προήχθη εἰς φιλοτιμίαν προγονικήν. ὡς γὰρ Βελλεροφόντης ζωστῆρος οὐκ ἀπηξίωσε χρυσοῦν ἔκπωμα δοῦναι καὶ ὅλως χρύσεον δεδώρηται τῷ ξένῳ, οὕτω καὶ αὐτὸς χρυσὸν ὢν εἶχε περικείμενον δοῦναι προήχθη, ἀκούσας παρὰ τοῦ φοβερωτάτου Διομήδους τῶν τότε "τῷ νῦν σοὶ μὲν ἐγὼ ξεῖνος φίλος Ἄργεϊ μέσσῳ εἰμὶ, σὺ δ' ἐν Λυκίῃ, ὅτε κεν

8. *καραδοκοῦντες] καραδοκοῦντα
12. *γενόμενος] γινόμενος
22. *Πορφυρίου] om.
30. περικείμενον Cobetus] παρακείμενον
31. παρὰ Vill.] περὶ

τῶν δῆμον ἵκωμαι,'' καὶ προσέτι εἰπόντος τοῦ Διομήδους ''τείχεα δ' ἀλλήλοις ἐπαμείψομεν, ὄφρα καὶ οἵδε γνῶσιν ὅτι ξεῖνοι πατρώϊοι εὐχόμεθ' εἶναι'' μικρολογίας γὰρ ἦν αἰτηθέντα τοῖς μὲν ἄλλοις ὑπακοῦσαι, ἀντειπεῖν δὲ πρὸς τὰ δῶρα. ὁ ποιητὴς δέ, φησὶν Ἀριστοτέλης, οὐχ ὅτι τὰ πλείονος ἄξια ὄντα προήκατο ἐπιτιμᾷ, ἀλλ' ὅτι ἐν πολέμῳ καὶ χρώμενος προΐετο· οὐδὲν γὰρ ἀλλοιότερον, ὥσπερ ἂν εἰ ἀπέβαλε τὰ ὅπλα. ἐπιτιμᾷ οὖν ὅτι κρείττω προΐετο οὐκ εἰς τιμὴν, ἀλλ' εἰς χρῆσιν· ἀναγκαῖον δὲ τοῦτο δηλῶσαι εἰπόντα τὴν ἀξίαν. τινὲς δὲ οὐ καταμέμφεσθαί φασιν ἐν τῷ φάναι Κρονίδης δὲ φρένας ἐξέλετο Ζεύς. τὸ γὰρ ἐξελεῖν δηλοῖ καὶ τὸ εἰς μέγα ἆραι καὶ αὐξῆσαι, ὡς ἐν τῷ ''κούρην ἣν ἄρα μοι γέρας ἔξελον υἷες Ἀχαιῶν'' (Il. 16, 56)· δηλοῖ γὰρ ἣν εἰς τιμὴν γεραίροντες μεταδεδώκασι καὶ τὸ γέρας μου αὔξοντες· γέρας γὰρ ἔξελον, ἐξαίρετον ποιοῦντες. τὰ δὲ γινόμενα ὡς ἐπὶ τὸ πολὺ θεοῖς εἰώθασιν ἀνάπτειν. τὸ μέντοι ''ἔγχεα δ' ἀλλήλων ἀλεώμεθα καὶ δι' ὁμίλου'' ἀντὶ τοῦ ἐν ὄψει πάντων, ὡς εἰδέναι αὐτοὺς ὅτι ξένοι ἀλλήλων ἐσμέν. ἢ μὴ μόνον ἀλλήλων φειδώμεθα, ἀλλὰ καὶ οἱ ὅμιλοι ἡμῶν. ἀλλ' οὗτοι μὲν διὰ προγονικὴν φιλίαν τὸν πρὸς ἀλλήλους ἐσπείσαντο πόλεμον, Σαρπηδὼν δὲ καὶ Τληπόλεμος, συγγενεῖς ὄντες καὶ τοῦτο γινώσκοντες, συνελθόντες διὰ θανάτου ἐκρίθησαν, τοῦ μὲν ἀποθανόντος, τοῦ δὲ τρωθέντος. οὕτως ἡ λεγομένη συγγένεια πρὸς φιλίαν οὐδὲν συνεργεῖ.

*ἄλλως. ἀσύμφορον δοκεῖ εἶναι ἄφρονας καλεῖν τοὺς λαμπροὺς τὰς ψυχὰς καὶ ἀποκλείειν τὰς μεγαλοψυχίας τῶν ξένων πρὸς ἀλλήλους. οἱ μὲν οὖν ἀπὸ τῆς λέξεως λύουσι, τὸ ἐξέλετο ἀποδιδόντες τὸ ἐξαίρετον καὶ ἔκκριτον ἐποίησε, βιαίως πως· οἱ δὲ περίφρασιν εἶναι, Γλαύκῳ φρένας ἐξέλετο· μὴ γὰρ ἀμειψάμενος, ἀλλ' ἀπειθήσας ἀνηρέθη ἄν, πολὺ βιαιότερον ἀποδιδόντες. οἱ δὲ πρὸς τὸν καιρὸν, ὅτι ὁ χρυσὸς ἐπιτηδειότερος πρὸς τὸν πόλεμον, διὰ τὸ στίλβον τῶν ὅπλων. ἐμοὶ δὲ οὐδ' οὕτως καλῶς· ''καὶ γάρ τε λιταί εἰσι Διὸς κοῦραι μεγάλοιο, χωλαί τε ῥυσαί τε παραβλῶπές τ' ὀφθαλμώ'' (Il. 9, 502).

236. ἑκατόμβοι'] ἑκατὸν ἄξια νομισμάτων. οἱ γὰρ Ἀθηναῖοι ἐν τοῖς ἑαυτῶν νομίσμασι βοῦν ἐνετύπουν.

237. Ἕκτωρ δ' ὡς] εὐκαίρως μεταβαίνει, τὸ διάκενον τῆς πορείας Ἕκτορος ἀναπληρώσας τοῖς διὰ Γλαύκου καὶ Διομήδους.

238. ἄλοχοι θέον ἠδὲ θύγατρες] ἤδη ἐπὶ τὸ περιπαθὲς ἔρχεται· διὸ οὐδὲ γερόντων ἐμνήσθη, ἀλλὰ γυναικῶν. οἰκεῖον δὲ ἐπ' αὐτῶν τὸ θέειν.

239. παῖδας] ἀντὶ τοῦ ὑπὲρ παίδων. ψιλωτέον δὲ τὸ ἔτας. ἕται δὲ λέγονται καὶ οἱ πολῖται καὶ οἱ συγγενεῖς.

240. εὔχεσθαι ἀνώγει] ὡς πάντων περιόντων χρηστὰς ὑπέδειξεν ἐλπίδας· οὐδεὶς γὰρ ὑπὲρ τεθνεώτων εὔχεται.

241. πάσας ἐξείης] ὅτι πρὸς πάσας ἐφεξῆς τὴν αὐτὴν ἐποιεῖτο ἀπόκρισιν.

242. ἀλλ' ὅτε δή] τὸ ἐξῆς, ἀλλ' ὅτε δὴ Πριάμειο δόμον (251), ἔνθα οἱ ἠπιόδωρος· τὰ δὲ ἐξῆς διὰ μέσου. αἴθουσαι δὲ τὰ τῆς αὐλῆς τειχία.

245. παῖδες] ἴσως οἱ περὶ Ἕκτορα ἀνδρωθέντες καὶ βασιλικοὶ γεγονότες ἀπέστησαν τοῦ πατρός.

248. τέγεοι θάλαμοι] ὑπερῷοι ἐπὶ τοῦ στέγους ᾠκοδόμηντο· τοιοῦτοι γὰρ κατεσκευάζοντο ταῖς γυναιξὶ πρὸς τὸ μὴ �ρᾶσθαι συνεχῶς ἀνδράσιν.

251. ἠπιόδωρος] δῶριν παρὰ τῆς φύσεως ἔχουσα τὸ εἶναι ἠπία, ὅτι κλαυθμυριζομένοις τοῖς παισὶ μαζὸν προτείνουσι τὸν λαθικηδέα (Il. 22, 83).

252. Λαοδίκην ἐσάγουσα] πρὸς Λαοδίκην εἴσεισι, πευσομένη τὴν αἰτίαν δι' ἣν ἐξήγαγεν Ἑλένην· αὐτῇ γὰρ ἡ Ἶρις εἰκασθεῖσα ἐξήγαγεν αὐτὴν εἰς τὸ τεῖχος. τὸ δὲ ἐσάγουσα ἀντὶ τοῦ εἰσιοῦσα, ὥς φαμεν ποῖ εἰσάγεις ἀντὶ τοῦ ποῖ εἰσέρχῃ. τινὲς δὲ τὴν ἐς ἀντὶ τῆς πρός, ἵν' ᾖ πρὸς Λαοδίκην.

*Πορφυρίου. τὸ ἐσάγουσα οὐκέτι κατὰ τὸ σύνηθές ἐστιν οἷον εἰσφέρουσα· οὐ γὰρ ἐσάγειν μεθ' ἑαυτῆς λέγει τὴν Λαοδίκην, ἀλλὰ πρὸς τὴν Λαοδίκην εἰσπερευομένη. εἰσῄει γὰρ πρὸς Λαοδίκην, ἀλλ' ἐπεὶ ταύτῃ ὁμοιωθεῖσα ἡ Ἀφροδίτη τὴν Ἑλένην ἐπὶ τὸ τεῖχος ἐξήγαγεν "εἰδομένη γαλόῳ Ἀντηνορίδαο δάμαρτι, τὴν Ἀντηνορίδης ἔσχε κρείων Ἐλικάων, Λαοδίκην" (Il. 3, 122). νομίζουσα γὰρ ὄντως εἰς τὸ τεῖχος ὑπὸ τῆς Λαοδίκης ἀπῆχθαι, εἰσῄει τὴν αἰτίαν τῆς ἐξόδου πολυπραγμονήσασα.

255. δυσώνυμοι] οὐδὲ γὰρ οὐδὲ τὸ ὄνομα αὐτῶν ὀνομάζειν ἐθέλει,

26. *Πορφυρίου] om. τὸ ἐσάγουσα] *πρόσχες μοι καὶ τούτοις εἰ προσήκουσαν παρ' ἡμῶν λαμβάνει τὴν λύσιν. τὸ ἐσάγουσα

ὡς καὶ ἡ Πηνελόπη "κακοίλιον οὐκ ὀνομαστήν" φησιν (Od. 19, 260).

256. σὲ δ' ἐνθάδε θυμὸς ἀνῆκεν] δεόντως τὴν τοῦ παιδὸς ἀρετὴν ἐξειδυῖα φυγὴν οὐχ ὑπώπτευσεν.

260. πίησθα] μητρὸς ἦθος ἀναφαίνεται διὰ τούτου. καὶ γὰρ ἀεὶ φαγεῖν καὶ πιεῖν ἀξιοῦσι τὰ τέκνα. πιθανὸν δὲ αὐτὸν νοεῖν διψῆν ἀπὸ τῆς κινήσεως τοῦ πολέμου. ὑφαιρουμένη δὲ αὐτοῦ τὴν αἰδῶ καὶ τὸ σπείσῃς εἶπεν. ἀνίνησι δὲ οἶνος μέτριος ποθεὶς, δύναμίν τε ἐμποιεῖ, ὡς τὸ "τὸ γὰρ μένος ἐστὶ καὶ ἀλκή" (Il. 9, 706). ὁ δὲ, ἐπεὶ πραΰνει ὁ οἶνος, βούλεται δὲ ἄγριος πρὸς τοὺς πολεμίους εἶναι, παραιτεῖται. ἢ ὅτι δίχα τροφῆς βλάπτει, τῶν νεύρων καθαπτόμενος. ἄλλως τε στρατιώταις μὲν θράσος πορίζεται, στρατηγοὺς δὲ τῆς φρονήσεως ὑπεκλύει. μόνους δὲ τοὺς ἀποκαμόντας ὠφελεῖ· ὁ δὲ ἔτι ἰσχύει. ἢ ἐν ὑπερβατῷ ἐστὶ, χερσὶ δ' ἀνίπτοισιν Διὶ λείβειν ἄζομαι, μή μ' ἀπογυιώσῃς μένεος, ἀλκῆς τε λάθωμαι. ἄλλως τε ὁ μὲν μετὰ πόνους οἶνος ὠφέλιμος, ὁ δὲ πρὸ πόνου ἐπιβλαβής.

261. μένος] ἡ προθυμία, παρὰ τὸ μένω ῥῆμα, ὃ δηλοῖ τὸ προθυμοῦμαι, ὅθεν ὁ παρακείμενος γράφεται μέμακα, ὁ μέσος μέμαα, ἐξ οὗ καὶ τὸ "μεμαὼς ἀπὸ θυμὸν ὀλέσσαι." ἔστι δὲ καὶ μέμονα ὁ παρακείμενος. ἀπὸ τοῦ μένω μενῶ καὶ ὡς φθείρω φθαρτὸς, οὕτω μένω ματὸς, καὶ αὐτόματος.

*εἰς τὸ "ἀνδρὶ δὲ κεκμηῶτι μένος μέγα οἶνος ἀέξει," πῶς ἑξῆς (265) λέγει "μή μοι οἶνον ἄειρε μελίφρονα, πότνια μῆτερ, μή μ' ἀπογυιώσῃς μένεος, ἀλκῆς τε λάθωμαι;" λύοιτο δ' ἂν προσώπῳ μὲν, ὅτι οὐ πάντες τὰ αὐτὰ δοκιμάζουσι, λέξει δὲ ὡς ὑπερβατῶς, ὅτι μεμνημένος τοῦ πατρὸς ἔκλαιε· [λείβων οὖν ἀντὶ τοῦ λείβειν ποιῶν εἴρηκε.] μή μοι οἶνον ἄειρε μελίφρονα, πότνια μῆτερ· χερσὶ δ' ἀνίπτοισιν Διὶ λείβειν αἴθοπα οἶνον ἄζομαι, μή μ' ἀπογυιώσῃς μένεος, ἀλκῆς τε λάθωμαι.

262. ἔτησι] πολίταις. εὖ δὲ τὸ μὴ φάναι ἑαυτῷ μηδὲ τοῖς οἰκείοις· τοῦτο γὰρ ἡγεμόνι πρέπον.

264. μελίφρονα] τὸν ἀναγκάζοντα ἡδέα διανοεῖσθαι· ἱλαρωτέρους γὰρ ποιεῖ ὡς τὰ πολλὰ τοὺς πίνοντας· ὁ δὲ ἐν πολέμῳ οὐ βούλεται πρᾶος εἶναι.

23. πῶς ante εἰς τὸ transposuit Vill. 27. λείβων—εἴρηκε] Seclusi.

265. *ζητεῖται πῶς ποτὲ ἐναντία ἑαυτῷ ὁ ποιητὴς λέγει· προειπὼν γὰρ "ἀνδρὶ δὲ κεκμηῶτι μένος μέγα οἶνος ἀέξει" νῦν ἐπάγει "μή μ' ἀπογυιώσῃς μένεος, ἀλκῆς τε λάθωμαι." ἡ μὲν οὖν ὑπὸ πολλῶν γενομένη λύσις τοῦ ζητήματος τοιαύτη, ὅτι ἑτέρου ἐστὶ πρόσωπον Ἑκάβης τὸ λέγον ὠφέλιμον εἶναι τὸν οἶνον, ἕτερον δὲ τὸ τοῦ Ἕκτορος τὸ ἀρνούμενον· οὐδὲν δὲ θαυμαστὸν εἰ παρὰ τῷ ποιητῇ ἐναντία λέγεται ὑπὸ διαφόρων φωνῶν· ὅσα μὲν γὰρ ἔφη αὐτὸς ἀφ' ἑαυτοῦ καὶ ἐξ ἰδίου προσώπου, ταῦτα δεῖ ἀκόλουθα εἶναι καὶ μὴ ἐναντία ἀλλήλοις· ὅσα δὲ προσώποις περιτίθησιν, οὐκ αὐτοῦ εἰσὶν, ἀλλὰ τῶν λεγόντων νοεῖται· ὅθεν καὶ ἐπιδέχεται πολλάκις διαφωνίαν, ὥσπερ καὶ ἐν τούτοις. ἡ μὲν γὰρ Ἑκάβη οὐκ εἰδυῖα τὸν κάματον τῶν ἀνδρῶν ταύτης ἐστὶ τῆς γνώμης, ὁ δὲ Ἕκτωρ μάλιστα ἐπιστάμενος ἀντιλέγει. ἔπειτα καὶ ἡ μὲν πρεσβῦτις ἦν, χαίρει δὲ τῷ οἴνῳ ἡ ἡλικία αὕτη· ἐπωφελὴς γὰρ ταύτῃ ἐστὶν ὁ οἶνος, θερμὸς ὢν καὶ ὑγρὸς ψυχρᾷ οὔσῃ καὶ ξηρᾷ, καὶ ἀναρρώννυσιν αὐτήν· ὁ δὲ Ἕκτωρ νέος ἦν καὶ ἀκμαῖος. ἄμεινον δέ ἐστιν ἐκεῖνο λέγειν, καὶ δεικνύειν ἑκάτερον τῶν εἰρημένων ἔχεσθαι λόγου, καὶ μὴ εἶναι ἐναντία τὰ περὶ τοῦ οἴνου λεγόμενα, ἐὰν σκοπῇ τις ὅτι ἐπὶ παντὸς πράγματος ὁ καιρὸς καὶ τὸ μέτρον πολὺ διαλλάττει. οὕτως οὖν καὶ ἐπὶ τούτου· τῷ μὲν γὰρ μέτρια πεπονηκότι πρὸς ἰσχὺν ὁ οἶνος συμφέρει, τὸν δὲ πάνυ κεκμηκότα σφάλλει· ὅπερ συμβέβηκε τῷ Ἕκτορι, οὐ μόνον δὲ ἐπὶ τοῦ πολέμου, ἀλλὰ καὶ ὑπὸ τοῦ ἐπὶ τὴν πόλιν δρόμου. ἄλλως τε καὶ οὐδὲ σιτίου οὐδενὸς ἐγέγευστο· ἡ γὰρ τροφὴ σὺν τῷ οἴνῳ τὸ πλεῖστον συμβάλλεται εἰς δύναμιν, ὥσπερ καὶ ἀλλαχοῦ εἶπεν ὁ ποιητὴς "σίτου καὶ οἴνου, τὸ γὰρ μένος ἐστὶ καὶ ἀλκή" (Il. 9, 706) καὶ πάλιν "ὃς δέ κ' ἀνὴρ οἴνοιο κορεσσάμενος καὶ ἐδωδῆς ἀνδράσι δυσμενέεσσι πανημέριον πολεμίζει" (Il. 19, 168) καὶ τὰ λοιπά. λύεται δὲ τὸ προκείμενον καὶ οὕτως, ὅτι τὸ μένος διχῶς κεῖται, καὶ ἐπὶ θυμοῦ καὶ ὀργῆς καὶ δυνάμεως. ἡ μὲν οὖν Ἑκάβη φύσει τοῦ πιόντος οἶνον τὴν δύναμιν αὔξειν λέγει, ὁ δὲ μαραίνεσθαι τὸν θυμὸν καὶ τὴν ὀργὴν τοῦ πιόντος λέγει ὑπὸ τοῦ οἴνου· ὥστε μὴ κεῖσθαι ἐναντία.

266. χερσὶ δ' ἀνίπτοισιν] ἄμφω τὰς προτάσεις Ἑκάβης παραιτεῖται ὁ Ἕκτωρ. ἠδύνατο μὲν οὖν ῥᾳδίως κομισθῆναι ὕδωρ κελευσάσης, ἵνα πρότερον νίψηται καὶ λυθῇ αὐτοῦ ἡ πρόφασις· ἀλλ' οὐ τοῦτο ἦν ἔθος ἀρχαῖον τὸ τὰς χεῖρας ἀπονίπτεσθαι μόνον, ἀλλὰ τὸ

ὅλον ἀπολοίεσθαι σῶμα, ὅπερ οὐκ ἦν εὐχερὲς Ἕκτορι ἐπειγομένῳ. καὶ πῶς ἐν τοῖς ἑξῆς (476) ἀνίπτοις χερσὶν εὔχεται "Ζεῦ ἄλλοι τε θεοὶ, δότε δὴ καὶ τόνδε γενέσθαι παῖδ' ἐμὸν, ὡς καὶ ἐγώ περ;" οὐκ ἔστι τοίνυν ἐναντίον. οὐ γὰρ ταυτόν ἐστιν ἐπισπένδειν καὶ ἁπλῶς διὰ λόγων εὔχεσθαι· τὸ μὲν γὰρ διὰ σώματος, τὸ δὲ διὰ ψιλῶν ῥημάτων γίνεται.

268. αἵματι] τῷ ἐκ πολέμου, ὁμοίως καὶ λύθρῳ τῷ τῇ κόνει ἐπιμίκτῳ. τοῦ εὐχετάασθαι δὲ τὸ δεύτερον ᾱ συσταλτέον· τὰ γὰρ εἰς θαι ἀπαρέμφατα προπαροξυνόμενα βραχυπαράληκτά εἰσι, τὰ δὲ παροξυνόμενα μακροπαράληκτα.

270. θυέεσσιν] ἃ ἡμεῖς θυμιάματά φαμεν, οἱ δὲ Ἀττικοὶ θηλύματα ἀπὸ τοῦ ἐκθηλύνειν. ἐπὶ δὲ τῶν ἐμψύχων κυρίως τὸ ἱερεῦσαι λέγεται, ὅ ἐστι σφάξαι.

272. καί τοι πολὺ φίλτατος αὐτῇ] ἵνα ἐκ προθυμίας ᾖ τὸ δῶρον.

280. Πάριν μετελεύσομαι] ἵνα μὴ δι' Ἀνδρομάχην δοκῇ τῆς μητρὸς ὑπεξίστασθαι. καλῶς δὲ τὰ ἀναγκαῖα τῶν ἡδέων προκρίνει· τοῦτο γάρ ἐστι φρονήσεως τὸ πάντα εἰδέναι, τὰ δὲ ὠφέλιμα αἱρετώτερα ἡγεῖσθαι.

282. ἐνδείκνυται διὰ τούτου τὸ ἀπειθὲς, μᾶλλον δὲ ἐμπαθὲς Ἀλεξάνδρου. οὐκ εἶπε δὲ ὅτι σὺ αὐτὸν ἔτρεφες, ἵνα μὴ μᾶλλον λυπήσῃ αὐτὴν ὡς κακοῦ θρέπτριαν, ἀλλ' ὁ Ὀλύμπιος.

283. οὐ προσέθηκεν οὐδὲ ἐνταῦθα τὸ σοί, ἵνα ἔτι ἔχῃ ἐλπίδας ὡς ἡ πόλις οὐχ ἁλώσεται.

284. εἰ κεῖνόν γε] εἰ εἶδον, φησὶν, αὐτὸν ἑλεσθέντα, ὑπέλαβον ἂν κατὰ φρένα χωρὶς ταλαιπωρίας καὶ θλίψεως ἐπιλαθέσθαι αὐτοῦ, καίπερ μὴ οὕτως διὰ τὸ φιλάδελφον ἐπιλαθόμενος.

286. ἡ δὲ μολοῦσα] εὔκαιρος ἡ ἀποσιώπησις· οὔτε γὰρ συναινεῖν τῇ Ἀλεξάνδρου ἀρᾷ βούλεται ὡς μήτηρ, οὔτε ἀπολογεῖσθαι, ἵνα μὴ παροξύνῃ Ἕκτορα.

291. ἦγαγε Σιδονίηθεν] θεοῖς γὰρ τὸν διωγμὸν διὰ Φοινίκης καὶ Αἰγύπτου ἦλθεν. περιεργασία δὲ Ἀλεξάνδρου τὸ μὴ μόνους πέπλους ὠνήσασθαι, ἀλλὰ καὶ τὰς ἐργαζομένας πρίασθαι.

*κλέψας τὴν Ἑλένην ἀπὸ τῆς Λακεδαίμονος, οὐχ ἧν ἦλθεν ὁδὸν οὐδὲ τὸν κατ' εὐθεῖαν πλοῦν ἐπορεύθη, ἵνα μὴ διωχθεὶς καταληφθῇ,

1. * οὐκ ἦν] om. εὐχερὲς] * εὔκαιρον

14. Sequitur in B scholion de quo dixi ad p. 281, 3.

ἀλλ᾽ ἔπλευσε διὰ τῆς Αἰγύπτου καὶ Φοινίκης καὶ Σιδόνος, κἀκεῖθεν ἔξω τοῦ ἄστεος γυναῖκας εὐρὼν ἔλαβε τρόπῳ λῃστρικῷ.

*ἐπιπλώς] μετοχὴ, ἀόριστος πρότερος· ὁ ἐνεστὼς ἐπιπλώω βαρυτόνως διὰ τοῦ ω̄ μεγάλου, ὡς ζώω γνώω, ἐξ οὗ καὶ τὸ ἐγνώσθη. οὕτως οὖν ἐστὶ καὶ τὸ πλώω. γίνεται οὖν ἐκ τοῦ πλέω πλόω διὰ τοῦ ο̄ μικροῦ, καὶ ἐπαυξήσει τοῦ ο̄ εἰς ω̄ μέγα ποιητικῶς πλώω βαρύτονον, ἐπειδὴ τὰ κατ᾽ ἐπαύξησιν τοῦ ο̄ εἰς ω̄ γινόμενα ῥήματα, εἰ μὲν καθαριεύουσι, βαρύνονται οἷον ζώω γνώω πλώω, εἰ δὲ οὐ καθαριεύουσι, περισπῶνται, οἷον νωμῶ στρωφῶ. λοιπὸν ἐκ τοῦ πλώω ὁ ἀόριστος ἔπλωσα, καὶ μετὰ τῆς ἐπί προθέσεως ἡ μετοχὴ ἐπιπλώσας, καὶ ἀφαιρέσει τῆς ας̄ συλλαβῆς ἐπιπλώς.

292. καλῶς τὸ ἀνήγαγε. βορειοτέρα γὰρ τῆς Ἑλλάδος ἡ Ἴλιος.

293. Ἑκάβη φέρε] τὰ σπουδαῖα δι᾽ ἑαυτῶν αἱ ἐλεύθεραι οἰκονομοῦσι παρ᾽ Ὁμήρῳ. καὶ νῦν μὲν ἡ Ἑκάβη τὸν πέπλον ἐκφέρει, ἑτέρωθι δὲ ἡ Ἑλένη τῷ Τηλεμάχῳ πάλιν δίδωσι πέπλον (Od. 15, 123), ἀλλὰ καὶ ἡ Πηνελόπη τοῖς μνηστῆρσι τὸ τόξον (Od. 21, 59).

295. νείατος ἄλλων] ὧν γὰρ ἡ χρῆσις συνεχὴς, ταῦτα καὶ πρόχειρα· οἷς δὲ μὴ χρῷτό τις, ταῦτα καὶ νείατα.

300. τὴν γὰρ Τρῶες] οὔτε κληρωτοὺς οὔτε ἐκ γένους βούλεται τοὺς ἱερεῖς εἶναι, οὔτε ψήφῳ ἑνὸς, ἀλλ᾽ οὓς πλῆθος ψηφιζόμενον ἕλοιτο, διὰ τὸ πολλὰς δημοτικὰς τοῖς προχειριζομένοις καὶ προχειρίζουσι τὰς αἰτίας ἀνακύπτειν.

304. εὐχομένη δ᾽ ἠρᾶτο] ὅτι τὸν ἱερέα περὶ τῶν κοινῶν εὔχεσθαι δεῖ, οὐκ ἰδίᾳ ἕκαστον. ἑκάστου δὲ τὸ ἀξίωμα οἶδεν ὁ ποιητής· τὴν Θεανὼ γοῦν Ἑκάβης παρισταμένης ποιεῖ εὐχομένην, καὶ τὸν Χρύσην τῷ Ἀπόλλωνι ὑπὲρ Ἑλλήνων παρόντος Ὀδυσσέως.

305. ἐρυσίπτολι] οἰκεῖον καὶ ἁρμόδιον ταῖς περὶ σωτηρίας εὐχομέναις τῆς πόλεως τὸ ἐρυσίπτολι, ὡς καὶ ἐκεῖ "Ἀθηναίῃ λῃΐτιδι" (Il. 10, 460).

307. Σκαιῶν προπάροιθε πυλάων] ὡς μέχρι τούτου ἐλάσαντος αὐτοῦ τοὺς Τρῶας. ἔμφασιν δὲ ἔχει βιαζομένου ἐμπεσεῖσθαι εἰς τὴν πόλιν.

311. ἀνένευε] τῇ γνώμῃ ἀνένευεν. ἀλλ᾽ ἐπὶ μόνῃ τῇ ἀναιρέσει, ἐπεὶ καὶ παύει Διομήδεα διὰ τῆς Αἴαντος μονομαχίας πρὸς Ἕκτορα.

*διὰ τί ὠνομάσθη ἡ Ἀθηνᾶ Παλλάς; ῥητέον οὖν ὅτι Παλλάδιον

ἦν ζῴδιον μικρὸν ξύλινον, ὃ ἔλεγον εἶναι τετελεσμένον, φυλάττον τὴν βασιλείαν τῆς Τροίας· ἐδόθη δὲ Τρωὶ τῷ βασιλεῖ κτίζοντι τὴν πόλιν ὑπὸ Ἀσίου τινὸς φιλοσόφου καὶ τελεστοῦ· διὸ δὴ εἰς τιμὴν Ἀσίου τὴν ὑπ' αὐτοῦ βασιλευομένην χώραν, πρότερον Ἤπειρον λεγομένην, Ἀσίαν ἐκάλεσεν. οἱ δὲ ποιητικῶς γράψαντες ἐκ τοῦ ἀέρος εἶπον τὸ Παλλάδιον τοῦτο κατενεχθῆναι τῷ Τρωὶ βασιλεύοντι Φρυγῶν. τοῦτο Διομήδης καὶ Ὀδυσσεὺς, ὅτε τὴν πρεσβείαν ἐποιήσαντο πρὸς Πρίαμον, ἐκ τοῦ ἱεροῦ ἐσύλησαν, προδεδωκυίας αὐτὸ Θεανοῦς τῆς τοῦ Ἀντήνορος γυναικὸς, ἱερείας τυγχανούσης καὶ φυλαττούσης αὐτό· ἦσαν γὰρ ἀπὸ χρησμοῦ καὶ Ἀντήνορος μαθόντες ὅτι, ἕως οὗ μένει τὸ Παλλάδιον ἐν τῇ Τροίᾳ, ἀσάλευτος ἔσται ἡ βασιλεία τῶν Φρυγῶν. πολλὴ τοίνυν μεταξὺ Αἴαντος καὶ Ὀδυσσέως ἐκινήθη ἔρις, τίς τοῦτο εἰς τὴν ἰδίαν ἀπενέγκοι πατρίδα, δικαζόντων αὐτοὺς τῶν ἄλλων βασιλέων καὶ προμάχων. πολλῶν τοίνυν μεταξὺ λόγων κινηθέντων καὶ γενομένης ὀψίας ἔδοξεν αὐτοῖς παραθέσθαι τὸ βρέτας Διομήδει, μέχρις ἂν γένηται πρωΐ. καὶ τούτου γενομένου διὰ τῆς νυκτὸς εὑρέθη ὁ Αἴας ἐσφαγμένος ἀδήλως. ὑπενόουν δὲ δόλῳ φονεῦσαι αὐτὸν τὸν Ὀδυσσέα. καὶ φιλονεικήσαντες πρὸς ἀλλήλους ἀπέπλευσαν. ὅπερ Παλλάδιον ἀνέθεντο τῇ Ἀθηνᾷ. ἕτεροι δέ φασιν ὡς παλλαδίων χρυσουμένων ἐν ταῖς πρῴραις τῶν τριήρων, οἱ Ἀθηναῖοι ἀγάλματά τινα ξύλινα τῇ Ἀθηνᾷ καθίδρυον, ὧν ἐπεμελοῦντο μέλλοντες πλεῖν.

314. αὐτὸς ἔτευξε] ὡς περὶ ἀβροδιαίτου καὶ τοῦτό φησιν· οὐκ ἐβουλήθη γὰρ σὺν τοῖς ἀδελφοῖς καὶ κηδεσταῖς κατοικεῖν, ἀλλ' ἑαυτῷ ἰδίᾳ οἴκησιν ἐδείματο.

315. τέκτονες κυρίως οἱ λαξόοι. τὸ δὲ ἔτευξεν ἀντὶ τοῦ εὖ ἐπεστάτησε· καλλωπιστὴς γὰρ ἦν καὶ ἴσως πρὸς ζῆλον τῆς Μενελάου οἰκίας ποιεῖ, ὥστε εἰ ἦν αὐτῷ δυνατὸν, ἥρπασεν ἂν καὶ αὐτήν.

316. οἴκημα αὐτῷ ἐποίησαν ἐν ᾧ ἦν θάλαμος, ὅ ἐστι νυμφικὸς κοιτωνίσκος, καὶ δῶμα, τουτέστιν ἀνδρών, καὶ αὐλή, ὅ ἐστι τὸ ἐξώτερον.

319. ἑνδεκάπηχυ] ἕνδεκα πηχῶν, ἐπεὶ τὸ κολλητὸν δύο καὶ εἰκοσίπηχυ. πρὸς ὑπογραμμὸν δὲ καὶ προτροπὴν Ἀλεξάνδρου θρασὺς φαίνεται ὁ Ἕκτωρ διὰ τοῦ δόρατος· ἅμα δὲ καὶ προμηνύει τὴν ἄφιξιν. τὸ δὲ ἔχε ἀντὶ τοῦ ἐκράτει.

1–18. Eadem apud Suidam s.v. Παλλάδιον et scriptores Byzantinos ab editoribus indicatos.

14. λόγων addidi ex Suida.

33. τὸ δὲ—ἐκράτει] Haec a manu recentiore.

320. πόρκης] πόρκης καλεῖται ὁ τῆς ἐπιδορατίδος δακτύλιος.

*παρὰ τὸ πέρω πέπορα, πόρκης.

321. τὸν καλλωπιστὴν δηλοῖ καὶ ἐναβρυνόμενον τῇ γυναικὶ, καὶ μόνον οὐχὶ δι' αὐτὴν τὰ ὅπλα μεταχειριζόμενον.

*τὸ ἔπω σημαίνει τέσσαρα, τὸ λέγω, ὡς τὸ "ἄνδρα μοι ἔννεπε Μοῦσα" (Od. 1, 1), καὶ τὸ ἀκολουθῶ, ὡς τὸ "ἢ οὐχ ἑπέσθην Λακεδαίμονος ἐξ ἐρατεινῆς" (Il. 3, 239), τὸ εὐτρεπίζω, ὡς ἐνταῦθα, καὶ τὸ διοικῶ, ὡς τὸ "ἀλλὰ τὸ μὲν πλεῖον πολυάϊκος πολέμοιο χεῖρες ἐμαὶ διέπουσιν" (Il. 1, 165).

322. βραχὺ διασταλτέον εἰς τὸ θώρηκα, ἵνα ᾖ πρὸς τὸ ἕποντα.

*τινὲς φόωντα, τουτέστι λαμπρύνοντα.

323. Ἑλένη] ἐμπρακτοτέρα λίαν ἐστὶν αὕτη τοῦ Ἀλεξάνδρου. τὸ δὲ ἔργα ἀντὶ τοῦ περὶ τῶν ἔργων.

325. αἰσχροῖς] λοιδόροις. παρ' ἑαυτοῦ δὲ ἐξήνεγκεν ὁ ποιητὴς τὸν στίχον.

326. οὐ μὲν καλὰ χόλον] ἀφορμὴν λαμβάνει διὰ τῆς αὐτοῦ ἀργίας (οὐ γὰρ ὡς ἀσθενοῦς, ἀλλ' ὡς ῥᾳθύμου αὐτοῦ κατηγορεῖ), καί φησιν, οὐχ ὑγιῶς ἐν ἑαυτῷ τὴν μῆνιν ἔχεις· σοὶ γὰρ οἱ Τρῶες μηνίουσιν, ὡς θελησάντων αὐτὸν ἐκδοῦναι Μενελάῳ. ἢ χόλον τὴν ῥᾳθυμίαν λέγει. ἐβούλετο μὲν οὖν αὐτοῦ πλειόνως καθάψασθαι, ἀλλ' οὐκ ἔδει αὐτὸν ἐπὶ Ἑλένης λοιδορεῖσθαι.

327. λαοὶ μέν] περικέκοπται ὁ λόγος· ἐφυλάξατο γὰρ ἐπαγαγεῖν σὺ δὲ καθέζῃ ἀκίνδυνος.

336. δασυντέον τὸ ἥμην, ἀντὶ τοῦ ἐκαθήμην· ἄμεινον γάρ. τινὲς δὲ ψιλοῦσιν, ἀντὶ τοῦ ἤμην, ὃ δηλοῖ τὸ ὑπῆρχον.

*ἄχεϊ προτραπέσθαι] διὰ τὴν λύπην τοῦ δυσημερήματος ἤθελον ἀποτραπῆναι μικρὸν τῆς μάχης. ἢ ἤθελον διὰ τὴν ἧτταν λυπούμενος μεῖναι καὶ κατακλιθῆναι· ἢ ἐβουλόμην ἐκ τῆς συμβάσης μοι λύπης διὰ τὴν ἧτταν παρατροπήν τινα καὶ παραμυθίαν εὑρεῖν.

εἶξαι τῇ συμφορᾷ καὶ ἡσυχάσαι. δέον μὲν οὖν ἦν τὸ πταῖσμα ἔργοις ἀνανεοῦσθαι· οὗτος δὲ διὰ ἡσυχίας φησὶν ἀνακτᾶσθαι ἑαυτόν.

338. *ὥρμησ'] ὁρμηθῆναι ἐποίησεν.

339. νίκη δ' ἐπαμείβεται] ὡς τὸ "κεῖνον δ' αὖθις ἐγώ" (Il. 3, 440). τῇ δὲ τύχῃ, οὐ τῷ πολεμίῳ περιάπτει τὸ κατόρθωμα.

18. ἐν ἑαυτῷ] *ἐν νῷ 30. ἡσυχάσαι] *ἀφησυχάσαι

342. οὔτι προσέφη] καλῶς οὐδὲ ἀποκρίσεως αὐτὸν ἠξίωσεν εἰπόντα "νῦν δέ με παρειποῦσ' ἄλοχος," ἀλλὰ τῇ Ἑλένῃ αὐτὸν παρορμᾷν παραινεῖ.

343. προσηύδα μειλιχίοισι] προσάγεται αὐτόν· ξυνίησι γὰρ ὡς διὰ τὴν πρὸς αὐτὴν αἰδῶ τὰς ἐπιπλήξεις παρῆκεν.

344. δᾶερ ἐμεῖο κυνός] τῷ συγγενικῷ ὀνόματι προσοικειοῦται τὸν Ἕκτορα· ἐπεὶ δὲ δι' αὐτὴν ἀτυχοῦσι Τρῶες, προαναγγέλλει τε τὴν ἑαυτῆς κατηγορίαν καὶ τὴν εὔνοιαν αὐτῶν ἐπισπᾶται.

345. ὅτε με πρῶτον τέκε μήτηρ] ὡς καὶ παρ' αὐτὴν τὴν γένεσιν εἱμαρμένων τούτων, ἅπερ αὐτῆς ἐδόκει εἶναι πλημμελήματα.

348. ἀπόερσε] ψιλωτέον τὸ ἔρσε. πᾶν γὰρ φωνῆεν λῆγον εἰς ρ̄ ἐπιφερομένου τοῦ σ̄ ψίλουσθαι θέλει. πιθανῶς δὲ παρέβραμε τὴν τῶν αὐτῇ εἰργασμένων αἰσχύνην.

349. τεκμήραντο] εἰς τέλος ἤγαγον, ἀπὸ τοῦ τέκμαρ.

351. ἤδη νέμεσίν τε καὶ αἴσχεα] ἤδει πρὸς τὸ φυλάσσεσθαι καὶ μὴ εἰς αὐτὰ ἐμπίπτειν.

διδάσκει ὁ ποιητὴς τὰς ἐπιγαμίας πρὸς συνετοὺς ποιεῖσθαι· ἡ γοῦν Ἑλένη πλούσιον ἄνδρα ἔχουσα τὸν Ἀλέξανδρον καὶ υἱὸν βασιλέως εὔχεται συνετοῦ γεγενῆσθαι γυνή.

354. ἀλλ' ἄγε νῦν] τὸ συνεχὲς τοῦ λόγου ἐκεῖνο ἦν, δᾶερ ἐμεῖο κυνώπιδος, εἶσελθε καὶ ἕζεο. μέσα δὲ παρενθεῖσα πλείονα ἀπ' ἄλλης ἀρχῆς ἤρξατο, ἀλλ' ἄγε νῦν εἴσελθε καὶ ἕζεο. τὸ δὲ δᾶερ ἕνεκα φιλοφροσύνης λαμβάνει. εἴσελθε δὲ, ὅτι μέχρι τῆς αὐλῆς προελήλυθει· φιλοφρονητικὸν δὲ τοῦτο.

355. ἔστι μὲν νῦν ἀντιδιασταλτικὴ ἡ σέ ἀντωνυμία καὶ ἐχρῆν αὐτὴν ὀρθοτονεῖσθαι, ἡ δὲ συνήθεια ἐγκλιτικῶς ἀνέγνω.

356. εἵνεκ' ἐμεῖο] Ἕκτωρ μὲν οὐ συμπαραλαμβάνει αὐτὴν Ἀλεξάνδρῳ· "σέο γάρ" φησιν "εἵνεκ' ἀϋτή τε πόλεμός τε" (328). ἡ δὲ τὴν αἰτίαν καὶ εἰς ἑαυτὴν φέρει, προκαταλαμβάνουσα αὐτόν.

357. Πτολεμαῖος ἀναστρέφει τὴν ἐπί, Ἡρακλέων δὲ οὔ. ἴᾶται δὲ τὰ ἑαυτῆς πταίσματα καὶ λεληθότως αὔξει τὴν ποίησιν.

359. * Πορφυρίου. οὐκ οἶδ' ὅθεν τῶν γραμματικῶν τινὲς τὸ αἰόλον ἐπὶ τοῦ ποικίλου παρ' Ὁμήρῳ ἀκούειν ἀξιοῦσιν· οὕτω γοῦν τὸ αἰολόπωλον (Il. 3, 185) ἀποδιδόασι, καὶ "πόδας αἰόλος ἵππος" (Il. 19, 404), καὶ τὸ "αἰόλος ὄφις" (Il. 12, 208). οὐκ ἔστι δὲ οὕτως.

32. * Πορφυρίου] om.

ἀλλὰ σημαίνει τὸν ταχὺν, γενόμενον ἀπὸ τῆς ἀέλλης, ἥτις ἀπὸ τοῦ ἄειν καὶ τοῦ εἰλεῖν πεποίηται, ὡς αὐτὸς ἐξηγήσατο εἰπὼν "ὄνπερ ἄελλαι χειμέριαι εἰλέωσιν" (Il. 2, 293), τουτέστιν εἰλῶσιν, ὡς καὶ ἐπὶ τοῦ Βορέου ἔφη "εἴλει γὰρ Βορέης ἄνεμος" (Od. 19, 200). ἡ μὲν οὖν ἄελλα ἀπὸ τοῦ ἄειν καὶ εἰλεῖν πεποίηται, ἡ δὲ θύελλα ἀπὸ τοῦ θύειν καὶ εἰλεῖν· θύειν δὲ τὸ σφοδρῶς καὶ ἀκαθέκτως ὁρμᾶν δίκην μαινομένων· "ἦ γὰρ ὅ γ' ἐλοῇσι φρεσὶ θύει" (Il. 1, 342) καὶ "θῦνε διὰ προμάχων" (Il. 5, 250)· ὅθεν καὶ θυάδες αἱ Βάκχαι. ὡς οὖν ἀελλόπος Ἶρις λέγεται (Il. 8, 409), ἣν μεταλαβὼν ποδήνεμον προσηγόρευσεν (Il. 2, 786), καὶ τὰς ἀέλλας εἰς τοὺς ἀνέμους μεταλαμβάνει, οὕτως τὸν ποδώκη ἵππον μεταλαμβάνων πόδας αἰόλος ἵππος ἔφη· καὶ ὥσπερ εἰπὼν ἀργίποδας κύνας (Il. 24, 211) κατὰ παράληψιν ἀλλαχοῦ ἔφη καὶ κύνας ἀργούς (Il. 1, 50), οὕτω τοὺς τοὺς πόδας αἰόλους ἵππους κατὰ παράληψιν αἰολοπώλους εἶπε. καὶ αἰόλαι οὖν εὐλαὶ (Il. 22, 509) ἀπὸ τοῦ ταχέως εἰλεῖσθαι. εἴρηνται καὶ σφῆκες μέσον αἰόλαι (Il. 12, 167) αἱ κατὰ μέσον συνεχῶς κινούμεναι καὶ εἰλούμεναι. καὶ κορυθαίολος οὖν ὁ συνεχῶς κινῶν τὴν κόρυθα, ὃ μεταποιῶν ἐπὶ τοῦ Ἄρεως ἔφη "ἶσος Ἐνυαλίῳ κορυθάϊκι" (Il. 22, 132). λύσεις δ' ἐντεῦθεν καὶ τὸ "ὡς δ' ὅτε γαστέρ' ἀνὴρ πολέος πυρὸς αἰθομένοιο, ἐμπλείην κνίσης τε καὶ αἵματος, ἔνθα καὶ ἔνθα αἰόλλῃ" (Od. 20, 25)· δηλοῖ τὸ εἰλεῖν καὶ συνεχῶς στρέφειν. ἐκ δὲ τοῦ κορυθάϊκι λύσεις τὸ "Δωριέες τε τριχάϊκες" (Od. 19, 177), οἱ συνεχῶς τὰς τρίχας διὰ τὸ δραστικὸν κινοῦντες· καρηκομόωντες γὰρ εἴρηνται οἱ Ἀχαιοί.

360. φιλέουσά περ] πιθανῶς προσέθηκε τὸ φιλέουσα, ἵνα μὴ ὑπ' ἀπεχθείας δοκῇ μὴ καθέζεσθαι.

ἐμεῖο πόθην ἀπεόντος ἔχουσιν] στρατιωτικὸν τὸ τῆς ἀλαζονείας καὶ οἰκεῖον Ἕκτορος. οὐκ ἠξίωσε δὲ διαλέξασθαι Ἀλεξάνδρῳ, τὸ πᾶν τῇ γυναικὶ ἐπιτρέπων.

364. ἐδήλωσεν ὅτι οὐ χρονίσει ἐν τῷ τῇ γυναικὶ ὁμιλεῖν.

366. οἰκῆας] τοὺς ἐν τῷ οἴκῳ· ἀσυμπαθοῦς γὰρ τὸ ἐλθόντα μὴ ἰδεῖν· προὔκρινε δὲ τῶν ἡδέων τὰ ἀναγκαῖα.

367. οὐ γάρ τ' οἶδ'] οὐ γὰρ τέως· πολεμικὸς δὲ ὢν ὑποπτεύει τῶν πολεμικῶν κινδύνων τὸ ἄδηλον.

14. κατὰ Vill.] μετὰ 20. ἐμπλείην κνίσης] ἀμπλείην κνίσης
29. ἐπιτρέπων] *ἐπιτρέποντι

370. εὖ ναιετάοντας] διὰ τὴν τῶν δεσποτῶν πρόνοιαν καὶ φρόνησιν· ἐπὶ δὲ Ἀλεξάνδρου (314) μόνον καλά.

371. οὐδ' εὖρ' Ἀνδρομάχην] ἐκκλίνων τὸ ὁμοειδὲς πιθανῶς ἐποίησε τὴν Ἀνδρομάχην μὴ εὑρισκομένην ἔνδον. ἅμα δὲ καὶ κρίνειν τὸν ἀκροατὴν ἀξιοῖ ὅσης ἐπληρώθη μὲν λύπη εὑρὼν Ἑλένην, Ἀνδρομάχην δὲ οὔ. ἀπῆλθε δὲ κατηφὴς, τῶν φιλτάτων μὴ θεαθέντων· ἐν γὰρ τῷ τείχει παραδόξως συντυγχάνει αὐτοῖς.

373. πύργῳ ἐφεστήκει] τὴν αἰτίαν τῆς ἐξόδου φησὶ, παραμυθούμενος ἡμᾶς συναχθομένους τῷ Ἕκτορι. βούλεται δὲ ὥσπερ ἱκετήριον τὸν πατέρα τῷ Διὶ προτεῖναι τὸν παῖδα διὰ τὸ τοῦ πολέμου ῥιψοκίνδυνον.

376. νημερτέα] ἐπίρρημα, ἀπὸ τοῦ νημερτές οὐδετέρου. τοῦτο ἐκ τοῦ νημερτής. τοῦτο παρὰ τὸ ἁμαρτῶ τὸ ἀποτυγχάνω, καὶ μετὰ τοῦ νη στερητικοῦ νημαρτής, οἱονεὶ ὁ μὴ ἀποτυγχάνων τοῦ σκοποῦ τοῦ λόγου, τουτέστι μὴ ψευδόμενος· καὶ τροπῇ τοῦ α εἰς ε νημερτής.

377. λευκώλενος] τοῦ ποιητοῦ τὸ ἐπίθετον, οὐ τοῦ Ἕκτορος. λέγει δὲ καὶ τὰς αἰτίας δι' ἃς προϊέναι τὰς σώφρονας δεῖ.

381. *ὀτρηρή] ἡ δραστικὴ, ἡ μὴ ἀναμένουσα ὀτρυνθῆναι παρά τινος, ἀλλὰ δι' ἑαυτῆς παροτρυνομένη ἅπαντα ποιεῖν. γέγονε δὲ παρὰ τὸ τρέω τὸ φοβοῦμαι.

383. οὔτε πη] ὀργιζομένῳ τῷ Ἕκτορι ἀπολογεῖται ὑπὲρ αὐτῆς ἡ θεράπαινα, ὡς οὐ χαιρούσης προόδοις, ἠναγκασμένης δὲ νῦν φιλανδρίας χάριν, ἵνα μᾶλλον οἰκτίσῃ αὐτὴν ὁ Ἕκτωρ.

389. μαινομένῃ εἰκυῖα] ἵνα ἀπριαιρέτως δοκῇ ἐκβεβακχεῦσθαι. παῖδα δὲ φέρει τιθήνη, ἢ ὅτι ὑποτίτθιος ἦν, ἢ ὅτι ἐν τοῖς δεινοῖς οὐκ ἐῶσι μόνους τοὺς παῖδας.

390. ὁ δ' ἀπέσσυτο] οὐκ ἀποκρίνεται ὑπὸ θυμοῦ. εὖ δὲ τὸ μὴ περιμεῖναι τὴν γυναῖκα· καὶ ἔστιν ἰδεῖν ἀντικείμενα τὰ πρόσωπα, Ἕκτορος μὲν προτιμήσαντος τῶν φιλτάτων τὴν βοήθειαν τῶν πολιτῶν, Ἀλεξάνδρου δὲ τῇ Ἑλένῃ παρακαθημένου.

392. διερχόμενος μέγα ἄστυ] μετὰ τὸ διελθεῖν τὰς λεωφόρους καὶ πρὸς τέλει ἐλθεῖν. τοῦτο δέ φησιν, ἵνα ὁ ἀκροατὴς ἀγωνιώτερος γένηται.

394. ἔνθ' ἄλοχος] ἀναβέβηκεν ἐπὶ τὸ τεῖχος ὡς ἐκεῖθεν ὀψομένη τὸν Ἕκτορα, οὐδαμοῦ δὲ ὁρωμένου οἴκαδε ἐπανέρχεται. καὶ ἰδοῦσα

ἐξιέναι μέλλοντα προστρέχει, ἵνα αὐτὴν μὴ φθάσῃ παραλλάξαι· διὰ τοῦτο γὰρ ἔθει πάντως, ἵνα μὴ ἐξελθεῖν φθάσῃ.

Ἀδράμυστις ὁ Πελασγὸς ἀφικόμενος εἰς τὴν Ἴδην τὴν ἐν Λυκίᾳ κτίζει πόλιν Ἀδραμύστειαν καλουμένην· ἔχων δὲ θυγατέρα Θήβην ἔπαθλον δρόμου αὐτὴν ὥρισε τῷ βουλομένῳ. Ἡρακλῆς δὲ ταύτην λαβὼν καὶ τὴν πόλιν Ὑποπλακίαν Θήβην ὠνόμασεν, ὅτι ὑπέρκειται αὐτῆς πλακῶδες ὄρος, συνεχεῖς ἔχον πέτρας.

400. ἀταλάφρονα] μὴ δυνάμενον τλῆναι κακοπάθειαν.

401. ἀλίγκιον ἀστέρι καλῷ] προπαραδίδωσιν ἡμῖν τὸ χαρίεν τοῦ παιδὸς, ἵνα προσανέχωμεν αὐτῷ τὸν νοῦν, ὅταν εἴπῃ "οὖ παιδὸς ὀρέξατο" (466). πρέπον δὲ παιδίῳ τὸ μὴ ἡλίῳ ἢ σελήνῃ, ἀλλ' ἀστέρι εἰκασθῆναι.

402, 403. ἄμφω πρέποντα. ὁ μὲν γὰρ οὐ βουλόμενος ὀνειδίζειν τοῖς ὑποτεταγμένοις ἦν παρεῖχεν αὐτοῖς σωτηρίαν, ἀπὸ τοῦ ἐγχωρίου Σκαμάνδρου καλεῖ τὸν υἱόν· οἱ δὲ Τρῶες, ἀνθ' ὧν ἐφύλαττεν αὐτοὺς ὁμολογοῦντες χάριν, Ἀστυάνακτα καλοῦσιν, οἰκείαν θέμενοι τὴν προσηγορίαν· καὶ γὰρ καὶ οὗτος Ἕκτωρ ἐκαλεῖτο διὰ τὸ ἔχειν "ἀλόχους κεδνάς" (Il. 24, 730). προτρέπει δὲ ἡμᾶς ἐπ' ἀρετὴν δι' ὧν καὶ παισὶν αἴτιοι εὐκλείας οἱ ἀγαθοί.

404. μείδησεν ἰδὼν ἐς παῖδα σιωπῇ] τοῦτο γὰρ ἡρωϊκὸν καὶ μεγαλοφυὲς, τὸ μὴ ἀθρόως γελᾶν. χαρίζεσθαι δὲ δοκοῦσι ταῖς γυναιξὶ τοὺς παῖδας φιλοφρονοῦντες· συνδέσιμος γὰρ ἀνδρῶν καὶ γυναικῶν ἡ παιδοποιία. πατρικὸν δὲ καὶ τὸ σχῆμα· προσαγορεύομεν γὰρ μειδιασμῷ τοὺς παῖδας τοὺς μηδέπω μὲν λόγους συνιέντας, γνωρίζοντας δὲ ἤδη τὴν ὄψιν.

405. παρίστατο δακρυχέουσα] ἤδη προϋδίδαξε τί μέλλει λεχθῆναι. πιθανὸν δὲ ἀπὸ τῆς ἀπροσδοκήτου χαρᾶς κλαίειν τὴν γυναῖκα. γραφικῶς δὲ ὁ μὲν μειδιᾷ ἀφορῶν εἰς τὸ παιδίον, ἡ δὲ δακρύουσα παρέστηκεν αὐτῷ.

406. φῦ χειρί] τὸ δυσαποσπάστως ἔχεσθαι τοῦ ἀνδρὸς δηλοῖ τὸ φῦ χειρί

407. φθίσει σε τὸ σὸν μένος] διὰ τὴν φιλοστοργίαν πέπεισται

3. *Ἀδράμυστις] ἀνδραμυστί. Recte scriptum apud Eustathium p. 649, 45.

* Λυκίᾳ] κιλικίᾳ

4. Ἀδραμύστειαν] Ἀδραμυστίαν apud Eustathium.

10. οὖ παιδὸς ὀρέξατο] τοῦ παιδὸς ὠρέξατο

22. συνδέσιμος] * σύνδεσμος

αὐτὸν ὑπερέχειν Ἑλλήνων, καὶ οὐ τοσοῦτον τοῖς πολεμίοις εὐχείρωτον εἶναι ὅσον ἑαυτῷ διὰ τὸ ῥιψοκίνδυνον. θαυμάζει μὲν οὖν τὴν ἰσχύν, οὐκ ἐπαινεῖ δὲ τὸ θράσος. οὔτε δὲ Ἕκτορ οὔτε ἀνέρ φησιν, ἀλλὰ δαιμόνιε, ὃ παρεμφαίνει θυμόν τε καὶ εὔνοιαν.

409. σεῦ ἔσομαι] οὐ τῇ κοινῇ χηρείᾳ, ἀλλὰ τῇ Ἕκτορος ἄχθεται.

410. πάντες ἐφορμηθέντες] ἕνα γὰρ ἕκαστον αὐτοῦ ἧττονα ἡγεῖται αὗτη.

411. σεῦ ἀφαμαρτούσῃ χθόνα δύμεναι] φίλανδρον τὸ ἦθος αὐτῆς. ἡ δὲ ἀντωνυμία πολλάκις παραληφθεῖσα πάθος καὶ ἦθος κινεῖ.

412. ἔσται θαλπωρή] περιπαθῶς φησὶν ὅτι ἅμα σοὶ πάντα τὰ ἐμοὶ ἀπολοῦνται καλὰ, ἀλλὰ καὶ τὸ κοινότατον πάντων ἀνθρώπων ἀφαιρεθήσεται, ἡ ἐλπίς. τὸ δὲ πότμον ἐπίσπῃς ἀντὶ τοῦ ὑπὸ πότμου καταληφθήσῃ.

413. οὐδέ μοι ἔστι πατὴρ] οἶκτον ἐπάγεται ἀντὶ πάντων αὐτὸν λέγουσα ἔχειν. ἐλεοῦμεν γὰρ μᾶλλον τοὺς ἡμῶν μόνον ἠρτημένους. οὐκ ἀγνοοῦντι μὲν οὖν διαλέγεται, ἀλλ' ἐκ πάντων τῶν οἰκείων αὔξει τὸν Ἕκτορα· οἱ γὰρ ἀτυχοῦντες φιλοῦσι καὶ πρὸς εἰδότας λέγειν τὸ μῆκος τοῦ λόγου. τὸ δὲ ἀμόν ἐν μὲν τῇ Ἰλιακῇ προσῳδίᾳ φησὶν ὁ Ἡρωδιανὸς Δωρικώτερον εἶναι ἀπὸ τοῦ ἀμέτερον· ἐν δὲ ἐπιμερισμῷ φησὶν ὅτι ἀπὸ τοῦ ἐμὸν ἐκτέταται τὸ ε̄ εἰς ᾱ μακρόν.

417. ὡς τίμιον καὶ βασιλικόν. οὐ περιττὰ δὲ ταῦτα· ἀξίωμα γὰρ τοῦ πατρὸς ἐμφαίνει, ὃν ᾐδέσθη καὶ πολέμιος.

420. *νύμφαι ὀρεστιάδες] σημειωτέον ὅτι καὶ ἐν τοῖς ὄρεσι καὶ ἐν ταῖς πηγαῖς οἴδε θεὰς, ἃς νύμφας καλεῖ· "νύμφαι κρηναῖαι" (Od. 17, 240) καὶ "νύμφαι ὀρεστιάδες, κοῦραι Διός." οὕτως πεπληρῶσθαι θείων δυνάμεων Ὅμηρος ἡγεῖται πάντα.

423. κατέπεφνε — Ἀχιλλεύς] λελῃθότως ὑποβάλλει αὐτῷ κἀκ τούτου τὸν Ἀχιλλέα φοβεῖσθαι.

428. πατρὸς] μητροπάτορος· τεθνήκει γὰρ Ἠετίων ἤδη.

429. Ἕκτορ, ἀτὰρ σύ μοι] τὸ σχῆμα καλεῖται σχέσις· ἐμφαίνει δὲ εὔνοιαν καὶ πάθος ψυχῆς.

430. θαλερός] ἀγαπητός· "τοιόνδε θάλος" (Od. 6, 157) οἷον ἀγάπημα.

9. *φίλανδρον] φιλάδελφον 16. μόνον] *μόνων
19. *τῇ Ἰλιακῇ] om.

431. αὐτοῦ μίμν'] ἡ μὲν Ἑλένη ὡς αἴτιον τοῦ πολέμου ἐκπέμπει τὸν Πάριν, ἡ δὲ ὡς ῥιψοκίνδυνον κατέχει. καλῶς δὲ οὐ μένειν αὐτὸν οἵκοι ἀξιοῖ (οἶδε γὰρ ὅτι οὐ πείσει), ἀλλ' ἐπὶ τοῦ τείχους μένειν, ὅθεν καὶ ἀμυνεῖται τοὺς πολεμίους, ὅθεν καὶ σωθήσεται.

433. οὐ πρέποντα μὲν τὰ τῆς ὑποθήκης γυναικὶ, ἀλλ' εἰ καὶ γυναικὶ μὴ πρέπει, ἀλλά γε τῇ Ἀνδρομάχῃ, ἐπεὶ καὶ τὸ ἱπποκομεῖν οὐ γυναικὸς, ἡ δὲ Ἀνδρομάχη καὶ τοῦτο ποιεῖ (Π. 8, 168), ὡς καὶ φίλανδρος, ἐπιμελουμένη δὲ καὶ τῶν φερόντων αὐτῆς τὸν ἄνδρα τοῦτο ποιεῖ.

*ὑπόκειται γὰρ ἡ Ἀνδρομάχη τοιαύτη, καὶ οὐκ ἀπείρως καὶ τοὺς Ἕκτορος ἵππους τημελοῦσα.

434. περίπλασμά τι τοῦτό ἐστιν, ὅπως αὐτὸν ἀποστήσῃ τοῦ πεδίου· διὸ οὐδὲ ἀποκρίνεται περὶ τούτου.

*ἐπίδρομον, καθ' ὃ ἔστιν ἐπιδραμεῖν τὴν ἀπὸ τοῦ τείχους κατερχομένην ὁδὸν καὶ ἀναβῆναι τὴν αὐτήν.

436. ἀμφ' Αἴαντε] περιειργάσατο παρά τινος τὰ ὀνόματα. ἅμα δὲ θέλει ὁ ποιητὴς δηλῶσαί τι τῶν μετὰ Γλαῦκον καὶ Διομήδην γεγονότων. διὰ τί δὲ, φασὶν, οὐ συνεῖδε ταῦτα ὁ Ἕκτωρ; φαμὲν δὲ ὅτι συνεῖδεν· "ἐμοὶ" γάρ φησι "τάδε πάντα μέλει, γύναι."

438. θεοπροπίας εὖ εἰδώς] ὑποβάλλει ταῦτα προοικονομῶν ὡς κατὰ τοῦτο τὸ μέρος εἵμαρτο ἁλῶναι τὴν Ἴλιον.

441. τάδε πάντα] ἡ ὀρφανία καὶ ἡ χηρεία καὶ ἡ τῶν πολεμίων σκόπησις.

442. αἰδέομαι Τρῶας καὶ Τρωάδας] νόμος γὰρ ἄρχουσιν αἰδεῖσθαι τοὺς ὑποτεταγμένους· χεῖρον δὲ παρὰ γυναιξὶν ἀκούειν δειλόν.

444. μάθον ἔμμεναι ἐσθλός] διδακταὶ γὰρ αἱ ἀρεταί. ἄμεινον δὲ τὸ ἔμαθον ἀντὶ τοῦ εἴωθα. ἐξ ἐπιλογισμοῦ δὲ τοῦτό φησιν.

445. ὁ Νικάνωρ φησὶν ὅτι δεῖ στίζειν εἰς τὸ ἀεί, ἵνα μὴ τοῦ συνδέσμου ὑπερβατὸν γένηται.

446. ἀρνύμενος πατρός τε] οὐ μόνον, φησὶν, ἑαυτῷ τὴν δόξαν, ἀλλὰ καὶ τῷ πατρὶ σῶσαι σπουδάζω.

448. οὐκ ἐκφοβεῖ, εἰ καὶ τῆς ἁλώσεως μέμνηται, ἀλλὰ μᾶλλον εὐπαράμυθον ποιεῖ, καὶ τὴν αὐτοῦ φιλοστοργίαν πρὸς τὴν γυναῖκα ἐμφαίνει· διὸ οὐδὲ τὸν τῆς ἁλώσεως ὁρίζει χρόνον. ὃν δὲ δεινῶν χρόνος

4. *ἀμυνεῖται] ἀμύνεται

οὐχ ὁρίζεται, τοῦτον ἧττον ἡ προσδοκία ἐλύπησεν, ὥσπερ ἔστιν ἰδεῖν καὶ ἐπὶ τοῦ θανάτου. προειδότες γὰρ ὅτι τεθνηξόμεθα διὰ τὸ μὴ εἰδέναι τὸ πότε ἧττον ἀχθόμεθα. ἐλπίζει δὲ τὰ δεινὰ διὰ τὴν παράβασιν καὶ τὴν Διομήδους ἀριστείαν.

450. οὔ μοι Τρώων τόσσον μέλει] ἐπεὶ ἐκεῖνοι ἑκόντες ἐδυστύχουν, ἐπιτρέποντες Ἀλεξάνδρῳ ἀδικεῖν· ἡ δὲ Ἀνδρομάχη διὰ τὰς ἐκείνων ἁμαρτίας προηττυχήκει, τοσούτων οἰκείων στερηθεῖσα ἐν ἡμέρᾳ μιᾷ. ὑπερέβαλε δὲ τὴν τῆς γυναικὸς φιλοστοργίαν. ἡ μὲν γὰρ ἀντὶ τῶν οὐκέτι ὄντων αὐτὸν οἰκείων ἔθετο, ὁ δὲ καὶ τῶν περιόντων αὐτὴν προτιμᾷ· ἅμα δὲ ἐλεεινὴ καὶ ἡ ἡλικία καὶ ἡ δουλεία. μιμεῖται δὲ καὶ Βαρβάρων φιλογύναιον ἦθος, οἳ περὶ πλείστου ποιοῦνται τὰς γυναῖκας.

454. ὅσσον σεῖ'] δεινῶν γὰρ πάντων χείρων ἡ τῶν γυναικῶν ὕβρις.

456. ἐν Ἄργεϊ ἐοῦσα] ὑπὸ ἄλλης κελευομένη· τοῦτο γὰρ τὴν ὕβριν φέρει, οὐχὶ τὸ ἔργον, σύνηθες ὂν ταῖς παλαιαῖς.

458. πόλλ' ἀεκαζομένη] τέτακται μὲν ἡ δουλεία εἰς ὑδροφορίαν καὶ ἱστουργίαν· ὁ δὲ κατ' ἄμφω τίθησιν ἐπίτασιν. θαρρῶν δὲ τῇ σωφροσύνῃ αὐτῆς, ὅτι οὐκ ἂν ὑπομείνειεν ἑκουσίως προδοῦναι ἑαυτῆς τὸ σῶμα, ἑτέρου ἀνδρὸς οὐ μέμνηται.

460. ὃς ἀριστεύεσκε μάχεσθαι] παρέδραμε τὰ ἑαυτοῦ· ἔστι δὲ ἐν τῇ λέξει πάντα ὑπονοεῖν. ἐπιγραμματικὸν δὲ ἔχει τύπον ὁ στίχος.

464. ἀλλά με τεθνειῶτα] καὶ πάλιν ἡ Ἕκτορος ὑπερβάλλει φιλία. ἡ μὲν γὰρ Ἀνδρομάχη στερηθεῖσα τοῦ Ἕκτορος θανεῖν εὔχεται, ὁ δὲ μὴ κλαιούσης αὐτῆς ἀκοῦσας.

468. ἀτυχθείς] ἐπὶ τῇ τοῦ πατρὸς ὄψει ταραχθείς. ἠθικὸν δὲ καὶ τοῦτο ὅτι οὐκ ἄλλον, ἀλλὰ τὸν πατέρα φοβεῖται.

καὶ χωρὶς μέν τινος μορμολύττοντος δυσαποσπάστως ἔχουσι τῶν τροφῶν· τοῦτον δὲ καὶ ἡ ὄψις φοβεῖ· οὕτως δέ ἐστιν ἐναργείας μεστὰ τὰ ἔπη, ὅτι οὐ μόνον ἀκούεται τὰ πράγματα, ἀλλὰ καὶ ὁρᾶται. λαβὼν δὲ τοῦτο ἐκ τοῦ βίου ὁ ποιητὴς ἄκρως περιεγένετο τῆς μιμήσεως. πρῶτος δὲ παῖδας ἐν τραγῳδίᾳ εἰσάγει.

469. διασταλτέον εἰς τὰ τέλη τῶν τριῶν ἐπῶν· ἔστι γὰρ ἀτυχθεὶς ὄψιν ταρβήσας χαλκὸν καὶ λόφον νοήσας ἀπονεύοντα.

471. ἐκ δ' ἐγέλασσε] ἀπὸ τῆς πολλῆς αὐτῶν λύπης ἡ μικρὰ τοῦ παιδὸς αἰτία φυσικόν τινα κινεῖ καὶ μέτριον γέλωτα.

9. * οἰκείων] οἰκεῖον

472. μιμητικῶς καὶ τοῦτο· εὐάλωτος γὰρ καὶ ὁ τραχὺς φιλοστοργίᾳ τ' ἄνευ.

474. κύτε πῆλέ τε] τοῦτο γὰρ ποιοῦμεν πρὸς διάχυσιν αὐτῶν. ἄκρως δὲ περιεγένετο τοῦ ἤθους, οὐδέν τι λυπήσας τὴν ἡρωϊκὴν συμμετρίαν. ταῖς δὲ χερσὶ λαβόμενος αὐτοῦ τὴν ἐπιθυμίαν πληροῖ, ἐπεὶ μὴ δύναται περιπλακῆναι αὐτοῦ.

476. δότε δὴ καὶ τόνδε] φιλότιμος ἡ εὐχή. διαχυθεὶς δὲ ἐπιλέλησται τῶν πρώην· ἢ ὅτι δυνατὸν θεοῖς καὶ παρ' ἐλπίδα τι ποιῆσαι. ὡς νῦν δέ ἐστι πλούσιος οὐκ εὔχεται τὸν υἱὸν γενέσθαι, ἀλλ' ἢ μόνον ἄρχοντα καὶ ἀνδρεῖον, τὴν μητέρα θρασύνων, ἵν' ἔχῃ ἐπίκουρον.

479. πατρὸς δ' ὄγε] φυσικῶς ἐκ τοῦ βίου τοῦτο ἔλαβεν· ἅπασι γὰρ τῶν ἄλλων ἀμείνονες εἶναι θέλοντες μόνοις εὐχόμεθα παισὶν ἡττᾶσθαι.

480. οὐκ ἀεὶ πολεμεῖσθαι καὶ πολεμεῖν εὔχεται, ἀλλ' ἐν μόναις ἄριστον εἶναι ταῖς χρείαις.

484. δακρυόεν γελάσασα] δυνατῶς καὶ σοφῶς ῥηθὲν ὡς ἀνερμήνευτον πεφώραται. ἔστι δὲ εὐπρεπές· οὐ γὰρ ὡς ἁπλοῦν τὸ πάθος, ἀλλὰ σύνθετον ἐξ ἐναντίων παθῶν, ἡδονῆς καὶ λύπης· εἰς γέλωτα μὲν γὰρ αὐτὴν προήγαγε τὸ βρέφος, εἰς δάκρυον δὲ ἡ περὶ τοῦ Ἕκτορος ἀγωνία.

487. οὐ γάρ τις] ὑποθεὶς ἑαυτὸν τῇ εἱμαρμένῃ, ἴσον ἐποίησε τό τε κινδυνεύειν καὶ τὸ ἀσφαλῶς ζῆν.

488. *Πορφυρίου. ἐζήτησάν τινες πῶς ἐνταῦθα ἀπαράβατον λέγει τὴν μοῖραν ὁ ποιητής, ἐν δὲ τῇ Ὀδυσσείᾳ παραβατὸν ὑφίσταται, ὅταν λέγῃ "ὡς καὶ νῦν Αἴγισθος ὑπὲρ μόρον Ἀτρείδαο γῆμ' ἄλοχον" (Od. 1, 35). λύεται δὲ τοῦτο ἐκ τοῦ δείκνυσθαι ὅτι τριχῶς ἡ μοῖρα παρὰ τῷ ποιητῇ λέγεται, ἡ εἱμαρμένη, ἡ μερὶς καὶ τὸ καθῆκον. ὅταν οὖν λέγῃ "μοίρας δασσάμενοι δαίνυντ' ἐρικυδέα δαῖτα" (Od. 3, 66), τὰς μερίδας λέγει. ὅταν δὲ λέγῃ "ἔλλαχε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή" (Il. 5, 83), τὴν εἱμαρμένην σημαίνει. ὅταν δὲ ἐπὶ τῶν Τρώων φευγόντων λέγῃ "οὐ κατὰ μοῖραν τάφρον διεπέρων" (Il. 16, 367), οὐ κατὰ τὸ καθῆκον διεπέρων τὴν τάφρον λέγει, ἀλλ' αἰσχρῶς. καὶ ἐπὶ τῶν οὖν προκειμένων, ἐν μὲν τῷ "μοῖραν δ' οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν" τὴν εἱμαρμένην λέγει· ὅταν δὲ "ὡς καὶ νῦν Αἴγισθος ὑπὲρ μόρον," οὐ

23. *Πορφυρίου] om.

τὸ σημαῖνειν τὴν εἱμαρμένην λέγει, ἀλλὰ τὸ ὑπὲρ τὸ καθῆκον· οὐ γάρ ἐστι νῦν πρέπον οὐδὲ καθῆκον τὰς ἄλλοις νόμῳ συνῳκισμένας φθείρειν γυναῖκας. ἄλλως τε οὐκ ἐκ τοῦ ποιητοῦ οἱ λόγοι, ἐκ προσώπων δὲ διαφόρων, εἰς μίμησιν παραληφθέντων. ποτὲ μὲν γὰρ λέγει πρὸς Ἀνδρομάχην ὁ Ἕκτωρ, ποτὲ δὲ ὁ Ζεύς· διαφωνεῖν δὲ πρὸς ἄλληλα οὐδὲν ἀπεικὸς τὰ διάφορα πρόσωπα. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν Ἑλλήνων ὅταν λέγῃ "ἔνθα κεν Ἀργείοισιν ὑπέρμορα νόστος ἐτύχθη" (Il. 2, 155), παρὰ τὸ καθῆκον ἀκουσόμεθα. Ὅμηρος μέντοι ἀπαράβατον τὴν μοῖραν τὴν κατὰ τὴν εἱμαρμένην οἶδεν ἐν οἷς φησὶ "καὶ δὲ σοὶ αὐτῷ μοῖρα, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ, τείχει ὕπο Τρώων εὐηγενέων ἀπολέσθαι" (Il. 23, 80) καὶ πάλιν "ἀλλά ἑ μοῖρα ἧγ' ἐπικουρήσαντα μετὰ Πριάμόν τε καὶ υἷας" (Il. 5, 613). κρατεῖν δ' οὐ μόνον ἀνθρώπων, ἀλλὰ καὶ θεῶν ἀποφαίνεται, ὥς που καὶ ὁ Ἄρης φησὶν "εἴ πέρ μοι καὶ μοῖρα Διὸς πληγέντι κεραυνῷ κεῖσθαι ὁμοῦ νεκύεσσι" (Il. 15, 117) καὶ ὁ Ποσειδῶν πρὸς τὴν Ἶριν "ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει, ὁπόταν ἰσόμορον καὶ ὁμῇ πεπρωμένον αἶσῃ νεικείειν ἐθέλῃσι χολωτοῖσιν ἐπέεσσιν" (ib. 208), ἀφ' ὧν δηλοῖ ὡς τὴν πεπρωμένην καὶ αὐτῶν τῶν θεῶν ἐπικρατεῖν γινώσκει. διὸ καὶ ὑπείκειν αὐτῇ καὶ τὸν ὑπέρτατον θεὸν Δία, καὶ "ἄνδρα θνητὸν ἐόντα πάλαι πεπρωμένον αἶσῃ" (Il. 16, 441) αὐτοῦ τε υἱὸν νενομισμένον μὴ θελῆσαι θανάτοιο δυσηχέος ἐξαναλῦσαι, ἀλλὰ μᾶλλον αἱματόεσσας ψιάδας κατέχευεν ἔραζε, παῖδα φίλον τιμῶν. διὸ καὶ Πάτροκλος "ἀλλά με μοῖρ' ὀλοὴ καὶ Λητοῦς ἔκτανεν υἱός" (ib. 849). οὕτω καὶ περὶ Ἡρακλέους λέγει "οὐδὲ γὰρ οὐδὲ βίη Ἡρακλῆος, ὅς κεν φίλτατος ἔσκε Διὶ Κρονίωνι ἄνακτι, ἀλλά ἑ μοῖρα δάμασσε καὶ ἀργαλέος χόλος Ἥρης" (Il. 18, 117)· καὶ ἀλλαχοῦ "ἀλλ' οὐ Ζεὺς ἄνδρεσσι νοήματα πάντα τελευτᾷ· ἄμφω γὰρ πέπρωται ὁμοίην γαῖαν ἐρεῦσαι" (ib. 328). ἀλλὰ καὶ Ἥφαιστος τὰ μὲν ὅπλα δοῦναι ὑπισχνεῖται, τὴν δὲ μοῖραν παρατρέψαι ἀρνεῖται· "αἰ γάρ μοι θανάτοιο δυσηχέος ὧδε δυναίμην νόσφιν ἀποκρύψαι, ὅτε μιν μόρος αἰνὸς ἱκάνοι" (ib. 464), ἔστι δὲ καὶ ἄλλα μυρία ἀφ' ὧν δείκνυται Ὅμηρος ἀπαράβατον λέγων τὴν τοῦ θανάτου μοῖραν.

489. φαίνεται καὶ τὴν μαθηματικὴν πρῶτος εἰδὼς Ὅμηρος, ἐν ᾗ τὴν τῆς γενέσεως ὥραν τὰ ἀποτελέσματα περιέχει.

490. διὰ βραχέων τῶν ῥημάτων βίον καὶ οἰκονομίαν σώφρονος

ὑπογράφει γυναικός. οἰκονομικῶς δὲ ἐποίησε τὸν Ἕκτορα ἐπιτρέποντα αὐτῇ οἰκουρεῖν, ἵνα μὴ κατὰ τὴν πρὸς τὸν Ἀχιλλέα μάχην ὀφθεῖσα ἐπὶ τοῦ τείχους πείσῃ αὐτὸν μὴ πολεμεῖν.

491. *Πορφυρίου. διαφέρει τὰ ἠλάκατα τῆς ἠλακάτης, καὶ ἡ διαφορὰ ἥδε. ἡ μὲν γὰρ ἠλακάτη δηλοῖ τὸ ξύλον εἰς ὃ περιειλοῦσι τὸ ἔριον αἱ νήθουσαι, ἠλάκατα δὲ αὐτὰ τὰ ἔρια τὰ περιειλούμενα τῇ ἠλακάτῃ. τὴν μὲν οὖν ἠλακάτην διὰ τούτων δεδήλωκεν, ὡς ἐν τῇ Ὀδυσσείᾳ (4, 135) "ἠλακάτη τετάνυστο ἰοδνεφὲς εἶρος ἔχουσα." τετανύσθαι δὲ αὐτὴν εἶπε διὰ τὸ εἶναι ἐπιμήκη τε καὶ λείαν. τὰ δὲ ἐπὶ τῆς ἠλακάτης ἔρια "ἠλάκατα στρωφῶσ' ἁλιπόρφυρα, θαῦμα ἰδέσθαι" (Od. 6, 306) καὶ ἔτι δὲ "παρ' ἠλάκατα στροφαλίζετο" (Od. 18, 315). λέγει δὲ καὶ χρυσῆν τὴν ἠλακάτην, ὡς τὸ "χωρὶς δ' αἶθ' Ἑλένη ἄλοχος πόρε κάλλιμα δῶρα, χρυσῆν τ' ἠλακάτην τάλαρόν θ' ὑπόκυκλον ὄπασσε· τόν ῥά οἱ ἀμφίπολος Φυλὼ παρέθηκε φέρουσα νήματος ἀσκητοῖο βεβυσμένον" (Od. 4, 130). καὶ ἡ χρυσηλάκατος δὲ Ἄρτεμις ἀπὸ τῆς ὁμοιότητος καὶ τῆς κατασκευῆς τῆς ἠλακάτης εἴρηται χρυσοῦν τόξον ἔχουσα· "Ἥρῃ δ' ἀντέστη χρυσηλάκατος κελαδεινὴ Ἄρτεμις ἰοχέαιρα" (Il. 20, 70).

492. πόλεμος δ'] ταῦτά φησι διὰ τὰς παραινέσεις αὐτῆς. ἔστι δὲ ἦθη σκοπεῖν διάφορα Ἀλεξάνδρου καὶ Ἕκτορος· ὁ μὲν γάρ φησι "πόλεμος δ' ἄνδρεσσι μελήσει," ὁ δὲ Ἀλέξανδρος "νῦν δέ με παρειποῦσ' ἄλοχος" (337).

496. ἐντροπαλιζομένη] ἀπῆγε μὲν ἡ ἐπίπληξις, ἐπέστρεφε δὲ ἡ εὔνοια· ποία γὰρ ἂν ἦν τοιοῦτον ἄνδρα τοιούτῳ κινδύνῳ προπέμπουσα;

499. ἐνῶρσεν] ἢ διηγησαμένη, ἢ ἀπὸ τῶν ἰδίων δακρύων. ἠὔξησε δὲ τὸ συμπαθὲς διὰ τοῦ παρανόμου θρήνου· κλαίουσι γὰρ ἔτι ζῶντα. ἅμα δὲ καὶ ἐνδείκνυται ὡς δεῖ οὕτω δεσπόζειν, ἵνα καὶ εὐνοῶνται.

503. οὐδὲ Πάρις δήθυνεν] δῆλον οὖν ὡς διὰ τοῦτον ἐνδιέτριβεν δηθύνων Ἕκτωρ, ἵνα μετ' αὐτοῦ προελθὼν παραθαρσύνῃ τοὺς Τρῶας ἰδόντας αὐτὸν παραδόξως σεσωσμένον, ὡς τῶν θεῶν εὐνοϊκῶς ἐχόντων πρὸς αὐτούς.

505. πεποιθώς] ἑαυτῷ πρόεισιν ἀρέσκων, τὴν ἧττων οὐδ' ὅλως ἐνθυμούμενος.

506. στατὸς] ὁ τῆς ἀγέλης ἀποσπασθεὶς καὶ ἐπὶ φάτνης ἑστώς· οὕτω γὰρ ποθεῖ τὴν συνήθη δίαιταν. ἀκοστήσας δὲ τὸ ἡσυχάσας

4. *Πορφυρίου] om. 6. νήθουσαι] θεῖ 14. ὑπόκυκλον Vill.] ὑπέρκυκλον

παρὰ τὴν ἀκήν. οἱ δὲ τὰς κριθάς φασι παρὰ Θεσσαλοῖς ἀκοστὰς εἶναι.

507. δεσμὸν] δεσμὸς οὖν Ἀλεξάνδρου ἡ Ἑλένη νοηθήσεται.

ὑψηχῶν, ἐριγδουπῶν, κυμβαλίζων· ἀρίστῳ γὰρ ἵππῳ χηλὴ ἡ κοίλη, ᾗ καὶ κυμβαλίζει.

508. φιλόλουτρον τὸ ζῷον· ἐν ποταμῷ δὲ, ἐπεὶ τοῖς θολεροῖς ἥδεται ὕδασιν. οὐ πονεῖν δὲ ἐθελήσας τοῦτο ποιεῖ, ἀλλὰ μεταβολὴν τῆς στάσεως εὑρεῖν.

509. χαῖται] δοκεῖ ἡ κόμη τοῖς ἵπποις μεγαλοπρεπείας εἶναι αἰτία. καὶ Πάρις δὲ εὔκομος. πρεπόντως δὲ τοῦτο ἐπὶ τοῦ καλλωπιστοῦ· καὶ τὸ παράδειγμα ἀπὸ γαυρικοῦ ἵππου καὶ ἀλογίστου.

510, 511. ὁ δ' ἀγλαΐηφι πεποιθώς] ἀντὶ τοῦ τὸν δὲ πεποιθότα. καὶ τὸ ῥίμφα ἑ ἀντὶ τοῦ αὐτόν.

513. διαστελὴ εἰς τὸ ἠλέκτωρ. δύο δὲ παραβολὰς ἐνταῦθα ἔμιξεν.

*ἠλέκτωρ δὲ ἐπιθετικῶς ὁ ἥλιος, ὅτι ἀλέκτρους ποιεῖ ἡμᾶς ἀνισταμένους ἐκ τῆς κοίτης.

514. καγχαλόων] ὡς ἠγαπημένος τῇ Ἀφροδίτῃ γαυριᾷ ἐν μέσαις ταῖς Τρωάσιν. ὁ δὲ Ἀχιλλεὺς κυνάστρῳ εἴκασται (Π. 22, 26), ἅμα τῷ λαμπρῷ καὶ τὸ φθοροποιὸν ἐπιφερόμενος.

516. ὅθι ᾗ ὀάριζε γυναικί] οἰκονομικῶς οὐ παρατυγχάνει ταῖς ὁμιλίαις· τί γὰρ ἂν ἔδρασεν ὁ γυναικώδης ἀκούσας εἰπόντος Ἕκτορος "ἀλλ' οὔ μοι Τρώων τόσσον μέλει;" καταλιπὼν γὰρ ἂν τὴν μάχην πάλιν οἴκοι ἐκαθέζετο παρὰ τῇ Ἑλένῃ.

517. πρότερος] ὡς τὸ πταῖσμα θεραπεύων ἑαυτοῦ.

518. ἠθεῖ'] παρὰ τὸ θεῖος τὸ σημαντικὸν τοῦ θαυμασίου, κατὰ πλεονασμὸν τοῦ η̄, διὸ καὶ προπερισπαστέον. ταῦτα δέ τινες προσαγορευτικὰ λέγουσιν. οὐδέποτε δὲ περί τινος αὐτά φησιν ὁ ποιητὴς, ἀλλὰ πρός τινα. ἔστιν οὖν τὸ μὲν τέττα φίλου, τὸ ἄττα τροφέως, τὸ πάππα πατρὸς, τὸ ἠθεῖε ἀδελφοῦ. τὸ δὲ ἦ μάλα πευστικὸν καὶ ἠθικόν.

*τινὲς δὲ τὸ ἠθεῖος παρὰ τὸ θεῖος κανονίζουσι, καὶ κατὰ πλεονασμὸν τοῦ η̄ γέγονεν ἠθεῖος· πλεονάζει γὰρ τὸ η̄ ἐν πολλαῖς λέξεσιν, ὡς μύει ἠμύει, "τῷ κε τάχ' ἠμύσειε πόλις Πριάμοιο ἄνακτος" (Π. 2, 373), πεδανός ἠπεδανός· εὐγενής εὐηγενής· "τείχει ὑπὸ Τρώων εὐηγενέων ἀπολέσθαι" (Π. 23, 81).

521. δαιμόνι' οὐκ ἄν τις] ὁμοίως τοῖς προτέροις ἀμελείας αὐτὸν κατακρίνει, οὐ βουλόμενος αὐτοῦ κἂν τὴν μικρὰν ταύτην θραύειν ὁρμήν.

523. *μεθίεις τε καὶ οὐκ ἐθέλεις] τί γὰρ μεθίει τε καὶ τί οὐκ ἐθέλει; ἐκ τῶν προρρηθέντων ἔστι λαβεῖν. προεῖπε δὲ "δαιμόνι' οὐκ ἄν τίς τοι ἀνὴρ, ὃς ἐναίσιμος εἴη, ἔργον ἀτιμήσειε μάχης, ἐπεὶ ἄλκιμός ἐσσι." μεθίεις οὖν τὸ ἔργον τῆς μάχης, καὶ οὐκ ἐθέλεις μάχεσθαι, ὥσπερ ἐν ἄλλοις ἐκ πλήρους ἔφη "οὔστινας αὖ μεθιέντας ἴδοι στυγεροῦ πολέμοιο" (Il. 4, 240).

524. ἄχνυται ἐν θυμῷ] φιλαδέλφως ἀπολογεῖται ὑπὲρ τῶν ὕβρεων. θυμῷ δὲ τῷ λογισμῷ· καὶ "ἕτερος δέ με θυμὸς ἔρυκε" (Od. 9, 302). λυποῦμαι οὖν, φησὶ, λογιζόμενος, ὅταν κατὰ σοῦ ὕβρεις ἀκούω. τοῦτο δὲ λέγει διὰ τὸν τοῦ Σαρπηδόνος λόγον.

526. ἀρεσσόμεθ'] ἁρμοσόμεθα ἢ πρὸς Τρῶας ἢ πρὸς ἀλλήλους. τοῦτο δὲ παρ' Ὁμήρῳ φασὶν οἱ μετὰ τὸ ἀδικῆσαι εἰς εὐμένειαν προτρεπόμενοι τὸν ἀδικηθέντα.

528. κρητῆρα στήσασθαι ἐλεύθερον] τὸν ἐπὶ ἐλευθερίᾳ ἱστώμενον.

529. ἐκ Τροίης ἐλάσαντας] μεγαλοφυῶς, ἵνα μὴ εἴπῃ φόβων ἀπηλλαγμένους.

ΕΙΣ ΤΗΝ Η.

1. πυλέων ἐξέσσυτο] διὰ τῶν πυλῶν ἐξώρμησε. δηλοῖ δὲ τὸ πρόθυμον Ἕκτορος, ὃ ἐδείκνυτο πρὸς προτροπὴν Ἀλεξάνδρου· διὸ καὶ ὁ ποιητὴς ἐπάγει κἀκείνου τὴν προθυμίαν.

2. τῷ δ' ἅμ' Ἀλέξανδρος] διδάσκει ὅσον ἐστὶ προτροπὴ κατὰ καιρὸν γινομένη.

3. πολεμίζειν ἠδὲ μάχεσθαι] ἐπανείληφε τὸ αὐτὸ πρὸς ἔμφασιν τῆς προθυμίας.

5. οὖρον] καὶ ἀλλαχοῦ ἐπὶ λήξει τῶν δεινῶν "ἀσπάσιος γῆ νηχομένοισι φανείη" (Od. 23, 233) φησίν. ἐνταῦθα δὲ μεσοῦντος τοῦ δεινοῦ τὸν οὖρον ἔλαβεν.

8. εἰς τὸ ἑλέτην βραχεῖα διαστολή· πρῶτος δὲ ἀριστεύει Ἀλέξανδρος ὡς προπετής· "Τρωσὶ μὲν προμάχιζεν" (Il. 3, 16). ἢ ὡς ἐξ ἀναπαύσεως ὢν καὶ ὑπὸ τῶν Ἕκτορος λόγων ἠρεθισμένος.

28. *λήξει] πλήξει

9. Μενέσθιον] δοκεῖ μάχεσθαι ἑαυτῷ ὁ ποιητής, ἀεὶ πρεσβύτατον λέγων Νέστορα τῶν ἐπὶ Ἴλιον στρατευσάντων ("μετὰ δὲ τριτάτοισιν ἄνασσεν" Π. 1, 252), ἐνταῦθα δὲ Μενέσθιον· δυσὶ γὰρ γενεαῖς παράγεται πρεσβύτερος ὢν τοῦ Νέστορος. Ἀρηΐθόου γὰρ λέγει τοῦ ἐπικαλουμένου Κορυνήτου παῖδα εἶναι Μενέσθιον· ὑπὸ δὲ Λυκούργου φησὶν ἀνῃρῆσθαι τὸν Ἀρηΐθοον, ὃν δὴ καὶ λαβεῖν αὐτοῦ τὰ ὅπλα· γηράσαντα δὲ τοῦτον Ἐρευθαλίωνι παραδοῦναι· τὸν δὲ Ἐρευθαλίωνα ὑπὸ Νέστορος ἀναιρεθῆναι νέου ὄντος. φησὶ γὰρ "γενεῇ δὲ νεώτατος ἔσκον ἁπάντων" (153). ῥητέον δὲ ὅτι ἴσως ἀπέθανεν Ἀρηΐθοος ἐνιαυσιαῖον ἐάσας τὸν υἱόν, ἀνεῖλε δὲ τὸν Ἀρηΐθοον ὁ Λυκοῦργος ἤδη γηραιὸς ὤν· φησὶ γὰρ "πέφνε δόλῳ, οὔτι κράτεΐ γε" (142). ὀλίγον δὲ ἐπιβιοὺς δύναται Ἐρευθαλίωνι παραχωρεῖν τὴν πανοπλίαν. προκαλούμενος δὲ οὗτος τοὺς Πυλίους οὐκ ἀπεικότως ὑπὸ Νέστορος ἀναιρεῖται νέου ὄντος, ὥστε Νέστορα μὲν εἶναι Μενεσθίου πρεσβύτερον, τῶν δὲ ἄλλων τῶν ἐπὶ Ἴλιον στρατευσάντων μείζονα Μενέσθιον. ἡ τῇ τοῦ ὀνόματος πλανᾶνται ὁμωνυμίᾳ· ὁ γὰρ τοῦ Μενεσθίου πατὴρ Ἀρηΐθοος Βοιωτὸς ἦν, ὁ δὲ ὑπὸ Λυκούργου ἀναιρεθεὶς Ἀρκάς.

*Πορφυρίου. ἀδύνατον Μενέσθιον τοῦ Κορυνήτου υἱὸν ὄντα πολεμεῖν· πρεσβύτερος γὰρ ἂν εἴη Νέστορος, εἴ γε τὸν Κορυνήτην Λυκοῦργος ἀνεῖλεν, γηράσας δὲ οὗτος Ἐρευθαλίωνι κατέλιπε τὴν κορύνην, τοῦτον δὲ Νέστωρ νεώτατος ὢν ἀνεῖλεν. ἡ δὲ λύσις ἀπὸ τῆς λέξεως· ὁμώνυμος γὰρ πατὴρ υἱῷ, καὶ ὅταν φῇ ὃν κορυνήτης, οὐ τὸν Μενέσθιον λέγει, ἀλλὰ τὸν Ἀρηΐθοον τὸν Μενεσθίου πατέρα, ὥστε εἶναι τὸν Κορυνήτην πάππον τοῦ Μενεσθίου.

11. ὀξυόεντι] ἀπὸ παραγωγῆς τοῦ ὀξύς, ὡς φαίδιμος φαιδιμόεις· "φαιδιμόεντες Ἐπειοί" (Π. 13, 686).

12. στεφάνης] εἶδος περικεφαλαίας ἐξοχὴν ἔχον. ἡ δὲ μεταφορὰ ἀπὸ τῆς τῶν ὀρῶν στεφάνης.

*ὡς τὸ "ὃν τε κατὰ στεφάνης ποταμὸς χειμάρροος ὦσει." ἔστι δὲ καὶ κόσμος γυναικεῖος.

13. Γλαῦκος] καλῶς τρίτος ἀριστεύει, μὴ σβέσας τὴν πρὸς

1. * πρεσβύτατον] πρεσβύτερον
7. Ἐρευθαλίωνι — Ἐρευθαλίωνα Bekk.] ἐρευθελίωνι—ἐρευθελίωνα pariterque infra.
10. δὲ addidit Bekkerus.
20. γηράσας Bekkerus] εἰ γηράσας
18. * Πορφυρίου] om.
22. φῇ addidit Bekkerus ὂν] ὁ
26. φαιδιμόεντες Ἐπειοὶ] φαιδιμόεντος ἠλείοι

Διομήδην ὁρμήν. ὁρμήσας γὰρ ἐπ' ἀνδραγαθίαν τῷ ἀναγνωρισμῷ κεκώλυται τῶν προγόνων.

15. τινὲς δεξιάδην ἐπιάλμενον ἤτοι ἀπὸ τῶν δεξιῶν ἐπιβαίνοντα.

17. τοὺς δ' ὡς οὖν ἐνόησε θεά] ἀγωνιστικὸν τὸν πόλεμον τῇ ὁρμῇ τῶν θεῶν ποιεῖ, καὶ διαναπαύει τὸ ὁμοιοειδές. ὡς φιλέλλην δὲ καὶ τοὺς τρεῖς τοὺς ἀπολωλότας πολλοὺς εἶναι δοκεῖ.

21. Περγάμου ἐκκατιδών] ὅτι αὐτὸς Περγάμῳ ἄκρῃ ἐφίζετο· παρατηρεῖ γὰρ μή τις θεῶν ἐπίθηται Τρωσίν.

22. ἀξιοπίστως ἔθηκε καὶ τὸν τόπον. ἔστι δὲ τοῦτο τὸ δένδρον καὶ ἰσχυρὸν καὶ πολυχρόνιον. φηγὸς δὲ παρὰ τὸ φάγω, ὅ ἐστι τρώγω· τὰ γὰρ ἔσω τῶν βαλάνων ἐσθίοντες τὰ ἔξω ἔκαιον διὰ θέρμην· ὅθεν καὶ βαλανεῖα.

24. τίπτε σὺ δ' αὖ μεμανῖα] τί πάλιν ἐθέλουσα ποιεῖν, ἐπειδὴ ἡ πρώτη αὐτῆς ὁρμὴ μέγιστα τοῖς Ἀχαιοῖς συνεβάλετο.

26. ἐπίθετον τοῦτο τῆς νίκης. γίνεται δὲ ὅταν οἱ πρότερον νικήσαντες ἐξ ἑτεροδυναμίας τινὸς παρεισβαλούσης ἡττηθῶσιν.

28. ὑποστικτέον καὶ εἰς τὸ πίθοιο καὶ εἰς τὸ εἴη. τινὲς δὲ τῷ πίθοιο τελείαν νέμουσιν.

29. νῦν μὲν] ὁ μὲν ἀκροατὴς δεινὰ ἐλπίζει ἐπὶ τῇ παρόδῳ τῶν θεῶν, οἷα καὶ πρώην γέγονεν· ὁ δὲ ἀνακόπτει τὸ προσδοκώμενον, καὶ ἅμα ἀντεισάγει τὴν ἀλαζονείαν Ἕκτορος, τὴν αἰδῶ Ἑλλήνων, τὴν σπουδὴν Μενελάου καὶ Ἀγαμέμνονος, τὴν Νέστορος δημηγορίαν.

34. τὰ γὰρ φρονέουσα καὶ αὐτή] ἦκε γὰρ πρὸς τὸ μηδὲν βλαβῆναι τὸ Ἑλληνικόν· ἡ γὰρ ἡσυχία οὐδὲν αὐτοὺς ἔβλαπτεν.

36. πῶς] οὐκ ἔδει γὰρ ἀλόγως τὴν παῦσιν γίνεσθαι ἐν τῇ τοιαύτῃ ἀκμῇ τοῦ πολέμου.

38. Ἕκτορος ὄρσωμεν κρατερὸν μένος] ἵνα μικρὰν ἀνακωχὴν δῷ Τρωσίν· εἶπε γὰρ "ὡς δὲ θεός" (4). συναινεῖ δὲ καὶ Ἀθηνᾶ πρὸς τὸ κεχαρισμένον ταῖς Τρωάδων εὐχαῖς.

39. τὸ μὲν οἰόθεν ἐξ οἵου σημαίνει, ὡς τὸ οὐρανόθεν· ἰδίως δὲ ὁ ποιητὴς χρῆται αὐτῷ ἀντὶ τοῦ οἴῳ, τουτέστι μόνος μόνῳ.

40. ἄμεινον τελείαν δοῦναι εἰς τὸ δηϊοτῆτι, καὶ τὸν ἑξῆς δέ ἀντὶ τοῦ γάρ λέγειν.

44. φασὶν Ἕλενον καὶ Κασάνδραν διδύμους εἶναι, λαθόντας δέ

3. ἐπιάλμενον] ἐπάλμενον 10. φάγω Vill.] φήγω
13. * ποιεῖν] om.

ποτε νυκτὸς τοὺς γονεῖς καταδραθεῖν τὸν μὲν εἰς τὸν τοῦ Ἀπόλλωνος τοῦ Θυμβραίου ναὸν, τὴν δὲ εἰς τὸν τῆς Ἀρτέμιδος, ἔωθεν δὲ εὑρεθῆναι ὑπὸ ὄφεων καθαρισθέντας τὰς ἀκοάς. διὰ τί δὲ οὐχ ὁ Ἀπόλλων ὑπέθετο Ἕκτορι προκαλέσασθαι; ὅτι ἡττηθεὶς ἔμελλεν ἀπιέναι.

47. Διὶ μῆτιν ἀτάλαντε] διδάσκει ὅτι δεῖ τὸν ἄρχοντα μὴ μόνον μιᾶς πόλεως, παντὸς δὲ τοῦ κόσμου προνοεῖν δύνασθαι.

48. κασίγνητος δέ τοί εἰμι] βραχεῖ προοιμίῳ τῆς φύσεως ὑπομιμνήσκων προτρέπεται.

52. οὐ γάρ πω] πάντοτε θαρσύνει αὐτόν· ἐπ' οὐδεμιᾷ γὰρ χρείᾳ ὡς Ἀλέξανδρος μέγιστον αἱρεῖται τὸν κίνδυνον. ἄλλως τε προεμφαίνει τὴν ἀρετὴν Αἴαντος, ὡς εἰ μὴ τὸ μοιρίδιον ἐπεῖχε, κἂν ἀπώλεσεν Ἕκτορα.

ἐπισπεῖν] ὥσπερ τὸ πλεῖν, οὕτω καὶ τὸ ἐπισπεῖν· πᾶν δὲ ἀπαρέμφατον ἐν τῇ συνθέσει φυλάσσει τὸν αὐτὸν τόνον.

53. ὣς γὰρ ἐγὼν ὄπ' ἄκουσα θεῶν] καὶ μὴν οὔτε τοῦτο εἰρήκασιν, οὔτε παραστάντες αὐτῷ εἶπον ἃ ἐβούλοντο. ἢ τοίνυν ὑπολύει τὴν μαντικήν· καὶ γὰρ ὁ τυχὼν ἀκούσας δύναται λέγειν, ἵνα ᾖ τὸ ἤκουσα ἀντὶ τοῦ ἠσθόμην, ὡς τὸ "μάλιστα δέ τ' ἔκλυον αὐτοί" (Od. 6, 185)· ἢ τὸ ἐξῆς οὕτως, αὐτὸς δὲ προκάλεσσαι· ὡς γὰρ ἐγὼν ὄπ' ἄκουσα, δηλονότι τὸ δεῖν προκαλέσασθαι. ἐν δὲ τῷ μεταξὺ ἔφη "οὐ γάρ πώ τοι μοῖρα θανεῖν," τοῦτο παρ' ἑαυτοῦ προσθεὶς διὰ τὸ θαρσῦναι.

54. ἐχάρη] ὡς ἀκινδύνως εὐδοξήσων καὶ τὴν πρώην θεραπεύσων ἀργίαν.

55. καί ῥ' ἐς μέσσον ἰών] τὸ φιλότιμον ὑπέφηνε τῷ μὴ ἀποκρίνασθαι. οὐ διακηρυκεύεται δὲ, ἀλλὰ πρὸς κατάπληξιν τῶν πολεμίων καὶ ἰδίαν δόξαν αὐτουργεῖ.

56. μέσσου διὰ τὸ ἄπρακτον. ἀκμαζούσης γὰρ τῆς μάχης οὐκ ἐνῆν βοᾶν. ἐπὶ δὲ τοῦ Ἀλεξάνδρου ἀρχὴ τῆς μάχης ἦν.

57. κλὰ δ' Ἀγαμέμνων] ᾤετο γὰρ αὐτὸν μετεγνωκέναι τὴν παράβασιν καὶ ἐν συμβουλίᾳ δημογερόντων γεγονέναι ἐν τῇ πόλει.

59. αἰγυπιοῖσιν] σαρκοφάγον τὸ ζῷον. παιδεύει δὲ τὰ τοιαῦτα ζῷα ὁρῶντας θνητότητα ὑπονοεῖν, καὶ ἐν αὐτῷ τῷ πολέμῳ λογισμῷ χρῆσθαι τῷ θυμῷ. ὑψῶν δὲ τὰ πραττόμενα θεατὰς αὐτῶν ὑπογράφει

10. προεμφαίνει] προυφαίνει 15. τοῦτο] τούτῳ Bekk.
16. ὑπολύει] ὅπα λέγει Bekk.

θεούς. καλῶς δὲ τὰ τοῦ Διὸς τέκνα ἐπὶ τῇ τοῦ πατρὸς κάθηνται δρυΐ. καὶ τὸ ὑψηλὸν δὲ πρὸς τὴν θέαν ἐπιτήδειον.

61. ἀνδράσι τερπόμενοι] φιλοσόφως οἷς ἕκαστος πρόσκειται, ὡς ἰδίοις τέρπονται κτήμασιν. ᾧ γὰρ ἐμφύτως τις ἔγκειται, τούτῳ καὶ ὑπερήδεται, μηδὲν φροντίζων τοῦ ἀπολλυμένου. οὐκ ἀμφοτέροις δὲ ἀμφότεροι τέρπονται, ἀλλ' εἷς ἑνί. ἐχρῆν δὲ μετὰ τοῦτο τοὺς λόγους ἐπαγαγεῖν Ἕκτορος, ὅπως φιλοτίμως ἐκλιπαρεῖ· ἀλλὰ τῇ τοῦ πλήθους διαγραφῇ καὶ εἰκόνα παραφέρει.

62. ἀσπίσι καὶ κορύθεσσι] ἡ τοιαύτη προφορὰ φαντασίαν μὲν τῇ διανοίᾳ, κόσμον δὲ τῇ ἀπαγγελίᾳ ποιεῖ.

φρίσσει τις φόβῳ ἢ ψύχει ἢ ὀργῇ. ἐψύχωσεν οὖν τὰ ὅπλα, φρίσσειν λέγων αὐτὰ διὰ τῆς παραβολῆς. φρὶξ δὲ λέγεται καὶ ἡ ἐπανάστασις τῶν κυμάτων.

64. πόντον ὑπ' αὐτῇ] διὰ τοῦ ν τὸ πόντον, μελάνει δέ τε πόντον ὑπ' αὐτῇ, καὶ ἔστι, μέλανα ποιεῖ τὸν πόντον ὑπὸ τῇ φρικὶ ὁ Ζέφυρος. ἔστι δὲ Ὁμηρικὸν τὸ σχῆμα. εἰ δὲ γράφεται μελάνει δέ τε πόντος ὑπ' αὐτῇ, τὸ μελάνει ἀντὶ τοῦ μελαίνεται ὑπὸ τῇ φρικὶ τοῦ Ζεφύρου. ἄμεινον δὲ τὸ πρῶτον. τὸ δὲ μελάνει ἀπὸ βαρυτόνου ἐνεστῶτος ἀποβολῇ τοῦ ῐ, ὡς τὸ κοιλάνει ἀντὶ τοῦ κοιλαίνει. καλῶς δὲ τὴν τῶν ὅπλων ἠρεμίαν καὶ ἀργίαν κινήσει Ζεφύρου παρέβαλεν· οὐ γὰρ ἀθρόως ἐμπίπτει ὁ ἄνεμος οὗτος τῇ θαλάσσῃ, μελαίνων δὲ αὐτὴν καὶ οἱονεὶ ἐπιστίζων κατὰ μικρὸν ἐγείρεται. καὶ ἀλλαχοῦ δέ φησιν "Ζεφύρου ὑποκινήσαντος" (Il. 4, 423).

69. Κρονίδης] εἰς θεοὺς ἀναφέρει τὴν αἰτίαν, Τρῶας ἐλευθερῶν καὶ τὸ παράδοξον προφέρων τῆς προκλήσεως.

70. ἀμφοτέροισιν] πιθανῶς ἐξ ἴσου τὸν κίνδυνον ἀμφοτέροις κατέστησε, παρελὼν Ἑλλήνων τὴν τῶν θεῶν ἐπικουρίαν.

72. ἢ αὐτοί] ἔδει ἐπαγαγεῖν ἢ ἡμεῖς παρὰ ταῖς ναυσὶν ὑμᾶς ἕλοιμεν. διὰ δὲ τὸ νεμεσητὸν οὕτως ἐσχημάτισε τὸν λόγον.

75. ἵνα πάντες αἰδεσθῶσι μὴ προβαλλόμενοι, κουφότερον διαλέγεται, ὅθεν καὶ δῖον ἑαυτὸν κατ' ἐξοχὴν ἐκάλεσεν. οὐκ ἀπαιτεῖται δὲ ὅρκων προσθήκη, ὅτι πρὸς μόνην ἀνάπαυσιν τοῦ στρατοῦ ἡ μάχη γίνεται, ἢ ὅτι ἔναγχος τοὺς ὅρκους παρέβησαν. γίνονται δὲ αἱ τοιαῦται προφωνήσεις δι' ἐξοχήν, ὡς τὸ "Ζῆν' ὕπατον" (Il. 8, 22), δι' οἶκτον, ὡς τὸ "Σαρπηδόνος ἀμφιμάχεσθαι" (Il. 16, 496), καὶ δι' ἦθος, ὡς τὸ "οὐδὲ σύ γ' ἔγνως Παλλάδ' Ἀθηναίην" (Od. 13, 299).

79. σῶμα δέ] βαρβαρικὸν τὸ σπεύδειν περὶ τὰς ταφάς. περιπαθῶς δὲ προκατασκευάζει ὁ ποιητὴς πρὸς ὃ μάλιστα ἀπεύχεται δυστυχήσαντα.

85. ταρχύσωσι] ἀπὸ τοῦ ταρχύω. καὶ ταρχύματα δὲ ἃ τοῖς νεκροῖς πρὸς κηδείαν ὡς νενομισμένα ἐποίουν.

86. σῆμά τέ οἱ] λελη θότως ἀποτρέπει τῆς μονομαχίας τοὺς Ἕλληνας. αὐτὸς γὰρ ἔμελλεν ἀναιρούμενος θάπτεσθαι ἐν Ἰλίῳ πόρρω τῆς θαλάττης, ὥστε μηδεμίαν γίνεσθαι μνήμην τῷ φονεύσαντι· τοῦ δὲ ἀντιπάλου ἐπὶ τοῦ Ἑλλησπόντου ταφέντος ἀείμνηστον κλέος ἔχειν ἔμελλε παρὰ τοῖς πλέουσιν. διὸ καὶ ἐγκαλλωπιζόμενος δυοῖν ἐποῖν οἷον ἐπεγκολάπτει καὶ ἐπιγράφει τῷ τάφῳ "ἀνδρὸς μὲν τόδε σῆμα, ὃν ποτ' ἀριστεύοντα." τὸ δὲ πλατεῖ Ἑλλησπόντῳ, καθ' ὃ μέρος ἐστὶ πλατύτατος ἑαυτοῦ περὶ τὰς ἐκροὰς τοῦ Σκαμάνδρου. ἐπὶ πάντων δὲ κοινὸν τὸ ὄφρα.

89. ὡς ἤδη νενικηκὼς ἐπιγράφει τῷ τάφῳ τὸ ἐπινίκιον, οὐκ ἐπὶ τεθνηκότι, ἀλλ' οὐδὲ γινωσκομένῳ τῷ μέλλοντι μονομαχεῖν, τὸ ἐπικήδειον πρὸ τοῦ θανάτου διατιθείς. ἀριστεύοντα δὲ προστίθησι πρὸς ἰδίαν ἐπίτασιν, εἰ καὶ τοῦ ἀρίστου φανεῖται κρείττων. φιλότιμος δὲ καὶ ἀλαζὼν καὶ βαρβαροήθης ἀεὶ ὁ Ἕκτωρ χαρακτηρίζεται.

93. αἴδεσθεν μὲν ἀνήνασθαι] δειλῶν γὰρ καὶ ἀσθενῶν τὸ ἔργον. δεδίασι δὲ τὴν ἐκ τῶν βασιλέων περιμένοντες κέλευσιν, ὡς δῆλον ἐπὶ τῶν ἑξῆς. ἢ ὑπὸ θεοῦ ὡρμῆσθαι αὐτὸν ὑπονοοῦντες πρὸ ὀλίγου ἡττώμενον· καὶ γὰρ καὶ τοῦ Διομήδους ἀκηκόασι τὸ "παρὰ γάρ οἱ κεῖνος Ἄρης" (Il. 5, 604).

*Πορφυρίου. διὰ τί προκαλουμένου Ἕκτορος εἰς μονομαχίαν οἱ μὲν ἄλλοι ἄριστοι αἴδεσθεν μὲν ἀνήνασθαι, δεῖσαν δ' ὑποδέχθαι, Μενέλαος δὲ πρῶτος ἀνίσταται, καὶ μεμψάμενος τοὺς ἄλλους κατεδύσατο τεύχεα καλά, μάχεσθαι προθυμούμενος· ὅτε δὲ προτραπέντες οἱ ἐννέα ἀνίσταντο, οὐδαμοῦ οὗτος ἐν τούτοις εὑρίσκεται, ἀλλ' Ἀγαμέμνων καὶ Διομήδης καὶ οἱ Αἴαντες καὶ Ἰδομενεὺς καὶ Μηριόνης καὶ Εὐρύπυλος καὶ Θόας καὶ Ὀδυσσεύς; φησὶ δὲ ὁ Ἀριστοτέλης ὅτι ἅπαξ ἀκούσας "μηδ' ἔθελ' ἐξ ἔριδος σεῦ ἀμείνονι φωτὶ μάχεσθαι Ἕκτορι" (111) οὐκ ἔμελλεν αὖθις ἀνίστασθαι· καὶ ὅτι τὸ πρότερον ἐκ φιλονεικίας ἡ ἀνάστασις· καὶ ὅτι ἤδη μονομαχήσας

13. πλατύτατος Bekkerus] πλατύτερος 15. *τὸ] τὸν
25. *Πορφυρίου] om.

ἐτύγχανεν Ἀλεξάνδρῳ καὶ οὐ καλῶς ἀπαλλάξας, καὶ νεωστὶ ἐτέτρωτο ὑπὸ Πανδάρου· καὶ ὅτι ἀποκινδυνεύειν τοῦτον οὐκ ἐχρῆν ἐν ᾧ τὸ τέλος ἤρτητο τοῦ πολέμου. ἐπὶ γὰρ Ἀλεξάνδρου ἴσον ἦν τὸ τοῦ κινδύνου.

94. Μενέλαος] ὡς αἴτιος ὢν τοῦ παντὸς καὶ πλέον ὀδυνώμενος. καὶ ἐν τῇ πρὸς Ἀλέξανδρον δὲ μονομαχίᾳ οὕτως προπετεύεται. διὰ δὲ τοῦ ὀψέ διδάσκει μὴ παραχρῆμα ποιεῖσθαι τὰς ἀποκρίσεις.

97. αἰνόθεν αἰνῶς] ἐκ δεινοῦ δεινά, ἢ καὶ τῶν δεινῶν δεινότερα. ἐκ τῶν δεινοτάτων ὑμῶν πράξεων δεινοτέρα καὶ ἡ λώβη γενήσεται.

99. ὕδωρ καὶ γαῖα γένοισθε] τῶν στοιχείων ὕδωρ καὶ γῆ κατὰ φύσιν ἀκίνητα, τὰ δὲ ἄλλα κινητὰ δι' ἑαυτῶν. ταῦτα οὖν φησὶ τὴν ἀκινησίαν ὀνειδίζων, ἢ ἐξ ὧν συνεστήκασιν, εἰς ταῦτα αὐτοὺς ἀναλυθῆναι εὔχεται. καὶ Ξενοφάνης "πάντες γὰρ γαίης τε καὶ ὕδατος ἐκγενόμεσθα· ἐκ γῆς γὰρ πάντα καὶ εἰς γῆν τελευτᾷ."

101. θωρήξομαι] πῶς ἐν πολέμῳ ὢν οὐκ ἦν ὡπλισμένος; φαμὲν ὅτι ἀσφαλέστερα ὅπλα ἀναλαβεῖν θέλει, μέλλων εἰσιέναι εἰς μονομαχίαν.

102. τὸ ἄνισον οἶδεν, ὡς καὶ Πρίαμος "Ζεὺς μὲν τό γ' οἶδε" (Il. 3, 308).

104. ἔνθα κέ τοι] εἰς κίνδυνον προαναγαγὼν τὴν ὑπόθεσιν καὶ λύσιν τοῦ παντὸς πιθανῶς ἀνίστησι τὸν ἀδελφόν. φιλοστόργως δὲ πρὸς αὐτὸν ποιεῖται τὸν λόγον ὁ ποιητής, καὶ συμπαθῶς προανεφώνησεν αὐτοῦ τὸν κίνδυνον. καὶ τὸ βασιλῆες δὲ χαρίεν καὶ εὐνοϊκόν, διὰ τὸ προλαβεῖν τοὺς φίλους τὴν σπουδὴν Ἀγαμέμνονος.

107. αὐτός τ' Ἀτρεΐδης] διὰ τί τὸν μὲν Ἀλέξανδρον κελεύει μονομαχεῖν Ἕκτωρ, τὸν δὲ Μενέλαον κωλύει κινδυνεύειν Ἀγαμέμνων καὶ οἱ ἄλλοι βασιλεῖς; ὅτι τοῦ μὲν Ἀλεξάνδρου ἀδικοῦντος ἠδέως οἱ Τρῶες εἶχον, τὸν δὲ ὡς ἀδικούμενον ἐλεοῦσιν.

109. ἀφραίνεις] παραφρονεῖς, μωραίνεις, ἀσυνετεῖς· φιλοδόξως γὰρ, οὐ φρονίμως ἐσπούδακεν ἐπὶ τῇ μάχῃ. δεῖ οὖν τὸ κατὰ δύναμιν, οὐ τὸ κατὰ προθυμίαν σκοπεῖν.

1. οὐ καλῶς Bekkerus] οὐκ ἄλλως
8. * δεινότερα] om.
14. * ἐκγενόμεσθα] om.
ἐκ τῆς γὰρ — γῆν τελευτᾷ] Sic etiam Ven. A. et scholia minora. Recte apud Sextum Empir. 10, 713 p. 685 ἐκ γαίης γὰρ πάντα καὶ εἰς γῆν πάντα τελευτᾷ.
24. * προλαβεῖν] λαβεῖν

111. ἔριδος] τῆς πρὸς Ἀχαιοὺς ἔριδος. ἔστι δὲ τοῦτο τὸ γνῶθι σαυτόν.

112. τεχνικῶς ἧττονα πολύ φησιν Ἕκτορος, ὅπως μὴ τῶν ἄλλων Ἑλλήνων καταφρονεῖν ὑποπτευθῇ, τὸν μὲν τοῦ κινδύνου ῥυόμενος, τοὺς δὲ κινδυνεύειν προτρεπόμενος.

113. καὶ δ' Ἀχιλεὺς] τοῦτον παρέλαβεν, οὗ καὶ Μενέλαος οὐκ αἰδεῖται ἥττων εἶναι ὁμολογεῖν, οὐκ ἄλλον τινὰ τῶν ὀλίγῳ τοῦ Μενελάου κρειττόνων. ἀναπολεῖ δὲ πανταχοῦ τὸ ὄνομα Ἀχιλλέως ὑπὲρ τοῦ μὴ λήθῃ δοθῆναι.

116. τούτῳ δὲ πρόμον ἄλλον] ἐντέχνως παρυπέμνησεν ὅτι πάντως δεῖ τινὰ αὐτῶν ἀναστῆναι.

122. γηθόσυνοι θεράποντες] τὴν πρὸς αὐτὸν ἁπάντων κηδεμονίαν δηλοῖ.

123. Νέστωρ] πιθανῶς τοῦτον ἐπιπλήσσοντα παρεισάγει, ὃς διὰ τὴν ἡλικίαν οὐκ ἐπισπᾶται τὸ ὅμοιον ἔγκλημα.

124. ὦ πόποι] λειπόμενοι γὰρ οἱ γέροντες δυνάμεως τῷ σχετλιάζειν ἐμφαίνουσι τὴν οἰκείαν προθυμίαν. μόνον οὐχὶ δὲ τὴν Ἑλλάδα πᾶσαν αὐτοὺς ἐλεεῖν φησίν. εὖ δὲ καὶ τὸ μὴ λύπην εἰπεῖν ἐν αὐτοῖς, ἀλλὰ πένθος, καὶ μέγα.

125. Πηλεύς] διδάσκει ὅτι τοὺς γέροντας δεῖ καὶ ἀπόντας τιμᾶν, ὡς Πηλεῖ μέλει Ἑλλήνων καὶ μὴ παρόντι· ἀνόητον δέ φασι τὸ μὴ τοὺς γονεῖς αὐτῶν παραλαβεῖν ἀχθομένους, ἀλλὰ τὸν Πηλέα, ὃν ἔδει χαίρειν δυστυχούντων Ἑλλήνων διὰ τὴν Ἀχιλλέως ὕβριν. ἔστι δὲ ἔντεχνον· εἰ γὰρ ὁ τοῦ πολεμίου πατὴρ ἀθυμεῖ, πόσῳ μᾶλλον οἱ ὑμῶν; ἅμα δὲ καὶ ὑπομιμνήσκει Ἀγαμέμνονα Ἀχιλλέως, ὅτι ὁ νῦν προκαλούμενος πάντας "ὄφρ' Ἀχιλεὺς μετ' Ἀχαιοῖσι πολέμιζεν, οὐκ ἐθέλεσκε μάχην ἀπὸ τείχεος ὀρνύμεν" Ἕκτωρ" (Il. 9, 352)· ἐπαχθὲς γὰρ ἦν οὕτω σαφῶς ὀνειδίσαι. προμνηστεύει οὖν τὰς λιτὰς, καὶ τοῖς βαρβάροις δὲ ἐμφαίνει ὅτι οὐκ ἔσται ἡ Ἀχιλλέως ὀργὴ πολυχρόνιος, τοῦ Πηλέως οὕτως πρὸς τοὺς Ἕλληνας διακειμένου. ὑποθωπεύει δὲ λελησμένως τὸν Ἀχιλλέα.

126. βουληφόρος] ὁ φέρων εἰς πέρας ἃ βούλεται. συνίστησι δὲ τὸ πρόσωπον, ὅπως ὁ τούτου σχετλιασμὸς δεινὸς γένηται.

128. θαυμασίως τῆς εὐγενείας αὐτοὺς ὑπέμνησεν, οὐκ αὐτὸς ἐπαινῶν τοὺς γονεῖς αὐτῶν, ἀλλὰ Πηλέα τὸν ἄκρον ἐπ' εὐγενείᾳ

7. ὀλίγῳ] ὀλίγον ab correctore.

χαίρειν ἐπὶ τῇ γονῇ αὐτῶν λέγων. ἀλλ' οὐδέ φησιν ὅτι ἐμαρτύρησα τῷ Πηλεῖ περὶ ὑμῶν· τὸ γὰρ λέγειν ὅτι ἐπ' εὐγενείᾳ ὑμῖν ἐμαρτύρησα, σφόδρα ἐπίφθονον.

131. θυμὸν ἀπὸ μελέων] δηλοῖ ὅτι παρέσπαρται ἡ ψυχὴ παντὶ τῷ σώματι. ταῦτα δὲ πάσχει, φησὶν, ὅτι τοιούτοις ἀγενέσι καὶ δειλοῖς τὸν ἴδιον υἱὸν πεπίστευκεν.

132. αἰ γὰρ] οὐκ ἄκαιρος ἡ πρότασις· ἐπιτιμήσας γὰρ τοῖς ἀρίστοις, ὤφειλεν ἀποδεῖξαι διὰ τῆς παραθέσεως τῶν πεπραγμένων αὐτῷ ὅτι δεόντως ἄγει ταύτην τὴν παρρησίαν, ἵνα πρὸς ζῆλον αὐτοὺς τῶν ὁμοίων κινήσῃ. μέτριος μὲν οὖν ὁ λόγος τῇ φαντασίᾳ, πικρὸς δὲ τῇ δυνάμει· εἰ γὰρ ὁ Πηλεὺς τὰ ὑμῶν ἀκούων δεινὰ θανεῖν εὔχεται, πόσῳ μᾶλλον ἐγὼ ὁ τοσαῦτα ποιήσας ἐν νεότητι καὶ νῦν ὁρῶν ὑμᾶς; πραγματικῶς δὲ καὶ πρὸς Ἀχιλλέα ἀποτείνεται· εἰ γὰρ οὕτως βαρέως οἴσει ὁ Πηλεὺς τὴν τῶν ἀλλοτρίων ἀνανδρίαν, πῶς οὐκ ἂν μᾶλλον ἐπὶ τῷ υἱῷ ἄχθοιτο;

138. Ἀρηϊθόου] οὗτος μὲν ὁ Ἀρηϊθους Βοιωτὸς ἦν τὸ γένος, Ἀρκάσι δὲ συνεμάχει. τοῦτον δὲ Λυκοῦργος ὁ Ἀρκὰς φθόνῳ ἀναιρεῖ. εὐκαίρως δὲ ἐνταῦθα ἐρευνᾷ, πρώην ἁπλῶς παρελθών.

139. γυναῖκες] ἔμφασις τοῦ κλέους ὅτι καὶ γυναιξὶν ἐγνώσθη.

143. ὅθ' ἄρ' οὐ κορύνη] οὐ διὰ τὸ στενὸν οὐκ ἐχραίσμησεν, ἀλλὰ διὰ τὴν πρόληψιν.

146. τά οἱ πόρε χάλκεος Ἄρης] λεληθότως τὸν ἴδιον ἔπαινον αὔξει ὁ Νέστωρ, εἰ περιεγένετο ἀνδρὸς ὅπλα φοροῦντος θεῖα.

153. θάρσεϊ ᾧ] τῷ ἑαυτοῦ· "βουλὴ γὰρ ἄρχει, χεὶρ δ' ἐπεξεργάζεται." νεώτερος δὲ ἦμην, φησὶ, διὸ καὶ ἐθάρσουν. ἐντέχνως δὲ τοὺς μὲν πρεσβυτέρους ἀπολύει τοῦ κινδύνου, τοὺς δὲ νεωτέρους ἀνίστησιν.

154. δῶκε δέ μοι εὖχος Ἀθήνη] ὅτι δεῖ τὰ ἴδια θεοῖς ἀναφέρειν· καὶ γὰρ συνεργοῦσι τοῖς προθύμοις.

155. τὸν δὴ] οὐχ ἑαυτὸν μήκιστον εἶπε καὶ κάρτιστον, ἀλλὰ τῷ μὲν Ἐρευθαλίωνι ταῦτα ἐμαρτύρησεν, ἐκείνου δὲ περιγεγενῆσθαι λέγων λεληθότως καὶ ἀνεπιφθόνως αὐτὸν ηὔξησε. ζηλωτὸν δὲ ἑαυτὸν καθιστὰς προτρέπει αὐτοὺς εἰς ἔννοιαν ἀγωνίας.

156. ἀπὸ τῶν ἀριθμουμένων ἐπὶ τὰ μετρούμενα μεταβαίνει μεγέθη. παρήορος δὲ ἤτοι εἰς μῆκος καὶ πλάτος παρηρτημένος.

24. βουλὴ γὰρ (μὲν) —] Ionis versus ap. Sext. Emp. p. 24.

159. ὑμέων δ' οἵπερ ἔασιν] τὸ σχῆμα τοῦτό ἐστιν ὃ καλεῖται περὶ πρόσωπον.

162. Ἀγαμέμνων] καὶ ὡς βασιλεὺς προτρέπων, καὶ ὡς ἀχθόμενος τῇ μελλήσει αὐτῶν. καὶ τὸν ἀδελφὸν δὲ ἐπισχὼν ἐνδείκνυται ὅτι καὶ αὐτὸς οὐ δέδιεν Ἕκτορα, εἰ καὶ ἐκεῖνον ἐκώλυσεν.

163. Τυδεΐδης] φιλοτιμεῖται γὰρ ἐπὶ τοῖς πεπραγμένοις, καὶ θερμότερός ἐστι τῶν Αἰάντων.

164. Αἴαντες] δευτερεύει γὰρ Αἴας Ἀχιλλέως, συνανέστησε δὲ αὐτῷ καὶ τὸν Λοκρόν· "ἶσον" γάρ φησι "θυμὸν ἔχοντες" (Il. 13, 704). πολεμεῖ δὲ νῦν καὶ κρατεῖ, ἵνα ὅταν ἡττᾶται Ἕκτορι, τὸν Δία νοοῖμεν.

165. Ἰδομενεὺς καὶ ὀπάων Ἰδομενῆος] ἐκείνων μὲν λείπονται, Εὐρυπύλου δὲ καὶ Θόαντος ὑπερέχουσι. συνεργεῖ δὲ ἀεὶ Μηριόνης τῷ Ἰδομενεῖ.

167. Εὐρύπυλος] κρείττων καὶ οὗτος τὰ πολεμικὰ Θόαντος· περὶ λόγους γὰρ μᾶλλον δεινὸς ὁ Θόας "ἀγορῇ δέ ἑ παῦροι Ἀχαιῶν νίκων" (Il. 15, 283).

168. Ὀδυσσεύς] ἔσχατος τέθειται οὐχ ὡς δειλὸς, ἀλλ' ὡς σοφός· πάντα γὰρ λογισμῷ πράττων εἰς πάντα μέλλει.

170. Νέστωρ] ὁ καὶ ἀναστῆναι προτρέψας, οὐχ ὁ βασιλεὺς, ὃς πονεῖν ἐθέλει ἀεί.

171, 172. αἱ πᾶσαι πεπάλασθε, ὅ ἐστι τῷ κλήρῳ ἤτοι τῷ λαχμῷ κινήθητε. ἕκαστος, φησὶ, τῷ ἑαυτοῦ κλήρῳ ἐν λαχήσει κινήθητε. ἀπὸ τοῦ πάλλω παλάσσω. τὸ δὲ πεπάλαχθε τὸ μολύνθητε δηλοῖ. τὸ δὲ διαμπερές τὸ διηνεκῶς, ἀπὸ πέρατος εἰς πέρας ἐλθόντος τοῦ κλήρου, ὅ ἐστι διὰ πάντων. εἶτα ἀπὸ ἄλλης ἀρχῆς, ὃς γὰρ ἂν λάχῃ, καὶ Ἕλληνας καὶ ἑαυτὸν ὠφελήσει. τινὲς δὲ τελείαν εἰς τὸ λάχῃσι. λέγει δὲ ὅτι κληρώθητε· λάχοι γὰρ ἄν τις. οἱ δὲ στίζουσιν εἰς τὸ πεπάλασθε, εἶτα, ὃς γὰρ ἂν λάχῃ, διηνεκῶς καὶ εἰς πάντα τὸν βίον ὠφελήσει τοὺς Ἕλληνας. ἀνιήτως δὲ, φασὶν, ἐπὶ κλῆρον ἔρχεται· δέον γὰρ ἑλέσθαι τὸν ἄριστον πάντων, ὅπου τοιοῦτος ὁ κίνδυνος ἦν, τὸν δὲ φαυλότατον ἑᾶσαι. τοῦτο δὲ ποιεῖ ὁ Νέστωρ, ἵνα μηδενὸς προκριθέντος ὑβρισθῶσιν οἱ λοιποὶ, τῷ τε πολεμίῳ ἐνδείκνυται ὅτι οὐχ ἕνα μόνον οἴεται ἀξιόχρεων εἰς τὴν πρὸς αὐτὸν μάχην, καὶ ἵνα μήτε νικήσας τὸν ἄριστον δοκῇ νενικηκέναι, ἀλλὰ τὸν ὑπὸ κλήρου δεδομένον, μήτε λειφθεὶς ὑπὸ τοῦ ἀρίστου λελεῖφθαι, ἀλλ'

ὑπὸ τοῦ λαχόντος τὸν κλῆρον. ἅμα δὲ καὶ ἀγωνιᾷ ἐπὶ τῷ κλήρῳ ὁ ἀκροατής.

175. γράμμασιν ἐσημήναντο. καὶ πῶς ὁ κῆρυξ οὐδὲ οἱ ἄλλοι γνωρίζουσιν; ὅτι ἐθνικὰ ἦν;

177. λαοὶ δ' ἠρήσαντο] ἡδέα ταῦτα καὶ Ἑλληνικά, τὸ ἀγωνιᾶν τοὺς Ἕλληνας περὶ τῆς εὐδοξίας.

179. ἦ Αἴαντα] τάξιν ἡ εὐχὴ ἔχει, τὸν πρῶτον κατ' ἀλκὴν καὶ τὸν δεύτερον καὶ τὸν τρίτον καταλέγουσα.

181. πάλλεν δὲ — Νέστωρ] ὡς μὴ κακουργηθῆναί τι περὶ τὸν κλῆρον· πιστότατος γὰρ οὗτος ἦν περὶ τῶν ἄλλων.

182. ὃν ἄρ' ἤθελον αὐτοί] πιθανῶς εἴρηται τοῦτο (εὐχῆς γὰρ τὸ ἔργον ἦν) καὶ κεχαρισμένως τῷ ἀκροατῇ.

184. βαρυντέον τὸ ἐνδέξια· ἐπίρρημα γάρ ἐστιν, ἀντὶ τοῦ ἐνδεξίως.

185. οὐ γιγνώσκοντες] οὐχ οἱ αὐτοὶ γὰρ ἦσαν παρὰ πᾶσι τοῖς Ἕλλησι χαρακτῆρες· διάφορα δὲ καὶ τὰ τῶν στοιχείων ὀνόματα. Καλλίστρατος δὲ ὁ Σάμιος ἐπὶ τῶν Πελοποννησιακῶν ταύτην μετήνεγκε τὴν γραμματικὴν καὶ παρέδωκεν Ἀθηναίοις, ὥς φησιν Ἔφορος. τέως δὲ ἡμῶν ἐξαρτᾷ τὸν νοῦν, οὐκ εὐθὺς ἐπὶ τὸν Αἴαντα φέρων τὸν κλῆρον.

189. γήθησε δὲ θυμῷ] καλῶς οὐκ εἶπεν ἐμειδίασε· τοῦτο γὰρ εἰρωνικὸν ἐπὶ τῶν φίλων ἦν· βάλλει δὲ χαμαὶ τὸν κλῆρον, τύπον τῆς ἥττης Ἕκτορος παρεντιθείς.

192. δοκέω νικησέμεν] μέτριον καὶ Ἑλληνικὸν τὸ ἦθος· οὐχ ὡς ὁ Ἕκτωρ γὰρ περὶ τῶν ἀθήλων ὑπισχνεῖται.

194. εὔχεσθε] Ἑλληνικὸν τὸ πρὸ τῶν κινδύνων εὔχεσθαι. ἅμα καὶ τὸ διάκενον πληροῖ. ἡ δὲ τῶν πολλῶν εὐχὴ εἰσακούεται, ὅτι καὶ τὸν κράτιστον ἐπὶ θεοὺς δεῖ καταφεύγειν.

195. σιγῇ ἐφ' ὑμείων] ἵνα μὴ δόξωσι δεδοικότες τὸν Ἕκτορα ἐπ' εὐχὰς τρέπεσθαι.

197. βίῃ] ἐκ δυοῖν γὰρ ἡ νίκη προσγίνεται, ἀνδρείας καὶ πολυπειρίας, ὧν τὸ μὲν ὡς ἐγνωσμένον παρῆκε, τὸ δὲ ἐξῆς ἐπεξεργάζεται. μετρίως δέ φησιν ὅτι μὴ βουλόμενόν με οὐδεὶς βουλόμενος βιάσασθαι βιάσεται. καὶ τίς, φασὶ, βούλεται βιασθῆναι; διὰ τούτου

5. * τὸ] τῷ

34. * φασὶ] φησὶ

φαμὲν ὅτι τὸ τῶν πολλῶν ἀμελὲς ἐνδείκνυται. γράφεται δὲ καὶ ἑλών. ἀϊδρείῃ δὲ τῇ πολυπειρίᾳ, ἐπιτάσει τοῦ ᾱ. τὴν δὲ ἐμέ ὁ Ἡρῳδιανὸς εὐλόγως ἄξυνεν.

199. ἔλπομαι ἐν Σαλαμῖνι] καλῶς τὴν ἐκ παιδείας ἀρετὴν τῇ θρεψαμένῃ περιάπτει πατρίδι· καὶ τοῦτο γὰρ Ἑλληνικὸν καὶ φιλοδίκαιον.

202. Ἴδηθεν] καλῶς ἐγχωρίως καλεῖ τὸν θεὸν, ἵνα καὶ ἀγωνίζονται, ἵνα μὴ παρὰ μόνοις Τρωσὶ τιμώμενος ἐναντίος εἴη Αἴαντι.

204. εἰ δὲ καὶ Ἕκτορα] θέλων αὐτοὺς ἐπ' ἴσης διαλλάξαι ὁ ποιητὴς οὐδένα συνίστησιν, οὐδὲ ἐν τῇ εὐχῇ.

208. οἷός τε πελώριος ἔρχεται Ἄρης] ἤδη προεπαίρει τὸν Αἴαντα καὶ τὴν ἔκβασιν ὑποφαίνει. καὶ ἀπήρκει μὲν καὶ μέχρι τούτου τὸ τῆς εἰκόνος, προσφιλοτιμεῖται δὲ ὁ ποιητὴς τὰ λοιπά. ἐκτείνει δὲ καὶ τὰς συλλαβὰς, τὸ σχῆμα τῆς ὄψεως καὶ τῆς πορείας δηλῶν Αἴαντος.

212. προσώπασι] ἀπὸ τῆς πρόσωπα εὐθείας Αἰολικῶς προσώπατα καὶ προσώπασιν. εὖ δὲ τὸ πληθυντικῶς χρήσασθαι· σμικρύνει γὰρ τὸ πρόσωπον καὶ ἀποστενοῖ δειλία, χαρὰ δὲ πληθύνει τε καὶ διαχέει. πολλὰ δὲ τεκμήρια τῆς τοῦ Αἴαντος γενναιότητος· καὶ λαχὼν γὰρ ἥσθη, πλησίον δὲ ὄντα γνοὺς τὸν κλῆρον μειδιᾷ, οὐ γελᾷ· τὸ μὲν γὰρ γελᾶν θρασύτητος καὶ ἀφροσύνης, τὸ δὲ μειδιᾶν γέλωτος μὲν αὐστηρότερον, σκυθρωπίας δὲ φαιδρότερον, ἐκπλῆττον Ἕκτορα, θρασῦνον δὲ τοὺς φίλους· μειδιόων γὰρ, οἷον ἥμερόν τι καὶ γενναῖον ἔχων τὸ πρόσωπον.

213. βιβάς] ἡ κίνησις τοῦ σώματος τὸ τῆς ψυχῆς ὑπεμφαίνει θάρσος· τῶν δὲ δειλῶν "μετοκλάζει καὶ ἐπ' ἀμφοτέρους πόδας ἵζει" (Il. 13, 281).

214. Ἀργεῖοι μέγ' ἐγήθεον] ἣν ὁ ποιητὴς ἔχει διάθεσιν, καὶ τοῖς προσώποις περιάπτει. ἀπὸ δὲ τῆς τῶν ὁρώντων σχέσεως καὶ τὸν ὁρώμενον ηὔξησεν.

215. Τρῶας δὲ τρόμος] οὐ μόνος ὁ κινδυνεύων ἔτρεμεν, ἀλλὰ καὶ οἱ ἄλλοι.

216. θυμὸς ἐνὶ στήθεσσι πάτασσεν] τὴν κίνησιν καὶ ἀγωνίαν τῆς διανοίας ὑπέγραψε, τῶν δὲ σημείων τῆς δειλίας οὐδὲν παρέλαβεν, ὡς

29. * προσώποις] πρώην

ἐπὶ τοῦ Ἀλεξάνδρου "ὦχρός τέ μιν εἶλε παρειάς" (Il. 3, 35) καὶ ἐπὶ τοῦ Δόλωνος "ὑπὸ δὲ τρέμε γυῖα" (Il. 10, 390), ἀλλὰ μόνον τὴν ἀγωνίαν· περὶ γὰρ ἀξιοπίστου προσώπου αὐτῷ ἐστὶν ὁ λόγος.

217. ἀλλ' οὕπως ἔτι εἶχεν ὑποτρέσαι] ὡς εἴ γε δυνατὸν ἦν, κἂν ἔφυγε. ταῦτα δὲ καὶ περὶ τοῦ Ἴρου νόει.

219. Αἴας δ' ἐγγύθεν ἦλθε] γενναῖος γὰρ ὢν οὐ μένει τὸν προκαλεσάμενον.

220. χάλκεον, ἑπταβόειον] δόξαν ἡμῖν ἀληθείας ἐμποιῆσαι θέλων, τὸν τρόπον τῆς κατασκευῆς καὶ τὸν τεχνίτην καὶ τὴν πόλιν ὑπέγραψε, καὶ μαρτυρεῖ αὐτῷ ὡς τῶν ἄλλων τεχνιτῶν ἐν τεχνητοῖς ἀρίστῳ.

222. αἰόλον] ποικίλον· διὸ καὶ τὸ τεύχων πρόσκειται· δηλοῖ γὰρ τὸ καλλωπίζων.

225. ἀπειλήσας δὲ προσηύδα] νωθὴς μέν ἐστι, κινηθεὶς δὲ ὀργὴν ἐνδείκνυται, ἀφ' ἧς αὐτῷ καὶ ἡ κίνησις· εὐμεγέθης γὰρ ὢν κινεῖσθαι οὐ δύναται. τὴν ὀργὴν δὲ καὶ πρὸ τῶν λόγων τῷ σχήματι ἐπεδείξατο.

227. οἷοι καὶ Δαναοῖσιν] οὐκ εἶπεν ὅτι γνώσῃ οἷός εἰμι, κοινοποιεῖται δὲ ἅπαντα τοῖς φίλοις καὶ ἕνα ἐκ πολλῶν ἑαυτόν φησιν· οὐχ ὡς ὁ Ἕκτωρ δὲ αὐχεῖ τὸ "οἶδ' ἐπὶ δεξιὰ, οἶδ' ἐπ' ἀριστερά" (238).

228. Ἀχιλλῆα] ἐπίτηδες καταπλήττει τὸν πολέμιον τῇ τοῦ κρείττονος προσδοκίᾳ, ὅπως μὴ εὔελπις ᾖ οἰόμενος τεθνάναι ἢ ἀποπεπλευκέναι τὸν πολέμιον.

*Πορφυρίου. διὰ τί ὁ Αἴας τῷ Ἕκτορι δεδήλωκε τὴν τοῦ Ἀχιλλέως μῆνιν; οὐδεμία γὰρ ἀνάγκη ἦν, οὐδὲ φρονίμου ἀνδρὸς τὰ παρ' αὐτοῦ κακὰ τοῖς πολεμίοις ἐξαγγέλλειν. ἢ ὅτι ἐγίνωσκον οἱ Τρῶες τὴν μῆνιν Ἀχιλλέως ὑποδεῖξαι πάντως· ὁ γὰρ Ἀπόλλων ἐδήλωσεν αὐτοῖς ἐν οἷς φησὶν "οὐ μὰν οὐδ' Ἀχιλεὺς Θέτιδος πάϊς ἠϋκόμοιο μάρναται, ἀλλ' ἐπὶ νηυσὶ χόλον θυμαλγέα πέσσει" (Il. 4, 512). εἰ δ' ἀγνοοῦσι τὴν ὀργὴν οἱ Τρῶες, καὶ οὕτως τὸ τῆς δηλώσεως ἀναγκαῖον, μὴ ἐν τῷ λοιμῷ τεθνηκέναι νομίσωσιν αὐτόν. λύσις· Ἀριστοτέλης δὲ, ἵνα μὴ οἴηται τὸν Ἀχιλλέα ἀποδεδειλιακέναι, ἀλλὰ κἀκεῖνον καὶ ἄλλους αὐτοῦ εἶναι κρείττους. εἶτα εἰπὼν "νῦν δὴ σάφα ἴσεαι

2. *μόνον] μόνην 25. *Πορφυρίου] om.
29. πάϊς] om.

οἰόθεν οἷος, οἷοι καὶ Δαναοῖσιν ἀριστῆες μετέασι, καὶ μετ' Ἀχιλλῆα ῥηξήνορα θυμολέοντα," ἵνα καταπλήξῃ τῆς Ἀχιλλέως ἀρετῆς ἀναμνήσας, ὃν ἐδόκει πεφοβῆσθαι, εἰκότως πέπονθεν Ἀχιλλεύς· τὸ γὰρ μετ' Ἀχιλλῆα ἀμφίβολον πότερον μετὰ τὴν ἐκείνου τελευτὴν ἢ μετὰ τὴν ἐκείνου ἀρετὴν, ἢ καθάπερ ἐκεῖνος ἦν καὶ ἄλλοι εἰσίν. ἀναγκαῖον οὖν δηλῶσαι τί πέπονθεν Ἀχιλλεὺς, καὶ ὅτι μηνίων οὐ πάρεστιν, ἀλλ' οὐχὶ τεθνηκὼς ἢ ἀποπλεύσας, ἀλλ' ὅτι ἐν νηυσὶ κορωνίσι μηνίων· ὀργὴ δ' ἐν ἀγαθοῖς ἀνδράσιν εὐδιάλυτον.

231. τοῖοι] οἱ γλωσσογράφοι τὸ τοῖοι ἀντὶ τοῦ ἀγαθοί· ὅθεν καὶ Καλλίμαχος τῷ "τοίων δεῖ" κέχρηται.

232. ἄρχε] βραδὺς γὰρ καὶ δεύτερος ἀεὶ ὁ Αἴας. ἅμα δὲ εὐτελίζει τὸ προπετές. ἢ καὶ αὐτὸν εὐτελίζων τοῦτό φησιν εἰρωνικῶς.

235. μή τί μευ] συνεῖδε καὶ ὁ Ἕκτωρ ὅτι μεμφόμενος καὶ καταπλήττων αὐτὸν ἄρχειν κελεύει τῆς μάχης.

238. δεξιὰ μὲν τὸ φεύγειν, ἀριστερὰ δὲ τὸ διώκειν.

241. ὄρχησις γὰρ καὶ παιδιὰ γενναίων ὁ πόλεμος. πολλὴν δὲ εὐχέρειαν τῶν δεινῶν ἐμφαίνει.

242. ἀλλ' οὐ γάρ σ' ἐθέλω] καίτοι πάντα τρόπον μάχης εἰδὼς, φησὶν, οὐ θέλω σε λάθρα βαλεῖν· ἡ γὰρ μετὰ ἀπάτης ἀριστεία αἰσχρά. ἠθικὸν δὲ καὶ τὸ τοιοῦτον, οἱονεὶ μέγαν καὶ θαυμαστόν.

248. ἑβδομάτῃ] ἢ καὶ τὸν χαλκὸν συναριθμήσεις, ἵνα καὶ αὐτός ἐστιν ἡ ἑβδόμη ῥινὸς, ἢ ὄγδοον αὐτὸν λάβῃς· ὃ καὶ ἄμεινον.

252. ἠρήρειστο] ἐτράχυνε τὰς συλλαβὰς, τὴν βίαν τῆς εἰσόδου δηλῶν.

255. τὼ δ' ἐκσπασαμένω] ἀπὸ τῆς τοῦ ἑτέρου ἀσπίδος τὸ ἴδιον ἑκάτερος.

258. Πριαμίδης μέν] ἐνάρχεται πάλιν οὗτος ἀμβλυνθείσης τῆς ἀκμῆς ἐν τῇ πρώτῃ βολῇ.

261. στυφέλιξε] εἰς τοὔμπροσθεν ὁρμῶντα ἔστησε καὶ ἐπέσχεν.

262. φυλάσσει μὲν Ἕκτορα τῇ ὑποθέσει, τὴν δὲ καιρίαν πληγὴν Αἴαντι δίδωσιν, ἐπὶ τὸ ἐπικίνδυνον φέρων τὴν ὑπόθεσιν.

263. ἀλλ' οὐδ' ὣς] Αἴαντα ἐπιτείνει, τὸ πρόθυμον τοῦ Ἕκτορος αὔξων.

9. τὸ τοῖοι Bekk.] τὸ τοιοῦτοι
10. δεῖ Meinek. Vindic. Strabon. p. 211] ἀεὶ (sic, non αἰεί).
25. * τοῦ ἑτέρου] ἑαυτοῦ
27. ἀμβλυνθείσης τῆς ἀκμῆς] ἀμβλυθείσης τῆς μάχης
30. *Ἕκτορα—Αἴαντι] αἴαντα—ἕκτορι

264. λίθον εἵλετο] ἡττώμενος ἐν τῇ συστάδην μετάγει τὴν μάχην ὡς πρὸς ἄτρωτον ἢ βαρύοπλον πολεμῶν.

269. ἐπέρεισε δὲ ἶν' ἀπέλεθρον] συνεπέδωκεν ὅλον τὸ σῶμα τῇ βολῇ, καὶ πάσῃ δυνάμει ἐχρήσατο.

270. ἀσπίδ' ἔαξε] ἐπὶ μὲν Ἕκτορος τὸ ἀσθενὲς τῆς βολῆς δηλῶν "περιήχησέ" φησιν (267), ὡσανεὶ μηδὲ τοῦ ὀμφαλοῦ θλασθέντος· ἐπὶ δὲ τοῦ Αἴαντος κατέαξε τὴν ἀσπίδα ὡς καὶ ὑπ' αὐτῆς πεσεῖν τὸν Ἕκτορα.

271, 272. ἐξετανύσθη ἀσπίδι ἐγχριμφθείς] οὐκ εἶπεν ὑπὸ τοῦ λίθου, ἀλλὰ καὶ ὑπὸ τῆς ἀσπίδος· συνῶσε γὰρ αὐτὴν ἐπ' αὐτὸν ἡ βολή.

273. ὀξυντέον τὸ αὐτοσχεδόν· τὰ γὰρ εἰς δον ἐπιρρήματα ἐν τῇ συνθέσει φυλάττουσι τὸν τόνον.

274. εἰ μὴ κήρυκες] οἰκονομικῶς σῶσαι θέλων τὸν Ἕκτορα οὕτω διαλύει τὴν μάχην.

276. Ταλθύβιός τε καὶ Ἰδαῖος] ὁ μὲν Ἰδαῖος εἰκότως προσέρχεται, τὸν Ἕκτορα σώσων κινδυνεύοντα· ὁ δὲ Ταλθύβιος οὐκέτι, τὴν νίκην τοῦ Αἴαντος ἀφαιρούμενος. φαμὲν δὲ ὅτι οὐδέπω ἀκριβὴς ἦν ἡ νίκη περὶ τὸν Αἴαντα· ἐπὶ ξίφη γὰρ αὐτοὺς ὥρμῆσθαι λέγει, ἔνθα μάλιστα τύχης, οὐ τέχνης καὶ ἰσχύος, κρίσις τὸ πλεῖστον ἔχει· ἀπὸ ἴσου γὰρ ὁρμῶνται· ἔτι τε καὶ τὸν Ἕκτορα ὁρᾷ ὑπὸ θεῶν βοηθούμενον. ἀλλὰ καὶ διὰ τὸ τῆς νυκτὸς κατάστημα. κατὰ τὸ σιωπώμενον δὲ οἱ ἡγεμόνες αὐτοὺς πέμπουσιν.

279. παῖδε φίλω] ὁ μὲν σεμνοποιῶν τὰ καθ' ἑαυτὸν παῖδε φίλω φησὶν, ὁ δὲ Αἴας ἐξ ὀνόματος Ἰδαῖε.

281. ἄμφω δ' αἰχμητά] ἴσους αὐτοὺς ἔφησε, τὴν τοῦ Ἕκτορος ἧττταν καλύπτων.

284. Ἕκτορι ταῦτα κελεύετε μυθήσασθαι] πράου μὲν τὸ ἦθος· οὐ γὰρ προσφιλονεικεῖ κρατῶν τῇ μάχῃ· συνετοῦ δὲ, ὅτι μὴ εὐθέως τῷ κήρυκι συνεχώρησεν, ἵνα μὴ ἄσμενος δοκῇ τὴν διάλυσιν προσίεσθαι, ἀλλὰ τὸν προκαλεσάμενον ᾠήθη δεῖν περὶ διαλύσεως ποιεῖσθαι τὸν λόγον. ἀξιόπιστον δὲ ἑαυτῷ πορίζει νίκην· τὸ μὲν γὰρ φονεύειν κοινὸν, τὸ δὲ ὁμολογίαν ἥττης δέξασθαι καὶ ἀπαγορεύσαντα ἐᾶσαι ἀξιόπιστον. διὸ καὶ νῦν ἐγκωμιάζει αὐτὸν, ὑπογυίως τῆς ἀρετῆς

27. καλύπτων] * ἐπικαλύπτων

αὐτοῦ πειραθεὶς καὶ πρὸς ἀπαλλαγὴν ὑποθωπεύων· ἡνίκα δὲ ὑπὸ τῆς τύχης ἐπῆρτο "Αἴαν ἀμαρτοεπές" φησιν (Il. 13, 824).

289. ὑποστικτέον εἰς τὸ πινυτήν ἢ εἰς τὸ ἐσσί. καλῶς δὲ τὸ Ἀχαιῶν, ἵνα μὴ καὶ ἑαυτὸν ἐμπεριλάβῃ· ἀλαζὼν γάρ ἐστι, καὶ οὐδὲ ὑπὸ τοῦ ἀρίστου πλεονεκτεῖσθαι θέλει. ἢ μᾶλλον, οὐ μόνον ἐμοῦ ἐσσὶ κρείττων, ἀλλὰ καὶ τῶν Ἀχαιῶν.

291. σήμερον] ἐπεὶ τὸ νῦν ἀόριστόν ἐστι, διὰ τοῦτο καὶ τὸ σήμερον προστέθειται.

292. δώῃ δ' ἑτέροισί γε νίκην] ἐντέχνως ἑαυτὸν τῆς νίκης ὑπεξίστησιν, ὡς νῦν μὴ νικηθείς.

293. νὺξ δ' ἤδη] εὐπροσώπως καὶ τοῦτο, ἵνα διὰ τὸν καιρὸν εἴκειν δοκῇ. τὸ δὲ πιθέσθαι (282) παροξυτόνως· μέσος γάρ ἐστι δεύτερος ἀόριστος.

295. καλῶς ἐπὶ Αἴαντος ἡ προσθήκη· πολλοὺς γὰρ εἶχεν ἰσοθύμους, οἳ συνέστησαν αὐτῷ κληρωσόμενοι. εὐφρανεῖς μὲν οὖν, φησί, πάντας, ἐπεὶ δὲ φθονοῦνται τοῖς ἀρίστοις οἱ ἄριστοι, ἀλλά γε τοὺς σοὺς ἑταίρους. Ἕκτωρ δὲ ἀντιζήλους οὐκ ἔχει.

298. θεῖον ἀγῶνα τὸν περὶ τὰ ἱερά, ἔνθα οἱ θεοὶ αὐλίζονται διὰ τὰ ἀγάλματα. γράφεται δὲ καὶ θύονται, ὡς Ἡρωδιανός· οὕτω γὰρ ἄμεινον.

299. δῶρα δ' ἄγ'] ἵνα δοκῇ καὶ ἐξ ἴσου ἀπηλλάχθαι, καὶ ἐπαγόμενος τὴν φιλίαν Αἴαντος.

302. ἀρθμήσαντε] ἁρμοσθέντες καὶ συμβιβασθέντες.

303. ὁ μὲν ἀφρόνως ἄσπλον ἐκδίδωσιν ἑαυτόν· ὁ δὲ ὅμως καὶ προπαρασπονδησάντων Τρώων οὐδὲν πλημμελεῖ. ἄλλως τε ἐπεποίθει ὁ Ἕκτωρ μηδὲν πείσεσθαι· "οὐ γάρ πώ τοι μοῖρα θανεῖν" ἤκουσεν (52).

304. σὺν κολεῷ] οὐ περιττὸν τὸ ἔπος, ἀλλ' ἐπειδὴ ἐσπασμένον ἦν τὸ ξίφος, ἵνα μὴ μόνον νοοῖμεν αὐτό.

306, 307. ἐπὶ μὲν Αἴαντος τὸν λαόν, ἐπὶ δὲ Ἕκτορος ὅμαδόν φησι, διαστείλας· ἀεὶ γὰρ θορυβώδεις αὐτοὺς ἐκδέχεται.

308. ὡς εἶδον ζωόν] καλῶς θαυμάζουσι καὶ χαίρουσιν ὡς ἀνέλπιστον πρᾶγμα ἰδόντες. ἐπὶ μὲν οὖν Ἕκτορος τὴν ἀνέλπιστον σωτηρίαν ἐδήλωσεν, ἐπὶ δὲ Αἴαντος τὴν ἐπὶ τῇ νίκῃ ἡδονήν.

310. ἀελπτέοντες] μείζων αὐτοῖς ἡ χαρὰ, ὅτι ἐξ ἀπροσδοκήτου τὸν στρατηγὸν ἐδέξαντο.

312. *νίκῃ*] *τέτρωται γὰρ καὶ πέπτωκε καὶ ἀπηγόρευσε τῇ μάχῃ ὁ Ἕκτωρ.*

314. *τοῖσι δὲ*] *ἡ μὲν τιμὴ εἰς Δία γίνεται, ἡ δὲ χρεία τῶν χρεῶν εἰς τοὺς στρατιώτας.*

321. *νώτοισιν*] *τὰ γὰρ τῆς ἀνδραγαθίας ἆθλα εὐτελῆ, ὡς κότινος καὶ σέλινα, τὰ δὲ δὴ τῆς πλεονεξίας χρυσὸς καὶ ἄργυρος. ἅμα δὲ διὰ τὸ μὴ δεῖξαι τῷ πολεμίῳ τὰ νῶτα.*

325. *πρόσθεν ἀρίστη φαίνετο βουλή*] *Ἀχιλλέα τὸ ὅσον ἐφ' ἑαυτῷ χαλεπαίνοντα διήλλαξεν Ἀγαμέμνονι· καὶ τοὺς Ἕλληνας ὁρμῶντας εἰς τὰς πατρίδας ἐπέσχε· καὶ περὶ διατάξεως ὑπέθετο "ὡς φρήτρη φρήτρηφιν ἀρήγῃ" (Il. 2, 263)· καὶ τοὺς ἀριστέας ὀκνοῦντας εἰς τὴν πρὸς Ἕκτορα μάχην ἀνήγειρεν.*

327. *Ἀτρεῖδαί τε καὶ ἄλλοι*] *καλῶς τὴν ἀρχὴν τῆς συμβουλίας εἰς τὸν ἄρχοντα φέρει, μηδὲ τοὺς ἄλλους παρεὶς.*

328. *πολλοὶ γάρ*] *εἴωθεν ἀεὶ ἀπὸ τοῦ γάρ ἄρχεσθαι, τὴν αἰτίαν προτάσσων τοῦ πράγματος· προθυμοτέρους δὲ τοὺς ζῶντας ποιεῖ, τῶν τεθνεώτων μεταποιούμενος· αἰσχρὸν γὰρ ἐδόκει τὸ μὴ ἀξιοῦσθαι ταφῆς. ἅμα δὲ καὶ διαναπαύειν θέλει τὸν ἀκροατὴν καὶ τειχομαχίαν εἰσφέρειν. δῆλον δὲ ὡς ἑκάστοτε τὰς ἀναιρέσεις ποιοῦνται τῶν νεκρῶν.*

332. *τοῦτο πρὸς παραμυθίαν μὲν τῶν ζώντων εἴρηται, οὐχ οὕτως δὲ πέπρακται διὰ τὴν στάσιν τῶν Ἀτρειδῶν. τὸ δὲ κυκλήσομεν ἀντὶ τοῦ ἐπὶ τὰς ἁμάξας θήσομεν· κύκλα γὰρ οἱ τροχοί.*

334. *ἀπὸ πρὸ*] *ὁ Ἡρῳδιανὸς τῆς ἀπό φυλάσσει τὸν τόνον, καὶ συντάσσει αὐτὴν τῷ νεῶν· τὴν δὲ πρό ὡς πλεονάζουσαν κοιμίζει. τινὲς δὲ τοῦ ἀπόπροθι ἀποκοπὴν αὐτὸ νομίζουσιν. ἢ ἡ ἀπό σημαίνει τὸ ἄποθεν, τὸ δὲ πρὸ νεῶν ἀντὶ τοῦ πλησίον, τουτέστι καύσομεν αὐτοὺς ὀλίγον μὲν ἡμῶν ἄποθεν, πρὸ τῶν νεῶν δέ.*

336. *ὑποστικτέον εἰς τὸ χεύομεν. τὸ δὲ ἐξαγαγόντες ὅμοιόν ἐστι τῷ "Λαοδίκην ἐσάγουσα" (Π. 6, 252) ἀντὶ τοῦ εἰσερχομένη. οὕτω καὶ τὸ ἐξαγαγόντες ἀντὶ τοῦ ἐξελθόντες τὸ δὲ ἄκριτον ἀντὶ τοῦ ἀγνώριστον, ἀχώριστον, ὅμοιον τῷ λοιπῷ πεδίῳ. τὸ δὲ ὦκα προστέθειται, ἵνα πιθανὸν δοκῇ τὸ ἐν μιᾷ ἡμέρᾳ τεῖχος.*

339. *μία μὲν ἱππήλατος ἐπὶ τὸ ἀριστερὸν τοῦ ναυστάθμου. τὰς δὲ λοιπὰς πυλίδας εἶχον πρὸς τὰς ἄλλας μικρὰς χρείας.*

6. * *χρυσὸς*] om. 25. * *κοιμίζει*] *κοίζει*

345. ἀγορὴ γένετ'] ἔδει γὰρ τῶν τοῦ βασιλέως υἱῶν ἡττωμένων καὶ κινδυνευσάσης τῆς πόλεως ὑπὸ Διομήδους, δυσελπίδων ὄντων διὰ τὴν παράβασιν σκοπεῖν τι τῶν ἀναγκαίων. ἔστι δὲ ἐν αὐτοῖς Νέστωρ ὁ Ἀντήνωρ.

346. δεινὴ, τετρηχυῖα] τεταραγμένη, ἢ διὰ τὰ προλεχθέντα, ἢ διὰ τὸ "πολύκλητοι δ' ἔσαν" (Il. 4, 438), ἢ διὰ τὸ διχογνωμονεῖν περὶ Ἑλένης, ὡς Ἀντήνωρ καὶ Ἀντίμαχος. δηλοῖ ὡς οὐχ οἱ βασιλεῖς συνήγαγον αὐτούς, ἀλλ' ἀγανακτοῦντες ἦκον εἰς τὰ βασίλεια.

*τὸ δὲ τετρηχυῖα ἐκ τοῦ ταράσσω τετάραχα, καὶ συγκοπῇ καὶ τροπῇ Ἰωνικῇ τέτρηχα καὶ τετρηχυῖα.

347. Ἀντήνωρ] ὡς πρόξενος Ἑλλήνων καὶ ἀεὶ δημηγορῶν καὶ θεοσεβής. Ἕκτωρ δὲ σιωπᾷ αἰσχυνόμενος διαλύειν τὴν μάχην, ἵνα μὴ δοκῇ πρὸς τὸ τέλος ἡττᾶσθαι.

351. δώομεν] μετρίως καὶ ἑαυτὸν συγκαταλέγει, ἵνα μὴ πικρότερον χρήσηται τῷ ἐλέγχῳ.

353. τὸ ἵνα ἀντὶ τοῦ ἐάν παρὰ Ἡρῳδιανῷ· δυνατὸν γὰρ σύνδεσμον ἀντὶ συνδέσμου παραλαβεῖν. παρὰ δὲ τοῖς ἄλλοις ᾠβέλισται.

357. οὐκέτ' ἐμοὶ φίλα] οὐ γὰρ τὰ κοινῇ συμφέροντα βούλεται ἀκούειν, ἀλλὰ τὰ πρὸς ἰδίαν χάριν.

358. ἄλλον μῦθον ἀμείνονα] καίτοι οὐδὲν ἦν βέλτιον τοῦ δοῦναι τὰ ἀλλότρια καὶ τοῖς ὅρκοις ἐμμένειν. οὗτος δὲ ἡττώμενος θηλυμανίας ὡς πολέμιον αὐτὸν διαβάλλει.

360. ἐξ ἄρα δή τοι] αὐτὸς ἐν μεγίστῃ φρενοβλαβείᾳ ὢν τοῦτο ὀνειδίζει τῷ γέροντι.

362. ἀντικρύ] κατὰ πρόσωπον καὶ ἐξ ἐναντίας πάντων. χαρακτηρίζει δὲ κιναίδου λόγον καὶ τέλεον ἀπηρυθριακότος· διὰ γοῦν τοῦ ἀποδώσω ὁμολογεῖ ἀδίκως κατέχειν.

364. καὶ ἔτ' οἴκοθεν] οὐχ ὡς πεισομένων Ἑλλήνων, ἀλλ' ὅπως ἔχει βουλῆς ἐνδεικνύμενος ταῦτά φησιν.

367. εὐφρονέων] οὔτε γὰρ Ἀντήνορι ἀντιλέγει οὔτε τῷ παιδὶ, πολιτικὴν ὑφορώμενος στάσιν διὰ τοὺς συναιρομένους αὐτοῖς. ἢ τάχα καὶ τοὺς Ἕλληνας ἀκούων δυσχεράναντας τῷ μήκει τῆς μάχης ᾤετο δέξασθαι τὴν πρεσβείαν.

375. πυκινὸν ἔπος] ὅτι τοῦτο τοὺς κάμνοντας ἀνακτήσεται, καὶ ἵνα ἀδεῶς ἐπιμιγνύμενοι ἀλλήλοις ἀφορμὴν τοῦ ποιῆσαι εἰρήνην

λάβωσιν. ὃ δὲ καὶ Ἕλληνες ἐβούλοντο, τὸ συνάξαι τοὺς νεκρούς, τοῦτο καὶ αὐτοῖς δοκοῦσι χαρίζεσθαι.

382. εἰν ἀγορῇ] οὐκ εἰς ἐκκλησίαν, ἀλλ' ἔωθεν πρὸς Ἀγαμέμνονα ἐλθόντας, καὶ εἴ τι δέοι πράσσειν τῶν βουλευθέντων ἑρομένους.

388. τοῦ εἵνεκα νεῖκος ὀρώρει] τὸ τυραννικὸν Ἀλεξάνδρου δεικνὺς πραοτέρους κατὰ τῶν Τρώων ποιεῖ τοὺς Ἕλληνας.

393. ψεύδεται εἰς τὸ κεχαρισμένον Τρωσὶ, καὶ ἵνα ἐάσωσι ταφῆναι τοὺς Τρῶας, καὶ γνόντες ὡς οὐχ οἷοί τέ εἰσιν ἀναγκάσαι Ἀλέξανδρον ἀποπλεύσωσιν.

398. πάντες ἀκὴν ἐγένοντο] στρατηγικῶς τέως ὁ Ἀγαμέμνων σιωπᾷ, ἐπιτρέπων τοῖς Ἀχαιοῖς τὸ πέρας, ὅπως αἰσχυνόμενοι μηδὲν ἄνανδρον εἴπωσι, καὶ ἵνα καταπλαγῶσι Τρῶες τῇ τῶν συμμάχων προθυμίᾳ.

399. ὀψὲ δὲ] ἀνέμενε γὰρ τὴν τῶν Ἀτρειδῶν γνώμην· ὡς πεποιθὼς δὲ τῇ ἑαυτοῦ ἀριστείᾳ ἀνίσταται.

401. γνωτὸν] καὶ διὰ τὴν παράβασιν καὶ διὰ τὸ σπεύδειν αὐτοὺς ἐπὶ τὴν τῆς μάχης διάλυσιν.

403. ἐπίαχον] σύμψηφοι γὰρ γίνονται τῇ καταθέσει· διό φησιν "ἤτοι μῦθον Ἀχαιῶν αὐτὸς ἀκούεις."

407. ὑποκρίνονται] ἀποκρίνονται. ὅθεν καὶ ὑποκριτὴς ὁ πρὸς τὸν χορὸν διαλεγόμενος.

408. μετὰ ὑποκρίσεως δεῖ ὑποστίζειν εἰς τὸ νεκροῖσι. μεγαλοφυῶς δὲ οὐκ ἀποκρύπτει τὴν ἰδίαν γνώμην. ἠθικεύεται δὲ δοκῶν αὐτοῖς χαρίζεσθαι.

409. οὐ γάρ τις φειδὼ νεκύων] Ἀττικὴ ἡ σύνταξις. οὐ γάρ τις φειδὼ γίνεται τοῖς τεθνεῶσι νέκυσι χαρίζεσθαι· τοῦτο γὰρ δηλοῖ τὸ μειλισσέμεν, ἐπεὶ γλυκεῖα ἡ χάρις. φησὶ δὲ ὅτι οὐδέν ἐστι κέρδος τοὺς τῶν πολεμίων νεκροὺς ἀτάφους εἶναι.

411. ὅρκια] ἢ τὰ νῦν καὶ περὶ τῶν νεκρῶν, ἢ τὰ πρότερον καὶ ἃ παρέβησαν, ἵνα ἐκδειματώσῃ αὐτούς.

416. ἀπέειπε] ἀπεδοκίμασε καὶ ὡς ἀνωφελῆ ἀνήγγειλεν, ὅτι μὴ προσεδέξαντο τὴν πρεσβείαν οἱ Ἕλληνες.

417. τοὶ δ' ὤπλίζοντο] οὐκ ἔδει γὰρ λόγων, ἀλλὰ τοῦ ἔργου ἀντέχεσθαι.

418. τὸ ἀμφότερον κατὰ δύο μέρη, ἤγουν οἱ μὲν εἰς τοὺς νεκρούς, οἱ δὲ εἰς τὰ ξύλα ἄγειν.

421. προσέβαλλεν] καλῶς τῷ παρατατικῷ ἐχρήσατο· κατ' ὀλίγον γὰρ φωτίζει τὴν γῆν ὁ ἥλιος σφαιροειδῆ οὖσαν.

426. δάκρυα θερμὰ χέοντες] βαρβάρων ἴδιον ὁ θρῆνος, τῶν δὲ Ἑλλήνων τὸ μεγαλόψυχον· μόνον γὰρ ἀχνύμενοί φησιν (431). τὸ γὰρ μηδ' ὅλως λυπεῖσθαι ἀπαθείας ἐστίν.

427. οὐδ' εἶα κλαίειν] ἵνα μὴ κατάθηλοι τοῖς πολεμίοις εἶεν ὡς μαλακιζόμενοι.

433. ἀμφιλύκη] παρὰ τὴν ἠλύκην, ὅ ἐστι σκιὰν Δωρικῶς. καὶ λυκόφως δὲ τὸ μεταξὺ σκότους καὶ σκιᾶς.

*τὸ πρὸς ὄρθρον βαθὺν λυκόφως, τὸ μὴ καθαρὸν φῶς, ἀλλ' ἔτι σκοτῶδες.

*Πορφυρίου. οὐ γὰρ εἰ μηδέπω ἠὼς, ἔτι ἦν ἡ νύξ, ἀλλ' ἡ ἀμφιλύκη ἦν, ὁ βαθὺς ὄρθρος. ἠῶ δὲ λέγει νῦν τὸν ὄρθρον καὶ τὸ πρὸ ἀνατολῆς ἡλίου πεφωτισμένον διάστημα· ὅτι γὰρ καὶ τοῦτο τὸ διάστημα λέγει ἠῶ δηλοῖ ἐπὶ τῆς νηὸς τοῦ Τηλεμάχου εἰπὼν "παννυχίη μὲν ἄρ' ἦγε καὶ ἠῶ πεῖρε κέλευθον" (Od. 2, 434) ἐπάγει "ἠέλιος δ' ἀνόρουσε λιπὼν περικαλλέα λίμνην." καὶ ἡμεῖς δὲ τὸ πρὸ ἡλίου ἐξ ἑωθινοῦ φαμὲν καὶ ἕωθεν, ὅπερ ὁ ποιητὴς "ἠῶθεν δ' ἀγορήνδε" (Od. 1, 372) φησίν. ἕως οὖν καὶ ἠὼς τὸ πρὸ ἀνατολῆς ἡλίου· τὸ δὲ πρὸ τῆς ἕω λυκόφως καὶ νὺξ ἀμφιλύκη. λέγει μέντοι καὶ τὸ ἀπὸ ἀνατολῆς ἡλίου ἄχρι μεσημβρίας διάστημα ἠῶ· "ἔσσεται ἢ ἠὼς ἢ δείλη ἢ μέσον ἦμαρ" (Il. 21, 111)· ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ" (Il. 8, 66)· "εὗδον παννύχιοι καὶ ἐπ' ἠῶ καὶ μέσον ἦμαρ" (Od. 7, 288). ἄλλοι δὲ γράφουσιν καὶ μέσην νύκτα. λέγει ἠῶ καὶ ὅλην τὴν ἡμέραν· "ἦδε δὴ ἠὼς εἶσι δυσώνυμος" (Od. 19, 571)· "ἦδε δέ μοι νῦν ἠὼς ἑνδεκάτη" (Il. 21, 155), περὶ οὗ φησὶν "ἕνδεκα δ' ἤματα θυμὸν ἐτέρπετο οἷσι φίλοισιν ἐλθὼν ἐκ Λήμνοιο" (ib. 45). ἠὼς δὲ καὶ ἡ θεός· "ὣς μὲν ὅτ' Ὠρίων' ἔλετο ῥοδοδάκτυλος ἠώς" (Od. 5, 121).

434. κριτὸς] εἰς αὐτὸ τοῦτο κριθεὶς τὸ τὰ περὶ τὴν πυρκαϊὰν ἐκπονῆσαι.

435. τύμβον δ'] οὐ προστέθειται θρῆνος ἐνταῦθα· τὰ γὰρ ἀνάξια

12. *Πορφυρίου] om.
12—29. Eadem fere supra p. 294, 9—26. Conf. etiam p. 337.
15. νηὸς] νεὼς 294.
19. φησὶν addidit Vill.
20. μέντοι—ἀπὸ 294] μὲν—πρὸ
24. ἄλλοι—νύκτα] om. 294.
25. δὴ 294] δὲ

τῆς ἡρωϊκῆς μεγαλεφυΐας παρατρέχει. καὶ οὐδεὶς αὐτῶν Χείρων ὁρᾶται τῶν ἀτάκτων καὶ θορυβωδῶν ἐκείνων Τρώων.

443. παρεκτείνων τὸ ἔργον τὴν τῶν θεῶν ἀγορὰν παρέλαβεν· ἄτοπον γὰρ ἦν εἰπεῖν "ὣς οἱ μὲν πονέοντο," εἶτ' εὐθὺς "δύσετό τ' ἠέλιος."

445. Ποσειδάων] ἀναιρῆσαι τὸ πλάσμα τοῦ τείχους σπουδάζων ὁ ποιητής, ὥσπερ ἀπὸ μηχανῆς βοήθειαν πορίζεται εἰς τὸ μηδένα ἐπιζητεῖν ὕστερον τὰ τῶν τειχῶν ἴχνη. οὐδενὶ δὲ ἥρμοττεν ἡ κατηγορία ἢ Ποσειδῶνι καὶ Ἀπόλλωνι, ἀντιτειχιζόντων τῶν Ἑλλήνων τῷ Τρωϊκῷ τείχει. καὶ ὁ μὲν Ἀπόλλων οὐ λαλεῖ, ἵνα μὴ αὐτὸν ἐπιπλήξῃ ἡ Ἥρα, Ποσειδῶν δὲ Ἑλληνικὸς ὢν θεὸς δοκεῖ ἀπαθῶς τῶν Ἑλλήνων κατηγορεῖν.

446. ἀνακοινώσεται διὰ θυσιῶν, συνεργοὺς αὐτοὺς θέλων λαβεῖν· οἱ γὰρ θύοντες εἴσονται παρὰ θεῶν εἰ δεῖ ἔργοις ἐγχειρεῖν ἢ οὔ.

451. κλέος ἔσται] ἴσως διὰ τὴν ποίησιν αὐτοῦ· διὰ γὰρ ταύτην τὸ τεῖχος ἀοίδιμον ἔσται, οὐ δομηθὲν τοῖς Ἕλλησιν, ἀλλ' Ὁμήρῳ γενόμενον διὰ τὴν ἐπ' αὐτῷ μάχην. διὰ δὲ τοῦ ὅσον τ' ἐπικίδναται ὡς ὑπερβολικῶς καὶ τὴν ἀοίκητον δηλοῖ.

466. βουφόνεον] βουφονεῖν ἐστὶν οὐ τὸ θύειν θεοῖς (ἄτοπον γὰρ ἐπὶ θυσίας φόνον λέγειν), ἀλλὰ τὸ φονεύειν βοῦς εἰς δεῖπνου κατασκευήν.

467. ἐπιτηδείως ἐδήλωσεν ὅθεν αὐτοῖς ἡ χορηγία ἦν.

475. ἀνδραπόδεσσι] οὐ περισπούδαστος γὰρ ἡ τῶν ἀνδραπόδων κτῆσις ἐκεῖσε οὖσιν ἦν πρὸς φυλακήν.

479. σμερδαλέα κτυπέων] προκινεῖ καὶ ἀγωνιᾶν ποιεῖ τὸν ἀκροατὴν ἐπὶ τοῖς ἐσομένοις ὁ ποιητής.

480. χέων] καλῶς τὸ χέων, ἐπεὶ μὴ προσίεται τὴν σπονδὴν ὁ Ζεύς, ὡς καὶ ἐπὶ τοῦ μονομαχίου Ἀλεξάνδρου (Il. 3, 296).

481. τὸ δεύτερον πρίν ἀντὶ τοῦ πρὶν ἤ, τὸ δὲ πρῶτον ἀντὶ τοῦ πρότερον.

482. κοίμησαν] ἀνεκλίθησαν, ὡς τὸ "Εὐρυνόμη δ' ἄρ' ἐπὶ χλαῖναν βάλε κοιμηθέντι (Od. 20, 4)."

ὕπνου δῶρον] αὐτὸ τὸ κοίμημα, ὅπερ ἡμῖν ὁ σωματοειδὴς ὕπνος δωρεῖται.

3. Hoc scholion in B ad v. 456.

ΕΙΣ ΤΗΝ Θ.

ταύτην τὴν ῥαψῳδίαν κόλον μάχην καλοῦσι· συντέμνει γὰρ τὴν διήγησιν, συναχθόμενος τοῖς Ἀχαιοῖς.

1. * Πορφυρίου. ποσαχῶς μὲν τῷ τῆς ἠοῦς ὀνόματι κέχρηται Ὅμηρος εἴρηται, καὶ ὅτι οὐχ ἁπλῶς οἶδε τὰ στοιχεῖα, ὡς οἱ πολλοί, ἀπροστάτευτα καὶ ἄνευ οἰκείου θεοῦ· ἀλλ' ὥσπερ οἱ θεολόγοι ἴσασι μὲν καὶ ποταμὸν καὶ τὸ ῥέον ὕδωρ καὶ θεὸν πάλιν τὸν τοῦ ῥείθρου προστάτην, ᾧ δὴ καὶ εὔχονται καὶ θύουσιν, οὐ τῷ ὕδατι δήπου, ἀλλὰ τῷ προεστηκότι δαίμονι τοῦ ποταμοῦ, οὕτως καὶ Ὅμηρος, ὅπου γε οὐδὲ τὸ μεθημερινὸν φῶς τῆς ἡμέρας εἴασεν ἀπροστάτευτον, ἀλλὰ καὶ τοῦ μεθημερινοῦ φωτὸς εἰσήγαγε τὴν ἠῶ, ὥσπερ καὶ τοῦ νυκτερινοῦ σκότους τὴν νύκτα· τὴν δ' ἤδη καὶ ὁ Ζεὺς ἄζεται μὴ ἀποθύμια ἔρδοι (Il. 14, 261). καὶ ποσαχῶς μὲν ἠὼς παρ' αὐτῷ λέγεται εἴρηται· ὅτι δὲ ἡ κροκόπεπλος καὶ ἡ ῥοδοδάκτυλος ἐπὶ τῆς δαίμονος λέγεται δῆλον· ἐπεὶ δὲ τὰ ἐπίθετα ἐκ τοῦ περὶ τὸ ὁρώμενον τῆς ἡμέρας καταστήματος εἴληπται, ἐξηγεῖται τὸ ἐκ ποίας μὲν καταλήψεως ἡ κροκόπεπλος, ἐκ ποίας δὲ ἡ ῥοδοδάκτυλος. φημὶ τοίνυν ὡς διὰ μὲν τῆς τοῦ κρόκου χρόας δηλοῖ ὀλίγον τῆς ἡμέρας φῶς πολλῷ τῷ τῆς νυκτὸς μέλανι κιρνώμενον· ὅταν δὲ λέγῃ "ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς," διὰ τῆς τοῦ ῥόδου χροιᾶς δηλοῦν αὐτὸν ὀλίγον τὸ τῆς νυκτὸς μέλαν πολλῷ τῷ τῆς ἡμέρας φωτὶ χρώμενον. καὶ ὅτι τοῦτο νοεῖ δῆλον ἔστω ἐκεῖθεν· μνησθεὶς γὰρ ἑωσφόρου, ὡς νυκτὸς ἔτ' οὔσης ἀνατέλλει, ἐπάγει αὐτῷ τὴν κροκόπεπλον ἠῶ "ἦμος ἑωσφόρος εἶσι φόως ἐρέων ἐπὶ γαῖαν, ὅν τε μέτα κροκόπεπλος ὑπεὶρ ἅλα κίδνατο ἠώς" (Il. 23, 226). γεννήσας δὲ ἐκ τῆς κροκοπέπλου τὸν ὄρθρον, ἐπάγει τὴν ῥοδοδάκτυλον "ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς" (Il. 1, 477). ἐν δὲ τῷ "ἠὼς μὲν κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν," τοῦ κίδνασθαι δηλοῦντος τὸ σκορπίζεσθαι, ὡς ἐν τῷ "σκίδναται κατὰ στρατόν," δύο ταῦτα τηρήσεως ἄξια ὑπεδείκνυεν, ἓν μὲν ὅτι ἐκίδνατο ἔφη πᾶσαν ἐπ' αἶαν, ὅπερ παράτασιν ἔχει, οὐ συντέλειαν, οἷον τὸ ἐσκεδάσθη. ἐπεὶ δὲ σφαιροειδοῦς ὄντος τοῦ κόσμου καὶ τῆς γῆς οὐχ ἅμα παρὰ πᾶσι κατὰ τὸ αὐτὸ ὁ

2. * κόλον μάχην] κολοβομάχην. Idem vitium in scholio 13, 745. 15, 479.

4. * Πορφυρίου] om.

14. εἴρηται] Supra p. 294 et 335.

16. καταλήψεως] καταλ"

ἥλιος ἀνατέλλει οὐδὲ κατὰ τὴν αὐτὴν ὥραν ἡ ἡμέρα ἀνίσταται, εἰκότως ἐκίδνατο ἔφη, τὴν ἐν παρατάσει ἄλλοτε πρὸς ἄλλους ἐπιβολὴν παριστὰς τῆς ἡμέρας καὶ πορείαν. ἕτερον δὲ πάλιν ἐσημειούμην, ὅτι σὺν τῷ ἀποτελέσματι καὶ τὸν κύριον τοῦ ἀποτελουμένου εἶναι βούλεται· ἡ μὲν γὰρ θεὸς κροκόπεπλος ὡς ἂν οὐσία ἔννυς τε καὶ ἔμψυχος καὶ ἐνσώματος, τὸ δὲ ἀπ' αὐτῆς φῶς σκεδάννυται περὶ τὴν γῆν. ὁ δὲ λαβὼν τὴν σωματοειδῆ θεὸν ἐν τῷ κροκόπεπλος συνήρτησεν αὐτὴν τῷ σκεδαννυμένῳ ἀπ' αὐτῆς φωτὶ, εἰπὼν αὐτὴν, ἀλλ' οὐχὶ τὸ ἀπ' αὐτῆς φῶς σκεδάννυσθαι· "ἠὼς μὲν κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν." οὐ γὰρ δήποτε ἡ σωματοειδὴς ἐπεπόρευτο, ἀλλὰ τὸ ἀπ' αὐτῆς ἡμερινὸν φῶς. ἀλλ' οἶδεν, ὅπου τὸ ἀποτέλεσμα, ἐκεῖ καὶ τὸ ἀποτελούμενον. ὅτι δὲ καὶ ἐπὶ τῶν ἄλλων οἶδε τὸ ποιοῦν καὶ τὸ ἀποτελούμενον, λάμβανε πρῶτον ἐπὶ τῆς νυκτὸς, τὸ μὲν ἀποτέλεσμα "νὺξ δ' ἤδη τελέθει, ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι" (Il. 7, 282), "αἱ δέ τοι νύκτες ἀθέσφατοι" (Od. 15, 391), "ἐκ νυκτὸς δ' ἄνεμοι χαλεποί" (Od. 12, 286), τὴν δὲ δεσπότιν "εἰ μὴ νὺξ δμήτειρα τε θεῶν ἐσάωσε καὶ ἀνδρῶν" (Il. 14, 259) "τὴν ἱκόμην φεύγων" (ib.) καὶ "ἄζετο γὰρ μὴ νυκτὶ θοῇ ἀποθύμια ἔρδοι" (ib.). οὕτω καὶ Ἥβη ἀποτέλεσμα καὶ θεὸς ταύτης προστάτις· "οἳ νῶϊν ἀγάσαντο παρ' ἀλλήλοισι μένοντες ἥβης ταρφθῆναι καὶ γήραος οὐδὸν ἱκέσθαι" (Od. 23, 211), τῆς νεότητος καὶ ἀκμῆς τῆς ἐν νεότητι σφριγώσης· "ὄφρ' ἥβῃ τε πεποίθεα χερσί τ' ἐμῇσιν" (Od. 8, 181)· "οὐδέ τί ἥβης δεύεται" (ib. 136)· ἐπὶ γὰρ πάντων τὰ ἀποτελέσματα λέγεται. ἐπὶ δὲ τῆς θεοῦ "μετὰ δέ σφισι πότνια Ἥβη νέκταρ ἐῴνοχόει" (Il. 4, 2)· "τὸν δ' Ἥβη λοῦσεν" (Il. 5, 905)· ἐν γὰρ τοῖς ἀγηράτοις καὶ ἀεὶ ἡβῶσιν οἰνοχόον τὴν Ἥβην καὶ ὑπηρέτιν ἐποίησεν. ἐκ τούτων λύσεις πῶς ἀγάστονόν τε λέγει τὴν Ἀμφιτρίτην, ὅταν εἴπῃ "καὶ εἴ ποθι μεῖζον ἔνεστι κῆτος, ἃ μυρία βόσκει ἀγάστονος Ἀμφιτρίτη" (Od. 12, 96), καὶ πάλιν κλυτόν ἐν οἷς φησὶν "ἦ ἔτι μοι καὶ κῆτος ἐπισσεύῃ μέγα δαίμων ἐξ ἁλὸς οἷά τε πολλὰ τρέφει" (Od. 5, 421). κλυτὸς μὲν γὰρ ἡ θεὸς, ἡ μεγάλη δαίμων, ἀγάστονος δὲ ἡ θάλασσα. οὕτως καὶ γῆ μὲν τὸ στοιχεῖον· "ἕλε γαῖαν ἀγοστῷ" (Il. 11, 425) καὶ "κάππεσεν ἐν γαίῃ·" ἡ δὲ θεός "ἴστω νῦν τόδε Γαῖα καὶ Οὐρανὸς εὐρὺς ὕπερθεν" (Il. 15, 36) καὶ

14. αἱ δέ τοι] Legitur αἵδε δὲ 16. δμήτειρα] δημήτερα (sic)

"Ιδη τε καὶ Ἦλιος καὶ Ἐρινύες" (Il. 19, 259). οὕτω καὶ Στυγὸς ὕδωρ λέγει τῆς δαίμονος τὸ Στύγιον ἀπ' αὐτῆς καλούμενον "καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ" (Il. 15, 37), ὥσπερ καὶ ποταμὸν λέγει δαίμονα Ἀλφειὸν καὶ Ἀξίον καὶ Σπερχειὸν, ὧν εἶναι καὶ γένος, καὶ Ξάνθον δινήεντα. καὶ ὅταν μὴ εἴπῃ τὸ ὄνομα τοῦ θεοῦ, τὸν εὐχόμενον ποιεῖ λέγοντα "κλῦθι, ἄναξ, ὅτις ἐσσί" (Od. 5, 445)· εὔχεται δὲ τῷ ποταμῷ, ὡς ἂν ἑκάστου ἔχοντος δαίμονα. ὁ δὲ καὶ ἐν ταῖς κρήναις οἶδε θεὰς, ἃς νύμφας καλεῖ· "νύμφαι κρηναῖαι κοῦραι Διός" (Od. 17, 240), καὶ ἄλλαι "νύμφαι ὀρεστιάδες κοῦραι Διός" (Il. 6, 420). οὕτω πεπληρῶσθαι θείων δυνάμεων Ὅμηρος ἡγεῖτο ἅπαντα.

*κροκόπεπλος δὲ ἡ Ἠὼς λέγεται ὅταν πολὺ σκότους ἔχῃ, ὀλίγον δὲ φωτός. τὸ δὲ ῥοδοδάκτυλος ἐναντίον. ποιητικὴ δέ ἐστιν ἡ περίφρασις, ὡς εἰ εἶπεν ἡμέρα μὲν γέγονεν. τὸ δὲ ἐκίδνατο ἐν παρατάσει· σφαιροειδὴς γὰρ οὖσα ἡ γῆ οὐ πᾶσα ὑφ' ἓν φωτίζεται.

2. Ζεὺς δὲ] εἰκότως νῦν ἄρχεται συμμαχεῖν Τρωσὶν ὁ Ζεὺς, ὁπότε τῆς παραβάσεως δίκην ἀπέτισαν Διομήδει καὶ Πάνδαρος ἀνῃρέθη καὶ Τρῶες ὡμολόγησαν τὴν παράβασιν δι' ὧν πέμπουσιν Ἰδαῖον ἀπολογούμενοι τοῖς Ἕλλησιν. αὔξει δὲ τὰ Ἑλλήνων ὁ ποιητὴς, εἴ γε καὶ ἐκκλησίας ἐδέησε τῷ Διί. ἐν δὲ τοῖς ἑξῆς καὶ κερανῶν δεῖται πρὸς τὴν ἧτταν αὐτῶν. καὶ ἐν ἄλλοις μὲν ποιεῖ ἐκκλησιάζοντας τοὺς θεοὺς, ἀλλ' ἁπλούστερον, ἐνταῦθα δὲ καὶ Ζεὺς συνάγει καὶ πρωτολογεῖ, τόπος τε ἀποδείκνυται τῇ ἀγορᾷ, ὡς δὴ καὶ περὶ μεγάλων καὶ ἀναγκαίων. δηλοῖ δὲ καὶ ἡ ἔωθεν ἀγορὰ τὸ παννύχιον αὐτὸν περὶ αὐτῆς ἐσκέφθαι· ἄλλως τε καὶ προεῖπε "παννύχιος δέ σφιν κακὰ μήδετο" (Il. 7, 478). μέγα οὖν εἰ ἐν τοιούτῳ καιρῷ κἂν ἀντέσχον οἱ Ἕλληνες.

*Πορφυρίου. ἀγορὴ καὶ ὁ τόπος ἔνθα ἀγορεύουσιν, ὡς τὸ "ἷζον δ' εἰν ἀγορῇ τετιηότες" (Il. 9, 13). ἀγορὴ καὶ ἡ δημηγορία καὶ ὁ λόγος, ὡς τὸ "ἀγορῇ δέ ἑ παῦροι Ἀχαιῶν νίκων" (Il. 15, 283). καὶ ἡ ἐκκλησία, ὡς τὸ "τῇ δεκάτῃ δ' ἀγορήνδε καλέσσατο" (Il. 1, 54). νῦν δὲ θεῶν ἀγορὴ, τῶν θεῶν ἄγυρις, ἡ συναγωγὴ καὶ τὸ ἄθροισμα, ὡς ἐν τῷ "κινήθη δ' ἀγορὴ ὡς κύματα μακρὰ θαλάσσης" (Il. 2, 144). τὸ δὲ ἄθροισμα ἐνίοτε ἀγῶνα καλεῖ, ὡς τὸ, "νεῶν ἐν

6. ὅτις] ὅστ̈ 27. * οἱ Ἕλληνες] οἱ om.
28. * Πορφυρίου] om.

ἀγῶνι" (Il. 15, 428), τῇ ἀθροίσει. πεποίηται δὲ οὐ παρὰ τὸ ἀγορεύειν ἢ τὸ ἄθροισμα δηλοῦσα ἀγορά, παρὰ δὲ τὸ ἀγείρεσθαι· "λαὸν ἀγείροντες" (Il. 11, 770) καὶ "οἱ μὲν ἐκήρυσσον, τοὶ δ' ἠγείροντο μάλ' ὦκα" (Il. 2, 52)· καὶ ἀθροιζόμενοι μὲν ἤγερθεν, ὁμοῦ δὲ γενόμενοι "ὁμηγερέες τε γένοντο" (Il. 1, 57). ἀλλὰ τὸ μὲν ἠγερέθοντο δηλοῖ τὸ καθ' ἕνα συνιόντες, τὸ δὲ ὁμηγερέες μετὰ τὸ ἀθροισθῆναι τοὺς καθ' ἕνα ὁμοῦ πάντας γενέσθαι· ὅτε οὖν ὁμοῦ συνηθροισμένοι ἐγένοντο οἱ καθ' ἕνα ἀθροισθέντες "τοῖσι δ' ἀνιστάμενος μετέφη πόδας ὠκὺς Ἀχιλλεύς" (ib. 58). οὐκ ἀπιθάνως δὲ οἱ τερπικέραυνον οὐ τὸν τερπόμενον τῷ κεραυνῷ ἀποδιδόντες, ἀλλὰ κατὰ μετάθεσιν τοῦ ρ̄ τὸν τρεπικέραυνον, τὸν τρέποντα τοὺς ἐναντίους τῷ κεραυνῷ, ὡς δρατὰ σώματα ἔφη (Il. 23, 169) τὰ δαρτὰ καὶ τὴν καρδίαν κραδίην. τὸ μέντοι ἀγορεύειν σημαίνει τὸ δημηγορεῖν, ὡς τὸ "τοῖσι δ' ἔπειθ' ἥρως Αἰγύπτιος ἦρχ' ἀγορεύειν" (Od. 2, 15), καὶ τὸ διαλέγεσθαι, ὡς τὸ "ὡς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον" (Il. 5, 274). ἀγείρειν καὶ ἤγειρα ἐπί τε τοῦ ἀθροίζειν, ὡς "λαὸν ἤγειρα" (Od. 2, 41), καὶ ἐπὶ τοῦ παροξῦναι, ὡς "Τρωσὶ θυμὸν ἀγεῖραι" (Il. 5, 510). καὶ τὸ κατ' ἔλλειψιν "ἤδη γάρ οἱ ἐφῆκα βέλος, ἤγειρα δὲ μᾶλλον" (Il. 5, 188 et 208) ἀντὶ τοῦ παρώξυνα.

τερπικέραυνος] ὁ τοῖς κεραυνοῖς τρέπων τοὺς ἐναντίους.

3. *φυσικῆς ἐξάπτεται θεωρίας καὶ ὅταν ὁ Ζεὺς εἰς τὸ αὐτὸ συναθροίσας ἅπαντας τοὺς θεοὺς ἄρχηται τῶν μεγάλων ἀπειλῶν, καθήμενος ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο, πρῶτος ἕστηκεν αὐτὸς, ἐπειδὴ τὴν ἀνωτάτω τάξιν, ὥσπερ ἐδηλοῦμεν, ἡ αἰθεριώδης ἐπέχει φύσις. σειρὰν δ' ἀπήρτησεν ἀπὸ τοῦ αἰθέρος χρυσῆν· οἱ γὰρ δεινοὶ τῶν φιλοσόφων περὶ ταῦτα ἀνάμματα πυρὸς εἶναι τὰς τῶν ἀστέρων περιόδους νομίζουσι. τὸ δὲ σφαιρικὸν ἡμῖν τοῦ κόσμου σχῆμα δι' ἑνὸς ἐμέτρησε στίχου, εἰπὼν "τόσσον ἔνερθ' Ἀΐδεω ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης." ἑστία δέ τις οὖσα καὶ κέντρου δύναμιν ἐπέχουσα καθίδρυται βεβαίως ἡ γῆ πᾶσα, κύκλῳ δ' ὑπὲρ αὐτὴν ὁ οὐρανὸς ἀπαύστοις περιφοραῖς εἱλούμενος ἀπ' ἀνατολῆς εἰς δύσιν τὸν ἀεὶ δρόμον ἐλαύνει. συγκαθέλκεται δὲ ἡ τῶν ἀπλανῶν σφαῖρα.

21. φυσικῆς —] Sunt haec ex Heraclito excerpta c. 36.

ἐξάπτεται] *ἅπτεται

24. ἀνωτάτω] ἀνωτᾶ

32. συγκαθέλκεται — ἀπὸ γαίης] Hanc partem scholii omisit Vill., quia in B aegre legi potest. Omnia clara et integra in codicibus Scorialensi et Harleiano.

πᾶσαί γε μὴν αἱ ἀπὸ τοῦ περιέχοντος ἀνωτάτω κυκλοφορούμεναι πρὸς τὸ κέντρον εὐθεῖαι κατ' ἀναγωγὰς εἰσιν ἀλλήλαις ἴσαι. διὰ τοῦτο γεωμετρικῇ θεωρίᾳ τὸ σφαιρικὸν σχῆμα διεμέτρησεν εἰπὼν "τόσσον ἔνερθ' Ἄϊδεω ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης."

4. ἡ ὑπὸ πρὸς τὸ ἤκουον· διὸ οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν, ἀλλὰ πρὸς τὸ πειθαρχικὸν χρὴ νοεῖν· ὑπακούειν γάρ ἐστι τὸ τὰ λεγόμενα πράσσειν ἀκούοντας, ἑκόντας ἢ ἄκοντας.

5. πάντες] κοινοποιεῖται τὸ βούλευμα, ἵνα μὴ λυπήσῃ τοὺς Ἀχαϊκούς. τὸ δὲ θέαιναι δι' Ἥραν καὶ Ἀθηνᾶν.

*Πορφυρίου. ἐν τῇ Διὸς δημηγορίᾳ τῇ οὕτως ἐχούσῃ "κέκλυτέ μευ πάντες τε θεοὶ πᾶσαί τε θέαιναι," ὅτι μὲν ἄξιον διὰ τὴν τῶν Ἀχαιῶν ἀρετὴν ἐκκλησίας θεῆσαι ὑπελήφθη τῷ Διί, ἐν δὲ τοῖς ἑξῆς καὶ ὄμβρων καὶ κεραυνῶν, ἵνα ἠττηθῶσι, καλῶς εἴρηται καὶ ἐν ἄλλοις, καὶ ὅτι βούλεται μὲν εἴργειν τῆς συμμαχίας τὴν Ἥραν καὶ τὴν Ἀθηνᾶν, ἃς οἶδε μάλιστα τῇ γνώμῃ αὐτοῦ ἐναντιωθησομένας, κοινὸν δὲ ποιεῖται περὶ πάντων τῶν θεῶν τὸν λόγον καὶ τῶν Τρωσὶν ἐπαμυνούντων, ἵνα μὴ ταύταις ἀντιπράττειν μόναις δοκῇ· διὸ καὶ μάλιστα ἀποτείνεται τὸν λόγον πρὸς τὰς θηλείας "κέκλυτέ μευ πάντες τε θεοὶ πᾶσαί τε θέαιναι," καὶ ἀπὸ τῶν θηλειῶν ἄρχεται "μήτε τις οὖν θήλεια θεὸς τό γε μήτε τις ἄρσην." καὶ μὴν κἀκεῖνο λύεται καλῶς. πῶς γὰρ ὑπεσχημένος ὁ Ζεὺς τοῖς Τρωσὶν ἐπικουρίαν οὐκ εὐθὺς ἐποίησε νικῶντας αὐτοὺς κατὰ τὴν πρώτην τῆς Ἰλιάδος ἀρχήν, ἀλλὰ νῦν μετὰ ἧτταν καὶ τοσοῦτον τῶν Τρώων φόνον; ἔδει γὰρ αὐτοὺς πρότερον, φασίν, ἀντὶ τῆς τῶν ὅρκων παραβάσεως δοῦναι δίκην. ἃ γὰρ ὁ ποιητὴς ἐφρόνει, ταῦτα ποιεῖ τινὰ λέγοντα· λέγει γὰρ ὁ Ἀγαμέμνων "Ζεὺς δέ σφιν Κρονίδης ὑψίζυγος, αἰθέρι ναίων, αὐτὸς ἐπισείῃσιν ἐρεμνὴν αἰγίδα πᾶσιν τῆσδ' ἀπάτης κοτέων" (Il. 4, 166). ἅμα δὲ καὶ ἠθέλησεν ἀλκιμωτέρους Ἕλληνας ἐπιδείξας, τότε τοῖς Τρωσὶ τὴν παρὰ τοῦ Διὸς βοήθειαν ἐπαγαγεῖν. καὶ τὸ ὁμοειδὲς δὲ ἐφυλάξατο· ἦν γὰρ ὁμοειδὲς Τρωσὶ μάχῃ παραγαγεῖν τοὺς Ἕλληνας ἠττωμένους· ποικίλλειν γὰρ θέλει. ὅθεν ἐν μὲν τῇ προτέρᾳ μάχῃ ἀμφοτέροις βοηθοῦντας ἐποίησε τοὺς θεούς, ἐν αὐτῇ δὲ μόνον τὸν Δία τοῖς βαρβάροις. εἶτα πάλιν ἐρεῖ "ἀμφοτέροισι δ'

1. ἀνωτάτω κυκλοφορούμεναι] ἄνω καὶ κάτω κύκλου φορούμεναι Mehlerus p. 74.

2. εὐθεῖαι Mehlerus] εὐθεῖαι καὶ

10. *Πορφυρίου] om.

ἀρήγεθ' ὅπη νόος ἐστὶν ἑκάστου" (Il. 20, 25). οὕτως ἐθηρᾶτο τὸ ποικίλον. ταῦτα μὲν οὖν εἴρηται. τί δὲ δηλοῦν ἐθέλει "ἀλλ' ἅμα πάντες αἰνεῖτ', ὄφρα τάχιστα τελευτήσω τάδε ἔργα," οὐ πάντως παρέστησεν· ποῖα γὰρ ἔργα τελευτήσει οὐ παρέστησεν ὁ Ζεύς, ἀλλ' ἐν ἀσαφεῖ εἴασεν· λέγει δὲ ἃ ἐγὼ ἐργάζεσθαι μόνος βούλομαι, πρὸς ἃ καὶ παρακελεύεται μηδένα ἀντιπρᾶξαι τῶν θεῶν. ἐργάσασθαι δ' ἠβούλετο εἰς τέλος "ὡς Ἀχιλῆα τιμήσῃ, ὀλέσῃ δὲ πολέας ἐπὶ νηυσὶν Ἀχαιῶν" (Il. 2, 3)· ἔφη γὰρ "οὐ γὰρ ἐμὸν παλινάγρετον οὐδ' ἀπατηλὸν οὐδ' ἀτελεύτητον, ὅ τί κεν κεφαλῇ κατανεύσω" (Il. 1, 526). ταῦτα οὖν ἔφη, ὄφρα τάχιστα τελευτήσω τάδε ἔργα, εἰς τέλος ἀγάγω. καὶ ἡ παροιμία "μήπω μέγ' εἴπῃς, πρὶν τελευτήσαντ' ἴδῃς," ἤγουν μὴ θαυμάσῃς τὸν μέγα ἐπαγγελλόμενον. ἀσαφῆ δὲ ἐάσας ὅσα ἐξεπίτηδες ἔφη τάχιστα ἐκτελέσειν, ὡς σαφῶς εἰπὼν ἐπάγει "ὃν δ' ἂν ἐγὼν ἀπάνευθε θεῶν ἐθέλοντα νοήσω" καὶ τὰ ἑξῆς. ὅθεν οὐκ ἔστι περισσὸν τὸ ὃν δ' ἂν ἐγώ, οὐδ' ἐντεῦθεν ἄρχεται τοῦ λόγου, ἀλλ' ἐκ τοῦ "αἰνεῖτ', ὄφρα τάχιστα τελευτήσω τάδε ἔργα." ᾧ ἀκόλουθον ὡς δηλώσαντος τὸ βούλημα τὸ "ὃν δ' ἂν ἐγὼν ἀπάνευθε θεῶν ἐθέλοντα νοήσω." λέγουσι δὲ κἂν τούτῳ περιττεύειν τὸ ἐθέλοντα· ἔδει γὰρ "ὃν δ' ἂν ἐγὼ νοήσω ἐλθόντα Τρώεσσιν ἀρηγέμεν." οὐκ ἔστι δὲ περισσὸν, ἀλλ' ἔστιν ἡ διάνοια, ὃν δ' ἂν ἐγὼ νοήσω ἢ Τρώεσσι θέλοντα ἀρηγέμεν, ἢ Δαναοῖσιν ἐλθόντα.

7. θεὸς] τὸ θεός κοινὸν, ᾧ ἀντὶ ἄρθρου παραπέπλεκται τὸ θήλεια καὶ ἄρσην.

ἀπὸ τῶν θηλειῶν ἄρχεται, ὑπονοῶν αὐτῶν τὸ θορυβῶδες καὶ ἄτακτον· ἧττον γὰρ αἱ ἄρρενες ἢ αἱ θήλειαι ταραχώδεις εἰσί. ταῦτα δὲ δι' Ἥραν καὶ Ἀθηνᾶν φησίν.

8. διακέρσαι] διακόψαι· ὅθεν καὶ κέρμα τὸ εἰς μικρὰ διακεκομμένον. ἐμὸν δὲ ἔπος τὴν ἐμὴν φησιν ἐπαγγελίαν ἣν ὑπεσχόμην Θέτιδι. πρόθυμος δέ ἐστι, δεικνὺς οἵους δεῖ περὶ τὰς ὑποσχέσεις εἶναι.

9. τάχιστα] σπεύδει γὰρ ἐξαγαγεῖν Πάτροκλον καὶ τιμῆσαι Ἀχιλλέα. ποῖα δὲ ἔργα φησί; τὸ τιμῆσαι μὲν αὐτὸν, πολλοὺς δὲ τῶν Ἑλλήνων ἀπολέσαι. πιθανῶς δὲ οὐκ ἐπεξηγεῖται αὐτά.

10. τὸ ἑξῆς οὕτως· ὃν ἂν ἐγὼ ἴδω τῶν θεῶν χωρὶς ἐμοῦ καὶ δίχα

11. παροιμία] Apud Sophoclem fr. 583 b.

22. *παραπέπλεκται] παρέπλεκται

τῆς ἐμῆς ἐπιτροπῆς ἐλθόντα εἰς τὴν μάχην καὶ θέλοντα τοῖς Τρωσὶν ἢ τοῖς Ἕλλησι βοηθῆσαι. τὸ γὰρ κοινὸν οὐ λυπεῖ τινά.

12. ἄμεινον ὑποστίζειν εἰς τὸ πληγείς, καὶ ἔστιν ἀντὶ τοῦ κεραυνωθείς. διδάσκει δὲ ὡς οἱ παραβαίνοντες τὰ τῶν ἀρχόντων θεσπίσματα κολαστέοι εἰσίν.

13. ἐς Τάρταρον] ἐναντίος Ὀλύμπῳ ὁ Τάρταρος· ὁ μὲν γὰρ οὔποτ' ἀνέμοισι τινάσσεται οὐδέ ποτ' ὄμβρῳ (Od. 6, 43), οὗτος δὲ τετάρακται καὶ ψυχρὸς εἶναι δοκεῖ· ὅθεν καὶ τὸ σφόδρα ῥιγοῦν ταρταρίζειν φασί. καὶ ὁ μὲν ὅλος καταλάμπεται, ὁ δὲ ἠροειδής ἐστιν.

14. βέρεθρον] οἱ Ἀττικοὶ βάραθρον αὐτό φασιν. πῶς δὲ δύναταί τις ἐκεῖσε κατελθεῖν; φαμὲν δὲ ὅτι οἱ ἀπειλοῦντες τὰ ἀδύνατα σχεδὸν ἀπειλοῦσι πρὸς κατάπληξιν.

15. ἔνθα σιδήρειαί τε πύλαι] κολαστήριον γάρ ἐστι φυλάσσον τοὺς δεσμώτας· καὶ "πυλάρταο κρατεροῖο" (Π. 13, 415). φοβερὰν δὲ δείκνυσι τὴν ἄνοδον διὰ τούτου.

16. τὰ οὐράνια, ὥς φησι, τρία διαστήματα ἔχει, ἀέρα μέχρι νεφελῶν, εἶτα αἰθέρα μέχρι τῶν φαινομένων καὶ τῆς Διὸς ἀρχῆς· οὕτω καὶ ἀπὸ τῆς γῆς εἰς Ἅιδου, ἀπὸ δὲ Ἅιδου εἰς τὸν Τάρταρον. δῆλον δὲ ὡς τὸ μέσον κέντρον ἐστὶν ἡ γῆ. ἔδει δὲ εἰπεῖν, τόσσον ἔνερθε γῆς ὅσον ἀπ' αὐτῆς εἰς οὐρανόν. τάχα οὖν τὸ Ἀΐδεω ἀπὸ τῆς ἀρχῆς τοῦ Ἅιδου φησίν.

18. πειρήσασθε] τῷ ἀποτόμως ἀπειλοῦντι καὶ τὴν ῥώμην οὐκ ἄτοπον ἐνδείκνυσθαι.

εἰ βούλεσθε, φησὶ, τὴν διαφορὰν γνῶναι, πειράθητε. μεγάλα δὲ ὄντα τὰ προστάγματα μείζοσιν ὑπερβολαῖς ἐπιστώσατο. τοῦτον δὲ καὶ τὸν ἑξῆς συνάπτει Νικάνωρ· εἰς δὲ τὸ κρεμάσαντες τελείαν τίθησιν.

22. πάντες] ταῦτά φησι δεικνὺς ὡς οὐ καθ' ἕνα, συλλήβδην δὲ πάντων κρείττων ἐστίν.

Ἀλλ' ὕπατον μήστωρ'] δείκνυσιν οἷς δεῖ κοσμεῖσθαι τὸν ἄρχοντα, ῥώμῃ καὶ συνέσει.

24. αὐτῇ κεν γαίῃ] λείπει ἡ σύν, ὡς τὸ "αὐτῇσι ῥίζῃσι" (Π. 9, 542). πιθανῶς δὲ οὐ μόνους εἶπεν ἀνασπάσειν θεούς, ἀλλὰ καὶ τὸν περιέχοντα αὐτοὺς τόπον τὸν Ὄλυμπον.

17. φαινομένων] φερομένων

25. περὶ δίου Οὐλύμποιο] ἵνα αὐτὸ δεσμεύσας καὶ τὰ λοιπὰ ἐπάρῃ, συνερριζωμένης αὐτῷ μὲν τῆς γῆς, τῇ δὲ γῇ τῆς θαλάττης.

27. περί τ' εἰμὶ θεῶν περί τ' εἴμ' ἀνθρώπων] ἔδει μὲν τὸ ἀσθενέστερον προτάξαι· ἀλλ' ἢ τὸ μέτρον αἴτιον ἐγένετο, ἢ τοὺς θεοὺς εὐτελίζων τοῦτό φησιν.

30. Ἀθήνη] πιθανῶς οὐχ ἡ Ἥρα λέγει· ἐξεκαίθη γὰρ ἂν μεγάλη ἔρις, εἰωθυίας ἀεὶ πρὸς τὸν Δία ἀντιλέγειν. Ἀθηνᾶ δὲ μετ' αἰδοῦς τῷ πατρὶ διαλέγεται μετριώτερον, οὐχ ὡς ἡ Ἥρα φθεγγομένη. ἄλλως τε καὶ τοῖς προοιμίοις αὐτὸν ἐξαίρει, καὶ τὰ μὲν κελευσθέντα φησὶν ἀποπληροῦν, ὑποθήκης δὲ ἀξιοῖ μὴ φθονῆσαι, καὶ ταῦτα οὐχ ἵνα αὐτῷ ἐμποδίσῃ, ἀλλ' ἵνα μὴ πάντες ἀπόλωνται.

31. μετρίοις χρῆται λόγοις· πατέρα γὰρ αὐτὸν ἐν προοιμίοις ἀποκαλεῖ καὶ τῶν ἄλλων θεῶν μέγιστον, καὶ τῇ ὑπεροχῇ ἣν ἔχειν βούλεται μαρτυρεῖ συντόμως αὐτή.

33. ἀλλ' ἔμπης Δαναῶν] ὁ μὲν οὐκ ἐγύμνωσεν ἑαυτοῦ τὴν γνώμην ὅτι τοῖς Τρωσὶν ἐπικουρεῖν θέλει, ἀλλ' ἀμφοτέροις βοηθεῖν ἐκέλευσε κωλύειν· ἡ δὲ ξυνεῖσα ἤλεγξεν αὐτοῦ τὴν προαίρεσιν.

34. κακὸν οἶτον] διὰ τὸ εἶναι κακὸν ἄχθεται, οὐχ ὅτι μόνον ἀπολοῦνται· ὃ καὶ οἶκτον κινεῖ.

36. βουλὴν δ'] τὸ μὲν ἐπαμῦναι ἔργῳ ἐναντίωσιν ἔχει τοῦ Διός· τὸ δὲ λόγῳ πρὸς τὸ μὴ πάντας ἀπολέσθαι, ἀλλὰ δεηθῆναι Ἀχιλλέως καὶ αὐτὸς θέλει.

39. Τριτογένεια] Μῆτιν τὴν Ὠκεανοῦ, ὥς φασιν, εἰς πολλὰ τὴν μορφὴν ἀμείβουσαν βουλόμενος ὁ Ζεὺς παρ' ἑαυτῷ ἔχειν, κατέπιεν ἔγκυον οὖσαν ὑπὸ Βρόντου τοῦ Κύκλωπος· τελεσφορηθείσης δὲ τῆς παιδὸς, ὁ Ζεὺς διὰ τῆς κεφαλῆς τεκὼν δίδωσι τῷ Τρίτωνι τῷ ποταμῷ τρέφειν. ὅθεν Τριτογένεια ἐκλήθη ὡς ἐκ τριῶν συναυξηθεῖσα, Βρόντου Διὸς Τρίτωνος. Δημόκριτος δὲ ἐτυμολογῶν τὸ ὄνομα φησὶν ὅτι φρόνησίς ἐστιν ἀφ' ἧς τρία συμβαίνει ἀπογεννᾶσθαι ἀγαθὰ, εὖ λογίζεσθαι, λέγειν καλῶς, πράττειν ἃ δεῖ. ἢ ὅτι τρίτῃ φθίνοντος ἐτέχθη. καὶ παροιμία "παῖς μοι τριτογενὴς εἴη, μὴ τριτογένεια." ἀρρενώδεις γὰρ αἱ τοιαῦται γυναῖκες.

40. πρόφρονι] ἀντὶ τοῦ ὑπέρφρονι, ὡς "πρὸ παίδων καὶ πρὸ γυναικῶν" (57), ὁ λόγος οὖν οὗτος· οὐ βούλομαί σοι τυραννικὴν

16. ἐκέλευσε κωλύειν] * ἐκώλυσεν
17. * ξυνεῖσα] ξυνιεῖσα
30. * τρίτῃ] om.
31. * μὴ] ἢ

ἀπήνειαν, ἀλλὰ βασιλικὴν ἐνδείκνυσθαι προσήνειαν. δείκνυσι δὲ ὅσον δύνανται λόγοι εὐμενεῖς καίτοι παιδὸς πρὸς πατέρα.

41. ὑπ' ἔχεσφι τιτύσκετο] οἰκεῖον τῷ ἀπειλοῦντι τὸ αὐτουργεῖν.

43. χρυσὸν] τὴν αἰγίδα φησὶν, ὡς καὶ ἀλλαχοῦ "περὶ δ' αἰγίδι πάντα κάλυψε χρυσείῃ" (Il. 24, 20).

46. οὐδέποτέ φησιν ἀπ' Ὀλύμπου ἀστερόεντος· ἔνθεν δῆλον ὅτι Ὄλυμπος οὐ τὸν οὐράνιον τόπον δηλοῖ, ἀλλὰ τὸν ὑπ' οὐρανόν.

47, 48. Ἴδην — Γάργαρον] ἐν ὑπερβατῷ, οἷον Ἴδην Γάργαρον ἀντὶ τοῦ ἐς Γάργαρον Ἴδης, ὡς τὸ "ἡ δ' ἄρα Κύπρον ἵκανεν ἐς Πάφον" (Od. 8, 362). ἔστι δὲ καὶ Γάργαρος πόλις.

47. ἁρμόδιον δὲ τῷ ὄρει τὸ μητέρα θηρῶν· λέγεται γὰρ ὄφεις ἐνεγκεῖν, οἳ τῷ μεγέθει τοὺς ἐλάφους ἀναιροῦσιν, εἰλούμενοι περὶ τὰ σκέλη καὶ τοὺς αὐχένας, καὶ τοῖς δένδροις προσαρτῶντες αὐτοὺς, καὶ οὕτω διαφθείροντες.

51. κύδεϊ γαίων] τῇ ἑαυτοῦ ἐνηδόμενος δόξῃ καὶ ἀρετῇ.

53. *Πορφυρίου. δεῖπνον λέγεται καὶ τὸ ἐξ ἑωθινοῦ ἀκράτισμα, ὡς νῦν ἐν τοῖς προκειμένοις, καὶ τὸ ὑφ' ἡμῶν λεγόμενον ἄριστον, ὡς ἐν τῷ "ἦμος δὲ δρυτόμος περ ἀνὴρ ὡπλίσατο δεῖπνον" (Il. 11, 86). καὶ πάλιν ἄριστον τὸ ἀκράτισμα· "ἐντύναντο ἄριστον" (Il. 24, 124). τὸ δ' ἐν τοῖς προκειμένοις "ἀπὸ δ' αὐτοῦ θωρήσσοντο" οὐκ ἔστιν ὑπερβατὸν, ὥς τινες, ἀπεθωρήσσοντο δὲ αὐτοῦ, ἀλλά φησιν ἀπὸ τοῦ δείπνου ἐθωρήσσοντο. καὶ ἔστι πεζοτέρα ἡ φράσις, καὶ διὰ τοῦτο λανθάνει τὸ νόημα.

56. καὶ πῶς φησὶ "πολλέων ἐκ πολίων;" νῦν οὖν τοὺς ἰθαγενεῖς φησί. διὸ καὶ τὸ "πρό τε παίδων καὶ πρὸ γυναικῶν." ἢ ἑαυτῶν ἥττους γενόμενοι διὰ τὸν θάνατον. ἀναγκαίως δὲ καὶ τὸ μέμασαν ἐπιφέρει, ἵνα μὴ νομίσωμεν αὐτοὺς ἐπτηχότας ἐξιέναι διὰ τὴν προγενομένην ἧτταν.

58. *Πορφυρίου. πᾶσαι δ' ὠίγνυντο πύλαι, ἐκ δ' ἔσσυτο λαός] οὐ λέγει περὶ τῶν ἐν Ἰλίῳ πυλῶν μόνον, ἀλλὰ καὶ περὶ τῶν ἐν τῷ ναυστάθμῳ τῶν Ἑλλήνων, οὐδὲ λαὸν τὸν Τρωϊκὸν μόνον, ἀλλὰ καὶ τὸν Ἑλληνικόν· τούτῳ γὰρ ἀκόλουθον καὶ τὸ "οἱ δ' ὅτε δή ῥ' ἐς χῶρον ἔνα ξυνιόντες ἵκοντο." εἶτα ἐπάγει ὅτι συνέβαλλον παντάπασι τὰς ἀσπίδας ταῖς ἀσπίσι, τὰ ἔγχη τοῖς ἔγχεσι, τὰς δυνάμεις ταῖς

16 et 29. *Πορφυρίου] om. κειμένῳ πῦρ
19. ἄριστον Vill.] ἄριστον ἄμ' ἠοῖ 34. ταῖς ἀσπίσι Bekk.] ταῖς om.

δυνάμεσι. καὶ ἀναλαμβάνει αὐτὰ "ἀσπίδες ὀμφαλόεσσαι ἔπληντ' ἀλλήλῃσιν" ἔψαυον γὰρ ἀλλήλων, τουτέστιν αἱ μὲν τῶν Τρώων ταῖς τῶν Ἑλλήνων.

62. ἐξ ἐπαναλήψεως αἱ ἀσπίδες· καὶ γὰρ καὶ ῥινοὺς τὰς αὐτάς φησι. τὸ δὲ ἔπληντο πρὸς φαντασίαν τῶν ῥηθησομένων· ὅμοιον δέ ἐστι τῷ, "ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε" (Il. 13, 131). πρὸ δὲ τοῦ κατὰ μέρος ἐξαίρει τὸν τῶν ἀκροατῶν νοῦν.

66. τὴν μέχρι μεσημβρίας λέγει αὔξησιν, ὡς σφαιροειδῶς τῷ οὐρανῷ προσαναβαίνοντος τοῦ ἡλίου. ἱερὸν δὲ διὰ τὸ ἐν τούτῳ τοῖς θεοῖς θύειν· τὸ γὰρ μεσημβρινὸν τοῖς κατιχομένοις ἐνέμετο. πρὸς πίστιν δὲ καὶ τὸν καιρὸν ἔλαβεν. ἠὼς δὲ σημαίνει τὸν ὄρθρον, καὶ τὴν ἕως ἕκτης, καὶ τὴν ἡμέραν. εἰς τρία δὲ διαιρεῖ τὴν ὅλην περίοδον τῆς ἡμέρας· "ἦ ἠὼς ἦ δείλη ἦ μέσον ἦμαρ" (Il. 21, 211).

68. γινώσκει καὶ μεσουράνημα, ὃ καὶ νῦν δηλοῖ· ἔστι δὲ τὸ ἴσον ἀπόστημα ἀνατολῆς τε καὶ δύσεως. δείκνυσι δὲ διὰ τοῦ ἀμφιβεβήκει ὅτι μείζων ὁ ἥλιος τοῦ οὐρανοῦ· τὸ γὰρ ἀμφιβῆναι μείζονός ἐστι περὶ ἔλαττον, ὡς λέγοντες μὲν σκύμνοις περιβαίνουσι, κύνες δὲ σκύλαξιν.

69. *τάλαντα] ποιητικῶς τὸ δισταζόμενον ἐπανάγει τῷ ζυγῷ. οἱ Στωϊκοὶ δέ φασιν ὡς ταυτὸν εἱμαρμένη καὶ Ζεύς. διττὸν δὲ τὸ τῆς Μοίρας ἀπαράβατον, ὡς τὸ δεῖ θνητὸν ὄντα ἀποθανεῖν, οὗ οὐδὲ Ζεὺς κρατεῖ, ὡς ἐπὶ Σαρπηδόνος· τὸ δὲ ταχὺ ἢ βραδύ, ὡς ἐπὶ Ἀχιλλέως, οὗ κρατεῖ Ζεύς. ταῦτα μὲν οὖν λεγόμενα ἔχει φαντασίαν, δρώμενα δὲ οὐδέν ἐστι διὰ τὸ σύνηθες.

70. *Πορφυρίου. πῶς δύο κῆρας ἐντίθησιν ὁ Ζεὺς ὥσπερ ἀνὰ μίαν ἑκατέρου στρατοῦ, ἐν δὲ τοῖς ἑξῆς (73) πλείους αὐτάς φησιν "αἱ μὲν Ἀχαιῶν κῆρες;" ὅτι αἱ δύο καὶ πολλαὶ ἂν εἶεν· λέγομεν γοῦν διττὰ πράγματα. πλειόνων δὲ ἔμφασιν διδόντος τοῦ ὀνόματος, εἰκότως ἐν τῇ μεταλήψει πλέονας εἶπεν. ἔστι δὲ τὸ σχῆμα συνεκδοχικῶν σχημάτων ἕν. κὴρ δὲ εἴρηται παρὰ τὸ καίω. διὰ πυρὸς γὰρ ἐθάπτοντο. εἰ δὲ τὴν ψυχὴν δηλοῖ, παρὰ τὸν κηρόν· δίκην γὰρ αὐτοῦ τὰ μαθήματα ἐν ἑαυτῇ ἀπομάττεται.

*Πορφυρίου. πρὸς Αἰσχύλον ψυχοστασίαν γράψαντα· καὶ τὸ κῆρ

8. *τὴν] τὸ
16. *τοῦ] om.
25. *Πορφυρίου] om.
33. *Πορφυρίου] om. sed habet lemma ἐν δ' ἑτέῃ δύο κῆρε

ἀκούσαντα οὐκ ἐπὶ τῆς Μοίρας λεγόμενον, ἀλλ' ἐπὶ τῆς ψυχῆς, ὅτι θηλυκῶς μὲν ἡ κήρ τὴν μοῖραν δηλοῖ, οὐδετέρως δὲ τὸ κῆρ καὶ περισπωμένως τὴν ψυχήν, ὃ διαιρεῖται εἰς κέαρ. εἰ δὲ ἔλεγε τὴν ψυχήν, οὐκ ἂν ἔφησε δύο κῆρε διὰ τοῦ ε, ἀλλὰ δύο κῆρα διὰ τοῦ α. καὶ αὐτὸς δὲ ἐξηγήσατο τίς ἡ κήρ, εἰπὼν "ῥέπε δ' αἴσιμον ἦμαρ 'Αχαιῶν·" ἀντὶ γὰρ τοῦ φάναι ῥέπε δὲ ἡ κὴρ τῶν 'Αχαιῶν, μεταλαβὼν ἔφη "ῥέπε δ' αἴσιμον ἦμαρ 'Αχαιῶν·" ἡ κὴρ δὲ εἴληπται οὐχ ἑνὸς τῶν Ἑλλήνων μία, ἀλλὰ πάντων, οὐδὲ Τρώων ἑνὸς μία, ἀλλὰ πάντων, διὸ καὶ ἐπάγει "αἱ μὲν 'Αχαιῶν κῆρες." ὡς ἡ ἵππος τῶν πολεμίων σημαίνει τὸ πλῆθος, οὕτως ἡ κὴρ τῶν Ἑλλήνων αἱ κῆρες ἦσαν. καὶ τὸ ἐπὶ χθονὶ ἕζεσθαι τὸ πρὸς γῆν ῥέψαι δηλοῖ, τὸ δ' ἐς οὐρανὸν ἀρθῆναι τὸ ὑπερτέραν γενέσθαι. συμβολικῶς δὲ λαμβάνει τὰ μὲν ῥέποντα πρὸς τὰ χθόνια θανατικά, τὰ δὲ πρὸς τὸν οὐρανὸν ζωτικά· ζωηφόρα γὰρ τὰ οὐράνια, θανατηφόρα δὲ τὰ χθόνια. ὅπερ ἀγνοήσαντές τινες ἠθέτησαν τὰ ἔπη ἐν οἷς φησὶν "αἱ μὲν 'Αχαιῶν κῆρες ἐπὶ χθονὶ πουλυβοτείρῃ ἕζέσθην, Τρώων δὲ πρὸς οὐρανὸν εὐρὺν ἄερθεν," νομίσαντες ὅτι τὸ ἑζέσθην δυϊκόν ἐστιν, ὡς ἀποδεξαμένων τινῶν ὅτι ἀνὰ δύο τίθησι κῆρας εἰς τὸν ζυγόν. οὐ σημαίνει δὲ τὸ ἑζέσθην, ἀλλ' ἀντὶ τοῦ ἕζοντο, ὡς "μιάνθην αἵματι μηροί" (Il. 4, 146)· ἀντὶ γὰρ τοῦ ἐμιάνθησαν ἐπὶ πληθυντικοῦ κεῖται· εἰ γὰρ ἦν ἐπὶ δυϊκοῦ, ἔφη ἂν μιανθήτην ὡς κλινθήτην καὶ ἡσθήτην. ἑζέσθην οὖν ἀντὶ τοῦ ἕζεσθεν, ὅπερ ἀντὶ τοῦ ἐζέσθησαν, ὡς τὸ ἐκόσμηθεν ἀντὶ τοῦ ἐκοσμήθησαν.

72. αἴσιμον ἦμαρ] οὐκ ἄρα, φησὶν, ἐχαρίσατο τῇ Θέτιδι, εἰ μοιρίδιον ἦν. φαμὲν δὲ ὅτι εἰς ἐπίτασιν τῆς Μοίρας καὶ αὐτὸς ὁπλίζεται κατ' αὐτῶν· ὅπερ ἦν τῆς χάριτος.

73. αἱ μὲν 'Αχαιῶν κῆρες] ὅμοιόν ἐστι τῷ "δύω δέ τε θύραι εἰσὶν, αἱ μὲν πρὸς Βορέαο καταιβαταὶ ἀνθρώποισιν" (Od. 13, 109), οἷον δύο μὲν τὰ μέρη, ἀρκτικὸν καὶ μεσημβρινὸν, καὶ δύο θυρῶν ἔξοδοι, εἰς δὲ τὸ κατὰ μέρος πλείονες αἱ κῆρες. ἀπὸ μὲν οὖν τοῦ ζυγοῦ τὸ μέγεθος τοῦ ταλαντεύοντος δηλοῖ· ἐπειδὴ δὲ τὰ ἐπίγεια θνητὰ, τὰ μὲν δυστυχῆ πλησιάζει τῇ γῇ, τὰ δὲ εὐτυχῆ μετεώρῳ τῇ πλάστιγγι ἕπεται. τὸ δὲ ἑζέσθην ἀντὶ τοῦ ἕζεσθεν ὡς ἄερθεν· ὅμοιον δέ ἐστι τῷ "μιάνθην αἵματι μηροί" ἀντὶ τοῦ ἐμιάνθησαν.

24. * φησ'ν] φασὶν

75. *Πορφυρίου. πῶς ἔφη τὸν κεραυνὸν σέλας δαιόμενον; σέλας μὲν γὰρ ἡ φωτὸς ἔλλαμψις· καυθεῖσα δὲ καὶ ἐκπυρωθεῖσα κεραυνὸς γίνεται, καὶ οὐκ ἀστραπὴ μόνον.

τὸ σέλας δηλοῖ τὴν ἔλλαμψιν· βουλόμενος οὖν εἰπεῖν ὡς οὐκ ἦν ἀστραπὴ τὸ γενόμενον, ἀλλὰ κεραυνὸς μετὰ τὴν βροντήν, προσέθηκε τὸ δαιόμενον· ἡ γὰρ πρὸ βροντῆς ἀστραπὴ οὐ κεραυνός· μετὰ γὰρ τὴν βροντὴν ὁ κεραυνὸς, ὅς ἐστι καυστικός.

77. καὶ πάντας] δαιμονίαν ὑποφαίνει τῶν Ἀχαιῶν τὴν φυγήν, αὔξων αὐτούς· ἑτέρου γὰρ ὑποχωροῦντος καὶ οἱ λοιποὶ τοῦτο ποιοῦσι. δόξαν γὰρ ἔχουσι περὶ αὐτῶν ὡς οὐδείς ἐστι φυγοπόλεμος, ἀλλ' ἕνα θυμὸν ἔχουσιν. ὅταν οὖν ἴδωσι τοὺς ἀρίστους ὑποχωροῦντας, οὐκ ἐξ ἀναλκίας ὑποπτεύουσι φεύγειν, ἀλλὰ θεομηνίαν νοοῦσιν εἶναι· ὃ γέγονε καὶ νῦν.

78. ἔνθ' οὔτ' Ἰδομενεὺς] ὡς φιλέλλην παρατρέχει τὰ δυσχερῆ, ἐπ' ὀλίγα πρόσωπα τὴν ἧτταν φέρων. καὶ ἡ ἐκλογὴ δὲ τῶν ὀνομάτων θεραπεύοντός ἐστι τὴν φυγήν· οὐ γὰρ εἶπεν ἔφυγον, ἀλλὰ περιπετείᾳ τινὶ περιέπεσον. ἐκφαίνει δὲ ὅτι βουλόμενοι κακοῖς ἀγωνίζεσθαι ὑπὸ τοῦ Διὸς ἐπηρεάζονται.

80. οὖρος] μεταφορικῶς ὁ ἄνεμος· δι' αὐτοῦ γὰρ ἰθύνεται τὰ πράγματα, καὶ εἰ οὗτος ἀπολεῖται, συναπόλλυσι σχεδὸν τὸ πᾶν. οὐκ εἰσάγει δὲ αὐτὸν ἀναιροῦντα διὰ τὸ ἀπίθανον· ἀλλ' οὐδὲ πάσχοντά τι διὰ τὴν ἐξαίρετον φυλακὴν περὶ αὐτόν. οὐ τυχόντα δὲ διὰ τούτου ἐκίνησεν ἡμῖν ἀγῶνα. ἐπεὶ δὲ ἄπιστον ἦν τοσούτων νέων φευγόντων μόνον μεῖναι τὸν γέροντα, ὥσπερ ἐν ἀπολογίας μέρει ἐπιφέρει τὸ οὔτι ἑκών.

82. δῖος Ἀλέξανδρος] καὶ πόρρωθεν πολεμεῖ, καὶ οὐκ ἄνδρα τοξεύει, ἀλλ' ἵππον γέροντος βάλλει, καὶ συμπλέκεται αὐτῷ πάντων Ἑλλήνων φευγόντων.

83. πρῶται] ἀντὶ τοῦ ἄκραι. θανάσιμος δέ ἐστιν ὁ τόπος διὰ τὸ τὸν ἐγκέφαλον πλησιάζειν ταῖς μήνιγξιν.

87. ὄφρ' ὁ γέρων] οἴκτου χάριν τὸ γέρων τίθησιν, ἐν ἀγωνίᾳ δὲ καθιστὰς τὸν ἀκροατὴν, καὶ τὸν δεινὸν Ἕκτορα αὐτῷ ἐπάγει, διὰ δὲ τοῦ ἀπέτεμνε τὸ νωθρὸν τοῦ γήρως ἐδήλωσεν.

*ἀπέτεμνε] δεινός ἐστιν ὁ Ὅμηρος καὶ διὰ μιᾶς λέξεως ὅλον τὸν

1. *Πορφυρίου] om. 10. αὐτῶν] αὐτῶν
17. *κακοῖς] om.

ἄνδρα σημαίνειν· διὰ γὰρ τοῦ ἀπέτεμνε τὴν ἀσθένειαν τοῦ γέροντος δηλοῖ καὶ ἐντεῦθεν τὸ βραδὺ τῆς ἐνεργείας. προσηκόντως οὖν ἐπὶ τοῦ πρεσβύτου ἐχρήσατο τῷ παρατατικῷ χρόνῳ, εἰπὼν τὸ ἄἶσσον, ἐπὶ δὲ τοῦ νέου Αὐτομέδοντος (Il. 16, 474) τῷ συντελικῷ, εἰπὼν τὸ ἄϊξε καὶ ἀπέκοψε, συντόμως τὸ πρᾶγμα ἐδήλωσεν.

*παρηορίας] τὰς ἔξωθεν παρατεταμένας τῶν ἵππων ἡνίας, τοὺς λώρους.

91. Διομήδης] εἰκότως Διομήδης τὸν πρεσβύτην κινδυνεύοντα ὁρᾷ ὡς ἀναχωρῶν ἔσχατος· θελήσας γὰρ μονομαχῆσαι, ἀποσφαλεὶς δὲ τῷ κλήρῳ, νῦν καὶ τοῦ καιροῦ μὴ συγχωροῦντος πειρᾶται πολεμεῖν. βοηθεῖ δὲ τῷ Νέστορι διὰ τὸ χάριεν αὐτοῦ τῶν ἠθῶν.

92. ἐποτρύνων Ὀδυσῆα] ἐν σχήματι ἐδήλωσεν ὡς καὶ Ὀδυσσεὺς ἔφυγεν, ἄνω μὴ μνησθεὶς αὐτοῦ. ἀεὶ δὲ ἀσφαλὴς Διομήδης, καὶ μόνος οὐδαμῆ θέλει πορεύεσθαι.

93. πολυμήχαν' Ὀδυσσεῦ] πρὸς ἐπιστροφὴν τὸ ἐπίθετον τέθειται. δεῖ γὰρ τὸν στρατιώτην τοιοῦτον εἶναι. γεωργὸς μὲν γὰρ ἀπὸ τοῦ καλῶς ἐν πόᾳ τὴν ἅρπην καὶ τὰ ἄλλα τῆς γεωργίας ὅπλα κινεῖν γινώσκεται, κυβερνήτης δὲ ἀπὸ τοῦ πόδα νηὸς ἰθύνειν καλῶς, τέκτων ἀπὸ τῆς εὐθεσίας τῶν λίθων καὶ τῆς εὐπριστίας τῶν ξύλων, ναυπηγὸς ἀπὸ τῆς νηός, κυνηγὸς ἀπὸ τῆς κυναγωγῆς καὶ τῆς ὀρεσινομίας, μάντις ἀπὸ τῶν ἐκβάσεων, μάγειρος ἀπὸ τοῦ ὡς δεῖ ὀπτᾶν καὶ δαιτρεύειν, ἰατρὸς ἀπὸ τοῦ νόσους γινώσκειν καὶ τάμνειν ἰοὺς, μουσικὸς καὶ ἀοιδὸς ἐξ ᾠδῶν κάλλους καὶ μύθων, πύκτης καὶ παλαιστὴς ἐξ εὐστροφίας καὶ χειρῶν συμπλοκῆς, τοξότης ἀπὸ διασκέψεως ἀρίστης, ἀκοντιστὴς ἀπὸ τοῦ εὖ πάλλειν τὸ δόρυ, ῥήτωρ ἀπὸ πιθανότητος, στρατηγὸς ἀπὸ φρονήσεως καὶ ἀνδρείας, στρατιώτης ἀπὸ πολυμηχανίας καὶ πολυπειρίας.

94. οὐ δειλὸν αὐτὸν καλεῖ, ἀλλὰ δειλοῦ ποιοῦντα ἔργον. ὀλίγον δὲ διασταλτέον εἰς τὸ βαλών, ἵν' ᾖ, ποῦ φεύγεις μεταβαλὼν τὰ νῶτα, ὡς οἱ δειλοὶ ἐν ὁμίλῳ καὶ θορύβῳ; ἢ πῇ φεύγεις ἐν ὁμίλῳ ὡς κακὸς, ἵν' ᾖ εἰς τὸ κακὸς ὣς ἡ στιγμὴ, τὸ δὲ ἐν ὁμίλῳ τῷ ἑξῆς συναπτέον. ἀπὸ δὲ τοῦ εὐπρεποῦς καὶ συμφέροντος ἀναστέλλει τὴν φυγήν. αἰσχρότερον δὲ καὶ τὸ πῆξαι τοῦ ἀκοντίσαι.

1. *σημαίνειν] σημαίνων
13. *μὴ] om.
20. κυναγωγῆς] *κυνηγεσίας
26. ἀνδρείας] ἀνδρίας, sed *ί* in rasura.

97. οὐδ' ἐσάκουσε] οὐκ ἤσθετο ὑπὸ τοῦ θορύβου, ἢ οὐκ ἐπείσθη διὰ τὸν καιρόν· φεύγει γὰρ σὺν Αἴαντι καὶ θεομαχεῖν οὐκ ἐθέλει· ἐν γὰρ δαιμονίοις φόβοις φεύγουσι καὶ παῖδες θεῶν. πῶς γὰρ δειλὸς ὁ μετὰ πάντας φεύγων; οὐ γὰρ ἂν Διομήδης τοῦτον μόνον ἐκάλει.

99. * τὸ αὐτός ἐνταῦθα ἀντὶ τοῦ μόνος.

101. ἔπεα πτερόεντα προσηύδα] τὰ μὲν πράγματα τάχιστα γέγονεν, ἡ δὲ τῶν λόγων σχολὴ ποιητική.

103. λέλυται] πέπηγε γὰρ ἐν τῇ νεότητι, τέλος δὲ λύσεως θάνατος.

104. ἠπεδανὸς] ἀσθενής, ἢ ἄτεχνος, οἱονεὶ ἀπεδανὸς, ὁ μὴ δυνάμενος ἐν τῷ πεδίῳ στῆναι διὰ τὸ ἀσθενές. ὑπογράφων δὲ ἄνω τὸ ἀσθενὲς τοῦ γέροντος οὐδὲν περὶ τοῦ ἰδίου σθένους ἀνθυπήγαγεν, ἀλλ' ἐλπίδα αὐτῷ ὑπογράφει σωτηρίας διὰ τὸ τάχος. εἰκότως δὲ ὅλα συνήγαγε τὰ κακὰ, ὅπως πείσῃ τῷ ἰδίῳ ἐπιβῆναι ἅρματι τὸν εἰπόντα "ὃς δέ κ' ἀνὴρ ἀπὸ ὧν ὀχέων" (Il. 4, 304). εὖ δὲ τὸ μὴ τὸν Νέστορα ταῦτα προβαλέσθαι εἰς τὸ τυχεῖν βοηθείας. ἐγκώμιον δὲ Νέστορος ἔχει ὁ λόγος, ὃς οὐδὲ τῷ γήραϊ δὴ τρυχόμενος ἀμελεῖ.

108. ἠθικῶς τὸν χθὲς ἀνάγει χρόνον, ὡς καὶ ἐν Ὀδυσσείᾳ Φιλοίτιος "τοῦτό σοι ἀντὶ ποδὸς ξεινήϊον, ὅν ποτ' ἔδωκας ἀντιθέῳ Ὀδυσῆϊ" (Od. 22, 290). ἅμα δὲ καὶ θαρσαλεώτερον ποιεῖ τὸν γέροντα ἡ Αἰνείου ἧττα.

111. καὶ ἐμόν] ἐμόν φησι δι' Ἀχιλλέα, ἢ μᾶλλον Αἴαντα τὸν μονομαχήσαντα αὐτῷ ὑπογυίως.

114. Σθένελός τε καὶ Εὐρυμέδων] ἐν σχήματι ἐδήλωσε τὸ δοκοῦν παραλελεῖφθαι· οὐ γὰρ εἴρηκεν ἀνωτέρω ποῖοι ἦσαν οἱ θεράποντες. φασὶ δὲ τὸν Σθένελον ἀπὸ τοῦ τείχους κατενεχθέντα τρωθῆναι τὸ σκέλος· διὰ τοῦτο οὐ πολεμεῖ, ἀλλ' ἡνιοχεῖ Διομήδει.

115. τὼ δ' εἰς ἀμφοτέρω] οἰκονομικῶς ἐπὶ τὸ ἅρμα Διομήδους ἀναβιβάζει τὸν Νέστορα, ἵνα πεισθῇ φυγεῖν καὶ εἶξαι ταῖς τοῦ Νέστορος παραινέσεσι· Σθενέλῳ γὰρ οὐκ ἂν ἐπείσθη, ὅπου γε μηδὲ ἐν τοῖς ἀνωτέρω, ἀναβῆναι ἐπὶ τὸ ἅρμα παραινοῦντι.

116. ἡνία] τὰ ἡνία αὐτῶν ἐξ ἀστραγαλίσκων ἐλεφαντίνων ἦσαν, ὅθεν καὶ τὸ "ἡνία λευκ' ἐλέφαντι" (Il. 5, 583). σημειωτέον δὲ ὅτι οἱ πρώην βασιλεῖς καὶ πολεμισταὶ καὶ ἡνίοχοι ἐτύγχανον.

13. τὸ τάχος] * τοῦ τάχους 32. ἀνωτέρω] ἀνωτέρωι

117. Ἕκτορος ἄγχι γένοντο] εἰ τοσοῦτον ἀπῆν, διὰ τί μὴ φεύγει; τὸ ὅλον πραγματεύεται πρὸς τὸ μὴ ἀθρόως καὶ ἄνευ πόνου νικᾶν τοὺς Τρῶας, ἀλλὰ τοὺς φεύγοντας ἀνακωχὴν λαβεῖν. ἄλλως τε ἢ νικήσειν οἴεται, ἢ νικώμενος ῥᾳδίως φεύξεσθαι.

120. υἱὸς Θηβαίου οὐ τῷ γένει· κύριον γάρ ἐστιν ὄνομα, ὡς καὶ ἐν Ὀδυσσείᾳ ὁ Αἰγύπτιος.

122. ὑπερώησαν] ὥσπερ τὸ ὑπεχώρησαν παρὰ τὴν χώραν, οὕτως τὸ ὑπερώησαν παρὰ τὴν ἔραν. δηλοῖ δὲ καὶ τὴν ὁρμήν, ὡς τὸ "ἐρωήσει περὶ δουρί" (Π. 1, 303). ἀναγκαῖον δὲ τοῦτο εἰς τοὐπίσω φερομένου τοῦ ἡνιόχου.

πύκασε] ἐσκέπασε, περιεκάλυψεν, ἀπὸ τοῦ πυκάζειν, ὅ ἐστι καλύπτειν.

126. θρασύν] θρασύς ἐστι καὶ ὁ ἡνίοχος ἀναλόγως αὐτῷ, διὰ τὸ ὁμοψυχεῖν.

130. ἔνθα κε λοιγὸς ἔην] δῆλον ὡς καὶ ἄλλα διαθεμένου Διομήδους. τέως δὲ ἡ τῶν Ἀχαιῶν φυγὴ οὐ μεμένηκεν ἄπρακτος. ἀλλὰ Τρῶες ἀναιροῦνται.

131. σήκασθεν] εἰς σηκὸν κατεκλείσθησαν. σηκὸς δὲ εἴρηται οἱονεὶ ἱστηκός τις ὤν, ἀπὸ τοῦ ἐν αὐτῷ ἵστασθαι τὰ θρέμματα. ὅθεν καὶ οἱ νεώτεροι τῶν ποιητῶν σηκὸν λέγουσι τὸν ναόν, ἀπὸ τοῦ ἐν αὐτῷ ἵστασθαι τὰ ἀγάλματα.

* καὶ τὴν Διομήδους ἀρετὴν αὔξει καὶ τὴν τῶν βαρβάρων δειλίαν κωμῳδεῖ, εἴ γε καὶ τοῦ Διὸς ἐπαμύνοντος εἱρχθῆναι ἐκινδύνευσαν προβάτων τρόπον, καὶ οὐδὲ τούτων τελείων· ἀρνῶν γάρ φησιν.

134. πρόσθ' ἵππων] πεφεισμένως καὶ τοῦτο· ἐκθειματοῦν γὰρ μόνον αὐτὸν βούλεται, ἐπεὶ οὐδὲ αὐτὸς μισέλλην ὑπάρχει ὁ Ζεύς.

135. δεινὴ δὲ φλὸξ ὦρτο] δεινὴ γάρ ἐστιν ἡ δυσωδία αὐτοῦ, ὅταν προσψαύσῃ ὕλῃ τινὶ, καὶ πικραίνει τὴν αἴσθησιν.

137. ἐκ χειρῶν φύγον ἡνία] εἰ γὰρ παρατηρεῖ τὰς διοσημείας ὁ Νέστωρ ἐν οἷς φησὶν "ἀστράπτων ἐπιδέξι' ἐναίσιμα" (Π. 2, 353), πῶς ἀντιτάξεται αὐταῖς; ἢ οὐχ ὑπὸ τοῦ δέους τὰς ἡνίας εἴασεν, ἀλλ' οἱ ἵπποι καταπτήξαντες ὑπὸ τοῖς ἅρμασι τῇ βίᾳ καὶ αὐτὰς ἐπεσπάσαντο.

139. φόβονδ' ἔχε] ἡ εὔκαιρος φυγὴ οὐκ αἰσχύνει. τοῦτο δὲ διὰ

23. * κωμῳδεῖ] om.
29. διοσημείας] Rectius διοσημίας
31. * ἐναίσιμα] αἰνέσιμα
34. * αἰσχύνει] αἰσχύνη

στρατηγικοῦ προσώπου δηλοῖ, ὡς καὶ ἑτέρωθι διὰ τοῦ Ἀγαμέμνονος· "βέλτερον ὃς φεύγων προφύγῃ κακόν" (Il. 14, 81). εἰ γὰρ τὰ βέλη, φησὶ, φεύγειν πειρώμεθα παρασχηματίζοντες τὸ σῶμα, πόσῳ μᾶλλον τὸν θάνατον φεύγειν δεῖ;

140. ἐκ Διὸς οὐχ ἕπετ' ἀλκή] ἵνα μὴ τῷ θεῷ ἀντιστῇ, λέγει ὅτι οὐ βοηθῇ, φησὶ, παρ' αὐτοῦ. εὐπρεπῶς δὲ οὐκ εἶπεν ὅτι ἐναντιοῦταί σοι ὁ θεός· ὑπεκλύοντος γὰρ ὁ λόγος ἦν.

141, 142. νῦν—σήμερον] δηλοῖ διὰ τῆς ἐπαναλήψεως ὅτι πρὸς ὀλίγον ἔσται αὐτῷ ἡ χαρά· νῦν γάρ φησι, καὶ τὸ σήμερον προστίθησιν, ἵνα μὴ τὸ νῦν ᾖ ἀόριστον. καὶ οὐδὲ τὸν Ἕκτορα φοβερὸν, ἀλλὰ τὸν Δία φησίν. καὶ χρηστὰς αὐτῷ ὑπογράφει ἐλπίδας, ἵνα μὴ αἰδεσθῇ φυγεῖν ὡς ἂν μὴ δυνάμενος τὴν ἧτταν ἀνακαλέσασθαι. οὐ δεῖ δὲ τὸ ἄδηλον ὁρίζειν, ἀλλὰ μόνον ἀγαθὴν προσδέχεσθαι ἐλπίδα.

143. εἰρύσσαιτο] λείπει ἡ μετά. τὸ δὲ ὅλον οὕτως· ἀνὴρ δὲ τὸν τοῦ Διὸς νοῦν, παρ' ὃ θέλει αὐτὸς ὁ Ζεὺς, οὐκ ἂν μεθελκύσαι οὐδὲ μεταθείη.

144. πολὺ φέρτερός ἐστιν] ὅτι ἡ ἀνθρωπίνη ἰσχὺς, οἵα τε ἂν ᾖ, πρὸς τὴν θείαν οὐδέν ἐστιν.

146. κατὰ μοῖραν ἔειπες] θεοσεβὴς γὰρ ὁ Διομήδης, εἴ γέ φησι "σὺν γὰρ θεῷ εἰλήλουθμεν" (Il. 9, 49).

148. Ἕκτωρ γάρ ποτε φήσει] κἀν τούτοις τὸ φιλότιμον Διομήδους ἐμφαίνεται, ὃς μὴ μόνον παρὰ τοῖς Ἕλλησιν εὐδοκιμεῖν σπουδάζει, ἀλλὰ καὶ παρὰ τοῖς πολεμίοις.

150. τότε μοι χάνοι εὐρεῖα χθών] τὸ εὐρεῖα ἀντὶ τοῦ εὐρέως. κρείσσων δὲ, φησὶ, θάνατος ψόγου.

152. διὰ τοῦ οἵ μοι τὸν λόγον ἐκφαυλίζει ὡς ἀνάξιον ὄντα τοῦ λέγοντος. εἰς δὲ τὸ δαίφρονος στικτέον.

154. ἀλλ' οὐ πείσονται] πρῶτον μὲν ἄδηλον εἰ ἐρεῖ, ἄλλως τε ὅτι οὐ πείσει· καθάπτεται δὲ τῶν φρονιζόντων τί ἐροῦσιν αὐτοῖς οἱ ἄνθρωποι, τοῦ δὲ πράγματος ὁποῖόν ἐστιν ἀμελούντων.

157. φρονίμως οὔτε ἀντίρρησιν Διομήδους ἀναμένει, οὔτε βιάζεται αὐτὸν φιλότιμον φεύγειν ὄντα ὁμολογεῖν, ἀλλ' αὐτὸς τρέπει τοὺς ἵππους, ἵνα μηδὲ ἐκ τούτων μειώσῃ Διομήδεα ὁ ποιητής.

15. *μεθελκύσαι οὐδὲ μεταθείη] μεθελκύση οὐδὲ μεταθήσει
26. οἵ μοι] *ὤ μοι
29. ὅτι] *om.

159. χέοντο] ἔμφασιν ἐκίνησεν ἡ μεταφορά. δηλοῖ δὲ ὅτι λίαν ἀπελείποντο, ἐπεὶ πῶς αὐτὸν βλασφημεῖ ὁ Ἕκτωρ λόγοις;

163. ἀντιτέτυξο] διὰ τοῦ ῑ εἶχον αἱ ἐκδόσεις· ὁ δὲ Ἡρωδιανὸς διὰ τοῦ ε̄ ἐξέθετο. ἔστι δὲ τὸ ὅλον οὕτως, γυναικὸς ἄρα ἴσος ἦσθα.

164. ὅτι μικρόφθαλμος, ὥς φασί τινες, ὁ Διομήδης ἦν, ἢ ὑπόρραιβος, ὃ καὶ ὀνειδίζεται. τὸ δὲ οὐκ εἴξαντος, οὐχ ὑποχωρήσαντος, ἀλλὰ μείναντος, ὅπερ οὐ σὺ, φησὶ, ποιεῖς. ἀναφέρει δὲ τὸν λόγον ἐπὶ τὰ ὑπὸ Ἰδαίου ἀπαγγελθέντα Τρωσίν.

166. λόγον κακὸν καὶ ἀγγελίαν· δώσω γάρ σοι, φησὶν, ὑπόμνησιν, ὅταν ἐν ταῖς ναυσὶ κρατήσω σου. ἢ μᾶλλον τὴν δαίμονα ἤτοι τὴν τοῦ θανάτου ψῆφον.

167. διάνδιχα μερμήριξεν] πῶς δύο εἰπὼν τὸν Διομήδην μεριμνῆσαι, ἓν ἐπάγει; φαμὲν δὲ ὡς δύο βουλὰς ἐμερίμνησεν εἰς ἓν νευούσας, ἵππους τε στρέψαι καὶ ἐναντίβιον πολεμῆσαι. ἢ ὡς ὡμολογημένον ἀφίησι τὸ ἕν· ἤτοι τὸ ἢ στραφῆναι ἢ μὴ στραφῆναι, ὃ κατέλιπεν.

169. φρένα μὲν τὸ λογιστικὸν, θυμὸν δὲ τὸ θυμοειδές. ἐπεμερίζετο οὖν, φησὶν, ὑπό τε τοῦ νοῦ κωλυόμενος καὶ τοὐναντίον ὑπὸ τοῦ θυμοῦ διεγειρόμενος πρὸς τὴν πρᾶξιν.

171. σῆμα τιθεὶς] ἀντὶ τοῦ σημαίνων. εἰς δὲ τὸ Τρώεσσι στιγμή. τί δὲ ἦν τὸ σῆμα; μάχης ἑτεραλκέα νίκην.

175. γινώσκω δ' ὅτι μοι] στρατηγικῶς τὴν εὐημερίαν αὐτοῖς δηλεῖ. οἰκειοῦται δὲ αὐτὴν ὑπερηφάνως, καὶ οὐ μετριοφρονεῖ.

178. οὐδενόσωρα] ὑφ' ἓν τὸ οὐδενόσωρα, εἰ καὶ σπάνιος ἡ τοιαύτη σύνθεσις· λέγω δὲ ἐξ ἀποφάσεως καὶ συνδέσμου καὶ τῆς ἑνὸς γενικῆς τελείας. τινὲς δὲ οὐδενὸς φυλακτικά. πιθανὸν δὲ καὶ τοῦ ὑπογύου ἔργου μεμνῆσθαι, τῶν Ἀχαιῶν τὴν πρᾶξιν ἐξευτελίζοντα.

180. ἀλλ' ὅτε κεν] ἀλαζονεύεται, ὡς οὐ πρὸ μικροῦ σηκασθεὶς ἠΰτε ἄρνες (131).

181. μνημοσύνη τις ἔπειτα] ἀλαζονείαν ἔχει τὸ πρὸ τῆς νίκης τὴν τοῦ πυρὸς διορίζεσθαι χρείαν. ἅμα δὲ καὶ τὸ προνοεῖσθαι στρατηγικόν ἐστιν.

185. ἀθετεῖται ὁ στίχος, πρῶτόν γε καὶ διὰ τὸ σύ, εἶτα διὰ τὰ ὀνόματα· Λάμπος γὰρ τῆς Ἠοῦς ἐστὶν ἵππος, Ξάνθος Ἀχιλλέως

29. * ἄρνες] ἀρνός (* ἀρνειός)

(Il. 19, 400), Πόδαργος Μενελάου, Αἴθη Ἀγαμέμνονος (Il. 23, 295), ἣν Αἴθωνα νῦν εἶπε, μετατιθεὶς τὸ γένος· οὐδαμοῦ δὲ τεθρίππῳ κέχρηνται ἥρωες, εἰ μὴ ἐν Ὀδυσσείᾳ ἐπὶ παραβολῆς· "ἥ δ' ὥς τ' ἐν πεδίῳ τετράορι ἄρσενες ἵπποι" (Od. 13, 81). τὸ γὰρ "τέσσαρας ἀθλοφόρους ἵππους" (Il. 11, 699) ὑπώπτευται ὡς νόθον· ἢ δύο ἅρματα δηλοῦν βούλεται. "τὸν δὲ ἐλατῆρα ἀφίει ἀκαχήμενον" (Il. 11, 702) τὸν ἐξ ἑκατέρας συνωρίδος. εἴποι δ' ἄν τις πρὸς τοῦτο ὅτι εἰκὸς, τῶν ἄλλων τεθρίπποις μὴ χρωμένων, τὸν Ἕκτορα θαρσῆσαι τέσσαρας ἵππους ὑποζεῦξαι πρὸς κατάπληξιν τῶν πολεμίων· ἀπόγονος γάρ ἐστι Τρωὸς, ᾧ Ζεὺς ὑπὲρ Γανυμήδους ἔδωκεν ἵππους, καὶ φιλότιμός ἐστι περὶ ἱππικήν· οἶδε γὰρ ἵππος ἀγαθὸς πρὸς ἱππικὴν ἐγείρειν, ὡς καὶ πρὸς πόλεμον διάφορα ὅπλα καὶ θηρευτικὴ κύων καλῶς ἰχνηλατῶν ἐπὶ τὸ κυνηγέσιον. διὸ καὶ τὸν Ἕκτορα θρασὺν ἡνίοχόν φησιν Ὅμηρος, καὶ οὐ μόνον τοῦτον θρασὺν, ἀλλὰ καὶ τὸν ἡνιοχοῦντα αὐτῷ Ἀρχεπτόλεμον· οὐ τοῦ τυχόντος γὰρ ἦν τὸ τέτρωρον ἡνιοχεῖν. φασὶ δὲ, εἰ τέτρωρον ἦν, πῶς ὡς πρὸς δυϊκὸν ἀποτείνεται καί φησι "νῦν μιν τὴν κομιδὴν ἀποτίνετον" καὶ "ἐφομαρτεῖτον καὶ σπεύδετον;" ῥητέον δὲ καὶ πρὸς τοῦτο ὅτι οὐ πρὸς ἕκαστον ἵππον λέγει, ἀλλὰ πρὸς τὰ ἐξ αὐτῶν συστήματα· δύο γὰρ ζύγιοι ἦσαν καὶ δύο παρήοροι. τοὺς μὲν οὖν ζυγίους ἀνθ' ἑνὸς, τοὺς δὲ παρηόρους ἀνθ' ἑτέρου λαμβάνει. ὅμοιον δέ ἐστι τῷ "τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο" (67)· πρὸς ἑκατέραν γὰρ κἀκεῖνο στρατιάν· καὶ τῷ "τίνη δ' ἔστηκας, ἀτὰρ οὐδ' ἄλλῃσι κελεύεις, μήπως ὡς ἄψῖσι λίνου ἁλόντε" (Il. 5, 485)· πρὸς γὰρ τὸν Ἕκτορα καὶ τοὺς Τρῶας. τρισὶ δὲ ἵπποις ἐχρῶντο οἱ ἥρωες, ἵνα τρωθέντος ἑνὸς τῶν ζυγίων εἰς τὴν τούτου χώραν ὁ παρήορος ἄγηται. οἱ δὲ Ὁμηρικοὶ θεοὶ συνωρίσι χρῶνται, ἐπεὶ τιτρωσκόμενοι οὐχ ἑρῶνται. ὁ δὲ Ἕκτωρ ἐτόλμησε προσθεῖναι τὸν τέταρτον ἅμα μὲν διὰ τὰ προειρημένα, ἅμα δὲ καὶ τῶν δυοῖν ἵππων ὑφορώμενος τὴν τρῶσιν. καθ' ἑκάστην δὲ κλητικὴν βραχεῖα διαστολή. οὐκ εἰσὶ δὲ οἱ σύνδεσμοι, ὥς τινες, δύο εἶναι κύρια καὶ δύο ἐπίθετα ὀνόματα.

187. Ἀνδρομάχη] οἰκονομικὴ γὰρ ἦν, καὶ εἰς σωτηρίαν τοῦ ἀνδρὸς ἐπισπεύδουσα, εἴ γε καὶ τὰ ὅπλα αὐτοῦ δέχεται, ὡς δηλοῖ ὁ Ζεύς "ὅ οἱ οὔτι μάχης ἐκνιστήσαντι δέξεται Ἀνδρομάχη κλυτὰ

2. * Αἴθωνα] αἴθονα
7. * τὸν] om.
16. τέτρωρον] τέτρορον bis, quod pro τετράωρον accepit Vill.

τεύχεα" (Π. 17, 207). ὡς γυνὴ δὲ παρὰ φύσιν τὸν πυρὸν αὐτοῖς παραβάλλει· καὶ αἱ Διομήδους δὲ ἵπποι μελιηδέα πυρὸν ἔδουσιν (Π. 10, 569). παρὰ προτέρους δὲ διὰ τὸ μὴ ἐπιλαθέσθαι αὐτῶν· ἄλογον γὰρ ὂν τὸ ζῷον ἀφ' ἑαυτοῦ τροφὴν οὐκ αἰτεῖ. ἀθετεῖται δὲ τὸ "οἶνον τ' ἐγκεράσασα," ὅτι οὐ σύνηθες οἶνον πίνειν ἵππους, καὶ διὰ τὸ "ὅτε θυμὸς ἀνώγοι·" ψυχρὸν γὰρ καὶ τοῦτο ἐπὶ ἵππων. ἔστιν οὖν ὑπερβατόν· ὑμῖν προτέροις πυρὸν παρέθηκεν ἢ ἐμοὶ τὸν αὐτὸν πυρὸν ἔθηκεν, οἶνόν τ' ἐγκεράσασα πιεῖν, ὅτε θυμὸς ἀνώγοι, ἵν' ᾖ τὸ πυρὸν ἔθηκεν ἀπὸ κοινοῦ.

189. *ἐγκεράσασα] εἰς κέρας ἐγχέασα· πρὸ γὰρ τοῦ εὑρεθῆναι τὴν τῶν ποτηρίων χρείαν εἰς κέρας ἔπινον.

192. ἄτοπον νῦν φυσιολογεῖν Ἕκτορα. δηλοῖ δὲ ὅτι τὰ Ἐρευθαλίωνος ὅπλα τίμια, καὶ ὅτι εἰ περιέσται τοῦ συνετοῦ καὶ ἀνδρείου, τοὺς λοιποὺς εὐκόλως Ἕλληνας ἕξει.

193. κανόνας] τὰς ῥάβδους αἷς ἐκράτουν τὰς ἀσπίδας· οὔπω γὰρ ἐχρῶντο τοῖς πόρπαξιν, οὓς ὄχανα ἐκάλουν· ὕστερον γὰρ οὗτοι ἐπενοήθησαν ὑπὸ Καρῶν, ὡς καὶ Ἀνακρέων φησὶ "Καριεργέος ὀχάνειο." ἐπεὶ οὐδ' ἐκ πόρπακος εἶχον τὰς ἀσπίδας ἠρτημένας, ἀλλ' ἐκ τελαμώνων· διὰ τοῦτο πρὸς τὸ κατευθύνειν αὐτὰς ἐχρῶντο κανόσιν, δύο σχήματα ἀποτελοῦντα ἐργασάμενοι.

197. νηῶν ἐπιβησέμεν] καὶ πῶς πρὸ ὀλίγου καῦσαι αὐτὰς ἤθελεν; κωμῳδεῖ διὰ τούτου ὁ ποιητὴς τὸ τῶν βαρβάρων εὐμετάβολον.

199. σείσατο δ' εἰνὶ θρόνῳ] γυναικεῖον ἦθος ὑπογράφει διὰ τῆς Ἥρας, ἡ νικᾶται μὲν τῇ ἀπειλῇ Διὸς καὶ κατὰ χώραν μένει, οὐκ ἠρεμεῖ δὲ τὸ σῶμα ὑπὸ τῆς ὀργῆς, καὶ τὸν ὁμότιμον Διὶ Ποσειδῶνα διεγείρει. καὶ νῦν μὲν μέχρι λόγων προέρχεται· ἐξῆς δὲ (218) ἐντίθησιν Ἀγαμέμνονι αὐτῷ ποιπνύσαντι θοῶς ἐγεῖραι Ἀχαιούς· τέλεον δὲ ἠττηθεῖσα ὑπὸ τοῦ θυμοῦ καὶ προσέρχεται.

201. ἠθικῶς αὐτῷ διαλέγεται, καί φησι, τῶν ἄλλων θεῶν ἀμελούντων τοῦ Ἑλληνικοῦ οὐδὲ σὺ τοὺς Ἕλληνας ἐλεεῖς. παροξύνει δὲ αὐτὸν καὶ διὰ τῶν ἐπιθέτων, ἰσότιμον ἀποφαίνουσα τῷ Διὶ καὶ ἀξιόμαχον.

203. οἵ δέ τοι εἰς Ἑλίκην] πρωτρεπτικὸν καὶ τοῦτο πρὸς τὴν βοήθειαν. Ἑλίκη δέ ἐστι τῆς Ἀχαΐας πόλις, ὑπὸ σεισμοῦ ἠφανισμένη. Αἰγαὶ δὲ νῆσος πλησίον Εὐβοίας.

25. *Διΐ] διὸς

204. σὺ δέ σφισι βούλεο νίκην] ἠθικῶς καὶ τοῦτο· οἷον εἰ θελήσειας, δύνασαι καὶ βοηθῆσαι αὐτοῖς· βούλεο οὖν, φησίν, αὐτοῖς τὴν νίκην.

206. στικτέον εἰς τὸ ἐρυκέμεν. τὸ δὲ ἑξῆς, εὐρύοπα Ζῆν (ἀντὶ τοῦ Ζεύς) αὐτοῦ κεν ἀκάχοιτο. οὐ γὰρ εἰκὸς ἐπιβουλεύειν τῷ Διὶ καὶ αὐτὸν κωλῦσαι σπεύδειν τὴν παρ' αὐτοῦ κολασθεῖσαν πολλάκις. ἐμφαίνεται δὲ αὐτῆς καὶ τὸ ἄγαν θρασύ· ὁ γὰρ γυναικεῖος θυμὸς θρασύτερος ὢν τῶν ὑπερεχόντων καταφρονεῖν ἀλόγως ποιεῖ.

207. ἐν ἀρχῇ τοῦ στίχου τὸ ῡ θετέον, ὅτι τὸ πρὸ τῆς ἀποστρόφου σύμφωνον τῷ ἐπιφερομένῳ συνάπτεται φωνήεντι. μετὰ δὲ τὸ ῡ ἡ στιγμή· καὶ μεταξὺ γὰρ συλλαβῆς καὶ μετὰ συναλοιφῆς καὶ ἐν ἀρχῇ στίχου πολλάκις ποιητικῶς ἡ στιγμὴ τίθεται.

208. τὴν δὲ μέγ' ὀχθήσας προσέφη] οὐκ ἔφη κοινῶς "τὴν δ' ἠμείβετ' ἔπειτα," ἀλλὰ διὰ τοῦ σχετλιασμοῦ τὸ θράσος αὐτῆς πρεναστέλλει.

209. ἀπτοεπές] ἀπτομένη, ἢ ἀάπτους λέγουσα λόγους, ἢ ἀπτόητε· διὸ καὶ "ποῖον τὸν μῦθον ἔειπες" ἀντὶ τοῦ τὸν ποῖον, Ἀττικῶς. ἀναπαύων δὲ ἡμᾶς ἀπὸ τῆς διηγήσεως τῶν Ἑλληνικῶν ἀτυχημάτων τὸν τῶν θεῶν παρεισάγει διάλογον.

210. οὐκ ἂν ἔγωγ' ἐθέλοιμι] πῶς οὖν ἐν τῇ περὶ τὰς νῆας μάχῃ ἠναντίωται αὐτὸς τῷ Διί; ὅτι ἐκεῖσε αὐτὸν ὁ πολὺς τῶν Ἑλλήνων ἀνέπεισεν ὄλεθρος.

213. τοῦτο δήλωσίς ἐστι τοῦ συνεληλάσθαι τοὺς Ἕλληνας εἰς τὸ μεταξὺ τῆς τάφρου καὶ τοῦ τείχους στενόν. τὸ δὲ ἑξῆς, ὅσον εἶχε διάστημα ἀπὸ τῶν νεῶν ἡ ἔξω τοῦ τείχους τάφρος, πλῆθεν ὁμῶς ἵππων τε καὶ ἀνδρῶν ἀποκλεισθέντων καὶ μὴ δυνηθέντων εἰσδραμεῖν ἐν τῷ τείχει, ἀλλὰ μηδὲ τολμήσαντος ἔξω τῆς τάφρου μεῖναί τινος. ἔνιοι δὲ τὰ δύο διαστήματα πεπληρῶσθαί φασι, τό τε ἀπὸ τῶν νεῶν ἕως τοῦ τείχους καὶ τὸ ἀπὸ τοῦ τείχους ἕως τῆς τάφρου. τινὲς δὲ οὕτως· ὅσον ἀπέεργεν ἡ τάφρος ἐκ τοῦ πύργου τῶν νεῶν, τουτέστιν ἐκ τοῦ πύργου τοῦ διὰ τὰς ναῦς γενομένου.

217. καί νύ κεν ἔπρησε] εἰς ἄκρον τοὺς κινδύνους εἴωθεν ἐξάγειν, ἀεὶ ἐναγώνιον ποιῶν τὸν ἀκροατήν, εὐθύς τε τὴν ἴασιν αὐτοῖς ἐπιφέρει.

4. * Ζῆν] ζῆν'
11. μετὰ συναλοιφῆς Bekkerus] μεταξὺ συναλιφῆς
23. * συνεληλάσθαι] συνηλᾶσθαι
33. ἀκροατὴν] * ἀκροατὴν τῇ προσδοκίᾳ

218. εἰ μὴ ἐπὶ φρεσὶ θῆκ'] ἐν καταπλήξει γὰρ ἦσαν ἅπαντες· τοῦτο δὲ ἰάσατο ἡ Ἀγαμέμνονος προτροπή. δεῖ δὲ αὐτουργεῖν ἐν τοῖς δεινοῖς τοὺς ἄρχοντας.

221. πορφύρεον μέγα φᾶρος] κατὰ τὸ σιωπώμενον ἔλαβε τὸ φᾶρος. ἐπισείων δὲ αὐτὸ τῷ παραδόξῳ τοῦ σχήματος ἐπιστρέφειν πειρᾶται τοὺς ἔσω τείχους εἰσελθόντας.

227. διαπρύσιον] διαπορεύσιμον καὶ μέγα καὶ εἰς πάντας ἦκον.

228. εἶδος ἀγητοί] οἱ τὰ μὲν παρὰ τῆς φύσεως εὐποροῦντες, οἰκείᾳ δὲ κακίᾳ ἀμελοῦντες, ὡς καὶ ἀλλαχοῦ "οὐκ ἄρα σοί γε ἐπὶ εἴδεϊ καὶ φρένες ἦσαν" (Od. 17, 454). δηλοῖ δὲ ὅτι οὐδέν ἐστι κάλλος δίχα δυνάμεως.

229. λελῃθότως τῶν προγεγονότων αὐτοὺς ὑπομιμνήσκει. πιθανῶς δὲ συμπεριέλαβε καὶ ἑαυτὸν, ἵνα μὴ ἄντικρυς αὐτοὺς διατρέψῃ.

230. τὸ ὁπότε ἀντὶ τοῦ ποτέ· οἱ δὲ στίζουσιν εἰς τὸ Λήμνῳ, λείποντος τοῦ ἦμεν. δείκνυσι δὲ ὡς αἱ παρὰ κύλικας ὑποσχέσεις ἀβέβαιοι. πρῶτος δὲ Ὅμηρος ἔργαψε στράτευμα μεθύον καὶ μεγαλορρημονοῦν, ἐν δὲ ἀνάγκαις χρειώδεσι σωφρονοῦν καὶ ἀτυχοῦν.

233. ἄνθ'] τὸ πλῆρες μᾶλλον ἄντα, ὡς καὶ τῷ Ἡρῳδιανῷ ἀρέσκει, οὐχὶ δὲ ἀντί, καθὼς Ἀριστάρχῳ ἔδοξεν.

* Πορφυρίου. οὐκ ἔστι τὸ "Τρώων ἄνθ' ἑκατόν τε διηκοσίων τε ἕκαστος στήσεσθ' ἐν πολέμῳ" πρὸς ἑκατὸν καὶ διακοσίους μάχεσθαι ἐν πολέμῳ, ὥς τινες ἀποδεδώκασιν, ἀλλ' ὡς εἰ ἔλεγεν, ἀντίσταθμοι καὶ ἰσοβαρεῖς ἑκατὸν καὶ διακοσίων ἕκαστος ἠπείλει γενέσθαι ἐν τῷ πολέμῳ. τῇ γὰρ διανοίᾳ ταύτῃ ἀκόλουθον τὸ "νῦν δ' οὐδ' ἑνὸς ἄξιοί εἰμεν Ἕκτορος·" ἀπὸ μὲν γὰρ τῶν ἐν τοῖς ζυγοῖς ἱσταμένων τε καὶ πιπρασκομένων εἴρηται. ἐπὶ μὲν τούτων ἔφασκεν ἕκαστον αὐτὸν λέγειν ἀντίσταθμον εἶναι ἑκατὸν καὶ διακοσίων, ἐπὶ δὲ τοῦ Ἕκτορος "οὐδ' εἴ κεν σαυτὸν χρυσῷ ἐρύσασθαι Δαρδανίδης Πρίαμος" (Il. 22, 351), οἷον ἴσον χρυσῷ καὶ ἰσόσταθμον χρυσοῦ. τὸ δ' ἐρύσασθαι ἀντὶ τοῦ στῆσαι.

236. Ζεῦ πάτερ] διὰ τῆς ἀναφωνήσεως ταύτης καὶ ὀνειδίζει καὶ ψυχαγωγεῖ, τὴν αἰτίαν εἰς θεοὺς ἀναφέρων. οἰκειοῦται δὲ τὴν συμφοράν, ὅπως καταιδῇ παρακαλῶν. μέγαν δέ φησιν ὀνειδισμὸν τὸ τοιοῦτον εἶναι, εἰ πάντες ἄξιοι ἑνὸς τοῦ Ἕκτορος οὐκ εἰσὶν, ἀλλ' ὡς νεβροὶ ἠσσῶνται λέοντος.

20. * Πορφυρίου] om. 29. χρυσοῦ] χρῦ

239. ἔρρων] φθορὰν ὀδυνώμενος, ἀλλ' οὐ πλοῦν ὀνομάζει τὴν ὁδόν. παιδεύει δὲ ἡμᾶς καὶ ἐπὶ ξένης ὄντας θεῷ προσανέχειν ἀεί, ἀφ' οὗ πᾶν τὸ διδόμενον.

242. ἀλλὰ, Ζεῦ] Ἕλλην ὢν καὶ ἀγαθὰ φρονῶν τῆς εἰς θεοὺς ἐλπίδος οὐδέποτε ἀφίσταται. παιδευτικοὶ δὲ οἱ λόγοι.

243. αὐτοὺς δή περ] ἐλεεινὸν ἡ παρ' ἐλπίδας ἀτυχία. πάλαι γὰρ περὶ νίκης εὐχόμενοι νῦν περὶ τῆς σφῶν αἰτοῦσι σωτηρίας.

245. ὀλοφύρατο δακρυχέοντα] ἐν ἄλλῳ ὀλοφύρετο. καὶ ὅτι ἐδάκρυεν Ἀγαμέμνων νῦν ἐσήμανεν.

247. οἱ μέν φασι τικτομένου τοῦ Διὸς τεχθῆναι καὶ τὸν ἀετόν· οἱ δὲ ὅτι ἐν τῇ γιγαντομαχίᾳ αἴσιος τῷ Διὶ ἐγένετο. εἴρηται δὲ ἀετὸς παρὰ τὸ ἀεὶ ἐτεὸν αὐτὸν εἶναι, ὅ ἐστιν ἀληθῆ. τελειότατον δὲ ἤτοι τὸν τελεστικώτατον, ἢ τὸν μέγαν. ὁ νεβρὸς δὲ τοὺς κατεπτηχότας Ἕλληνας δηλοῖ, ὁ κοινὸς βωμὸς τὴν κοινὴν ἅπασιν ἀπὸ τοῦ Διὸς σωτηρίαν· ἄδειαν γὰρ τοῖς καταφεύγουσιν ὁ βωμὸς πορίζεται. ὅτι δὲ κοινός, καὶ τὸ πανομφαίῳ δηλοῖ, οἷον ἀπὸ πάσης φωνῆς καὶ γλώττης τετιμημένῳ.

248. νεβρὸν] νεβρὸς ὁ νεωστὶ βορὰν δεχόμενος, ἢ πρὸς αὐτὴν ἐπιτήδειος.

250. πανομφαίῳ] τινὲς τῷ ὑπὸ πάντων φωνουμένῳ, παρόσον αὐτός ἐστι κατά τινα λόγον ὁ ἀήρ· ὅθεν καὶ ὁ λόγος. ὁμφὴ δὲ ἡ φωνή, διὰ τὸ τὸ ὂν φαίνειν. καλῶς δὲ τοῦ τείχους ἐντὸς τὸ σημεῖον ἐγένετο· εἰ γὰρ εἶδον αὐτὸ οἱ Τρῶες, πλέον ἂν ἐθάρρησαν.

* τοῦτο γὰρ δηλοῦσθαι παρ' Ἀράτῳ (2) ἐν τῷ "μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαί, πᾶσαι δ' ἀνθρώπων ἀγοραί·" Ὅμηρον δὲ μήποτ' ἐπὶ ψιλῆς φωνῆς ἀνθρωπίνου τὴν ὅτταν θεῖναι ἢ τὴν ὁμφήν, ἀλλ' ἀεὶ ἐπὶ τῆς θείας κληδόνος.

251. ὅτ' ἄρ' ἐκ Διὸς ἦλυθεν ὄρνις] ἐπὶ γὰρ τοῖς Ἀγαμέμνονος γέγονε λόγοις· διὸ καὶ φανερὸν τοῖς Ἕλλησιν ἦν ὡς πάντως ἠλέηται ὑπὸ Διός.

252. μᾶλλον ἐπὶ Τρώεσσι θόρον] ὅτι καὶ πρώην ἦσαν πρόθυμοι ἐκ τῶν Ἀγαμέμνονος παρορμήσεων· μᾶλλον δὲ νῦν ἐθάρρησαν τοῦ σημείου φανέντος αὐτοῖς.

254. Τυδείδας] τελευταῖος γὰρ ὑποχωρῶν πρῶτός ἐστιν εἰς ὑποστροφήν· ἄλλως τε καὶ παρώξυνται ὑφ' Ἕκτορος. δείκνυσι δὲ

ὅτι οὐκ ἄλλῳ ἢ τοῖς κεραυνοῖς εἶκεν. Ὀδυσσεὺς δὲ πολέμιον ὁρῶν τὸν Δία ταῖς αἰφνιδίοις οὐ πιστεύει μεταβολαῖς ὡς ἀβήλοις.

257. ὁ μὲν] ὅτι Τρῶες εὐθέως ἐτράπησαν· ἐν δὲ τῇ τηλικαύτῃ Ἑλλήνων τροπῇ οὐδεὶς οὐδαμοῦ πλήττεται.

261. τὸν δὲ μετ' Ἀτρεΐδαι] τὴν μὲν φυγὴν τῶν Ἑλλήνων ἀπαγγέλλων οὐ πολλῶν δεῖται τῶν ὀνομάτων, νῦν δὲ εἰς τὴν μάχην ἐπιστρέφων αὐτοὺς τῶν πλείστων μέμνηται.

266. Τεῦκρος δ' εἶνατος] διήρηκεν ὡς μέλλων περὶ αὐτοῦ λέγειν. ἔνδον δέ ἐστιν Ὀδυσσεὺς τὸν λαὸν διεγείρων. ἀλλ' οὐδὲ Θόαντος μέμνηται, καὶ οὐ πάντως ἐστὶ δειλός.

268. ὑπεξέφερεν] ἀντὶ τοῦ ἔμπροσθεν αὐτοῦ ἔφερε. τοῦτο δὲ καὶ τὴν φιλαδελφίαν τῶν Τελαμωνίων ἐδήλωσε, καὶ τὸ μέγεθος φανεροῖ τῆς ἀσπίδος τῆς περιλαμβανούσης αὐτούς.

269. βραχεῖα διαστολὴ εἰς τὸ παπτήνας· ἡδὺς δὲ ὁ λόγος, καὶ τὸ σχῆμα ὅμοιον.

274. Ὀρσίλοχον μὲν] φιλέλλην ὢν τοὺς μὲν ἐξ αὐτῶν ἐν τῇ πρώτῃ ἥττῃ τελευτήσαντας οὐ καταλέγει νεκρούς, τοὺς δὲ τῶν Τρώων ἀεὶ ἀριθμεῖ καὶ νῦν.

279. φάλαγγας] τὸ πλῆθος τῶν ἀναιρουμένων διὰ τῆς φάλαγγος ἐδήλωσεν.

281. φίλη κεφαλή] εἰς εὔνοιαν αὐτὸν διὰ τῆς φιλίας ἐπάγεται, καὶ τοῦ πατρὸς ὑπομνήσας καὶ τῆς ἡγεμονίας, ὅπως μὴ ἀνάξιος τούτων ὀφθῇ. καλὴ δὲ καὶ ἡ τοῦ βάλλε παράτασις.

282. αἴ κέν τι φόως] λελησμένως αὐτὸν κατὰ τοῦ Ἕκτορος ὁπλίζει· ὅθεν κἀκεῖνος συνιείς φησι "τοῦτον δ' οὐ δύναμαι βαλέειν κύνα."

283. ὅ σ' ἔτρεφε] τὸ ὅ ἀντὶ τοῦ ὅς. πανταχόθεν δὲ αὐτὸν προτρέπει, ὡς καὶ τὸν πατέρα καὶ τοὺς Ἕλληνας πάντας εὐεργετήσοντα.

284. ** Ἡρακλῆς, πορθήσας Ἴλιον, Ἡσιόνην τὴν Λαομέδοντος θυγατέρα, Πριάμου δὲ ἀδελφὴν ἔλαβεν αἰχμάλωτον, καὶ ἔδωκεν αὐτὴν γέρας Τελαμῶνι. ὡς οὖν ἀπὸ Τρωϊκῆς γυναικὸς τεχθέντα τὸν παῖδα Τεῦκρον ἐκάλεσαν, προσαπέμψαντες τὸν τόνον καὶ ποιήσαντες κύριον· Τευκροὶ γὰρ οἱ Τρῶες ἀπὸ τοῦ βασιλεύσαντος αὐτῶν

30. Ἡρακλῆς—γενῶν] Tertiae classis scholion, rubrica notatum in B.

Τεύκρου. ἡ δὲ ἱστορία ἀκριβέστερον εἴρηται παρά τε ἄλλοις πολλοῖς καὶ παρὰ Ἀπολλωνίῳ τῷ γραμματικῷ ἐν τῷ δευτέρῳ τῶν γενῶν.

οὐκ ὀνειδίζει, ἀλλ' ἐπαινεῖ, ὅτι διὰ τὴν τοῦ τρόπου χρηστότητα καίπερ νόθος ὢν οὕτως ἐτράφη. ἄλλως τε διδάσκει ὅτι οὐκ ἔστιν ὄνειδος τὰ ἴδια ἀκούειν. ἀλλ' οὐδὲ ὄνειδος ἦν ἡ νοθεία παρὰ τοῖς παλαιοῖς. πολεμεῖ δὲ τοὺς ὁμοφύλους βαρβαρόθεν καὶ αὐτὸς ὤν, ὅτι τῇ φιλαδελφίᾳ μᾶλλον ἡττᾶται.

289. *πρεσβήϊον] τὸ ὑπὲρ τιμῆς διδόμενον δῶρον.

291. ἦ κέν τοι ὁμὸν λέχος εἰσαναβαίνοι] τοιαύτην, φησί, δώσω σοι ἣν ἂν ἀξιώσαις κτᾶσθαι καὶ γαμετήν.

293. τὸ σπεύδειν ἐνταῦθα τὸ κακοπαθεῖν δηλοῖ, ἢ μᾶλλον ἐπείγεσθαι.

296. δεδεγμένος] εἰρωνευόμενος τοῦτό φησιν ἀντὶ τοῦ δεξιούμενος καὶ φιλοφρονούμενος· τοῦτο γὰρ δηλοῖ τὸ δεδεγμένος ἀπὸ τοῦ δέχεσθαι.

299. κύνα διὰ τὸ θρασὺ καὶ πολύλαλον, ὡς καὶ ἀλλαχοῦ.

306. ὅλον ὅλῳ παραβέβληται μηδενὸς ἐλλείποντος. ἔστι δὲ διάκενος ὁ μήκων· διὸ βαρεῖται. κοινὸν δέ ἐστι τὸ κάρη βάλεν.

307. καρπῷ βριθομένη] λείπει τὸ ἐστίν· ἐκδέχεται δὲ Νικάνωρ τὴν μετοχὴν ἀντὶ ῥήματος. νοτίῃσι δὲ, ὅτι εἰ μὴ ἦν ὑγρὰ, οὐκ ἂν ἐκέκλιτο, ἀλλ' ἐκέκλαστο.

311. παρέσφηλεν γὰρ Ἀπόλλων] καὶ τὸν Ἕκτορα σώζει, καὶ Τεῦκρον ἐπαινεῖ ὡς μὴ ἀποτυχόντα, ἀλλὰ σφαλέντα· παρέσφηλε δὲ ἢ τὸν Τεῦκρον ἢ τὸ τόξον.

312. μόνους τοὺς Ἕκτορος ἡνιόχους ἐποίησεν ἐν τῷ πολέμῳ τιτρωσκομένους, ἄνω μὲν Ἡνισπέα, νῦν δὲ Ἀρχεπτόλεμον, μετὰ δὲ ταῦτα Κεβριόνην· θρασὺς γὰρ ἡνίοχός ἐστιν Ἕκτωρ. διδάσκει δὲ ὁ ποιητὴς ὅτι βλάπτει ἡ πρὸς τοὺς θρασεῖς φιλία.

313. ἰέμενον πόλεμόνδε] ἐμφαίνει διὰ τούτου ὅτι ἔδρασεν ἄν τι χαλεπὸν, εἰ μὴ ὑπὸ Ἀπόλλωνος μὲν παρεσφάλη, ὑπὸ δὲ Ἕκτορος ἐτρώθη.

2. Ἀπολλωνίῳ] Ἀπολλοδώρῳ Valcken. Dissert. p. 124.

ἐν τῷ δευτέρῳ τῶν γενῶν] In cod. Leid. ἐν καταλόγῳ νεῶν : unde Valcken. ἐν β' καταλόγου νεῶν. Catalogi libri fuerunt duodecim.

18. *ὁ μήκων] ἡ μήκων

23. *ἀποτυχόντα] ἀποφύγοντα

25. μόνους] *ὅτι μόνους (sic Townl.)

325. ὅθι κληὶς ἀποέργει] περὶ τὸν σύνδεσμον τῆς ὠμοπλάτης ἤτοι τὴν ἀκρωμίαν. καίριον δὲ τοῦτο ὡς πρὸς τοξότην καλεῖ.

328. νάρκησε δὲ χείρ] ποῖος ὦμος βέβληται; δῆλον ὅτι ὁ ἀριστερὸς, διό φησι "τόξον δέ οἱ ἔκπεσε χειρός." ἄλλως τε τὸν προβεβλημένον ὦμον εἰκὸς πεπλῆχθαι, οὐχὶ τὸν συνεσταλμένον ἐν τῷ τοξεύειν. προδιέλυσε δὲ τὴν ὁρμὴν τοῦ λίθου ἡ κοπεῖσα νευρά.

* Πορφυρίου. ἐν τούτοις τοῖς ἔπεσι τοῖς περὶ τοῦ Τεύκρου εἰρημένοις ζητοῦσι ποίαν χεῖρα τέτρωται ὁ Τεῦκρος, καὶ πότερον τὴν νευρὰν ἐπὶ τὸν ὦμον ἕλκει, καθάπερ οἱ Σκύθαι· τοῦτο γὰρ ᾤετο Νεοτέλης, ὅλην βίβλον γράψας περὶ τῆς κατὰ τοὺς ἥρωας τοξείας, καὶ τοὺς μὲν Κρῆτας φάμενος τὴν νευρὰν ἕλκειν ἐπὶ τὸν μαστὸν, τὴν δὲ τάσιν κυκλοτερῆ ποιεῖσθαι, τῶν Σκυθῶν οὐκ ἐπὶ τὸν μαστὸν, ἀλλ' ἐπὶ τὸν ὦμον ἑλκόντων, μὴ προέχειν τὰ εὐώνυμα μέρη τοξεύοντα τὰ δεξιά. ῥητέον δὲ ὅτι αὐερύοντα οὐ δεῖ συνάπτειν τῷ παρ' ὦμον, ἀλλὰ στίξαντα ἐν τῷ αὐερύοντα τὸ ἐξῆς λέγειν, παρ' ὦμον ὅθι κληὶς ἀποέργει αὐχένα τε στῆθός τε· τοῦτο γὰρ τῷ μὲν τὴν νευρὰν ἐπὶ τὸν ὦμον ἕλκειν οὐ συνᾴδει, τῷ δ' ἐμφῆναι βουλομένῳ τὴν παρ' ὦμον πληγὴν, ὅπερ καὶ ποσὶ μάλιστα συνᾴδει· παρὰ γὰρ τὸν ὦμον ἡ κλεὶς ἐστιν, ἀποδιαιροῦσα τὸ στῆθος ἀπὸ τοῦ αὐχένος. τοῦτο μὲν οἶμαι οὕτως λύεται. φαμὲν δὲ ὅτι παρὰ τὸν ἀριστερὸν ὦμον ὁ λίθος κατηνέχθη. οὐκ ἐκ τῶν προκειμένων δὲ ἐπῶν, ἀλλ' ἐξ ὧν ἐπάγει, ἔδειξε· "ῥῆξε δέ οἱ νευρὴν, νάρκησε δὲ χεὶρ ἐπὶ καρπῷ, στῆ δὲ γυὶξ ἐριπὼν, τόξον δέ οἱ ἔκπεσε χειρός," οὐ μὰ Δία τῆς δεξιᾶς, ἀλλὰ τῆς εὐωνύμου. καὶ συνέβη ταύτην ναρκῆσαι κατὰ τὴν πρὸς τὸν ὦμον συνάφειαν, ὅπερ καὶ πεπληγέναι συνέβαινε. προσεχῆ γὰρ τῇ μὲν δεξιᾷ χειρὶ τὰ δεξιὰ τῶν ὑπὲρ αὐτὴν, τῇ δ' ἀριστερᾷ ἐν συναφῇ τὰ ἐναντία· καὶ οὐκ ἠδύνατο τῆς κρατούσης τὸ τόξον ἀριστερᾶς χειρὸς ναρκησάσης, καὶ διὰ τοῦτο ἀποβαλούσης τὸ τόξον, μᾶλλον ὁ δεξιὸς ὦμος βεβλῆσθαι, ἀλλ' οὐχ ὁ τῆς πεπονθυίας ἀριστερᾶς, ἐπεὶ καὶ προβάλλοντες μὲν τὸν ἀριστερὸν ὦμον, συστέλλοντες δὲ εἰς ἑαυτοὺς τὸν δεξιὸν τιτεύουσιν· ἑτοιμότερον δὲ εἰς βολὴν τὸ προβεβλημένον τοῦ κρυπτομένου.

7. * Πορφυρίου] om.
10. ὅλην βίβλον] ὅλ' β΄ quod pro ὅλον βίον accepit Vill. In schol. 9, 90 est ὅλου βί pro ὅλου βιβλίου, non ὅλου βίου, ut Vill. v. Schmidt. de Didymo p. 350.
18. συνᾴδει Vill.] συνάδειν
21. ἀλλ' addidit Bekkerus

331. περίβη] τὴν πριθυμίαν καὶ σπουδὴν αὐτοῦ διὰ τοῦ θέων ἐδήλωσεν, ἐπεὶ οὐ μακρόθεν ἦν, ἀλλ' ἐγγύς.

335. Ὀλύμπιος] πάλιν ἐπὶ τὸν Δία τὸ τῆς νίκης αἴτιον ἀναφέρει, μὴ θέλων μωμῆσαι Ἕλληνας.

336. οἱ δ' ἰθὺς τάφροιο] τῇ ταραχῇ τῶν φευγόντων μόνον οὐχὶ καὶ οἱ ἄριστοι τῇ τάφρῳ φεύγοντες ἐνέπεσον.

338. ὡς δ' ὅτε τίς τε κύων] οὐ δεόντως, φασί, τῷ κυνὶ ἓν ζῷον διώκοντι παραβάλλει τὸν Ἕκτορα διώκοντα πολλούς. ἄλλως τε οὐκ ἔδει εἰκάζειν τὸν διώκοντα κυνί, τοὺς δὲ διωκομένους ἀλκιμωτέρῳ ζῴῳ, τῷ λέοντι. ῥητέον δὲ πρὸς μὲν τὸ πρότερον ὅτι ὁ Ἕκτωρ εἴκασται κυνὶ ἑνὶ καὶ ὁ ἀποκτεινόμενος θηρὶ ἑνί· φησὶ γὰρ "αἰὲν ἀποκτείνων τὸν ὀπίστατον" (342). πρὸς δὲ τὸ δεύτερον ὅτι ἡ παραβολὴ οὐ πρὸς ἰσχύν, ἀλλὰ πρὸς τάχος· κύνες γὰρ ἐν ταῖς θήραις ἐπιτήδειοι πρὸς δίωξιν· διὰ τοῦτο ὁ Ἕκτωρ διώκοντι εἴκασται κυνί. τὰ δὲ ἄγρια ζῷα φεύγειν εἴωθε τὰ πολλά. διὰ τοῦτο οἱ ὑπιχωροῦντες Ἕλληνες τοῖς φεύγουσιν εἰκάζονται. ἔπειτα καὶ δεόντως τοῖς ἀλκιμωτέροις ζῴοις φεύγουσι παρέβαλε τοὺς Ἕλληνας· προεῖχον γὰρ τῇ ῥώμῃ, καὶ τὰ νῦν δυστυχοῦσι, καὶ ἀεὶ ὁ ποιητὴς εἴωθε κακοπραγοῦντας αὐτοὺς θηρσὶν εἰκάζειν.

339. ἅπτηται κατόπισθε] εὖ τὸ ἅπτηται· οὐ γὰρ ἐπιλαμβάνεται, ἐπιπηδᾷ δὲ ὑλακτῶν. εὖ δὲ καὶ τὸ ὄπισθεν· ἀντίος γὰρ οὐ πρόσεισι τῷ θηρίῳ, τὴν ἐμβολὴν αὐτοῦ φοβούμενος. καλῶς δὲ οὐ τῇ πλευρᾷ ἐπίκειται, ἀλλὰ τοῖς γλουτοῖς καὶ τοῖς ἰσχίοις πρὸς τὸ ῥᾳδίως ἐκκλίνειν τὴν ἐπιστροφὴν τοῦ θηρίου. ἐπιφέρει γεῖν "ἐλισσόμενόν τε δοκεύει." καὶ ἐν τῇ δυστυχίᾳ δὲ ὑψοῦται τὸ Ἑλληνικόν.

345. ἐρητύοντο μένοντες] οὐ κατὰ τοὺς Τρῶας πεφυζότες ἔμενον ἠΰτε νεβροί (Π. 22, 1)· φιλάλληλον γὰρ καὶ αἰδέσιμον ἀεὶ τὸ Ἑλληνικόν. εὔχονται δὲ θεοῖς καὶ ἀλλήλους παρακαλοῦσιν.

348. ἀμφιπεριστρώφα] οὐ περιττὴ ἡ ἑτέρα πρόθεσις, ἀλλ' ἐναργῶς δείκνυσι τὴν ἐν ταὐτῷ γινομένην συνεχῆ τοῦ Ἕκτορος συστροφὴν, ζητοῦντος κατὰ ποῖον εἰσελάσει μέρος τοὺς ἑαυτοῦ ἵππους.

349. Ἀρίσταρχος μὲν οἵματά φησιν, οἱ δὲ ἄλλοι ὄμματα· φησὶ γὰρ βλοσυρῶπις· καὶ ἀπὸ τῶν ὀμμάτων δὲ εἴωθε καὶ τοῦ προσώπου

13. * πρὸς τάχος] πρὸς om. 15. * οἱ] om.

χαρακτηρίζειν, ὡς τὸ "κυνὸς ὄμματ' ἔχων" (Il. 1, 225). Γοργόνος δὲ γράφει Ἀρίσταρχος, κακῶς· οὔτε γὰρ ὁ ποιητὴς οὔτε Ἡσίοδος Γοργών φασιν, ἀλλὰ Γοργώ.

350. τοὺς δὲ ἰδοῦσ' ἐλέησε θεὰ] ἀναρτᾷ πάλιν ἡμᾶς ἀπὸ τῶν παρόντων, μὴ διηγούμενος ὡς φιλέλλην τὴν τῶν Ἑλλήνων δυστυχίαν.

351. αἶψα δ' Ἀθηναίην] δείκνυσι τὸ αἶψα ὅτι δίχα ἐπιλογισμοῦ τοῦτο ποιεῖ· διὸ καὶ μεταμεληθήσεται ὕστερον. ἀποτυχοῦσα δὲ Ποσειδῶνος ταύτην ἀναπείθει.

352. ὦ πόποι] οἰκεῖον τῇ σχετλιαζούσῃ τὸ προοίμιον. κατ' ἐρώτησιν δὲ αὐτῇ διαλέγεται· οὐκέτι, φησὶ, κἂν ἐσχάτως τειρομένων κεκαδησόμεθα Ἑλλήνων; τὸ δὲ κεκαδησόμεθα ἀντὶ τοῦ φροντιοῦμεν, ἀπὸ τοῦ κήδεσθαι.

353. * κεκαδησόμεθ'] φροντιοῦμεν· ἐκ γὰρ τοῦ κήδω γίνεται.

355. ἀνδρὸς ἑνὸς ῥιπῇ] τεχνικῶς οὐ κατὰ Διὸς αὐτὴν ὀτρύνει, μή πως αἰδεσθῇ τῷ πατρὶ ἐναντιοῦσθαι· ἡ δὲ συνίησι τὸ σιωπηθὲν, καί φησιν "ἀλλὰ πατὴρ οὐμός." ἐμφαντικὴ δὲ ἡ μεταφορά· τὸ γὰρ ῥιπῇ ἐπὶ ἀνέμου καὶ πυρὸς τάττεται, ἄμφω δὲ ἔχει ἐπὶ Ἕκτορος· "ἐν δ' ἔπεσ' ὑσμίνῃ ὑπεραΐξ ἶσος ἀέλλῃ" (Il. 11, 297) καὶ "μαίνετο δ' ὡς ὅτ' Ἄρης ἐγχέσπαλος ἢ ὀλοὸν πῦρ" (Il. 15, 605).

358. καὶ λίην οὗτός γε] καὶ μὴν περὶ τούτου μὲν οὐδέν μοι μέλει, φησίν· ἀπολεῖται γὰρ ὅσον οὐδέπω· ὁ δὲ πατήρ ἐστιν ὁ ἐμὸς αἴτιος.

360. μαίνεται] ἐνθουσιᾷ, ὡς τὸ "μαίνετο δ' ὡς ὅτ' Ἄρης" (Il. 15, 605). τὸ φιλότιμον δὲ τῆς κακώσεως δηλοῖ.

362. οὐδέ τι τῶν μέμνηται] πρὸς μὲν τὸν Δία εὐπρεπὴς ἡ εἰς τὸν Ἡρακλέα τῆς εὐεργεσίας ἀνάμνησις, πρὸς δὲ τὴν Ἥραν οὐκέτι· αὕτη γὰρ ἠναντίωτο αὐτῇ σωζούσῃ τὸν Ἡρακλέα. ἢ ἐκεῖνο ῥητέον, ὅτι ἀνθρώπινόν τι ἔχει ἡ εἰκών· πολλὴν γὰρ σπουδὴν εἴς τινας εἰσενεγκάμενοι καὶ δι' αὐτῶν τοῖς ἀναγκαίοις εἰς ἀπέχθειαν ἐλθόντες, ἀχαρίστων ὄντων τῶν εὖ πεπονθότων, εἰώθαμεν σχετλιάζοντες εἰσφέρειν πρὸς οὓς ἀπηχθήμεθα τὴν τῶν εὐεργετηθέντων ἀχαριστίαν μεμφόμενοι ἑαυτοῖς ἐπὶ τῇ ἀβούλῳ κρίσει.

2. *Ἀρίσταρχος] Ζηνόδοτος Vill. 11. *τειρομένων] τῶν Ἀργείων
29. *αὕτη] αὐτὴ

364. ἤτοι ὁ μέν] τὸ εὐσεβὲς Ἡρακλέους δηλοῖ καὶ τὴν ἑαυτῆς αὔξει ἐπικουρίαν.

368. κύνα στυγεροῦ Ἄϊδαο] ἀπὸ τοῦ μείζονος ἄθλου πάντας δηλοῖ. οἶδε δὲ τὸν κύνα καὶ τὴν φύσιν αὐτοῦ. Πίνδαρος μὲν οὖν ἑκατόν, Ἡσίοδος δὲ πεντήκοντα κεφαλὰς αὐτὸν ἔχειν φησίν.

**τὸν Κέρβερον. τελεσθέντων τῶν Ἡρακλέους ἄθλων ἐν μηνὶ καὶ ἔτεσιν ὀκτὼ, μὴ προσδεχόμενος Εὐρυσθεὺς τόν τε τῶν Αὐγέου βοσκημάτων ἆθλον καὶ τὸν τῆς Ὕδρας, ἐνδέκατον ἐπέταξεν ἆθλον αὐτῷ, τὸν Κέρβερον ἐξ Ἅιδου κομίζειν.

369. αἰπὰ] προσάντη καὶ ἄνωθεν καταρρέοντα. τὸν πλοῦν δὲ τοῦ Κωκυτοῦ φησὶν, ὅς ἐστι Στυγὸς ὕδατος ἀπόρρωξ. Στυγὸς δὲ διὰ τὴν ἐπὶ τῷ θανάτῳ κατήφειαν.

370. στυγέει] οὐκ εἶπεν ὅτι οὐκ ἀντευηργετήθην, ἀλλ' ἠθικῶς ὅτι μᾶλλον καὶ μεμίσημαι.

371. τὴν μὲν Θέτιδος χάριν ἀπέκρυψε, λέγουσα δωρεὰν αὐτὴν εὐεργετεῖσθαι, τὴν δὲ ἰδίαν ὠνείδισε μὴ εὐεργετουμένη.

373. ἠθικῶς τῶν φιλοφρονήσεων τοῦ πατρὸς μέμνηται, αὐτὰ τὰ ὀνόματα εἰποῦσα οἷς παρακαλῶν αὐτὴν ὁ Ζεὺς πρὸς τὰς ἰδίας ὑπεκορίζετο χρείας.

374. ἀλλὰ σὺ μὲν] οὐχ ὡς ἧττονι κελεύει, ἀλλὰ καιρὸν λαμβάνουσα πρὸς τὸν ὁπλισμόν.

378. γηθήσει προφανείσας] ἠθικῶς καὶ τοῦτο πρὸς τὸ "ὁ δὲ μαίνεται οὐκέτ' ἀνεκτῶς" (455). προφανείσα δὲ γράφει Ἀρίσταρχος, δυϊκῶς. ὁ δὲ Ἡρῳδιανὸς προφανεῖσας βούλεται, συστέλλων Δωρικῶς τὸ ᾱ, ᾧ καὶ πειθόμεθα.

393. πύλαι μύκον οὐρανοῦ] οὕτως λέγει ἐπὶ τῶν θυρῶν ἀεὶ, ταύτην μιμούμενος τὴν φωνήν· "τὰ δ' ἀνέβραχεν ἠΰτε ταῦρος· τόσσον ἔβραχε καλὰ θύρετρα" (Od. 21, 48 et 49).

399. ταχεῖα] ἀντὶ τοῦ τάχεως, ὡς τὸ "λῦσε δ' ἀγορὴν αἰψηρήν"

5. Addit B Palaephati c. 40.
7. τῶν Vill.] τοῦ
Αὐγέου] αὖ
9. κομίζειν] Addit B de Cerbero Apollodori verba 2, 5, 12 εἶχε δὲ οὗτος—τῶν Ἅιδου βοῶν ἀπέσφαξεν, quae ex Ven. A dedimus vol. 1 p. 287 cum hac scripturae diversitate, Εὔμολπον—Εὐμόλπου A. Εὔφορβον—Εὐφόρβου B. ἦν δὲ—ξένοις] οὐκ ἐξὸν δὲ ἦν τότε τοῖς ξένοις κενταύρων] μεγισταύρων Τέναρον] Ταίναρον τὴν Γοργόνα] τὴν Γοργὼ παραθέσθαι] παρασχέσθαι
11. Στυγὸς—κατήφειαν] Haec ab alia manu addita.
19. * ὑπεκορίζετο] εἰσεπορίζετο
27. * τόσον] τόσσον

(Il. 19, 276) καὶ "ταχέες δ' ἵππῆες ἄγερθεν" (Il. 23, 287). λέγει δὲ ὅτι μὴ συγχώρει αὐτὰς ἐξ ἐναντίας τῆς ἐμῆς κελεύσεως ἔρχεσθαι· οὐ γὰρ καλῶς ὑποστραφήσονται.

408. ἐνικλᾶν] ἐμπεδίζειν. εἴληπται δὲ ἡ μεταφορὰ ἀπὸ τῶν εἰς τὰς ἀσπίδας ἀποθρανομένων δοράτων.

τὰ μὲν θεῖα ἐᾷ, σκοπεῖ δὲ τὰ βιωτικά· ἐναντιοῦνται γὰρ ἀλλήλοις ἄνδρες καὶ γυναῖκες.

411. πρώτῃσιν] ἄκραις, ὡς τὸ "ἐν πρώτῳ ῥυμῷ" (Il. 6, 40)· οὐ γὰρ πολλαὶ πύλαι τοῦ Ὀλύμπου. πολὺ δὲ τάχος ὑποφαίνεται τῆς Ἶριδος.

413. πῇ μέματον] καλῶς μηδὲ προσφωνήσασα αὐτὰς τοῦ πράγματος ἄρχεται. οἰκεῖον δὲ τῇ ἐπιπληττούσῃ πολλαῖς ἀρχαῖς κεχρῆσθαι.

415. Ἀρίσταρχος διὰ τοῦ η̄, καὶ ἔστιν ἀντὶ τοῦ ὡς, ἵν' ᾖ σύμφωνον τῷ "ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται."

420. οὐκ ἔδει, φασί, ταῦτα πρὸς τῆς Ἶριδος λέγεσθαι, ἀλλὰ μόνον τὰ τῆς ἀπειλῆς. ταῦτα δὲ σχετλιάζων φησίν, ἢ οὐ σχετλιάζων, ἀλλ' ἐντέχνως τὴν ὁμόνοιαν αὐτῶν διιστὰς, δι' ὧν τὴν μὲν ἀεὶ ἐναντιοῦσθαι αὑτῷ λέγει, τὴν δὲ νῦν καὶ πρῶτον, ἵνα αἰδεσθῇ μεταβάλλεσθαι.

423, 424. ἀθετοῦνται διὰ τὸ τραχύ· ὅσῳ δὲ δεινά ἐστι, τοσούτῳ τὴν κηδομένην ἐμφαίνει. θεραπεύεται δὲ καὶ διὰ τοῦ εἰ ἐτεόν γε τολμήσεις· οὐ γὰρ ἄντικρυς αὐτὴν ἀναιδῆ λέγει, ἀλλ' εἰ ἐθελήσειε μάχεσθαι τῷ Διί. πιθανῶς δὲ οὐκ ἤρκεσεν αὐτῇ ἀπαγγεῖλαι μόνον τὰ παρὰ Διὸς, ἀλλὰ καὶ παρ' αὐτῆς τι προσέθηκε. τοιαύτη δὲ ὁρᾶται καὶ ὅτε πρὸς τὸν Ποσειδῶνα πέμπεται (Il. 15, 178. 201), οὐ μόνον τὴν τοῦ ἀγγέλου, ἀλλὰ καὶ τὴν τοῦ συμβούλου ἀποπληροῦσα χώραν.

424. Διὸς ἄντα] ῥητορικῶς ἀμφοτέρας ἐνέθηκε τὰς προσηγορίας, ἐκεῖ μὲν ἐντρέπουσα σῷ πατρὶ, νῦν δὲ ἐκδειματοῦσα Διὸς ἄντα φησί. καὶ ἡ μὲν καθ' Ἕκτορος ὁρμᾷ, ἡ δὲ ἀλλοιωτικῇ στάσει χρωμένη κατὰ Διὸς αὐτήν φησι πολεμεῖν.

425. ἀπέβη] οὐ περιμένει τὴν ἀπόκρισιν, ἀλλ' ἐν ταῖς ἀπειλαῖς αὐτὰς καταλείπει πρὸς κατάπληξιν μείζονα.

9. * ὑποφαίνεται] ἀποφαίνεται 11. * αὐτὰς] αὐταῖς
16. * φασὶ] φησὶ

426. Ἥρη] ἡ καὶ τῆς συμβουλῆς προκατάρξασα.

428. τὸν ἐναντιούμενον ἠύξησε καὶ τὴν αἰτίαν ἐμείωσεν, ἕνεκεν ἀνθρώπων λέγουσα μὴ δεῖν διαφέρεσθαι τῷ Διί.

ὅταν εἰς τὴν ἀξίαν ἀτενίσῃ τῶν θεῶν, τότε φησὶν αὐτοὺς μὴ κινεῖσθαι περὶ θνητῶν, ὡς οὐδὲ ἂν ἡμεῖς περὶ μυρμήκων· ὅταν δὲ ἐπιλογίσηται τὴν ποιητικήν, ἕπεται τοῖς μύθοις καὶ τὴν ὑπόθεσιν ἐκτραγῳδεῖ, συμμαχίας καὶ θεομαχίας παράγων.

433. τῇσιν δ' Ὧραι] διὰ τοῦτο αὐταῖς αἱ Ὧραι ὑπηρετοῦσιν, ὅτι οὐκέτι τῷ Διὶ μέλλουσιν ἐναντιοῦσθαι.

435. ἐνώπια παμφανόωντα] τοὺς παρειδίους τοίχους· οὗτοι γὰρ μόνοι φαίνονται τοῖς παριοῦσιν. τινὲς δὲ τὸ ἐξῆς ἅρματα παμφανόωντα.

439. οὐκ εἶπεν ἤλαυνεν, ἀλλ' ἐδίωκεν ἐμφαντικῶς διὰ τὸ ταχύ, ὡς τὸ "ῥίμφα διωκομένη" (Od. 13, 162), ἤτοι ἐπειγομένη.

440. ἐννοσίγαιος] διὰ φιλαδελφίαν τοῦτο, οὐ διὰ τὴν τοῦ Διὸς ποιεῖ ἐνδοξότητα.

444. ἀμφὶς] χωρὶς, οὐκ εἰς τὴν συνήθη ἕδραν· ἀλλαχοῦ "πλησίον ἧσθην" (Il. 4, 21)· ὅθεν φησὶν "οὐδ' εἴ κε τὰ νείατα πείραθ' ἵκηαι" (478).

446. ἔγνω] διὰ τῆς καθέδρας ἢ τῆς σκυθρωπότητος.

448. οὐ μέν θην] τινὲς ἐν ἐρωτήσει, καὶ περὶ τῆς προτέρας νοοῦσι μάχης, οἷον οὐκ ἀπήρκεσεν ὑμῖν ἐκεῖνα· οἱ δὲ ἐν ἀποφάσει καὶ περὶ τῆς νῦν κερτομικῶς.

462. αἰνότατε Κρονίδη] οὐκ ἔδει λέγειν Ζεῦ πάτερ· οὐ γὰρ φιλοφρονεῖται· οὐδ' αἰνότατε Κρονίδη, πρὸς τὸ μὴ ἐρεθίσαι αὐτόν. αὐτοῦ οὖν ἄρχεται τοῦ πράγματος. καὶ ἡ Ἀθηνᾶ δὲ ταὐτὰ ἔλεγεν (33), ἀλλὰ φιλοφρόνως· διὸ ἐθάμασε τὸν Δία· ἡ δὲ ἐντεταμένως· διὸ ἐπιτείνει τὴν τοῦ Διὸς ὀργήν.

472. ὀλλύντ' Ἀργείων πουλὺν στρατὸν] κινητικὰ μὲν ταῦτα τῶν ἀκουόντων, ἀλλ' ὁρίζων τὸ πέρας παραμυθεῖται τὴν ἀτυχίαν.

473. τὸ οὐκ ἀποπαύσεται καὶ τὸ ὄβριμος πρὸς τὸ ἔτι λυπεῖν προστέθεινται.

477. θέσφατον] τὸ μοιρίδιον προβάλλεται, ἵνα μὴ δοκῇ τυραννεῖν.

479. γαίης καὶ πόντοιο] δείκνυσιν ὁ ποιητὴς ὅτι συναπολήγει γῇ καὶ θάλασσα, ὡς ἂν τοῦ ὕδατος περικεχυμένου τῇ γῇ σφαιρικῶς

27. * ἐντεταμένως] ἐπιτεταμένως

καὶ καλύπτοντος αὐτὴν πλὴν τῶν ἀνεχουσῶν ἠπείρων ἐν αἷς κατοικοῦμεν.

484. *τὸν δ' οὔτι προσέφη*] *ἐν καιρῷ ἡ ἀποσιώπησις· οὔτε γὰρ ἐπαινεῖν ἔχει τὰ λεχθέντα οὔτε ἀντιλέγειν πρὸς ὀργὴν τοιαύτην.*

485. *ἐν δ' ἔπες' Ὠκεανῷ*] *τῷ ὁρίζοντι, φησίν, ὃς διατειχίζει τοῖ κόσμου τὸ φανερὸν καὶ ἀφανές. οὐκ ἀληθῆ δὲ δηλεῖ ἔμπτωσιν τοῦ ἡλίου, ἀλλὰ φαντασίαν δίδωσιν ὡς ἐπὶ τὸν Ὠκεανὸν ἔρχεται ἐπὶ τὴν δύσιν ἐλθών.*

486. *ἕλκον νύκτα μέλαιναν*] *τῇ ἀσθενείᾳ τοῦ τῶν ἀκτίνων φωτὸς ἐφέλκεται ἡ νύξ. εὖ δὲ καὶ ὁ παρατατικός· σφαιροειδὴς γὰρ οὖσα ἡ γῆ οὐ πᾶσα ὑφ' ἓν σκιάζεται.*

βραχεῖαν ταύτην τὴν μάχην ἐποίησεν, ἐγχρονίζειν οὐ θέλων ταῖς τῶν Ἑλλήνων δυστυχίαις· ὅθεν μέρος μάχης καλεῖται.

490. *νόσφι νεῶν ἀγαγὼν*] *συνελάσας μέχρι τῶν νεῶν αὐτοὺς ἀφίσταται παρὰ τὸν ποταμὸν πρὸς τὸ μήτε τοῖς πολεμίοις ἐξακούεσθαι μήτε μακρὰν ἀπεῖναι τῆς πόλεως.*

493. *Διὶ φίλος*] *οὐδαμοῦ μᾶλλον ὁ Ἕκτωρ ἐν καιρῷ ἐλέχθη Διὶ φίλος ἢ νῦν, εἴ γε καὶ θεοῖς δι' αὐτὸν ἀπέχθεται.*

494. *ἔγχος ἔχ' ἑνδεκάπηχυ*] *καλῶς οὐ σκῆπτρον κατέχων δημηγορεῖ, ἀλλὰ τὰ τῆς ἀνδρείας σημεῖα προβαλλόμενος.*

498. *νῦν ἐφάμην*] *ὑπερηφανίας μεστὸς ὁ λόγος· οὐ γὰρ εὔνους θέλει ποιήσασθαι τοὺς ἀκροωμένους, ἀλλὰ μόνον καυχήσασθαι, οὐχ ὡς τὸ "ὦ φίλοι ἥρωες Δαναοί" (Il. 2, 110). καὶ πάλιν δὲ τὸ κοινὸν οἰκειοῦται κατόρθωμα καὶ πάλιν τῇ νίκῃ γαυριᾷ.*

503. *στρατηγικῶς πρὸ αὐτῶν τῶν ἵππων φροντίζει, ὃ καὶ Ἀνδρομάχῃ ποιεῖ· "ὑμῖν πὰρ προτέροισι μελίφρονα πυρὸν ἔθηκεν" (188).*

507. *οὐκ ἔστιν ἐπὶ τοῦ σίτου κοινὸν τὸ ἄξεσθε· οὐδὲν γὰρ τῶν ἀψύχων ἄγεται, φέρεται δὲ μᾶλλον. προσυπακουστέον τὸ φέρετε.*

509. *καίωμεν πυρὰ*] *πρὸς ἀσφάλειαν μὲν ἑαυτῶν, κατάπληξιν δὲ τῶν πολεμίων. στρατηγικῶς δὲ εὐέλπιδας αὐτοὺς ποιεῖ διὰ τῆς τῶν πολεμίων φυγῆς.*

20. *ἀνδρείας*] *ἀνδρίας*
27. *ἄξεσθε*] *ἄξασθε* (in A *ἄξεσθαι*)
29. *καίωμεν πυρὰ—φυγῆς*] Sequitur in B scholion Porphyrii, *τοῦ ποιητοῦ—δέκεσθε*, quod ad 10, 418 recte totum transtulit Bekkerus, ubi in B altera tantum pars scholii, *προδεδηλωμένου ὅτι—τὸ δέχεσθε δέκεσθε*, est repetita, multa cum diversitate scripturae, omissa priore, *τοῦ ποιητοῦ—ὕσσαι μὲν πυρὸς ἐσχάραι.*

513. *βέλος*] τὸ ἐκ βολῆς τραῦμα, ὡς τὸ "ὡς δ' ὅταν ἀδίνουσαν ἔχῃ βέλος" (Il. 11, 269).

519. *λέξασθαι*] παρὰ τὸ λέχος, καὶ ξύλα λέξασθαι, καὶ "Τρῶας μὲν λέξασθαι" (Il. 2, 125), ὅθεν καὶ λογάδες καὶ σύλλογος Ἀχαιῶν.

520. *θηλύτεραι*] τῶν ἄλλων ζῴων, ἢ τῶν παρθένων. αἱ τετοκυῖαι, φησὶ, τὴν συνήθη ἐπικουρίαν πρασσέτωσαν, συνεργοῦσαι κατὰ δύναμιν τοῖς κακοπαθοῦσιν.

523. *ὣδ' ἔστω*] τυραννικῶς αὐτοῖς, οὐχὶ βασιλικῶς διαλέγεται, ἐπηρμένος τῇ ἀλαζονείᾳ.

524. **ὑγιής*] ὁ ἀπαραποίητος καὶ ἀπαράβατος.

527. *ἐξελάαν ἐνθένδε*] ὅρα τὸ παλίμβολον Ἕκτορος· τῇ γυναικὶ ἔλεγεν "ἔσσεται ἦμαρ ὅταν ποτ' ὀλώλῃ Ἴλιος ἱρή" (Il. 6, 448), ὧδε δὲ ἄλλως. ἐκεῖ μὲν γὰρ τῶν Τρώων ἡττωμένων δύσελπις ἦν, ἐνταῦθα δὲ τῇ μάχῃ κρατῶν ἐλπίζει τὰ χρηστά.

532. *ἐντέχνως ἐφ' ἑαυτοῦ μὲν εἶπεν ὅτι οὐκ ἀπωσθήσεται, ἐπὶ δὲ τοῦ Διομήδους ὅτι ἀναιρεθήσεται καὶ ὅτι σκῦλα παρέξει αὐτῷ ἀποθανών. στρατηγικῶς δὲ παραθαρσύνει αὐτούς· δεδίασι γὰρ Διομήδην διὰ τὴν ὑπόγυιον ἀριστείαν· καὶ τὸ Τυδείδης προσλαβὸν τὸ ἄρθρον οὐκ ἀργὴν τὴν ἀναφορὰν ἔχει.*

535. *ἀμφ' αὐτὸν ἑταῖροι*] ἀπὸ κοινοῦ ληπτέον τὸ κείσονται.

539. *εἴην ἀθάνατος*] βαρβαρικὸν τὸ εὔχεσθαι τὰ ἀδύνατα.

542. *κελάδησαν*] καλῶς ἐπὶ μὲν Ἑλλήνων φησὶν "Ἀργεῖοι δὲ μέγ' ἴαχον" (Il. 2, 333), ἐπὶ δὲ Τρώων κελάδησαν λέγει· θορυβῶδες γὰρ ἀεὶ τὸ βαρβαρικόν.

555. **Πορφυρίου*. ἐκ τοῦ ἀδυνάτου καὶ τοῦτο· πῶς γὰρ δυνατὸν περὶ τὴν φαεινὴν σελήνην ἀριπρεπῆ εἶναι τὰ ἄστρα; λύεται δὲ ἐκ τῆς λέξεως. τὸ φαεινὴν οὐκ ἐπὶ τῆς τότε, ἀλλ' ἐπὶ τῆς φύσει, ὡς ἐπὶ τούτου "κούρη δ' ἐκ θαλάμοιο φέρεν ἐσθῆτα φαεινήν" (Od. 6, 74), οὐκ ἐπὶ τῆς τότε, ἀλλ' ἐπὶ τῆς φύσει· καὶ "πλήθει γὰρ δή μοι νεκύων ἐρατεινὰ ῥέεθρα (Il. 21, 218). τὸ ἀμφὶ σελήνην φαεινὴν φύσει· οὕτω συντακτέον· ὅτε γὰρ ἐκείνη φαεινή, οὐ πάντως ἀριπρεπῆ τὰ ἄστρα, ἀλλ' ὅταν μὴ φαίνηται, ἢ φαίνοιτο μὲν, οὐ μὴν φαεινὴ, ἀλλά πως ἀμαυρὰ καὶ ἀλαμπὴς, τινὶ αἰτίᾳ ἐπηλυγαζομένη.

7. *ἐπικουρίαν*] *οἰκουρίαν* Bekkerus 26. * Πορφυρίου] om.

οἱ μὲν ἄρτι φαίνεσθαι ἀρχομένην, "οἱ δὲ λεπτὴν, ὡς τὸ μάστιγα φαεινήν" (Il. 10, 500)· οἱ δὲ τὴν φύσει φαεινήν. προσφυῶς δὲ τῷ νυκτερινῷ φωτὶ παρεικάζει αὐτά.

560. ἄλλως ἐσχημάτισε τὸν λόγον, οὐκ ἐπενεγκὼν τῷ "ὡς δ' ὅτ' ἐν οὐρανῷ ἄστρα" τὸ "οὕτως μεταξὺ νεῶν."

563. ἀφορμὴν λαβὼν καὶ τῶν Τρώων ἡμῖν τὸν ἀριθμὸν ἐδήλωσεν, ὅτι ἀμφὶ τὰς πέντε μυριάδας ἐστὶν ὁ τῶν πολιτῶν· οἱ γὰρ ἐπίκουροι καθεύδουσι Τρωσὶ τὴν φυλακὴν ἐπιτρέψαντες.

ΕΙΣ ΤΗΝ Ι.

Λιτὰς μὲν τὴν ῥαψῳδίαν καλοῦσιν. ἐπειδὴ δὲ οἱ Τρῶες ἐκ παραδόξου νικῶσι, βέλεσι Διὸς, οὐκ οἰκείᾳ δυνάμει, παντὶ πόνῳ τὴν τύχην φυλάττουσι, παρεμβολὴν ἐπὶ τῷ ναυστάθμῳ ποιούμενοι. τοῖς δὲ Ἕλλησιν ἅπαντα δυσχερῆ, πρῶτα μὲν ἐν καιρῷ μὴ παρόντος ἀγαθοῦ συμμάχου, εἶτα καὶ μετὰ παράβασιν τοσοῦτον εὐτυχούντων Τρώων οἱ κεραυνοὶ τοῦ Διός· μάλιστα δὲ πάντων ὁ τὴν αἰτίαν ἔχων Ἀγαμέμνων ἄχθεται. ὅταν δὲ ἄλλων πραγμάτων ἄρχεσθαι μέλλῃ, ὡς οἱ νόμιμοι τῶν ἱστοριογράφων, παραγραφὰς ἐμβάλλει· μεταβαίνων γὰρ ἐπὶ τὰ Ἑλλήνων ἀπεκρύφωσε τὸν λόγον.

1. Τρῶες φυλακὰς ἔχον—Ἀχαιοὺς—ἔχε φύζα] ὅρα πῶς τὸ ἀντίθετον ἑνὶ ἐδήλωσε ῥήματι, Τρῶες ἔχον—Ἀχαιοὺς ἔχε.

2. θεσπεσίη] ἡ βουλήσει θεῶν προσγεγενημένη. φύζα δὲ ἀεὶ μὲν ἡ μετὰ δέους φυγὴ, ὅθεν καὶ "φυζακίνῃς ἐλάφοισι" (Il. 13, 102)· νῦν δὲ ἔκπληξις. ἀπολογεῖται δὲ ὅτι ἐκ θεῶν. κρυόεις δὲ φόβος ὁ ψυχρός· τὸ γὰρ θερμὸν ἐπιλείπει τοὺς δεδιότας.

3. πένθεϊ] οἱ μὲν ἄλλοι ἐν φυγῇ, οἱ δὲ ἄριστοι ἐν πένθει· ἀνάξιον γὰρ Ἑλληνικῶν ἀρχόντων ἡ φυγή. μάλιστα δὲ αὐτῶν ἅπτονται αἱ συμφοραί· καὶ γὰρ τὰς τῶν κατορθωμάτων αἰτίας ἐπὶ τούτους ἀνάγομεν. τὸ μὲν οὖν βεβολήατο ἐπὶ ψυχῆς, τὸ δὲ βεβλήατο ἐπὶ σώματος.

4. καὶ γὰρ καὶ τὰ τούτους λυποῦντα διττὰ, ἡ τῶν παρελθόντων ἔκπληξις καὶ δέος τῶν μελλόντων.

16. οἱ] εἶτα οἱ Vill. 18. νόμιμοι] Fort. δόκιμοι.

*νῦν δοκεῖ πρὸς μηδεμίαν χρείαν δυοῖν ἀνέμοιν εἰκόνα παραλαμβάνειν· εἰ γὰρ αὐξήσεως ἕνεκα, ἔδει τοὺς τέσσαρας, ὡς ἐν ἄλλοις "σὺν δ' Εὖρός τε Νότος τ' ἔπεσον Ζέφυρός τε δυσαὴς καὶ Βορέης αἰθρηγενέτης, μέγα κῦμα κυλίνδων" (Od. 5, 295). λύει δὲ τὴν ἀπορίαν αὐτὸς, ὡς καὶ Ἀπολλώνιος ὁ τοῦ Μόλωνος παρέστησε· δύο γὰρ πάθεσι χειμαζομένους ποιήσας τοὺς Ἀχαιοὺς, φόβῳ μὲν ἐν οἷς εἴρηκε "θεσπεσίη ἔχε φύζα, φόβου κρυόεντος ἑταίρη," λύπῃ δὲ ἐν οἷς ἐπάγει "πένθεϊ δ' ἀτλήτῳ βεβολήατο πάντες ἄριστοι·" δεδίασι γὰρ τὰ μέλλοντα, βαρέως δὲ φέρουσι τὰ γεγονότα οἱ ἄριστοι· δύο οὖν πάθεσι συνεχομένους εἰπὼν τοὺς Ἕλληνας προσηκόντως ἀπεικάζει πελάγει δυσὶ πνεύμασιν ἐξεγειρομένῳ. τὸ θεσπεσίη δ' ἔχε φύζα δηλοῖ τὸν οὐ προσγινόμενον αὐτοῖς διὰ δειλίαν φόβον, ἀλλ' ἐκ βουλήσεως θεῶν, ὥς που καὶ ἐν ἄλλοις αὐτὸς ἀντέθηκεν, εἰπὼν "γνώσεαι δ' εἰ καὶ θεσπεσίῃ πόλιν οὐκ ἀλαπάξεις ἢ ἀνδρῶν κακότητι καὶ ἀφραδίῃ πολέμοιο" (Il. 2, 367), τουτέστι θείᾳ βουλήσει καὶ οὐ συμφύτῳ κακίᾳ. ἔστι δὲ καὶ ἐπίθετον ἄλλων τὸ τῆς θεσπεσίας, ὡς τὸ θεσπέσιον πλοῦτον καὶ θεσπεσίη φύζα. ἐκ κοινοῦ ἔσται ἡ κακότης· γνώσῃ πότερον θεσπεσίῃ κακότητι ἢ ἀνδρῶν κακότητι. δηλοῦται δὲ οὕτως ἡ θεία. φύζα δέ ἐστιν ἡ φυγή· φόβου δὲ φίλη λέγεται, ὅτι ὁ φοβούμενος τὴν φυγὴν προσεταιρίζεται. καὶ τὸ μὲν βεβολήατο τὴν βούλησιν βεβλάφθαι δηλοῖ, τὸ δὲ βεβλῆσθαι δηλοῖ τὸ σῶμα. ἀνιστόρητον δέ φασιν εἶναι τὸ τοὺς ἀμφοτέρους, ἤγουν τὸν Βορέαν καὶ τὸν Ζέφυρον, πνέειν ἐκ τῆς Θράκης· οὐ γὰρ πνέουσιν ἀμφότεροι ἐξ αὐτῆς. λύεται δὲ ἐκ τῆς λέξεως τρόπῳ συλληπτικῷ· τὸ γὰρ θατέρῳ συμβεβηκὸς ἐπ' ἀμφοῖν τέθεικεν. ἔστι δὲ καὶ ἑτέρως. ὁμωνύμως γὰρ τὰ πνεύματα καὶ οἱ προεστῶτες αὐτῶν θεοὶ λέγονται· τοὺς δὲ σωματικῶς ἐν Θράκῃ κατοικοῦντας ὑποτίθεται ὁ ποιητής.

6. ἄμυδις] ἅμα τῷ πνεῦσαι τοὺς ἀνέμους. ψιλωτέον δὲ τὸ ἄμυδις. Αἰολικὸν γὰρ καὶ τόνον καὶ πνεῦμα ἐδέξατο.

7. δύο εἰσὶ προθέσεις. ἀμέλει καὶ τρέπεται τὸ ξ εἰς τὸ κ, παρὲκ μέγα, παρὲκ νόον. τινὲς δὲ ἓν μέρος λόγου, ὅπερ ἐστὶν ἐπίρρημα.

1. Πορφύριος praescripsit Vill.
* ἀνέμοιν] ἀνέμων
4. αἰθρηγενέτης Vill.] αἰθριγενέτης
7. ἐν οἷς Bekkerus] ἐφ' οἷς
10. ἀπεικάζει] αὐτοὺς ἀπεικάζει Vill.
11—22. θεσπεσίη ἔχε—δηλοῖ τὸ σῶμα] His verbis Πορφυρίου praescriptum in aliis.
16. ἔστι Bekk.] εἰ

ἔστι δὲ καὶ πάρεξ, ὃ γενικῇ θέλει συντάσσεσθαι. μετὰ τὴν διά δὲ οὖσα ἡ ἐξ οὐδέποτε τρέπει τὸ ξ. τὸ δὲ ἐξῆς οὕτως, πολλὸν δὲ παρὰ τὴν ἄλα φῦκος ἐξέχευαν.

11. τὸ μὲν πλῆθος οὐ συνάγει, ἐπεὶ ἐν ταῖς δυσπραγίαις ὀργίζονται τοῖς ἄρχουσιν, ἐπ' ἐκείνους τὴν αἰτίαν τῆς συμφορᾶς ἀναφέροντες. ἄλλως τε εἰ καὶ μηδὲν δυστυχήσαντες οὕτω πρώην ἐδέξαντο τὴν φυγήν, πόσῳ μᾶλλον νῦν δυστυχήσαντες; κατ' ὄνομα δὲ τοὺς ἀρίστους συνάγει, ἵνα μὴ ἔκπυστα γένηται τοῖς πολεμίοις τὰ πρασσόμενα, ἢ καὶ πρὸς τὸ μὴ ταράξαι τοὺς οἰκείους. οὐδὲ ἐν ταῖς δυστυχίαις οἷν ἐξίσταται τῶν πρακτέων ὁ βασιλεύς.

14. ἵστατο δακρυχέων] διὰ τοῦ βαρέως στενάζειν τὸ δακρυχέειν δηλοῦται, ὡς τὸ "ἐξόμενοι λεύκαινον ὕδωρ" (Od. 12, 172). τοῦτο δὲ ποιεῖ, ἵνα ἐλεεινὸς γεγονὼς μὴ καταλειφθῇ παρ' αὐτῶν.

15. δνοφερόν] μετὰ δονήσεως φερόμενον. τῷ δὲ ψόφῳ ὁ στεναγμὸς εἴκασται.

17. *Πορφυρίου. διὰ τί λέγοντα ποιεῖ ἐν δήμῳ "ὦ φίλοι Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες," τοὺς ἡγήτορας καὶ βασιλεῖς προσφωνῶν, καίπερ πάντων παρόντων; φησὶν οὖν ὁ Ἀριστοτέλης ὅτι ὁ μὲν δῆμος μόνου τοῦ ἀκοῦσαι κύριος, οἱ δὲ ἡγεμόνες καὶ τοῦ πρᾶξαι.

τὴν μὲν πρώτην πεῖραν ὁ Ἀγαμέμνων σύμπαντος τοῦ πλήθους ἐποιεῖτο καὶ "ὦ φίλοι ἥρωες Δαναοί, θεράποντες Ἄρηος" ἔλεγεν· νῦν δὲ ταύτην δευτέραν πεῖραν εἰς τοὺς Ἀργείων ἡγεμόνας φέρει, δεδοικὼς μὴ καὶ τούτων τὴν γνώμην ἡ γενομένη ἧττα καὶ ὁ παρὰ τοῦ Διὸς φόβος ἀνέτρεψεν. ὅτι γὰρ ἀποπειρωμένου ἦν καὶ ἐξ αὐτῆς τῆς συνόδου μανθάνομεν καὶ ἐξ ὧν Ἀγαμέμνων τὴν Διομήδους ἐπίπληξιν φέρει, οὐκ ἐνεγκὼν τὸ πρῶτον τὴν τοῦ κρείττονος Ἀχιλλέως δικαιολογίαν. δῆλον δὲ καὶ ἐξ ὧν ὁ Νέστωρ, ὡς τὴν τοῦ βασιλέως γνώμην εἰδὼς, τὸν Διομήδην ἐπαινεῖ, πρότερον ἐπιτιμήσας τῷ Ἀχιλλεῖ.

18. Ζεύς με μέγα Κρονίδης] ἀπαλλάττει τῆς κατηγορίας ἑαυτόν. οὐ πρὸς τὸ πλῆθος δὲ ἀποτείνεται, ἐπεὶ μόνοι ἡγεμόνες οἱ παρόντες εἰσίν. τότε δέ μοι, φησὶν, ὑπέσχετο καὶ κατένευσε τὴν Ἴλιον ἐκπορθήσαντα ἀναστρέψαι, ὅτε αὐτῷ ἐν Αὐλίδι τὰς θυσίας ἐποιοῦμεν, καὶ τὸ τέρας ἡμῖν ὑπέφηνεν ἀκριβῶς.

16. *Πορφυρίου] om.

25. ἔτι καὶ λύσει] ὑπόψυχρόν ἐστι τὸ διστάζειν περὶ τῆς ἁλώσεως Τροίας ἐν τοιαύτῃ δεινῇ συγκεκλεισμένον τῇ περιστάσει.

29. ἀκήν] ἀπὸ τοῦ ἄγη γίνεται· οἱ γὰρ ὑπερβάλλοντες θαυμασμοὶ ἐκπλήσσουσι, πᾶσα δὲ ἔκπληξις σιωπὴν ἄγει, ὡς καὶ τὸ "βῆ δ' ἀκέων" (Il. 1, 34) ἀντὶ τοῦ ἐκπλαγείς. ἄγη καὶ παρὰ τὴν ἀχανίαν ἄχη καὶ ἄγη· οὔτε οὖν μένοντες χρηστὴν εἶχον ἐλπίδα οὔτε φεύγειν εὐκλεὲς ἡγοῦντο. ἅμα δὲ καὶ τὴν προτέραν πεῖραν εἰδότες ὑποπτεύουσι τίς ὁ νοῦς τοῦ λέγοντος. ἔοικε δὲ αὐτὸς ὁ ποιητὴς διστάζειν τίνα ἀντιτάξει τῇ ῥητορείᾳ Ἀγαμέμνονος εὖ ἐχούσῃ καὶ κηδεμονικῶς.

31. Διομήδης] οἰκεία Διομήδους ἡ ῥητορεία· τὸν γὰρ παραιβάτην Ἕκτορος ἐφόνευσε, τὴν σώζουσαν Ἀλέξανδρον ἔτρωσε, τοὺς Αἰνείου ἵππους ἔλαβε, χρύσεια ὅπλα ἔσχεν, Ἰδαίῳ μόνος ἀντεῖπε, τοὺς κεραυνοὺς μόνος ὑπέμεινεν, ἔφυγεν ὕστατος, ὑπέστρεψε πρῶτος· ὀνειδισθεὶς δὲ ὑπὸ Ἀγαμέμνονος εὐκαίρως αὐτὸν νῦν ἀντονειδίζει μετὰ τὴν ἀριστείαν, ἀρετῇ δὲ καὶ θυμῷ καὶ φιλοδοξίᾳ παρώξυνται. εἰ δὲ ἦν γέρων, ἐδόκει ἐκγελᾶν ἀλλοτρίους πόνους· εἰ δὲ ἀσύνετος ἐτύγχανεν, ὑπωπτεύετο πάντως τῆς ἀσφαλείας καταφρονῶν.

32. σοὶ πρῶτα] εἰπὼν τὸ πρῶτα, δηλοῖ ὡς καὶ τοῖς ἄλλοις ἐπιμέμφεται τῇ φυγῇ διὰ τῆς σιωπῆς συναινοῦσι. μάχην δέ φησι τὴν τοῦ λόγου ἐναντίωσιν.

33. προδιόρθωσίς ἐστιν, ἐπειδὴ αὐτοῦ σφοδρότερον μέλλει καθάπτεσθαι, ὡς ἐφιεμένου μὴ ἄλλοτε ἢ ἐν ταῖς δημηγορίαις ἀντιλέγειν τοῖς βασιλεῦσι. προπαραιτεῖται δὲ τὴν ὀργήν, ἀξιῶν δέξασθαι τὴν πρὸς τὸ συμφέρον ἀλήθειαν, καὶ δηλῶν ὡς τοῖς εἰρημένοις, οὐκ αὐτῷ ἀπέχθεται. εὖ δὲ καὶ τὸ μή τι χολωθῇς, ἀξιοπίστως εἰρημένον· εἰ γὰρ καὶ οἶδε τὰ καταθύμια αὐτῷ λέξων, ὅμως ἀναφέρει πρὸς τὸ "στυγέῃ δὲ καὶ ἄλλος" (Il. 1, 186). θέμις δὲ τῆς δημηγορίας τὸ τὸ δοκοῦν παρρησιάζεσθαι.

34. πρῶτον] οὐ πρῶτον, ἀλλὰ πρῶτος. δηλοῖ δὲ τὸ μόνος, οἷον μετὰ σεαυτοῦ μὴ ἔχων ἕτερον· οὐ γάρ τίς με, φησί, καὶ ἄλλος ὕβρισεν, ἀλλὰ σὺ πρῶτος, ἤτοι μόνος αὐτὸς καὶ τέλος καὶ ἀρχή. ὃν δὲ βαρύτατα φέρων ἠνέσχετο ψόγον δειλίας, περὶ τούτου πρῶτον

14. * ὕστατος] ὕστερος
28. * στυγέῃ] στυγέει
30. πρῶτον] In textu est πρῶτον, id est πρῶτον, superscripto a m. pr. πρῶτος.

ἔρρηξε φωνήν· ἐκ γὰρ θυμοῦ καὶ φιλοδοξίας τὰ συμβουλευόμενα παρεὶς τὴν ὑπὲρ ἑαυτοῦ παρρησίαν πρῶτον εἰσήγαγεν.

** περὶ τῆς δυνάμεώς μου ὠνείδισάς με ἐν τοῖς Δαναοῖς ὡς ἀσθενῆ καὶ ἄπειρον πολέμου. ἤτοι δὲ ἐν ἤθει λέγει. τὴν μέντοι ἀναφορὰν ἔχει ταῦτα ἐπὶ τὰ ῥηθέντα ὑπὸ Ἀγαμέμνονος ἐν τῇ Δ ῥαψῳδίᾳ (370) "ὤ μοι Τυδέος υἱὲ δαΐφρονος ἱπποδάμοιο. τί πτώσσεις; τί δ' ὀπιπτεύεις πολέμοιο γεφύρας;"

36. ἀνεπαχθῶς τοῦτό φησι διὰ τὸ σῶσαι τὸν Νέστορα· διὸ κἀκεῖνος λέγει "πολέμῳ ἔνι καρτερός ἐσσι" (53).

37. διάνδιχ' ἔδωκε] διῃρημένως τὸ ἕτερον τῶν δυεῖν, οὐχ ἑκάτερον.

38. σκήπτρῳ μέν] προθεραπεύει διὰ τούτου, ὡς δειλοῦ μέλλων καθάπτεσθαι.

39. ὅ τε] τὸ ἄμφω κεκτῆσθαι, ὡς οὐ τέλειος εἴη βασιλεὺς ὁ μὴ ἔχων τὰ δύο· καὶ ὅτι ἡ μὲν δύναμις βασιλείαν περιποιεῖ, ἡ δὲ βασιλεία πρὸς κτῆσιν ἀλκῆς ἀδύνατος. δύο δέ εἰσι, τὸ μὲν ἐκ τύχης, τὸ δὲ ἐξ ἀρετῆς, ὅπερ ἀποδέχεται ὁ ποιητὴς, ὡς μὴ δεήσοντος πόνου. καὶ Ἀχιλλεὺς οὖν ταὐτὰ ὀνειδίζει. οὐ πειστέοι δὲ ἀντιπολιτευόμενοι· τὰ δὲ ἀπαθῆ τῶν προσώπων πρὸς μαρτύρησιν ἱκανὰ, εἷον τὸ "βασιλεύς τ' ἀγαθός" (Il. 3, 179) καὶ τὸ "ἦ αὐτὸν βασιλῆα" (Il. 7, 180).

40. δαιμόνι'] εὔκαιρος ὁ ἔπαινος διὰ τὰ κατ' αὐτοῦ εἰρημένα.

43. ἔρχεο, πάρ τοι ὁδός] πικρὰ μὲν τῷ ἀκούεσθαι, ἥδιστα δέ ἐστι τῷ νοεῖν. ταῦτα γὰρ ἀκούειν ἐθέλει Ἀγαμέμνων παρὰ τῶν Ἀχαιῶν, ὅτι ἐθελονταὶ τὸν κίνδυνον ἀναδέχονται, ὡς δημοκρατούμενοι, οὐ βιαζόμενοι.

44. αἵ τοι ἔποντο Μυκήνηθεν] τούτων γὰρ ἄρχει μόνων, οὐχ Ἑλλήνων. πῶς δὲ οὐκ αἰσχρὸν σὺν πολλῷ ἐλθόντα στόλῳ μάταιον ὑποχωρεῖν;

45. ἄλλοι μενέουσι] ῥητορικῶς αὐτῶν προενεχυράζει τὴν γνώμην.

46. ὑποστικτέον εἰς τὸ αὐτοί, καὶ λείπει τὸ θέλουσι φυγεῖν· ἢ κοινὸν τὸ ἐπέσσυται ὥστε νέεσθαι. κομματικῶς δὲ εἶπε, μιμούμενος τὸν θυμούμενον.

18. πειστέοι] πιστευτέοι Vill. 19. * τῶν προσώπων] om.
25. * ἐθελονταὶ] ἐθελοντεῖς

48. προτρεπόμενος αὐτοὺς οὐκ ἐδίστασεν, ἀλλὰ προθύμως φθέγγεται ταῦτα.

49. τῶν λόγων τὸ ὑψηλὸν τῇ θείᾳ προνοίᾳ λύει. ἔστι δὲ ὅμοιον τῷ "πειθόμενοι τεράεσσι θεῶν" (Il. 4, 408).

52. ἡ σιωπὴ Ἀγαμέμνονος ἀπόπειραν δευτέραν ἔχει τῶν Ἑλλήνων. οὔτε δὲ ἀντιπράσσει τῷ Διομήδει (θυμήρη γὰρ εἶπεν) οὔτε ὡς ἡδόμενος συναινεῖ, ἵνα μὴ πρὸς τὸ μέλλον ἄπιστον ἑαυτὸν καταστήσῃ τοιοῦτόν τι τεχνάσασθαι. καλῶς δὲ μετὰ τὸ μαθεῖν τὴν γνώμην τῶν Ἀχαιῶν ἐπάγει τὸν λόγον ὁ Νέστωρ.

55. δύο γὰρ τὰ ἀκυροῦντα πάντα, ἥ τε τῶν λόγων ἐναντίωσις καὶ ἡ μέμψις.

οἷς ἀμφοῖν ἐλοιδόρησε τὸν βασιλέα, τούτοις αὐτὸν προὔχειν φησὶν, ἀλλ' οὐκ ἄκρως· οὔτε γὰρ κρατερώτατον εἶπεν, ἵνα μὴ τοὺς ἄλλους λυπήσῃ καὶ αὐτοὺς τῆς ἀνδρείας ἀντιποιουμένους, ἀλλὰ καὶ μετὰ πάντας ὁμήλικας, ἵνα μὴ τοὺς πρεσβυτέρους ἀνιάσῃ. ἄλλως τε καὶ ἀνατρέψαι αὐτοῦ τὸν λόγον βούλεται· διὸ καὶ οὐ συνετώτατον καλεῖ αὐτόν.

* τουτέστιν οὐκ ἐπλήρωσας τὸν λόγον σου. τὰ μὲν γὰρ πρὸς τὸν βασιλέα δεόντως εἴρηκας. ἐλλείπει δὲ τὰ τῆς συμβουλῆς καὶ παραφυλακῆς, ἅπερ αὐτὸς ἀναπληροῖ.

57. τῷ τῆς συγγενείας ὀνόματι τὴν ἐξ αὐτοῦ ἐπισπᾶται εὔνοιαν. ὅρα δὲ ὁπόσοι οἱ ἔπαινοι· σχεδὸν γὰρ αὐτῷ ἀπένειμε τὸ πᾶν τῆς συμβουλῆς.

60. ὃς σεῖο γεραίτερος] ἀνεπιφθόνως οὐ τὴν σύνεσιν, ἀλλὰ τὴν ἡλικίαν προβάλλεται, διὰ ταύτης ἔχειν ἀξιῶν τὸ κρεῖττον καὶ λογιώτερον.

61. ἐξείπω καὶ πάντα διίξομαι] τοῦτο πρὸς τὸ "ἀτὰρ οὐ τέλος ἵκεο μύθων" (56) ἀντιπαρατέθειται.

62. οὐδὲ κρείων Ἀγαμέμνων] πρὸς τὸ μὴ Διομήδην ἀντειπεῖν τοῖς λεχθησομένοις. οἶδε δὲ Ἀγαμέμνονα εἰπόντα τὸ "εἰ δέ ποτ' ἔς γε μίαν βουλεύσομεν" (Il. 2, 379).

1. Hoc et proximum scholion inverso ordine leguntur in B.

12. προὔχειν B, sed spiritu, ut videtur, eraso.

14. * ἀνδρείας] ἀνδρίας

20. * ἀναπληροῖ] ἀναπλεῷ

24. * ἀνεπιφθόνως] ἀνεπιφθόνως οὕτως

63. ὁ μὲν μένειν παρήγγειλεν, ὁ δὲ τοὺς συμμάχους ὁμονοοῦντας ἔχειν. διδάσκει δὲ ὡς εἶναι μὲν πολεμικὸν δεῖ, δι' ὧν φησὶν "οἷς οὔτι μέλει πολεμήϊα ἔργα" (Il. 2, 338), οὐ μὴν φιλοπόλεμον· ἀνατρέπει γὰρ τοῦτο πᾶσαν πολιτείαν. Διομήδης δὲ νῦν μὲν οὐκ ἀντεῖπεν, ἵνα μὴ ἀφρήτωρ δοκῇ· ὅτι δὲ οὐκ ἠρέσθη τῇ γνώμῃ, δηλοῖ διὰ τοῦ "μὴ ὄφελες λίσσεσθαι" (698). καὶ τὸ μὲν κεφάλαιον τῆς συμβουλῆς ἐπὶ τοῦ πλήθους εἶπεν, ὅπως μὴ ὑπέρθηται τὰς λιτὰς Ἀγαμέμνων, τὰ δὲ κατὰ μέρος ἐπὶ τῶν δείπνων. καὶ Ἰσοκράτης δὲ ἐν τῷ Πανηγυρικῷ, τῶν ῥητόρων συμβουλευόντων ἐν τῷ δήμῳ πάντας πλεῖν ἐπὶ Ἀσίαν, δεῖν ἔλεγε πρῶτον τὰς Ἑλληνίδας διαλλάσσειν πόλεις καὶ κοινῇ τὴν ὁρμὴν ποιεῖσθαι. ἀθέμιστος δέ ἐστιν ὁ θηριώδης, ὅπου καὶ Κύκλωπες θεμιστεύουσι παίδων ἠδ' ἀλόχων (Od. 9, 114), ἤτοι τὸ περὶ συγγένειαν φυλάσσουσι δίκαιον.

ἀνέστιος] ὁ γὰρ ἑστίαν νέμων καὶ βίον ἑδραῖον τιμῶν τῆς πρὸς τοὺς οἰκείους ἀπέχεται στάσεως.

65. νῦν μὲν] τοῦ καιροῦ στιχάζεται. καὶ προδείξας τὸ ὠφελοῦν σιωπᾷ τέως τὴν θεραπείαν.

66. δόρπα τ' ἐφοπλισόμεσθα] ἄξιον γὰρ τοὺς κάμνοντας προνοεῖν τῆς θεραπείας τοῦ σώματος. φησὶ δὲ ἔτι οἱονεὶ ὅπλα τῆς μάχης ποιησώμεθα τὰ δόρπα.

67. τείχεος ἐκτός] ἵνα ὁρώμενοι τοῖς πολεμίοις καταπλήσσοιεν αὐτούς, ἔσω δὲ ὄντες τῆς τάφρου ἀσφαλεῖς ὦσιν.

70. δαίνυ δαῖτα γέρουσιν· ἔοικέ τοι, οὗτοι ἀεικές] ἔθος μὲν ἦν· ἀλλ' οἴεται αὐτὸν τῇ ἐκπλήξει παραλείψειν τὸ ἔθος. ἄριστος δὲ ὁ καιρὸς ἐπὶ ὀλίγων, ἔνθα τὸν ἔλεγχον προσδέξεται. νῦν γὰρ πάντες οἱ τῶν Ἀργείων ἡγήτορες καὶ μέδοντές εἰσι συνειλεγμένοι· ἐπὶ δὲ τὸ δεῖπνον οἱ γέροντες μόνοι συνάγονται, ἐφ' ὧν ἤνεγκεν ἂν τὴν τοῦ γέροντος παρρησίαν ῥᾷον ὁ Ἀγαμέμνων. καὶ ἄλλως ἐν οἴνῳ ῥᾴους ἑαυτῶν ἐσμὲν, ἥ τε ὁμοτράπεζος κοινωνία πάντας φίλους ποιεῖ. διὸ καὶ Πέρσαι μεθύοντες συμβουλεύονται, νήφοντες δ' ἐπικρίνουσιν. καὶ τὸ μὲν πλῆθος ἀπαλλάσσει, χρηστὰς ὑπογράψας ἐλπίδας περὶ τῶν λιτῶν, οὐ μὴν ἀναγκάσας ἐπ' αὐτῶν

2. *ἔχειν] ἔχει
9. *δήμῳ] om.
10. *διαλλάσσειν] διαλλάξειν
11. ὁ θηριώδης] *ὁ ἄδικος καὶ ἄνομος καὶ θηριώδης
22. *ὦσιν] εἰσίν
28. *ῥᾷον ὁ Ἀγαμέμνων] om.

τὸν βασιλέα περὶ τῶν δώρων ἐκφωνῆσαι· πιέζοντος γὰρ ἦν τὸν καιρόν. καὶ ὁ Ῥοδίων δὲ νόμος ταῖς μεγίσταις ἀρχαῖς κελεύει συσσιτεῖσθαι τοὺς ἀρίστους, περὶ τῶν ἔωθεν πρακτέων βουλευομένους.

73. ὑποδεξίη] ἡ πρὸς ὑποδοχὴν χορηγία. τινὲς δὲ οὕτως, ὅτι καὶ πάντας, ἢν θέλῃς, εὐχερῶς ὑποδέξῃ. ἐπαίρει δὲ αὐτὸν διὰ τοῦ "πολέεσσι δ' ἀνάσσεις" εἰς τὸ μετὰ ταῦτα σχήσων ὑπήκοον.

74. τῷ πείσεαι ὅς κεν ἀρίστην] μετρίως οὐχ ἑαυτῷ ἀποδίδωσι. διδάσκει δὲ τὸν στρατηγὸν πολλῶν μὲν ἀκούειν, αἱρεῖσθαι δὲ τὸ κράτιστον.

76. ἐσθλῆς καὶ πυκινῆς] πρὸς τὸ πεῖσαι Ἀχιλλέα· οἶδε γὰρ αὐτοῦ τὸ φιλότιμον.

77. τίς ἂν τάδε] οὐ λείπει τὸ ὁρῶν, ἀλλ' ἔστι παλαιὰ συνήθεια ἡ ἐξ ἀντικειμένου, οἷον τίς οὐκ ἂν κλαύσειε.

78. ἐν τῷ πεῖσαι τὸν Ἀχιλλέα τὴν σωτηρίαν τίθεται. οὐδὲν γὰρ ἕτερον πράσσειν νυκτὸς ἐδύναντο.

81. ἀμφί τε Νεστορίδην] εὖ τοῦ περὶ φυλακῆς εἰσηγησαμένου πρῶτος ἀριθμεῖται ὁ υἱός· καὶ ὅτι ὁ παρὼν καιρὸς οὐκ εὐτελεῖς ἄνδρας ἐπέτρεπε φυλάσσειν.

88. πῦρ κείαντο] ταύτην τὴν πυρκαϊὰν πρὸς τὸ ποιῆσαι δεῖπνον εὐτρεπίζουσιν· ἀσφαλέστερον γὰρ ἦν αὐτοῖς τὸ ἀπὸ σκότους ὁρᾶν τοὺς πολεμίους. ἐπὶ μὲν οὖν τῶν κατεπτηχότων ψιλὴ καὶ ἡ τοῦ δείπνου παρασκευὴ, καὶ ἐνικῶς πῦρ φησίν· ἐπὶ δὲ τῶν εὐημερούντων βαρβάρων καὶ τὰ τῆς εὐωχίας μετὰ πολλῆς τῆς ἐπεξεργασίας δεδήλωται "ἐκ πόλιος δ' ἄξαντο βόας" (Il. 8, 545) καὶ τὰ τῆς φυλακῆς λαμπρότερα.

90. κλισίην] * Πορφυρίου. ὅλου βιβλίου ἐδέησε Δωροθέῳ τῷ Ἀσκαλωνίτῃ εἰς ἐξήγησιν τοῦ παρ' Ὁμήρῳ κλισίου. τρία δέ φησι ζητεῖσθαι περὶ αὐτοῦ, περὶ τοῦ σημαινομένου, εἰ ταὐτὸ δηλοῦται τῷ παρὰ Ἀττικοῖς, καὶ δεύτερον περὶ τῆς ὀρθογραφίας, πότερον διὰ διφθόγγου ἡ πρώτη ἢ διὰ τοῦ ἰῶτα, καὶ τρίτον περὶ τῆς προσῳδίας, πότερον παροξύτονον ἢ προπαροξύτονον. τὸ μὲν οὖν δηλούμενόν φησιν

16. * εἰσηγησαμένου] ἡγησαμένου
26. * Πορφυρίου] om.
βιβλίου] $\beta^{ίῳ}$, quod pro βίου acceperat Villois. : recte βιβλίου Coraës ad Hippocr. de aëre p. 305. Plene scriptum βιβλίου in codice Harleiano. Vid. annot. ad 8, 328.
28. περὶ αὐτοῦ Bekkerus] περὶ τοῦ αὐτοῦ
29. περὶ τῆς ὀρθογραφίας Bekkerus] διὰ τὴν ὀρθογραφίαν

οὐ πολλῆς σκέψεως δεῖσθαι οὔτε παρὰ τῷ ποιητῇ οὔτε παρὰ τοῖς Ἀττικοῖς· οἶκον γάρ τινά φησι μέγαν Ὅμηρος, τῶν ἐν ταῖς ἐπαύλεσι κατασκιαζομένων· πῦρ δὲ ἐν αὐτῷ καίειν, καὶ κοιμᾶσθαι τοὺς ἐργάτας σὺν γυναιξὶ καὶ τέκνοις. κλίσιον δὲ αὐτὸ προσηγόρευσεν ἀναλόγως τῇ κλισίᾳ, ἥτις στρατιωτικὴ σκηνή ἐστιν αὐτοσχέδιος· ἀπὸ γὰρ τοῦ κλίνω, ἐξ οὗ καὶ κλιντήρ καὶ κλισμός· καὶ οἱ μὲν ἔχοντες ἀπέρεισιν τοῖς ὤμοις κλισμοί, οἱ δ' ἄλλοι θρόνοι. Ἀττικῶς δὲ κλιντήριον τὸ μικρὸν κλινίδιον λέγεται. τὸ οὖν χωροῦν κλίνας πολλὰς καὶ θρόνους κλίσιον ἐκάλουν· ᾧ τρόπῳ καὶ τὸν κοιτῶνα ἡμεῖς ἐκαλέσαμεν· δωμάτιον δὲ οἱ Ἀττικοὶ τὸν ἀφ' ἡμῶν κοιτῶνα ἔλεγον, Ὅμηρος δὲ θάλαμον. ἐμοὶ δὲ δοκεῖ, φησὶ Δωρόθεος, ἀπὸ τοῦ κεκλίσθαι κατωνομάσθαι τοῦ σημαίνοντος τὸ περιειληφέναι καὶ περιέχειν. Ἀρίσταρχος δὲ ἑτέρως ἐξηγήσατο· τὸ γὰρ "περὶ κλίσιον θέε πάντη" (Od. 24, 208) δηλοῦν ὡς κύκλῳ τοῦ οἴκου στιβάδων ᾠκοδομημένων, πρὸς αἷς οἱ θρόνοι ἔκειντο, ὥστε ἐπ' αὐτῶν καθεζομένους δειπνεῖν, ἐπὶ δὲ τῶν στιβάδων κοιμᾶσθαι, ἵνα μὴ ἄλλος οἶκος ᾖ τοῦ Λαέρτου, ἄλλο δὲ τὸ κλίσιον, ἀλλ' ἐν τῷ οἴκῳ τοῦ Λαέρτου εἰρῆσθαι τὴν ἐν κύκλῳ οἰκοδομίαν τῶν στιβάδων καὶ θέσιν τῶν θρόνων. ἐμφαίνει δὲ ὅτι ὁ μὲν οἶκος Λαέρτου ἐν τῷ ἐντὸς καὶ περιεχομένῳ ὑπὸ τοῦ κλισίου, τῶν δὲ ἄλλων ἐν τῷ ἔξωθεν περιέχοντι κλισίῳ. κατὰ τὸν αὐτὸν δὲ τρόπον καὶ ἐν τῇ Ὀδυσσέως οἰκίᾳ ὁ θάλαμος τοῦ Τηλεμάχου μέσος ὑψηλὸς ᾠκοδόμητο, ὑπὸ τῆς αὐλῆς περιεχόμενος· "Τηλέμαχος δὲ ὅθι οἱ θάλαμος ὑψηλὸς δέδμητο, περισκέπτῳ ἐνὶ χώρῳ" (Od. 1, 425). καὶ γὰρ τοῦτον τὸν θάλαμον κατὰ τὸ μέσον τῆς αὐλῆς κεῖσθαί φησι· διὸ καὶ περίσκεπτον ὠνόμασεν οἷον περιφανῆ, διὰ τὸ πανταχόθεν περιέχεσθαι. τὸν αὐτὸν τρόπον καὶ τὸν Λαέρτου οἶκον περιέχεσθαι, πανταχόθεν ὑπὸ τοῦ κλισίου κατὰ μέσον ᾠκοδομημένον. τὸ γὰρ περιθεῖν τοῦτο δηλοῖ, οἷον καὶ Ἀρχίλοχος δηλοῖ, ποιήσας "τοῖον γὰρ αὐλὴν ἔρκος ἀμφιδέδρομεν." ἔχει γὰρ τὸ κλίσιον ἀναλογίαν τινὰ πρὸς τὰ τοιαῦτα, πρὸς τὰς παστάδας, πρόδομος, ἐξέδρα· προῳκοδόμητο γὰρ οἰκήσεώς τινος ἡ παστὰς καὶ

3. κατασκιαζομένων Vill.] κατασκευαζομένων
9. * κλίσιον] κλισίδιον
10. ἀφ'] ὑφ' Valcken. dissert. p. 107.
15. ᾠκοδομημένων Vill.] ᾠκονομημένων. In Leid. στιβάδην ὠκοδομημεν: unde Valck. p. 107 στιβάδες ἦσαν ᾠκοδομημέναι, qui tamen ᾠκονομημένων praefert pariterque infra οἰκοδομίαν in οἰκονομίαν mutat.

ἡ προπαστὰς καὶ ὁ πρόδομος, καθάπερ καὶ τοὔνομα δηλοῖ· "ἄλλο δ' ἐνὶ προδόμῳ, πρόσθεν θαλάμοιο θυράων" (473). τοιοῦτο δέ τι καὶ ἐξέδρα τῆς οἰκίας, ἔξω πᾶσα οὖσα, πρὸς αὐτῇ τῇ εἰσόδῳ κατεσκευασμένη· οἷς δὴ παραπλησίως καὶ τὸ κλίσιον ἔξω τοῦ οἴκου.

93. πάμπρωτος] οἷον προφθάσας ἐκείνους τοὺς τὴν γνώμην αὐτοῦ ἀπαιτοῦντας. πρόσθεν δὲ, ὅτε παρῄνει Ἀγαμέμνονι παύσασθαι τῆς πρὸς Ἀχιλλέα ὁρμῆς "Ἀτρεΐδη σὺ δὲ παῦε τεὸν μένος" (Il. 1, 282)· καὶ ὅτε τὸ μονομάχιον ἦν καὶ ἤγειρε τοὺς Ἀχαιούς (Il. 7, 123).

97. ἐν σοὶ μέν] καταπτήξαντα αὐτὸν τῇ τῶν πολεμίων ὁρμῇ καὶ τῇ τῶν συμμαχικῶν λόγων ταραχῇ καὶ συγχύσει ἀνακτᾶται καὶ πρὸς πειθὼ παρακαλεῖ διὰ τῶν ἐγκωμίων.

πρὸς τὸ μὴ δοκεῖν ἐπιτάσσειν, κύριον αὐτὸν τῆς ἁπάντων ἀποφαίνει γνώμης, προσεκτικόν τε ἀπεργάζεται, ὡς ὅλου τοῦ πράγματος ἐπ' αὐτῷ κειμένου. ἢ ἐπεὶ τότε εἰς αὐτὸν ἔληξε λέγων "λίσσομ Ἀχιλλῆϊ μεθέμεν χόλον" (Il. 1, 283), ἐκείνην δὲ τὴν λῆξιν ἀρχὴν ποιεῖται τοῦ νῦν διαλόγου.

99. σκῆπτρον διὰ τὸ κράτος, θέμιστας διὰ τὸ δίκαιον· οὕπω γὰρ εἶχον γραπτοὺς νόμους, ἀλλὰ τὸ πᾶν ἐν τοῖς κρατοῦσιν ἦν· ὅθεν καὶ δικασπόλοι. εὐγενῆ δὲ αὐτὸν ποιεῖ, τὰς εὐτυχίας ἐξαριθμούμενος, καὶ ἄξια τῆς ἰδίας δόξης ποιεῖν ὑποτίθεται. καὶ ὅτι πρώτη ἀρετή ἐστιν ἡ φρόνησις.

100. φάσθαι ἔπος ἠδ' ἐπακοῦσαι] ἵνα ἐξ ἁπάντων αἱροῖτο τὸ χρήσιμον. ἅμα δὲ καὶ ἀναιρεῖ τὴν δόξαν τῆς ἥσσης, καθ' ἣν τινες οἴονται ἀδοξεῖν τῷ πλησίον εἴς τι πειθόμενοι χρηστόν.

102. ὃ δήποτε τῆς παραινέσεως ἄρχῃ καὶ ἐπικρατυνθῇ, ἐκ σοῦ γίνεται. καὶ ἀλλαχοῦ "Ἀλκινόου δ' ἐκ τοῦδ' ἔχεται ἔργον τε ἔπος τε" (Od. 11, 345). ἴσον δὲ ἀπέφηνε τῷ συμβούλῳ τὸν βασιλέα τὸν κυροῦντα τὸ τέλος, ὅπως μὴ φθονοίη ταῖς ἀγαθαῖς ὑποθήκαις· οἵδε γὰρ φθόνῳ καὶ θυμῷ καὶ ζηλοτυπίαις ἀδίκους πολλὰς πράξεις ἀγαθὰς ἀνῃρημένας. τὸ πέρας οὖν τῶν λεγομένων ἐπὶ τὸν κορυφοῦντα ἀναφέρει.

3. πᾶσα οὖσα Vill.] πάσ (i. e. πάσης)
8. *Ἀχαιούς] ἀρίστους
12. *πειθὼ] πειθῶ hic et infra.
15. *αὐτῷ] αὐτὸν
22. ἀρετή] *ἀρετῶν
26. ἄρχῃ Vill.] ἄρχει (*πρωτεύε)ι

103. ὥς μοι δοκεῖ εἶναι ἄριστα] προσεκτικὸν μὲν τὸν ἀκροατὴν ποιεῖ δι' ὧν ἄριστα ὑπισχνεῖται ἐρεῖν, εὔνουν δὲ, ὅτι μεθ' ὑποστολῆς τὸ δοκεῖ προστέθειται.

104. ἐπὶ διαλλαγὰς τὸν βασιλέα φέρων, οὐκ ἐν ἐπιτιμήσεως μέρει τὴν Ἀχιλλέως ἔχθραν προφέρει, ἀλλὰ μόνον ἄριστα συνεωρακέναι φησὶν ἑαυτόν.

105. ἠμὲν πάλαι] εἰ τὰ μέλλοντα προγινώσκει ὁ Νέστωρ, πῶς καὶ περὶ τῶν ἐνεστώτων καλῶς οὐκ ὀφείλει νοεῖν.

106. ἐξέτι τοῦ ὅτε] οὐκ ὀνειδίσαι θέλει τὴν ἁμαρτίαν αὐτῷ, ἀλλὰ παρακελεύεται μὴ δεύτερον ἐξαμαρτάνειν. προτρεπτικῶς δὲ αὐτῷ διαλέγεται, καὶ τὴν πειθὼ τοῖς χείλεσι συνεπάγεται· τοῦτο γὰρ τῆς φρονήσεως ἴδιον.

109. σὺ δὲ] δεξιῶς ὑπήλλαξε τὰ ὀνόματα, τὴν αὐθάδειαν μεγαλοφροσύνην καλῶν καὶ τὸ προπετὲς εἶξαι λέγων. ἐν συντόμῳ δὲ καὶ τὰ Ἀχιλλέως εἰσφέρει κατορθώματα.

112. φραζώμεθ'] προσποιεῖται τὴν παράκλησιν, ἵνα μὴ αἰσχυνθῇ ὁ βασιλεύς· τὸ γὰρ φράζου πικρότερον ἦν καὶ προστάξεως ἐχόμενον. καλαὶ δὲ αἱ λιταὶ διὰ τὸ ὁμοειδές, καὶ ἵνα προμαλαχθῇ Ἀχιλλεύς. δεῖ δὲ τὸν προαδικήσαντα παρακαλεῖν ἀεί.

113. δώροισίν τ'—ἔπεσσί τε] ἴσην τῶν χρημάτων καὶ μείζονα πρὸς πειθὼ τὴν τῶν λόγων ὑποτίθησι κτῆσιν.

115. ὁμολογεῖ τὴν πρᾶξιν, ἵνα μὴ αἰσχύνοιτο παρακαλῶν, καὶ ἡμαρτηκέναι φησὶ, καὶ οὐκ ἀδικεῖται, εὔνοιαν περιζόμενος ἑαυτῷ. ἁπλοῦς δὲ ὁ τρόπος· τὸ μὲν γὰρ ἀεὶ χρηστὸν ἔχειν τὸν νοῦν μακάριον, τὸ δὲ καὶ χρόνῳ μετανοῆσαι οὐκ ἄχαρι. τὸ δὲ ψεῦδος ἀντὶ τοῦ ψευδῶς. τὸν ὅλον δὲ συναπτέον στίχον· μὴ στικτέον εἰς τὸ ψεῦδος, ὥς τινες κακῶς.

119. λευγαλέῃσι] οἱονεὶ λοιγαλέῃσιν, ἀπὸ τοῦ λοιγός. λέγει δὲ, τῇ ὀργῇ πεισθείς· ὀλεθρεύειν γὰρ ὁ θυμὸς τὰς φρένας εἴωθεν.

120. ἐλευθερίως ὁμολογεῖ ὃ ὁ Νέστωρ ἐκοινώσατο. ἀπερείσια δὲ, ἵνα μὴ σμικροψυχίας ἕνεκεν δοκῇ τὸν στρατὸν τῆς συμμαχίας ἀποστερεῖν Ἀχιλλέως.

122. ἕπτ' ἀπύρους τρίποδας] διῄρηται ἡ ὑπόσχεσις εἰς δύο, εἵς τε τόπους καὶ χρόνους, διὰ δὲ τῆς ποικιλίας τῶν δώρων θηρεύσειν Ἀχιλλέα· εἴτε φιλότιμος, διὰ τῶν ἵππων, εἴτε φιλοχρήματος, πολὺν χρυσὸν καὶ χαλκὸν διδούς. εἴτε φιλογύνης εἴη.

θυγατέρα πρὸς γάμον. ἀπύρους δὲ τρίποδας ὡς πρὸς σύγκρισιν τῶν ἐμπυριβητῶν.

123. αἴθωνας] τοὺς εἰς πῦρ βαλλομένους· "ὡς δὲ λέβης ζεῖ ἔνδον" (Il. 21, 362). αἴθων δὲ ἀπὸ τοῦ ὑπαίθεσθαι ἤτοι ὑποκαίεσθαι. καλῶς δὲ καὶ τὸν ἄρτιον τῶν ἵππων ἀριθμὸν τίθησιν· ἱκανῶς γὰρ ταῦτα πρὸς ἐπίζευξιν τυγχάνει. ἱπποτρόφοι δὲ οἱ Θεσσαλοὶ ἀεί.

124. πηγοὺς] μέλανας· τούτους γὰρ ἀρίστους φασὶν οἱ περὶ ἵππων γράψαντες. τινὲς δὲ μεγάλους, εὐτραφεῖς, ὑψαύχενας.

ἀέθλια ποσσὶν ἄροντο] οὐκ ἐν Πελοποννήσῳ εἰσὶν οἱ ἵπποι ἠγωνισμένοι· εἶεν γὰρ ἂν ἤδη γέροντες, ἀλλ' ἐν Ἰλίῳ νενικήκασιν ἐπιταφίους ἀγῶνας.

125. οὔ κεν] διακόπτει τὸ τοῦ καταλόγου ὁμοιόσχημον, τῶν δώρων τὸ ὁμοειδὲς ἐκκλίνων. ἅμα δὲ καὶ ἑκάστην μερίδα σπουδαίαν ἀποδείκνυσι, καὶ δῶρα δώροις προστίθησι, καὶ τὴν εἰς ἔπειτα χάριν αὔξει. ἀλήϊος δὲ λέγεται ὁ μὴ ἔχων λήϊα.

128. ἑπτὰ γυναῖκας] ἐντέχνως τῶν ἄλλων δώρων μέσας ἔταξε τὰς γυναῖκας, ἵνα μὴ ὑπόνοιαν παράσχῃ ὡς ἀκρασίαν αὐτοῦ καταψηφιζόμενος. καὶ περὶ μὲν ὧν οἶδε μαρτυρεῖ· περὶ δὲ τῶν Ἰλιάδων "αἵ κε μετ' Ἀργείην Ἑλένην κάλλισται ἔωσιν."

129. Λέσβον εὐκτιμένην ἕλεν αὐτός] πιθανῶς τὸν ἔπαινον Ἀχιλλέως παρέμιξε, καὶ μόνον οὐχὶ παραχωρήσειν αὐτῷ τῶν αὐτοῦ σκύλων φησίν. ἅμα δὲ καὶ ὑπ' ὄψιν αὐτῷ τὴν δωρεὰν ἄγει, ἐμφαίνων ὅτι ἃ εἶδεν ἐκεῖνος δίδωσιν. ἁπλοῦν δὲ τὸ ἦθος, καὶ πάντα πρὸς πειθὼ ἐστίν.

132. δίχα τοῦ ν̄ τὸ κούρη. διὰ δὲ τοῦ ὅρκου τὸν ζῆλον τοῦ ἔρωτος τοῦ Ἀχιλλέως θεραπεύει, καὶ τὸ σῶφρον ἑαυτοῦ ἐνδείκνυται, διὰ φιλοτιμίαν, οὐκ ἀκρασίας ἕνεκεν ἀφελόμενος αὐτήν.

134. δασυντέον καὶ ὀξυντέον τὸν η̄ ἰσοδυναμοῦντα τῷ ὡς. θαυμασίως δὲ φύσεως νόμῳ τὴν αἰσχρὰν λέξιν ἐκάλυψε, τὰ τῆς συμπλοκῆς ταπεινὰ καὶ ἀνθρώπινα τιμιωτάταις ἐπισκιάζων ταῖς λέξεσιν. εἰς τρεῖς δὲ χρόνους ἡ διαίρεσις γέγονεν, εἰς τὸ "αὐτίκα πάντα," εἰς τὸ "εἰ δέ κεν αὖτε ἄστυ μέγα," καὶ εἰς τὸ "εἰ δέ κεν Ἄργος ἱκοίμην" (141).

2. * ἐμπυριβήτων] ἐν πυρὶ λεβήτων. μέγαν τρίποδ' ἐμπυριβήτην dixit Homerus Il. 23, 702.

19. * κάλλισται ἔωσιν] om.

23. * ἃ οἶδεν] οὐδὲν

25. δίχα] * Αὐτόχθων δίχα

30. ταῖς λέξεσιν] * προσηγορίαις

139. αὐτὸς ἑλέσθω] τὴν γὰρ δωρεὰν ἡ ἐκλογὴ ποιεῖ μείζονα. μακρὰν δὲ ἑαυτὸν τοῦ γυναικείου τίθησι πόθου.

140. Ἑλένην] οὐχ ὡς αἰχμάλωτον συγκαταλέγει, ἀλλ' ὡς ἐν κάλλει πρεσβεύουσαν.

141. οὔθαρ ἀρούρης] τῆς γῆς τὸ τροφιμώτερον.

143. τηλύγετος] μονογενής, ἢ μεθ' ὃν οὐ παιδοποιεῖ τις. τινὲς δὲ λείπειν φασὶ τὸ ὡς.

145. οἰκεῖα θυγατράσι βασιλέως τὰ ὀνόματα· τρία γάρ εἰσιν ἃ συνέχει τὴν ἀρχήν, νόμος ὀρθός, ἔπειτα κρίσις καὶ ἰσχύς.

146. διὰ τῆς ἐπιγαμίας πιστοῦται τὴν φιλίαν, ὅπως μὴ δοκῇ πρὸς τὴν χρείαν κολακεύειν.

149. ἑπτὰ δέ οἱ δώσω] ἄδηλον εἴτε φερνὴν ἐπὶ τῇ θυγατρὶ καὶ ταύτας δίδωσιν, εἴτε ἐκτὸς, ὡς καὶ τὰ ἄλλα δῶρα. ἄμεινον δὲ ἀντὶ φερνῆς αὐτὰς ἡγεῖσθαι.

150. Μεσσηνίδης αὗται πόλεις, ἡ δὲ Μεσσήνη εἰς τὸν τῶν Λακεδαιμονίων νομὸν πάλαι συνετέλει· πῶς οὖν, φασὶν, Ἀγαμέμνων ταύτας δίδωσιν οὐκ οὔσας αὐτοῦ; φασὶ δὲ αὐτὰς Κλυταιμνήστρας εἶναι. ἢ ὅτι κοινὰ ἡγεῖται τὰ τοῦ ἀδελφοῦ, ὡς κἀκεῖνος τὴν Λίθην ὑπομένει (Il. 23, 295), ὡς καὶ Μενέλαος ἱκετεύει αὐτόν. διὰ τί δὲ οὐ μέμνηται αὐτῶν ἐν τῷ καταλόγῳ; ὅτι νεωστὶ ὑπὸ Διοσκούρων ἦσαν πορθηθεῖσαι, τῶν δὲ πεπορθημένων οὐ ποιεῖ συμμαχίαν, ὡς οὐδὲ Νηρίκου· φύσει γάρ εἰσι πολέμιοι τοῖς πορθήσασιν. ἢ περὶ αὐτῶν φησὶν ἐν οἷς λέγει "Αἰγιαλόν τ' ἀνὰ πάντα καὶ ἀμφ' Ἑλίκην εὐρεῖαν" (Il. 2, 575). μεγάλη δὲ ἡ δόξα Ἀχιλλεῖ, ὅταν καὶ τῶν πόρρω χωρίων ἄρχῃ. διὰ δὲ τῶν ἐπιθέτων σεμνοποιῶν μικρῦ δεῖν τὰς πόλεις τῆς Πηλέως ἀρχῆς μείζους φησί· διάφοροι μὲν γάρ εἰσι τοῖς καρποῖς, ποικίλαι δὲ ταῖς φύσεσι τῶν ζῴων, διαφερόντως δὲ ταῖς κατοικίαις φιλάνθρωποι, ταῖς δὲ ἀγωγαῖς εὐνομώταται.

153. νέαται] ὁμοίως τῷ κέαται. σημαίνει δὲ τὸ οἰκοῦνται ἀπὸ τοῦ νῶ τοῦ δηλοῦντος τὸ οἰκῶ, οὗ παραγωγὸν νέω καὶ πλεονασμῷ νεάω. παράλιοι δέ εἰσιν, ἵνα καὶ τῶν ἐκ θαλάσσης ἀγαθῶν ἀπολαύωσι παρακείμεναι αὐτῇ.

155. θεὸν ὣς] ὡς θεῷ, φησὶ, προσάγοντες τὰς ἀπαρχὰς τῶν ὄντων.

16. φασὶν] φησὶν Vill.

19. * ὑπομένει — Ἑλίκην εὐρεῖαν] om.

25. * δεῖν—φησί] δεῖν τῆς πόλεως ἀρχῆς μείζους φησὶν αὐτάς

27. ποικίλαι δὲ Bekkerus] δὲ om.

156. οὐ στασιαζόντων, φησὶν, ἄρξει ἀνδρῶν, ἀλλὰ πειθαρχούντων καὶ τῷ σκήπτρῳ ὑπεικόντων. τελέουσι δὲ ἀντὶ τοῦ ἀεὶ τελοῖεν. λιπαρὰς δὲ τὰς θέμιστας καλῶν τοῦτο δηλοῖ, ὅτι τὸ κρίνειν καλῶς εὐδαιμονίαν ἄγει.

158. διὰ τί οἱ μὲν ἄλλοι θεοὶ στρεπτοὶ λέγονται, τὸν δὲ Ἅιδην ἀνελεήμονά φησιν εἶναι; ὅτι ἐκεῖνοι μὲν περὶ τῶν εἰς ἑαυτοὺς χαλεπαίνουσιν ἁμαρτημάτων, διὸ καὶ συγγινώσκουσιν, ὁ δὲ περὶ τῶν ἰδίων καὶ ἀλλοτρίων, διὸ ἀνηλεής ἐστιν· ὅθεν ἐν οὐδεμιᾷ πόλει Ἅιδου βωμός ἐστιν. Αἰσχύλος (fr. 156) φησὶν "μόνος γὰρ θεῶν Θάνατος οὐ δώρων ἐρᾷ, οὐδ' ἐπιθυμεῖ σπονδῶν." ἀναγκαῖον δὲ τὸ μετὰ τὰ δῶρα τὴν παράκλησιν ἐπαγαγεῖν διὰ τὸ ὑπεκκλίνειν τὸ ἀλαζονικόν. ἀμείλιχος δὲ ὁ ἀγοήτευτος καὶ ἀδάμαστος· δύο γάρ εἰσιν οἷς πείθομεν, λόγῳ καὶ βίᾳ. διὰ δὲ τοῦ Ἅιδου ἐδήλωσεν ὡς, ἐάν τις ἐστιν ἀμείλιχος, βδελυρὸς τοῖς πᾶσιν ἔσται.

160. ὅσσον βασιλεύτερός εἰμι] ὡσανεὶ δέησιν προσάγει τὴν ἡλικίαν καὶ τὸ σκῆπτρον, οἷς εἴκουσι καὶ μεγαλόφρονες. ἐξέφυγε δὲ τὸ ἐλεεινόν, εἴκειν αὐτὸν ἀπαιτῶν τοῖς μείζοσιν ἀξιώμασιν.

*τὸ δὲ ὅσσον ἐνταῦθα οὐκ ἔστι πλήθους ἐμφαντικὸν, ἀλλ' ἀντὶ τοῦ καθόσον εἰμὶ βασιλικώτερος. σημαίνει καὶ τὸ ὀλίγον, ὡς τὸ ὅσον βιῶσαί με, ὅσον ζῆσαι. καὶ τὸ σχεδόν, ὡς τὸ ὅσον οὐκ ἀποτέτελεστο, ὅσον οὐκ ἤδη πονήρως τε καὶ ἀθλίως ἀπολουμένων. καὶ τὸ ταχύ, ὅσον οὔπω ἀντὶ τοῦ μετ' ὀλίγον ἢ ἀντὶ τοῦ ἤδη, ὡς τὸ "ὁ δὲ ἅμα ἐνθυμούμενος τὴν ὅσον οὔπω ἀπορίαν τῶν ἀναγκαίων λύει τὴν πολιορκίαν·" καὶ "ἐπιπεσεῖσθαι γὰρ ὅσον οὔπω τὴν οἰκίαν·" καὶ αὖθις "ὅσον οὔπω προσεδόκα τοὺς βαρβάρους." ὅσῳ καὶ ὁπόσῳ· "ὅσῳ πλέον ἥμισυ παντός," τουτέστι τὸ ὀλίγον μετὰ δικαιοσύνης τοῦ πολλοῦ μετὰ ἀδικίας πλείονα ἔχει τὴν ὄνησιν, Ἡσίοδός φησιν (O. 40).

163. τοὺς ἐξ ὀνόματος πρέσβεις. καλῶς δὲ πρεσβείαν ἀποστέλλει, ἵνα ἢ πείσωσιν αὐτὸν ἢ πραότερον ἐργάσωνται. τάχιστα δὲ διὰ τὸν ἐπείγοντα τῆς νυκτὸς καιρόν.

167. αὐτὸς οὐκ ἄπεισιν ἢ διὰ τὸ γῆρας, ἢ ὑποπτεύεσθαι παρὰ τῷ

6. *εἶναι] om.

9. Aeschyli fragmentum integrius legitur in scholio Ven. A et apud alios, μόνος θεῶν γὰρ Θάνατος οὐ δώρων ἐρᾷ οὐδ' ἂν τι θύων οὐδ' ἐπισπένδων ἄνοις.

13. τις addidit Bekkerus.

24. *καὶ ἐπιπεσεῖσθαι] καὶ αὖθι πεσεῖσθαι

Ἀχιλλεῖ νομίζει ὡς ἐκπληρῶν τὴν αὐτοῦ ἀπουσίαν, τοῦτο μὲν τῇ διατάξει τοῦ στρατοῦ "ὡς φρήτρη φρήτρηφιν ἀρήγῃ" (Il. 2, 363), τοῦτο δὲ τάφρον περιβαλλόμενος καὶ τεῖχος, ὃ καὶ Ἀχιλλεὺς ὀνειδίζει "ἦ μὲν δὴ μάλα πολλὰ πονήσατο νόσφιν ἐμεῖο, καὶ δὴ τεῖχος ἔδειμεν" (348)· ἢ ὅτι εἶπεν "τούσδε δ' ἔα φθινύθειν ἕνα καὶ δύο" (Il. 2, 346). εἰ δὲ ἐν τῷ ἐπιταφίῳ φιάλην αὐτῷ ἐδωρήσατο, οὐδὲν θαυμαστὸν, εἰ τὴν ἔχθραν ἀποθέμενος τὴν πρὸς Ἀγαμέμνονα λύει καὶ τὴν πρὸς Νέστορα ὑποψίαν. ἢ ἀδήλου ὄντος εἰ πείσειε, καλῶς ἑτέρους ἔπεμψεν· πεισάντων γὰρ ἔμελλεν αὐτὸς ἕξειν τὴν δόξαν ὡς εἰσηγησάμενος, ἀποτευχθείσης δὲ τῆς ἱκεσίας αἰτίαν ἔσχον οἱ πρέσβεις ἐνδεῶς διειλεγμένοι.

168. Φοῖνιξ] ἀπὸ τῆς Ἀχιλλέως σκηνῆς δεῖ νοεῖν ἥκειν τὸν Φοίνικα ὡς ἐπὶ θέαν τῆς μάχης, ὅτι ἐδόκουν εἶναι ἐν δεινοῖς συνελασθέντες εἰς τὸ τεῖχος, κἀνταῦθα γενόμενον κατασχεθῆναι ὑπὸ τῶν ἀριστέων εἰς τὴν εὐωχίαν· ἐθεράπευον γὰρ αὐτὸν ὡς τροφέα Ἀχιλλέως. ἴσως δὲ καὶ συμβιβάσαι αὐτοὺς θέλων παρῆν καὶ ἰάσασθαι τὴν ἀργίαν Ἀχιλλέως. πέμπεται οὖν ὁ Φοῖνιξ οὐχ ὡς πρεσβευτής—δύο γὰρ ἦν ἔθος πρεσβεύειν· "ἄνδρε δύω κρίνας" (Od. 9, 89) καὶ "ἀγγελίην ἐλθόντα σὺν ἀντιθέῳ Ὀδυσῆϊ" (Il. 11, 140)—ἀλλ' ἵνα τοῖς πρεσβευταῖς συλλάβηται. διό φησιν "ἡγησάσθω," ὡς ἐκεῖθεν ἥκοντος αὐτοῦ καὶ πάλιν ἐπανελθεῖν ἀνάγκην ἔχοντος, ὅπου καὶ μὴ πρεσβεύσαντός φησιν "Ἀτρεΐδῃ ἥρωϊ φέρων χάριν" (613) καὶ "Φοῖνιξ δ' αὖθι παρ' ἄμμι μένων κατακοιμηθήτω" (427), ὡς μέλλοντος αὐτοῦ ἐπανιέναι πρὸς Ἀγαμέμνονα καὶ ἀπαγγεῖλαι ἃ ἤκουσεν.

169. Αἴας τε μέγας καὶ δῖος Ὀδυσσεύς] καὶ τούτων ἠπείλησε τὸ γέρας ἀφελέσθαι Ἀγαμέμνων. πρεσβεύουσιν οὖν ὡς συνυβρισθέντες καὶ μὴ μνησικακήσαντες, ἵνα δυσωπήσωσιν αὐτόν. ἕκαστον δὲ τῶν ἀπιόντων ὑποθωπεύει.

170. κηρύκων] καὶ κήρυκες συμπαραγίνονται, ἵνα δηλωθῇ ὅτι δημοσία ἡ πρεσβεία ἐστί. Ταλθύβιος δὲ οὐδέποτε παραγίνεται, ὅτι Ἀγαμέμνονός ἐστιν ὑπηρέτης.

172. ὄφρα Διί] ὅτι δεῖ ἐν παντὶ καιρῷ ἐκ θεῶν ἄρχεσθαι, μάλιστα δὲ ἐν κινδύνοις· οὕτω γὰρ προθυμότερον ἐπὶ τὴν πρᾶξιν

9. ὡς εἰσηγησάμενος Bekkerus] ὡσεὶ ἡγησάμενος
16. ἀργίαν] * ὀργὴν
19. * σὺν ἀντιθέῳ Ὀδυσῆϊ] σὺν ἀρηϊφίλῳ Μενελάῳ

ὁρμῶμεν καὶ οὐδὲν ἑαυτοῖς ἀποτυχόντες ἐγκαλοῦμεν. ὕψωσε δὲ τὸ πρᾶγμα, εἴ γε συμπρεσβευτὴν ἔχουσι Δία.

180. κατὰ τὸ δέον διαστρέφων τοὺς ὀφθαλμούς, καὶ οἷον τῇ ὄψει ἱκετεύων ὡς ἐπὶ σωτηρίαν τοῦ παντὸς ἐσταλμένους. ἕκαστον δὲ ἀντὶ τοῦ ἑκάτερον· οὐ γὰρ παρῆν Φοίνιξ, ἐπεὶ καταισχύνεται διὰ τοῦ "'Οδυσσῆϊ δὲ μάλιστα."

183. γαιήοχῳ] τὸ γὰρ παρὸν εἰς μνήμην ἕτοιμον. καὶ Εὔμαιος θύει ταῖς νύμφαις, καὶ Ἕλληνες ἐπικαλοῦνται τὸν Ἰδαῖον Δία, καὶ νῦν δὲ Ποσειδῶνα, ὅτι ἐπίκουρος τῶν Ἀχαιῶν. ἢ ὅτι Νηρηΐδος παῖς ἐστὶν Ἀχιλλεύς, τῶν δὲ ἐναλίων θεῶν οὗτός ἐστι βασιλεύς.

184. περισπαστέον τὸ πεπιθεῖν· δεύτερος γάρ ἐστιν ἀόριστος. τὸ δὲ μεγάλας εὐκαίρως· οὐ γὰρ ἔπεισαν.

186. τερπόμενον φόρμιγγι] οἰκεῖον τῷ ἥρωϊ νυκτὸς οὔσης γυμνάζεσθαι μᾶλλον τὰ μουσικά, ἀλλὰ μὴ διαπαννυχίζειν· παραμύθια γὰρ ταῦτα θυμοῦ καὶ λύπης. ἔστι δὲ νέος καὶ φιλόμουσος, καὶ λάφυρον ἔχων τὴν κιθάραν· καὶ οὐ θηλυδριώδη μέλη, ἀλλὰ κλέα ἀνδρῶν ᾄδει. ἢ οἰόμενος ἥξειν αὐτοὺς σοβαρεύεται. καλῶς δὲ ἀπούσης τῆς ἐρωμένης ᾄδει, ὅπως μὴ δοκοίη κωμάζειν. ἢ ὅτι πεφρόντικε μὲν τῆς τῶν Ἑλλήνων ἀσφαλείας, προσποιεῖται δὲ καταφρονεῖν· φησὶ γοῦν "δῖε Μενοιτιάδη, νῦν οἵω περὶ γούνατ' ἐμὰ λίσσεσθαι Ἀχαιούς" (Il. 11, 608). καὶ πάλιν "ὄρσεο, διογενὲς Πατρόκλεις, ἱπποκέλευθε· λεύσσω δὴ παρὰ νηυσὶ πυρὸς δηΐοιο ἐρωήν" (Il. 16, 126). οὐκ ἤθελε δὲ ἀργῶν σώματι καὶ ψυχῇ ἀργεῖν, ἀλλ' ἡτοίμαζεν αὐτὴν πρὸς τὰς πράξεις, καὶ ἐπ' εἰρήνης τὰ τοῦ πολέμου μελετᾷ, ὡς καὶ οἱ Μυρμιδόνες.

ἵππον διὰ πόλεμον, δίσκον καὶ κιθάραν πρὸς σωματικὴν καὶ ψυχικὴν γυμνασίαν εἶχον. σύντροφον δὲ ὄργανον εὑρὼν οὐ παρῆκεν. οὐ γὰρ οἴκοθεν εἵλετο. καὶ ἴσως Ἑλληνικὸν ἄνδρα εὑρὼν Ἠετίωνα σὺν τοῖς ὅπλοις ἐκήδευσε, καὶ τοῖς ἐκείνου χρῆται.

*ζυγὸν δὲ λέγει πῆχυν τῆς κιθάρας, ᾧ ἔγκεινται οἱ κόλλαβοι. οὕτω δὲ λέγονται οἱ πάσσαλοι ὧν ἐξάπτονται αἱ χορδαί, παρὰ τὸ κεκολλῆσθαι.

189. κλέα ἀνδρῶν] ὅτι ἀειμνήστους δεῖ τοὺς ἀγαθοὺς εἶναι· οἱ γὰρ ἀοιδοὶ διὰ τῶν παλαιῶν ἱστοριῶν τοὺς ἀκούοντας ἐσωφρόνιζον. πουσέθηκε δὲ τὸ ἀνδρῶν, ἐπειδὴ καὶ θεῶν ᾄδουσι γάμους.

20. οἵω] οἷω λίσσεσθαι] *στήσεσθαι

190. Πάτροκλος δέ οἱ οἷος] ἡδεῖα γὰρ ἐπίδειξις ἡ ἐπὶ τῶν φίλων. ἤτοι δὲ μόνον αὐτὸν καθέζεσθαι λέγει, ἢ μόνον ἐναντίον παρὰ τοὺς ἄλλους Μυρμιδόνας· καὶ ὅτι ἐν ἡσυχίᾳ δεῖ τῆς μουσικῆς ἀκούειν.

193. ταφὼν δ' ἀνόρουσεν] διὰ τὸ φίλον, ἢ διὰ τὸ χαίρειν ἐπὶ τῇ προσδοκωμένῃ πρεσβείᾳ, ἢ διὰ τὸ νυκτὸς αὐτοὺς ἤδη οὔσης μέσης παρεῖναι.

*τὸ δὲ ταφὼν ἀντὶ τοῦ ἐκπλαγείς, ἐκ μεταφορᾶς τῶν τάφων· καὶ γὰρ ἡμεῖς ὁρῶντες τοὺς τάφους ἐκπληττόμεθα τὸ μέλλον δεινόν. τάφος δὲ σημαίνει τρία, τὴν ἔκπληξιν, ὡς ἐνταῦθα καὶ ὡς τὸ "τάφος ἕλε πάντας Ἀχαιούς" (Od. 21, 122)· καὶ τὸ δεῖπνον, ὡς τὸ "ἤτοι ὁ τὸν κτείνας δαίνυ τάφον Ἀργείοισιν" (Od. 3, 309) καὶ "ὣς οἵ γ' ἀμφίεπον τάφον Ἕκτορος ἱπποδάμοιο" (Il. 24, 804)· καὶ ὄνομα νήσου, ὡς τὸ "ξεῖνος δ' οὗτος πατρώϊος ἐκ Τάφου ἐστίν" (Od. 1, 417).

194. ὧδε στικτέον. ὑπὸ γὰρ φιλοφροσύνης ἀπήντησεν αὐτοῖς οὕτως ὡς εἶχε, σὺν τῇ κιθάρᾳ. τινὲς δὲ ὑφ' ἕν "αὐτῇ σὺν φόρμιγγι λιπὼν ἕδος·" καὶ τὴν φόρμιγγα, φασὶν, ἐκεῖσε καταλιπὼν ὡς αἰδούμενος.

196. τὼ καὶ δεικνύμενος] δεξιούμενος, φιλοφρονούμενος.

197. ἀμφοτέρους τοὺς συνδέσμους περισπαστέον· βεβαιωτικοὶ γάρ εἰσι. τὸ δὲ τί ἀντὶ τοῦ τινός. δυσωπεῖ δὲ αὐτοὺς ὡς παρὰ τὸν τῶν φίλων θεσμὸν δι' ἀνάγκην ἐλθόντας. οὐχ ὁμολογεῖ δὲ εἰδέναι τὰ περὶ τῆς ἐντεύξεως.

203. ζωρότερον] ἀκρατότερον, παρὰ τὸ ζῆν· οἱ δὲ ταχύτερον. ἢ ἴσως ὡς μουσικὸς καὶ ὑδαρέστερον πίνων, ἀφ' ὧν ὑνειδίζει καὶ οἰνοφλυγίαν Ἀγαμέμνονι.

*Πορφυρίου. ἀπρεπὲς δὲ τὸ ὡς ἐπὶ κῶμον ἥκουσιν ἀκρατότερον διδόναι παρακελεύεσθαι. καὶ οἱ μὲν ἀπὸ τῆς λέξεως λύουσι· τὸ γὰρ ζωρότερον τάχιον· οἱ δὲ ἀπὸ τοῦ καιροῦ, ὅτι νύξ· οἱ δὲ ἀπὸ τοῦ ἔθους· τοὺς γὰρ ἥρωας, ἄλλως καταπονουμένους, δαψιλεστέροις τοῖς πρὸς τὴν δίαιταν χρῆσθαι εἰκός.

206. κρεῖον μέγα κάββαλεν] εἰς ταπεινὴν τάξιν μαγειρικὴν κατερχόμενος οὐδὲν ἧττον τὴν ἡρωϊκὴν διαφυλάττει σεμνότητα. ἔμφασιν

11. Ἀχαιούς] Immo ἰδόντας. 18. * φασὶν] φησὶν
28. * Πορφυρίου] om.

δὲ ἔχει καὶ ἡ ἐκλογὴ τῶν ὀνομάτων. πρῶτον μὲν οὐκ εἶπε κατέθηκεν, ἀλλὰ κάββαλεν, ἔπειξιν ἐμφαίνων τοῦ διακονουμένου, ἔπειτα τροπικὸν εἰσήνεγκεν ὄνομα τὸ τεθαλυῖα.

καὶ ἐπὶ ἡλίου αὐγὴ λέγεται. ἥλιος δέ ἐστι τὸ ἄστρον· ἡμεῖς δὲ ἀφυῶς φαμὲν ἐν ἡλίῳ καθῆσθαι.

208. σιάλοιο] ἐντροφίου, ἁπαλοτρεφοῦς· ὅθεν καὶ τὸ "ἁπαλοτρεφέος σιάλοιο" (Il. 21, 363).

209. ἐν σχήματι ἔδειξεν ὡς καὶ Αὐτομέδων ἔνδον ἦν μετὰ Πατρόκλου, ὡς καὶ αὐτὸς φίλτατος.

τάμνεν δ' ἄρα δῖος Ἀχιλλεύς] τὸν τῶν πολλῶν ἐκβάλλει τῦφον ἡμῶν ἑαυτῷ ὑπηρετούμενος ὁ Ἀχιλλεύς.

214. ἀλὸς θείοιο] ἢ ὅτι τὰ ἁλίπαστα διαμένει, ἢ ὅτι τὰς φιλίας συνάγει. κρατευτάων δὲ ἢ τῶν ἁλοθηκῶν, ἢ τῶν ἐξοχῶν τῆς ἐσχάρας. ἐκβάλλει δὲ ἐκ τοῦ πυρὸς, ἵνα μὴ ἐκεῖσε πάντων ἐνσχλῇ.

215. ἐλεοῖσιν] ἐπιμήκεσι τραπέζαις μαγειρικαῖς, ἐξ ἐλείων ῥάβδων πεπλεγμέναις.

218. ἀντίον ἷζεν Ὀδυσσῆος] ὡς διαλεξόμενος· οἶδε γὰρ ὅτι αὐτὸς τὴν πρεσβείαν πεπίστευται.

219. θῦσαι] ἀπάρξασθαι ἢ θυμιᾶσαι, ὡς τὸ "πῦρ δὲ κείαντες ἐθύσαμεν" (Od. 9, 231).

220. βάλλε θυηλάς] δεισιδαίμων ὃς καὶ ἐπὶ τροφῆς τοῖς θεοῖς ἀπάρχεται, καὶ ἀποπλεῦσαι θέλει ἱερὰ Διὶ ῥέξας αὔριον (357).

222. πῶς παρὰ Ἀγαμέμνονι δεδειπνηκότες νῦν πάλιν ἐσθίουσιν; ἢ οὖν τὸ Πατρόκλῳ καὶ Ἀχιλλεῖ συμβεβηκὸς συλληπτικῶς περὶ πάντων εἶπεν, ἢ συλλήβδην ἐσθίουσιν εἰς ἔνδειξιν τοῦ ἥδεσθαι τῇ παρ' αὐτῷ ἑστιάσει.

223. οὐχ ἵνα εἴπῃ, ἀλλ' εἰ καιρός ἐστιν· Ὀδυσσεὺς γὰρ προσκεπτόμενος τί δεῖ λέγειν, τὸν καιρὸν οὐχ ὁρᾷ. σύννους δὲ ὢν ταῦτα Ὀδυσσεὺς αὐτὸς λέγειν ἄρχεται, οὐχ ὑπὸ βασκανίας τοῦ Φοίνικος τὸν λόγον προαρπάζων, ἀλλὰ τὸ δυσχερὲς ἐφ' ἑαυτὸν φέρων· οἶδε γὰρ δυνησόμενος ἀντιτάξασθαι Ἀχιλλεῖ. ἴσως δὲ οὐδὲ ἐπιτήδειον εἶναι τὸν Φοίνικα ἐλογίζετο ἄρχειν τοῦ λόγου, ὅπως μὴ ὡς οἰκείῳ ἀπιστήσας Ἀχιλλεὺς ἀναστείλῃ καὶ τὸν αὐτῶν λόγον. Αἴας δὲ οὐ λέγει· βραδὺς γάρ ἐστι καὶ μεμψίμοιρος.

15. μαγειρικαῖς a m. sec. 26. παρ' αὐτῷ Vill.] περὶ αὐτὸν
28. σύννους δὲ ὢν ταῦτα] * συνεὶς δὲ ταῦτα

225. δαιτὸς μὲν] πρὸς τὸ διαχέαι τὸ σκυθρωπὸν αὐτοῦ, ὃν ἦν σκεψάμενος λόγον ἀφῆκε, καὶ ἀπὸ τοῦ καιροῦ ἔλαβε τὸ προοίμιον, ὡς τὸ "ὦ γέρον, οὐχ ἑκὰς οὗτος ἀνὴρ, ὃς λαὸν ἄγειρα" (Od. 2, 40).

226. *Ἀγαμέμνονος Ἀτρείδαο] διὰ τί τὸν ἐχθρὸν οὕτως ὠνόμασε προπετῶς, οὐ προθεραπεύσας; ῥητέον οὖν ὅτι εἴτε ἐνδεικνύμενος Ἀχιλλεῖ ὅτι ὁ πρότερον ὑβρίσας ἱκέτης καθέστηκεν· ἢ πάνυ ῥητορικῶς ὁ ἀνὴρ εἰς φιλίαν ἄγει τοὺς ἀμφοτέρους, καὶ τῇ τραπέζῃ δυσωπῶν, καὶ μόνον οὐχὶ τοῦτο λέγων, ὡς ὁμόσιτος αὐτῷ δι' ἡμῶν γεγένησαι· καὶ γὰρ ἐκείνου καὶ σοῦ μετεσχήκαμεν τραπέζης.

λελῃθότως ἐσήμανεν ὡς ἐξ αὐτοῦ ἐπέμφθησαν, οὐ διαρρήδην, ὅπως μὴ τραχὺς γένηται Ἀχιλλεύς. καλῶς δὲ τὰ περὶ τὴν ἑστίασιν ὅμοια τῇ παρ' ἐκείνῳ λέγει, ἐν ᾗ οὐδεμίαν ἑώρα φιλοτιμίαν· τὴν δὲ σωτηρίαν ἐν Ἀχιλλεῖ κεῖσθαι μόνῳ φησί· τοῦτο γὰρ λέγει, ἥκομεν αἰτοῦντες ὃ ἐξ ἄλλου λαβεῖν οὐ δυνάμεθα. ὅτι διὰ φιλίαν ἠνέσχοντο τῆς παρ' αὐτῷ ξενίας.

228. εἰς δύο στάσεις διεῖλε τὸν λόγον, εἰς τὴν παρορμητικὴν, τραγῳδήσας τὰς συμφορὰς, καὶ εἰς τὸ καλὸν καὶ ἀναγκαῖον καὶ συμφέρον ποιήσας τὴν παρόρμησιν· καὶ εἰς τὴν ἀλλοιωτικὴν, ἧς μέρος τὸ ὑπαλλακτικόν· ἀντὶ γὰρ Ἀγαμέμνονος τὴν στρατιὰν ἔλαβεν.

230. ἐν δοιῇ] παρὰ τὸ δέω τὸ διαχωρίζω, δοή καὶ δοιή· ἐξ οὗ καὶ τὸ "δοάσσατο θυμῷ" ἀντὶ τοῦ τῶν δύο τὸ ἓν ἐξελέξατο.

τὸ πρῶτον κεφάλαιον τὸν κίνδυνον τῶν νεῶν περιέχει. τεχνικῶς δὲ ἐξαίρει, δεικνὺς ὡς ἐπὶ τηλικούτοις τὴν χάριν τίσουσιν Ἕλληνες.

231. δύσεαι ἀλκήν] ὡς νῦν ἐκδεδυμένου αὐτήν. λέγει δὲ τὴν εἰς τὸν πόλεμον ὁρμήν. τὴν δὲ πάντων σωτηρίαν εἰς αὐτὸν ἀνάγει, ἵνα πεισθῆναι ὡς φιλότιμος ἔλοιτο.

232. ἐγγὺς γὰρ νηῶν] ἔνθεν ἡ διήγησις. τῷ δὲ τόπῳ τὸν κίνδυνον ηὔξησεν, ὃ καὶ περιέμενεν Ἀχιλλεύς. δι' ὧν δὲ οἱ ἱκέται μείζονα τὴν χρείαν ποιοῦνται, τὴν προθυμίαν αὔξουσι τῶν ἐπικούρων.

233. ἐπίκουροι] ὑπονοεῖ ὅτι καὶ ἀδικοῦσιν αὐτοῖς παραμένουσιν οἱ σύμμαχοι· ὁ δὲ Ἀχιλλεὺς τῆς Ἑλλήνων συμμαχίας ἀπέστη καὶ διὰ λόγων μόνων.

9. * καὶ μόνον οὐχὶ] καὶ τοῦτο μόνον 20. * στρατιὰν] στρατείαν

236. Ζεὺς δέ] θεραπεύων τὸν Ἀχιλλέα φησὶν ὅτι καὶ τὸ θεῖον τοῖς ὑβρίσασιν αὐτὸν Ἕλλησι συνωργίσθη.

237, 238. Ἕκτωρ] ὀνομάζων αὐτὸν κινεῖ τὸν Ἀχιλλέα. τὸ δὲ μαίνεται καὶ λύσσα δηλοῖ εὐχερῶς κρατηθήσεσθαι τὸν ἀπροαιρέτως κινδυνεύοντα.

λύσσα] τὸ ἐναντίον· αὐτὸς γὰρ αὐτὴν ἐνδέδυται. πολλὴ δὲ ἡ τοῦ θράσους ἔμφασις. ἐρεθισμὸς δὲ ἱκανὸς ὁ τῶν ἐχθρῶν ἔπαινος.

241. *ἄκρα κόρυμβα] διὰ τί δὲ πρῶτον ἀποκόπτει, εἶθ' οὕτως τὸ πῦρ ἐμβάλλει; ἐπειδὴ ἐπὶ τῶν ἀκροστολίων ἦσαν ἀγάλματα καὶ εἰκόνες τῶν θεῶν· ἐκκλίνων οὖν τὴν τῶν θεῶν ὀργὴν τοῦτο ποιεῖ.

οὐκ ἀγαπᾶν φησὶν αὐτὸν μόνον ἐμπρῆσαι τὰς ναῦς, ἀλλὰ καὶ τὰ κόρυμβα ἀποκόψαι θέλειν, ὥσπερ τρόπαια τῆς κατὰ τῶν Ἑλλήνων νίκης ἀναθεῖναι σπεύδοντα. ταῦτα δὲ πάντα κινητικά.

247. καλῶς τὸ ὀψέ· εἰ γὰρ καὶ δύο γεγόνασι τῆς μάχης ἡμέραι, ἀλλ' οὖν γε τοῖς κεκακωμένοις ὁ τῆς δυστυχίας χρόνος, κἂν ἐπ' ὀλίγον γένηται, πολὺς εἶναι δοκεῖ. καὶ ἡ τοῦ χρόνου δὲ αὔξησις ἐνδειξίς ἐστιν ὡς ἱκανῶς ἐποινήθησαν Ἕλληνες. τάχα δὲ καὶ τοιοῦτός ἐστιν ὁ λόγος· εἰ μέλλεις ποτὲ ἀμύνειν, νῦν ἄμυνον. συνάδει δὲ καὶ τὸ ἑξῆς, ὅτι εἰ μὴ νῦν ἐπαμύνῃ, οὐχ εὑρήσεις οὐδαμοῦ τὴν τοῦ κακοῦ ἴασιν.

υἷας Ἀχαιῶν] οὐκ Ἀγαμέμνονά φησι· τοῦτο γὰρ κατακρύπτει διὰ τὸ μὴ αἴφνης παροξῦναι αὐτόν.

249, 250. οὐδέ τι μῆχος] οὐδεμία ἔσται μηχανὴ τοῦ κακοῦ πραχθέντος θεραπείαν εὑρεῖν. πρὸς τὸ παρὸν δὲ ἡ γνώμη· τινὰ γὰρ τῶν κακῶν ἰάσεως τυγχάνει.

249. τὸ "οὐδέ τι οἶδε νοῆσαι ἅμα πρόσσω καὶ ὀπίσσω" ἐντέχνως αὐτῷ προβάλλεται· τοῦτο γὰρ περὶ Ἀγαμέμνονος ἔλεγε τοῖς κήρυξιν (Il. 1, 343). ἐφ' ἕτερον δὲ κεφάλαιον ἔρχεται, ὡς καὶ αὐτῷ συμφέρον καὶ ὠφέλιμον τὸ μὴ παριδεῖν τὸν νῦν καιρόν. τὸ δὲ οὐδέ τι μῆχος ἔσται, οὐδεμία ἔσται μηχανὴ ῥεχθέντος τοῦ κακοῦ τούτου· καὶ νηῶν ἐμπρησθεισῶν οὐκ ἔστι μηχανὴν εὑρεῖν· καὶ "ἀμηχανίη δ' ἔχε θυμόν" (Od. 9, 295).

252. ἦ μὲν σοί γε πατὴρ] τοῦτο δεύτερον κεφάλαιον, εἰς ἐπιεί-

4. *λύσσα] λυσσαῖ
7. *ἐρεθισμὸς δὲ] ἐρεθισμός τε
8. *δὲ] δέ φησι
9. *ἐπὶ τῶν] ἐκ τῶν
15. *κἂν] καὶ εἰ
19. *εὑρήσεις] εὑρήσει

κειαν καὶ πραότητα προκαλούμενον. τὸ δὲ στασιαστικὸν θέλων ἀνειδίζειν οὔτε τοῖς ῥήμασιν ἀνακεκαλυμμένως χρῆται οὔτε ἐξ ἰδίου προσώπου τὴν ἐπιτίμησιν ποιεῖ, ἀλλ' ἐν ἠθοποιίᾳ ἐξ ἀπόντων προσώπων ταύτην εἰσήγαγεν. ἔστιν οὖν ἀνεπαχθὴς ὡς οὐκ ἰδίας ὑποθήκας εἰσάγων, ἀλλ' ὑπομιμνήσκων τοῦ πατρός. καὶ ὁ Νέστωρ ὁμοίως πρὸς Πάτροκλον (Il. 11, 785).

253. Ἀγαμέμνονι] ὡσανεὶ δευτέρῳ πατρί. ἐντέχνως οὖν οὐκ εἶπε σὺν Ἀγαμέμνονι.

254. συνετῶν τὸ τὰς φύσεις τῶν υἱῶν καταμαθόντας πρὸς ταύτας ἁρμόττεσθαι τοὺς λόγους, ὡς καὶ ὁ Πηλεὺς εἰδὼς Ἀχιλλέα ἀνδρεῖον μέν, ὀργίλον δὲ καὶ πλήρη φιλοτιμίας, παραινεῖ αὐτῷ ἀποθέσθαι τὸ τοῦ ἤθους φιλόνεικον, ὡς ἐκ τούτου μάλιστα τευξόμενον τιμῆς ἧς ὀρεγόμενον αὐτὸν ἑώρα. ἔστι δὲ πιστὸς ὡς πατὴρ καὶ ἐν πολέμοις πολλάκις εὐδοκιμήσας.

255. αἴ κ' ἐθέλωσι] εὖ τὸ ἐθέλωσι· δηλοῖ γὰρ ὡς οὐ δώσουσιν, εἰ ἀνάξιος ὅλος ὀφθείη τῆς δωρεᾶς.

257. ἔριδος κακομηχάνου] πρὸς τὴν ἀγαθὴν διέστειλεν, ἐπείπερ οἱ ἐρίζοντες κακὰ τοῖς πλησίον μηχανῶνται. δείκνυσι δὲ ὅτι οὐ τοσοῦτον ὀνίνησιν ἰσχὺς, ὅσον ἡ πρὸς τοὺς φίλους ἔρις βλάπτει.

258. ἠμὲν νέοι ἠδὲ γέροντες] εἰ μὴ ὑποθήκη πατρὸς ἦν τὸ λεγόμενον, κἂν ἠρέθισεν Ἀχιλλέα, ὑποσημαίνων ὡς ἀσχημονεῖ νῦν καὶ παρὰ νέοις καὶ παρὰ γέρουσιν.

259. λήθεαι] πράως καθήψατο, οὐκ ἀμελεῖν αὐτὸν φήσας, ἀλλ' ἐπιλελῆσθαι. ὄνομα οὖν ἐξελέξατο συγγνώμης ἄξιον.

ἀλλ' ἔτι καὶ νῦν] καλῶς τὸ νῦν, ἵνα καὶ τὸν ἱκέτην παραθηλώσῃ. ἅμα δὲ ὑποφαίνει ὡς οὗτος αὐτῷ νῦν ὑποτάττεται ᾧ ὁ πατὴρ αὐτὸν ὑπέταξεν· μετὰ δὲ τοὺς τοῦ πατρὸς λόγους, πεπάνας αὐτὸν, προσφέρει τὰ δῶρα· αἰσχροκερδὲς γὰρ ἦν τὸ ἀπ' ἀρχῆς. τρίτον δὲ κεφάλαιόν ἐστι τὸ περὶ τῶν δώρων.

262. εἰ δὲ] ἄγε σύ. δυσχεραίνοντος δὲ αὐτοῦ πρὸς τὸ ὄνομα τῶν δωρεῶν δεῖται ἀκουσθῆναι. ἢ τάχα ἔμφασις τοῦ πλήθους τῶν δοθησομένων ἐστίν.

265. * Πορφυρίου. τί βούλεται τὸ αἴθωνας δὲ λέβητας ἑείκοσιν; καὶ οἱ αὐτοὶ τοῖς ἀπύροις, ὅπαν εἴπῃ ἄπυρον λέβητα

1. * στασιαστικὸν] στάσιμον
3. * ἐπιτίμησιν] ἐπιστήμην
23 et 26. * αὐτὸν] om.
33. * Πορφυρίου] om.

(Il. 23, 885). φημὶ οὖν ὅτι τῶν τριπόδων καὶ τῶν λεβήτων οἱ μὲν ἦσαν εἰς ὑπηρεσίαν τοῦ πυρὸς ἐπιτήδειοι, οἱ δὲ ἀργοὶ καὶ εἰς θέαν καὶ τὴν διὰ τῆς ὄψεως τέρψιν εἰργασμένοι. διακρίνει δὲ τοῖς ἐπιθέτοις ἀπ' ἀλλήλων, τοὺς μὲν λέγων αἴθωνας καὶ ἐμπυριβήτας, τοὺς δ' ἀπύρους καὶ ἀνθεμόεντας, τοὺς ἕνεκα κόσμου μόνον εἰργασμένους.

300. εἰ δέ τοι Ἀτρεΐδης] τέταρτον κεφάλαιον δεητικὸν ὑπὲρ τῶν Ἑλλήνων. ὑποφορᾷ δὲ χρῆται, προλαμβάνων αὐτοῦ τὴν ἀντίρρησιν, καὶ τῇ Ἀγαμέμνονος ἔχθρᾳ ἀντιτίθησι τὸν ἁπάντων ἔλεον, καὶ μόνον οὐχὶ πᾶσαν ἱκετεύουσαν παράγει Ἑλλάδα. ἐπὶ τὴν δευτέραν δὲ μεταβέβηκε στάσιν, καὶ πανταχόθεν πείθειν πειρᾶται, ὑποσχέσει, δεήσει, ὠφελίμῳ, ἐλέῳ. εἰς δύο δὲ μερίζει τὴν ἱκετείαν, εἰς Ἀγαμέμνονα καὶ Ἕλληνας.

303. τρία ποιεῖ, τῷ μὲν καλῷ τῆς ἐπικουρίας τὸ φιλότιμον συνάπτει. ἀντὶ δὲ τῆς κατὰ τοῦ ἀδικήσαντος ὀργῆς τὴν τῶν ἀτυχούντων ἱκετείαν οἰκτίζεται. τὸ δὲ ἀνθέλκον τοῦ θυμοῦ ἐπιρρεπὲς ποιεῖ φθόνῳ τῶν περὶ τοὺς ἐχθροὺς εὐτυχημάτων.

304. νῦν] ὡς πρώην αὐτοῦ πτώσσοντος ἐν τῷ τείχει, ὥστε, φησί, μὴ ἀπολέσῃς τὸν καιρὸν ἐν ᾧ μεγάλα δυνήσῃ ἐπιδείξασθαι κατὰ τῶν πολεμίων.

309. τὸν Ἀχιλλέα παραδίδωσι φιλότιμον, ἁπλοῦν, φιλαλήθη, βαρύθυμον, εἴρωνα. καὶ ὅσα μὲν φθέγγεται συνετὰ, ταῦτα αὐτῷ ἡ παιδεία δέδωκεν, ὅσα δὲ αὐθάδη καὶ μεγαλόφρονα, ταῦτα ὑπὸ τῆς φύσεως λέγειν προάγεται.

γυμνός ἐστιν ὑπὸ τῆς ὀργῆς, καὶ περιπλοκὰς οὐκ οἶδε λόγων. ἔδει γὰρ δικαιολογεῖσθαι, εἶθ' οὕτω τὴν ἀπόφασιν εἰπεῖν. ὁ δὲ τοὐναντίον ποιεῖ· ἔστι γὰρ θυμὸς μεστὸς ἀκοσμήτου παρρησίας. τοσοῦτον δὲ ἀπέχει πειθοῦς, ὅτι καὶ τῶν ἄλλων προαναστέλλει τοὺς λόγους "ὡς μή μοι τρύζητε παρήμενοι." πάντες δὲ οἱ παρὰ θυμὸν ἀπειλοῦντες πίστιν ἐπάγουσι τοῖς ἰδίοις λόγοις, οἱ μὲν λόγῳ, οἱ δὲ δι' ἀποδείξεων, οἱ δὲ διὰ γνωμῶν, ὃ νῦν ποιεῖ. ἀπηλεγέως δὲ ἀπαγορευτικῶς, διαρρήδην. ἢ συντόμως, ἀπὸ τοῦ λῆξαι, ὅ ἐστι παῦσαι· φιλοσύντομος γὰρ ὁ θυμός. ἢ ἀσυμπαθῶς καὶ ἀπηλγημένως. οἱ γὰρ λυπεῖν ἐθέλοντες τὰς χρηστὰς ἐκκόπτουσιν ἐλπίδας. ὅρα δὲ ὡς

26. εἰπεῖν] * ἐπαγαγεῖν

πρὸς μὲν Ὀδυσσέα ἀπιέναι φησὶν, πρὸς Φοίνικα (619) μένειν, μὴ μέντοι πολεμήσειν, πρὸς Αἴαντα (650) πολεμήσειν, ὅταν ἀνάγκη καλῇ.

*τὸ ἀπηλεγέως σημαίνει τὸ ἀφροντίστως· γίνεται γὰρ ἐκ τοῦ ἀπό καὶ τοῦ ἀλέγω τὸ φροντίζω.

311. αὐθαδῶς ἐπισκώπτει τὴν ἐπιτέχνησιν τῶν λόγων Ὀδυσσέως, καὶ Φοίνικα προανακόπτει, ὃν ὑποπτεύει παρακεκλῆσθαι ὑπὸ Ἀγαμέμνονος. τρύζητε δὲ ἤτοι τρύχητε τὴν ἀκοὴν καὶ βαρύνητε.

312. ὁμῶς Ἀΐδαο πύλῃσιν] πλέον πάντων Ἀχιλλεὺς μισεῖ τὸν θάνατον διὰ τὸ ἄπρακτον. τάχα δὲ καὶ ἄλλως χρήσιμόν ἐστι τὸ διαβάλλειν τὸν θάνατον, ἐπεὶ πῶς ἄν τις τοὺς γονέας σέβοι τοὺς τὸ ζῆν αὐτῷ παρασχομένους, εἰ μὴ τὸ ζῆν ἀγαθόν ἐστι καὶ κακὸν ἐκ τῶν ἐναντίων ὁ θάνατος;

315. οὔτ' ἐμέ γ'] τὸ ἐλεεινὸν τῶν λόγων Ὀδυσσέως ἐξέκοψε, καὶ τὸ μὲν κεφάλαιον τῆς ἀντιρρήσεώς ἐστι τὸ μὴ πεισθήσεσθαι τοῖς λεγομένοις· ἀλλ' ἐπεὶ τὸ ἀτιμασθὲν ἀπλήρωτον πρὸς ἀγανάκτησιν, εἰς μῆκος ἐξέλκεται λόγων.

316. οὔτ' ἄλλους Δαναούς] πρὸς τὸ "εἰ δέ τοι Ἀτρεΐδης μὲν ἀπήχθετο, σὺ δ' ἄλλους περ Ἀχαιούς" (300)· ἀνέτρεψεν οὖν καὶ ταύτην τὴν στάσιν. τάχα δὲ καὶ βουλόμενος εἰπεῖν ὅτι οὐδὲ ὑμεῖς πείσετε οἱ πρέσβεις, εὐπρεπῶς τῷ κοινῷ τῶν Ἑλλήνων ὀνόματι συμπεριέλαβε καὶ αὐτούς. καλῶς δὲ οὐκ εἶπεν οὐκ ἐλεῶ αὐτούς, ἀλλ' οὐ πείσουσί με.

318. ἴση μοῖρα] τοῦτο γὰρ μάλιστα τοὺς χρηστοὺς λυπεῖ, ὅταν μὴ κατ' ἀξίαν τιμῶνται.

320. κάθαν' ὁμῶς] ὅρον οὐκ ἔχει κατηγορίας θυμός. τοῦτο δὲ πρὸς τὸ "τύμβιν δ' ἀμφὶ πυρήν" (Il. 7, 336)· οὐ γὰρ πρὸς τὰς πράξεις ὁ τάφος.

321. περίκειται] περισσὸν τῶν ἄλλων ἀπόκειται.

ἐπεὶ πάθον] διὰ μὲν οὖν τοῦ "πάθον ἄλγεα" τὸ ἐπίπονον αὐτοῦ παρίστησι, διὰ δὲ τῆς μάστακος τὸ κηδεμονικὸν, διὰ δὲ τοῦ ἀγρυπνεῖν καὶ νύκτας οὐκ ὀλίγας τὴν πρόνοιαν καὶ ἐπιμέλειαν, διὰ δὲ τοῦ τὰ ποριζόμενα ἐκ τῆς μάχης ἐπὶ τὸν βασιλέα πάντα ἀναφέρειν τὸ ἐλεύθερον τῆς ψυχῆς, διὰ δὲ τῶν πόλεων ἃς ἐχειρώσατο τὸ ἑαυτοῦ ἀνδρεῖον.

2. Αἴαντα] *Αἴαντα δὲ
7. βαρύνητε] *τονθορύζητε
19. *οὐδὲ] οὔτε
23. *γὰρ μάλιστα] μάλιστα γὰρ

323. ὡς δ' ὄρνις] εἰς τὸ ἐπιδεικτικὸν ἐρχόμενος διὰ τῆς κηδεμονίας αὔξει τὴν ῥώμην, τοσοῦτον προὔχειν φάσκων Ἑλλήνων ὅσον μήτηρ νεοσσῶν. εὖ δὲ τὸ μηδὲν τῶν τετραπόδων λαβεῖν εἰς τέκνου φιλοστοργίαν· ταῦτα γὰρ τρέφοντα τῷ γάλακτι οὐδὲν ἧττον ὠφελεῖται τῶν τρεφομένων. αἱ γὰρ ἀνάμελκτοι καὶ νοσώδεις· "οὔθατα γάρ" φησι "σφαραγεῦντο" (Od. 9, 440). ἡ δὲ ὄρνις τὴν ἑαυτῆς τροφὴν εἰς τοὺς νεοττοὺς ἀναλίσκει. ὅθεν καὶ πιθανῶς ἐπήνεγκε τὸ "κακῶς δ' ἄρα οἱ πέλει αὐτῇ." εὖ δὲ καὶ τὸ ἀπτῆσιν· οἱ γὰρ πετόμενοι, κἂν ὀλίγον, προσπορίζονται.

326. αἱματόεντα] διὰ φόνων ἦν ὁ βίος, οὐ δι' ἐμὴν δὲ ἡδονήν· "οὐ γὰρ ἐγὼ Τρώων ἕνεκ' ἦλυθον" (Il. 1, 152), ἀλλὰ διὰ τὸ γύναιον Μενελάου· τοῦτο γὰρ δηλοῖ τὸ ὀάρων ἕνεκα σφετεράων. ἢ τολμηρῶς, φησί, πολεμῶν πρὸς ἄνδρας ὑπὲρ παίδων καὶ γυναίων ῥιψοκινδύνως ἀγωνιζομένους.

328. δώδεκα δὴ] ἐντέχνως τὰς πράξεις ἐπάγει, πίστιν τοῖς πρειρημένοις φέρων. εὖ δὲ καὶ τὸ μὴ κατ' ἄνδρα τὰ πραχθέντα φράζειν, ἀλλὰ κατὰ πόλεις, ἅμα δὲ καὶ συμπληροῖ τὴν ὑπόθεσιν. Σηστὸν δὲ καὶ Ἄβυδον οὐ πορθεῖ ὡς ἠσφαλισμένας· λαφύρων γὰρ ἔδει, οὐ κατορθωμάτων.

332. ὄπισθε μένων] ἐμοῦ, φησίν, ἐκδημοῦντος· τὴν δειλίαν δὲ Ἀγαμέμνονος τὸ ὄπισθεν ἐμφαίνει. ἀμφοτέρωθεν δὲ ἠΰξηται ἡ ἀχαριστία αὐτοῦ, ὅτι τοιαῦτα καὶ τοσαῦτα λαβών, καὶ βραχὺ δοὺς γέρας τῷ κομίσαντι, καὶ τοῦτο ὕστερον ἀφῄρηται.

334. ἄλλα δ' ἀριστήεσσι δίδου γέρα] τεχνικῶς ἐνδείκνυται ὅτι καὶ τὰ νῦν αὐτῷ διδόμενα δῶρα μέρος εἰσὶν ὧν Ἀγαμέμνων ἐσφετερίζετο παρ' αὐτοῦ λαμβάνων ἀδίκως.

336. ηὔξησε τὴν ὕβριν, ἄλοχον αὐτὴν εἰπὼν καὶ θυμαρέα. ἐπιφθόνως δέ φησι, τοῖς μὲν ἄλλοις ἐφύλαξε τὰ γέρα, ἐμοὶ δὲ οὔ. εὐπρεπῶς δὲ οὐκ εἶπεν ὑμῖν. ἄτοπον δὲ εἰ πολλὰ μὲν ἔχων, μικρὰ δὲ παρέχων οὐδὲ ἐπ' ἴσης τῶν ἄλλων ἐᾷ αὐτῷ τὰ κοινῇ δοθέντα. γράφεται δὲ καὶ εἵλετ' ἔχειν ἀντὶ τοῦ ἠθέλησεν, ὅπερ ὁ Ἡρωδιανὸς ἀποδέχεται ὡς ἄμεινον.

παριαύων] οὐ συνιαύων, διὰ τὸ βίαιον. φησὶ γοῦν τὸ "δμωῇσι δὲ γυναιξὶ παρευνάζεσθαι ἀνάγκῃ" (Od. 22, 37).

339. ἢ οὐχ Ἑλένης ἕνεκ'] πρακτικὸς ὁ λόγος, δεικνὺς τὸν Ἀγαμέμνονα ἢ ἀσύνετον ἢ ἄδικον. εἰ μὲν γὰρ μικρὸν ἡγεῖται τὸ ἀδικη-

θῆναι περὶ γυναῖκα, πολεμεῖν οὐκ ἔδει περὶ Ἑλένης· ἀσύνετος οὖν ἐστὶ περὶ μικρᾶς αἰτίας πολεμῶν. εἰ δὲ χαλεπὸν καὶ μέγα, πῶς ἅπερ παθὼν ὑπὸ ἀλλοφύλων ἀγανακτεῖ, ταῦτα εἰς τοὺς φίλους ποιῶν οὐκ ἀδικεῖν νομίζει; καὶ πρῶτον μὲν ὑπέφηνε τὸ ἀχάριστον, εἶτα τὴν ὕβριν.

340. τὸ τοιοῦτον ἐπιμονὴ λέγεται, ὅταν τις αἰτίαν ἔχων ἐπί τινι μὴ φεύγῃ τὸ ἔγκλημα. καὶ Ἀχιλλεὺς οὖν, ἐπεὶ τὴν διαβολὴν εἶχεν ὡς γυναικὸς χάριν ὀργισθείς, εἰς τὸ ὅτι δικαίως ἐχαλέπηνεν ἔρχεται, καὶ πρῶτον μὲν διέστρεψε, δυσαπόκριτον προβαλλόμενος "ἦ μοῦνοι φιλέουσ' ἀλόχους μερόπων ἀνθρώπων Ἀτρεΐδαι;" εἶτα παυδήμῳ ψήφῳ τὴν γνώμην ἐπεσφραγίσατο "ἐπεὶ ὅστις ἀνὴρ ἀγαθὸς καὶ ἐχέφρων." τεχνικῶς δὲ τὸ ἄνομον ἴαται διὰ τοῦ παρὰ τοῖς σπουδαίοις ἰσότιμον εἶναι τὸν γάμον.

344. νῦν δ' ἐπεὶ] πολλὰ ὑπισχνούμενος καὶ τὸ βραχὺ ἀφῄρηται. ὥσπερ δὲ σπινθὴρ κεκρυμμένος, ὕστερον δὲ τὸ πᾶν τῆς ὕλης καταναλώσας ἔκδηλος γίνεται, οὕτως ὁ ἥρως τοὺς ἐπιπλάστους λόγους ἀποσειόμενος πεφανέρωται. ἴσως δὲ ὑποσχόμενος αὐτὸν ἐντίμως ἀποπέμψειν καὶ μετὰ δόξης νῦν ἠπάτησεν.

346. ἀλλ', Ὀδυσεῦ, σὺν σοί] οὔτε γὰρ Φοίνικα ἔδει εἰρωνεύεσθαι ὡς τροφέα, οὔτε μὴν Αἴαντα ὡς ἀνδρεῖον, Ὀδυσσέα δὲ ὡς φυγόντα. τοῦτο δὲ διὰ τὸ "παρ' ἔμοιγε καὶ ἄλλοι" (Il. 1, 174).

348. μάλα πολλά] εἰρωνικὸς ὁ λόγος· ὧν γὰρ καταφρονοῦμεν, ταῦτα αὔξομεν. ἔοικε δὲ τὴν βουλὴν Νέστορος εὐτελίζειν.

349. ἤλασε] ἐξέτεινεν ἀπὸ τοῦ σιδήρου, ἢ μᾶλλον ὤρυξεν.

353. ἐθέλεσκε] ἐδύνατο. καὶ ἀνάπαλιν "οὔτε τελευτὴν ποιῆσαι δύναται" (Od. 1, 249). μείζων δὲ ἄρα τοῦ τείχους Ἀχιλλεύς, εἴ γε τούτῳ μὲν ἐπαυλίζεται ὁ Ἕκτωρ, ἐκεῖνον δὲ ἔφευγε. νῦν δὲ Ὀδυσσέως εἰς Δία φέροντος τὴν αἰτίαν τῆς εὐημερίας τῶν Τρώων, Ἀχιλλεὺς ἐπὶ τὴν ἑαυτοῦ ἀπουσίαν τρέπει.

356. οὐκ ἐθέλω] τινὲς εἰρωνικῶς ἀντὶ τοῦ οὐ δύναμαι, διὰ τὸν Ἀγαμέμνονος λόγον "καὶ δ' Ἀχιλεὺς τούτῳ γε μάχῃ ἐνὶ κυδιανείρῃ ἔρριγ' ἀντιβολῆσαι" (Il. 7, 113).

357. αὔριον ἱρὰ] τὸ ἑξῆς οὕτως· ἐπὴν αὔριον ἱρὰ Διὶ ῥέξας καὶ νηήσας τὰς ναῦς ἅλαδε προερύσσω, ὄψεαι ἢν ἐθέλῃσθα πλέοντας

30. Versui 356 adscriptum in B scholion de Museo Alexandrino, quod ad v. 688 transtulit Vill.

ἡμᾶς. διδάσκει δὲ πρὸ ἁπάσης πράξεως ἡγεμόνας θεοὺς ἐπικαλεῖσθαι. καὶ ἵνα μὴ λάθρα δοκῇ ὑποχωρεῖν, προλέγει αὐτοῖς, καὶ τῶν ἐλπίδων ἀποτειχίζει πασῶν.

359. ἐθέλῃσθα] δυνηθήσῃ· ἐὰν οἱ πολέμιοι, φησὶν, ἐπιτρέπωσί σοι. ἠθικῶς δὲ εἰρωνεύεται.

361. ἄνδρας ἐρεσσέμεναι μεμαῶτας] τὸ περὶ τὸν ἀπόπλουν αὐτῶν πρόθυμον διὰ τούτου ἐδήλωσεν.

πιθανῶς προσέθηκε καὶ τοῦτο, ἵνα ἀπελπίσωσι καὶ τὴν παρὰ τῶν Μυρμιδόνων ἐπικουρίαν, ὡς συναχθομένων αὐτῶν τῇ ἀτιμίᾳ.

* ἦρι δὲ τῷ ὀρθρινῷ καιρῷ.

363. ἤματί κεν τριτάτῳ] ἐμπείρως τοῦτό φησι· τοσοῦτος γάρ ἐστιν ὁ ἀπὸ Ἑλλησπόντου εἰς τὴν Φθίαν ἀπόπλους τοῖς ἀνέμῳ χρωμένοις οὐρίῳ.

364. ἔστι δέ μοι μάλα πολλὰ] ἀντίθεσιν ποιεῖται τῶν δώρων Ἀγαμέμνονος, ὅτι μοι, φησὶν, οὐ χρεία αὐτῶν ἔχοντι πολλὰ, τοῦτο μὲν τὰ τοῦ Πηλέως, τοῦτο δὲ ἅπερ ἐκ τῶν Τρωϊκῶν λαφύρων ἐδέξατο. τὸ δὲ ἔρρων φησὶ δυσαρεστῶν τῇ στρατείᾳ.

365. ἄλλον δ' ἐνθένδε χρυσόν] ταῦτα ἀντιτίθησι πρὸς τὸ "νῆα ἅλις χρυσοῦ καὶ χαλκοῦ νηησάσθω" (279) καὶ πρὸς τὸ "Τρωϊάδας δὲ γυναῖκας ἐείκοσιν" (281).

366. πολιόν] ἢ τὸν τίμιον διὰ τὰς γεωργίας, ἢ τὸν πολιτικὸν διὰ τὰ ὅπλα, ἢ τὸν μέλανα κατὰ ἀντίφρασιν.

367. ἄσσ' ἔλαχόν γε] ἔλαχον, φησὶν, ὁμοίως τῷ ψιλῷ πλήθει. λέγει γοῦν "τῶν δ' ἄλλων ἃ μοί εἰσι·" ταῦτα γὰρ οὐκ εἰλήφει παρὰ τοῦ Ἀγαμέμνονος· τὸ γὰρ γέρας ἐξαίρετον καὶ τοῦ διδόντος ἦν. διὰ τοῦτο γοῦν κἀκεῖνος, ὡς ἐξὸν ἃ ἔδωκε λαβεῖν, ἀφαιρεῖται. πάλιν δὲ τὸ κυμάζον πάθος εἵλκυσεν αὐτοῦ τὴν μνήμην ἐπὶ τὸν Ἀγαμέμνονα. δεινοποιῶν δὲ τὴν ὕβριν Ἀγαμέμνονος φησὶ τὸ ὥσπερ ἔδωκεν, ἐκεῖ δὲ ἐπανιστὰς τὸ πλῆθος "δόσαν δέ μοι υἷες Ἀχαιῶν."

369. τῷ πάντ' ἀγορευέμεν] πιθανῶς, ἵνα μὴ τὸν Ἀγαμέμνονα εὐφράνωσιν ἀφελόντες τι τῶν τραχύτερον εἰρημένων, αὐτὸν δὲ ταπεινὸν ἀποφήνωσι, πραότερον τῆς ἀπειλῆς ἀποπρεσβεύσαντες. ἔστι δὲ καὶ χαρακτηριστικὸν τῶν ὀργιζομένων τὸ ἀξιοῦν αὐτὰς τὰς φωνὰς

9. αὐτῶν] * αὐτοῦ
17. * στρατείᾳ] στρατιᾷ
21. γεωργίας] * γερωσίας
27. κυμάζον] Inusitata verbi forma pro κυμαῖνον.
29. * ἐπανιστάς] ἐπανιστᾷ

διακωμίζειν τοῖς ἐχθροῖς καὶ τὸ ἐπὶ πολλῶν ταῦτα λέγειν· οὐ γὰρ μόνον τὸ κακόν τι τὸν ἐχθρὸν εἰπεῖν τοῖς ὀργιζομένοις ἡδύ, ἀλλὰ καὶ τὸ παρόντων πολλῶν μαρτύρων. ἴσως δὲ καὶ τῆς παρὰ τοῖς Ἕλλησιν αἰτίας ἀπολυθῆναι θέλει, ἵνα μὴ αὐτῷ δυσχεραίνωσιν ὡς τὴν συμμαχίαν ἐγκαταλιπόντι, ἀλλὰ τῷ τῶν Δαναῶν τὸν ἄριστον ἀτιμάσαντι. ἅμα δὲ καὶ ὡς δίκαια λέγων ἐπὶ πλειόνων αὐτὰ βούλεται ἐξετάζεσθαι.

371. ἐξαπατήσειν] εἴ γε οἴεται, φησὶ, περὶ ἐμοῦ λέγων ἀπατήσειν τοὺς Ἀχαιούς· ἐμὲ γὰρ οὐ πείθειν, ἀλλ' οὐδὲ ὁρᾶν δυνήσεται, καίπερ ὢν ἀναιδὴς, διὰ τὴν συνείδησιν τῶν μεγίστων ἀδικημάτων. ταῦτα δὲ καθ' ἑαυτὸν νοητέον λέγειν, ἵν' ᾖ κομματικὴ ἡ ἀπαγγελία, τὸν θυμούμενον δηλοῦσα.

375. ἐκ γὰρ δή] ἐμφαντικώτεροι γίνονται οἱ λόγοι βάττον διακοπτόμενοι· ἐν γοῦν τέτρασι στίχοις ὀκτὼ εἰσὶν αὐτοτελεῖς λόγοι καὶ τοσαῦται αἱ στιγμαὶ, ἀπὸ τοῦ ἐκ γὰρ δή με ἕως τοῦ ἐν καρὸς αἴσῃ. τὸ δὲ ἑξῆς, οὐ συμφράσομαι αὐτῷ οὐδ' ἀπατήσει με, οὐδὲ ἐάν μοι δεκάκις τόσα δοίη. οὐ μόνον δὲ τὰ πολεμικὰ ἤσκητο ὁ Ἀχιλλεὺς, ἀλλὰ καὶ βουλεύειν ἄριστος ἦν· καὶ γὰρ καὶ διδάσκαλον ἔπεμψεν ἅμα αὐτῷ ὁ πατήρ "μύθων τε ῥητῆρ' ἔμεναι πρηκτῆρά τε ἔργων" (443).

376. ἐξαπάφοιτ'] ἀπὸ τῶν ταῖς ἀφαῖς φιλοφρονουμένων. εὐηθείας γάρ ἐστι τὸ ἅπαξ ἀπατηθῆναι ὑπὸ φίλου, τὸ δὲ δὶς μωρίας. ὅρα δὲ ὡς ἐπιμένει πάλιν τῇ ἀφαιρέσει.

377. ἐρρέτω] ἱκανὴν οἴεται τιμωρίαν παρὰ τοῦ ἐχθροῦ λαμβάνειν τὸ ἀπαλλάσσεσθαι τῆς φιλίας αὐτοῦ, ὡς εἰώθαμεν λέγειν ἑαυτὸν ἐχέτω.

378. * Πορφυρίου. ἐν καρὸς αἴσῃ] ἀπὸ τῶν Καρῶν, οὓς ἀεὶ λοιδορεῖ ὁ ποιητὴς, οἷον ἐν μοίρᾳ Καρὸς, οἱονεὶ δούλου. τὸ καρός Ἀλκαῖος μὲν ὁ ἐπιγραμματοποιὸς ἐγκέφαλον ἤκουσεν (Anth. Pal. 9, 519), ἀπὸ τοῦ ἐν τῷ κάρᾳ εἶναι· τὰ γὰρ παλαιὰ τῶν γραϊδίων ἀπορρίπτει τὸν ἐγκέφαλον. λέγει οὖν τὸ τίω δέ μιν ἐν καρὸς αἴσῃ, τουτέστι τιμῶμαι αὐτὸν ἐν ᾗ μοίρᾳ αἱ γυναῖκες τὸν ἐγκέφαλον. Ἀρχίλοχος δὲ, τιμῶμαι αὐτὸν ἐν μισθοφόρου καὶ τοῦ τυχόντος στρατιώτου

2. * τὸν ἐχθρὸν] τῷ ἐχθρῷ
14. τέτρασι] * τέσσαρσι
* στίχοις] στιχίοις
ὀκτὼ] * ἑφεξῆς ὀκτώ
* λόγοι—αἱ] om.
15. * ἐν καρὸς] om.
18. * καὶ γὰρ] καὶ γοῦν

μοίρᾳ. Λυσανίας δὲ ὁ Κυρηναῖος καὶ Ἀριστοφάνης καὶ Ἀρίσταρχος ἐν κηρὸς μοίρᾳ φασὶ λέγειν τὸν ποιητήν, Δωρικῶς μεταβαλόντα τὸ η εἰς α. Νέσσος δὲ ὁ Χῖος καὶ τὸ α μηκύνει, οὐδὲν φροντίσας τοῦ μέτρου. Ἡρακλείδης δέ φησιν ὅτι τὰ ἐκ τοῦ η εἰς βραχὺ α μεταγόμενα Ἰωνικά ἐστιν, ἀλλ' οὐ Δωριέων συστολαί· ἀντιφράζει μέντοι ὁ ποιητὴς τῷ ἐν καρὸς αἴσῃ τὸ "εἰ δέ τοι Ἀτρεΐδης μὲν ἀπήχθετο κηρόθι μᾶλλον" (300) καὶ "ἶσον γάρ σφιν ἀπήχθετο κηρὶ μελαίνῃ" (Il. 3, 454)· καὶ ὁ αὐτὸς Ἀχιλλεὺς "ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσιν" (312).

ὅμοιόν ἐστι τῷ "ἶσον γάρ σφιν πᾶσιν ἀπήχθετο κηρὶ μελαίνῃ." πρὸς τὸ δεύτερον δὲ κεφάλαιον, τὴν τοῦ Πηλέως παραίνεσιν, μηδὲν ἀντειπεῖν ἔχων, παρῆκεν αὐτὸ ἀμνημόνευτον.

379. δεκάκις τε καὶ εἰκοσάκις] πλείσταις ὑπερβολαῖς λόγων εἰώθασιν οἱ ὀργιζόμενοι χρῆσθαι. ἵνα δὲ μὴ ὑπόνοιαν δῷ ὡς πλειόνων ὀρεγόμενος, ἢ ὅτι δώροις αὐτὸν πείσουσιν, ἀπεριορίστῳ ἀριθμῷ δώρων ἐχρήσατο καὶ οὐδὲ οὕτως πεισθήσεσθαι ἐπαγγέλλεται.

381. δύο πόλεις συνήγαγεν ἐν Εὐρώπῃ καὶ Ἀσίᾳ κομώσας πλούτῳ, καὶ οὐδὲ ταύταις ἠρκέσθη, ἀλλὰ καὶ ἐπὶ τὸν ἀόριστον ἀριθμὸν ψάμμου τε καὶ κόνεως τὴν ὑπερβολὴν ἐποιήσατο τοῦ λόγου, ὡς εἰ ἔλεγεν ὑπὲρ τὰ τῆς οἰκουμένης ἀγαθά. Ὀρχομενὸν δὲ τὴν τῆς Βοιωτίας φησὶν, ὃν Μινύαι κατῴκησαν. πολὺ δὲ τούτῳ παράκειται πεδίον, εἰ πιστός ἐστιν Ἔφορος, πλῆρες πολλῶν ἀγαθῶν, ὧν ταῖς ἐκεῖσε τιμωμέναις Χάρισι πέμπουσιν οἱ περίοικοι.

383. *Πορφυρίου. ζητεῖται πότερον τὸ μέγεθος τῆς πόλεως δηλῶσαι βούλεται ὡς ἂν ἐχούσης πύλας ἑκατὸν, ἢ τῶν πυλῶν τὸ μέγεθος ὡς ἐκ διακοσίων ἁρμάτων καθ' ἑκάστην ἅμα εἰσιέναι δυναμένων, ἢ τὸ μέγεθος τῆς δυνάμεως, ὅπερ καὶ βούλεται. εἰ γὰρ διακόσιοι ἄνδρες καθ' ἑκάστην εἰσίασιν, οἱ διακόσιοι ἐπὶ τὰ ἑκατὸν πολλαπλασιασθέντες δισμύριοι ἂν εἶεν· καὶ οὐδὲν μέγα εἰ δισμύριοι ἄνδρες οἰκοῦσι τὴν πόλιν. ῥητέον δὲ ὅτι μέγεθος πόλεως δηλοῖ καὶ δυνάμεως μέγεθος, οὐκέτι δὲ πυλῶν· οὐδὲ γὰρ καὶ τὸ ἅμα τοὺς διακοσίους εἰσιέναι δεδήλωκεν, ἀλλὰ μόνον ὅτι καθ' ἑκάστην ἐξίασι διακόσιοι, οἳ καὶ ἔπεσθαι ἀλλήλοις ἠδύναντο. μέγεθος δὲ τῆς πόλεως δηλοῖ

3. Νέσσος scripsi pro Νέσος. V. Hemst. ad Luciani Contempl. c. 1.
21. *Μινύαι] μηνυῖαι
24. *Πορφυρίου] om.
32. *ἐξίασι] εἰσίασι

τὸ ἑκατόμπυλον, τῆς δὲ δυνάμεως, τῶν ἁρμάτων καὶ ἡνιόχων τοσοῦτον εἶναι πλῆθος· οὐ γὰρ δὴ ἁπλῶς τῶν κατοικούντων τοσοῦτον τίθεται τὸ πλῆθος, ἀλλὰ τῶν ἁρματοφορούντων. ἀμφίβολον δὲ πότερον ἄνδρες σ' σὺν σ' ἅρμασιν ἢ ἄνδρες ρ' σὺν ρ' ἅρμασιν, ὡς τὸ συναμφότερον εἶναι τοὺς σ', τοὺς ἀνθρώπους καὶ τὰ ἅρματα. κἂν σ' δὲ ὦσιν ἄνθρωποι, ἀμφίβολον πότερον ἓν ἕκαστος ἔχει ἅρμα, καὶ οὕτως ἔσονται σ' ὄντων υ' ἵπποι· ἢ σ' ἄνδρες ἔχουσιν ἅρματα, ἐν ἑκάστῳ ἅρματι ἡνιόχου καὶ παραβάτου ὄντος, ὡς ρ' μὲν εἶναι τὰ ἅρματα, ἵππους δὲ σ' καὶ ἀνθρώπους σ', καὶ ἅρματα μὲν τὰ πάντα μύρια, ἵππους δὲ δισμυρίους· ἐκείνων γὰρ ἅρματα μέν εἰσι σ', ἵπποι δὲ τετρακισμύριοι, ἡνίοχοι δὲ δισμύριοι σύμπαντες. ἑκατέρων δὲ ἡ δύναμις μεγάλη φαίνεται, ἢ τετρακισμυρίων ἵππων τρεφομένων ἢ καὶ δισμυρίων. ἦν δὲ τὸ παλαιὸν τὰ Αἰγύπτου βασίλεια, καὶ πολλοὺς εἰς αὐτὴν ἀνῆγον φόρους Αἰγύπτιοι Λίβυες Αἰθίοπες καὶ ἄλλα ἔθνη. νῦν δὲ Διόσπολις καλοῦνται αἱ τὸ παλαιὸν Θῆβαι, καί φασι δείκνυσθαι περὶ τὴν Διόσπολιν πολλῶν πυλῶν ἴχνη. ὡς δὲ Κάστωρ ἱστορεῖ, ἡ Διόσπολις ἡ μεγάλη, πρὸ τοῦ ὑπὸ Περσῶν ἀφανισθῆναι, κώμας μὲν εἶχε τρισμυρίας γλ', ἀρούρας δὲ γψ', ἀνθρώπων δὲ μυριάδας ψ', ρ' δὲ πύλαις διεκοσμεῖτο. ταύτην ἐτείχισε βασιλεὺς Ὄσιρις. τινὲς δέ φασι τῶν ἱερέων ὅτι ρ' εἶχε πύλας, ἐξ ἑκάστης δὲ ὁπλῖται μὲν μύριοι, χίλιοι δὲ ἱππεῖς ἐξεστράτευον, ἁρματηλάται δὲ σ'. Θῆβαι δὲ ὀνομάζονται ὑπὸ Ἑλλήνων ἀπὸ Θήβης τῆς Νείλου θυγατρός· οἱ δὲ Ἐπάφου εἶπον αὐτήν, οἱ δὲ Πρωτέως τοῦ Ποσειδῶνος, οἱ δὲ Λίβυος τοῦ Ἠπείρου.

οὐ τὸ πλάτος τῶν πυλῶν θέλει σημαίνειν (οὐδὲ γὰρ ἅμα πάντας ἐξιέναι φησίν), ἀλλὰ τὸ μέγεθος τῆς πόλεως καὶ τὸ πλῆθος τῶν ἀνδρῶν, εἴ γε πύλας μὲν ρ' ἔχει, ἄνδρας δὲ ἁρματοφόρους δισμυρίους. ἐν ταύτῃ δὲ ἦν πρότερον τὰ βασίλεια τῆς Αἰγύπτου, εἰς ἃ πολλοὺς ἔφερον φόρους Λίβυες, Αἰγύπτιοι, Αἰθίοπες, νῦν δὲ Διόσπολις ὀνομάζεται. εἶχε δὲ κώμας μὲν τρισμυρίας γλ', ἀρούρας δὲ γψ καὶ πύλας ρ', ἀνδρῶν δὲ μυριάδας ψ. ταύτην ἐτείχισεν ὁ βασιλεὺς Ὄσιρις, ἐξ ἑκάστης δὲ πύλης ἐστράτευον ὁπλῖται μὲν

13. *τὰ] om.
16. Κάστωρ Wyttenb. ad Plut. Mor. vol. 7 p. 25] Κάτων
18. *ἀρούρας δὲ γψ'] om.
20. τῶν ἱερέων (ἱε͞ρ B)] τὴν ἱερὰν Vill.
21. *μὲν] om.
*ἁρματηλάται δὲ σ'] om.
28. *δισμυρίους] $\bar{\beta}$ μυριάδας

μύριοι, ἱππῆες δὲ χίλιοι, ἁρματηλάται δὲ διακόσιοι. Θήβη δὲ ὠνόμαστο ὑπὸ Ἑλλήνων, ὑπὸ δὲ Περσῶν ὕστερον ἐπορθήθη.

385. οὐδὲ ἐπὶ τῶν προειρημένων ἔστησε τὸ τίμημα τῆς ὕβρεως. καλῶς δὲ ἀμφότερα συμπεριέλαβε τῷ λόγῳ, τήν τε θαλαττίαν καὶ πεδιάδα.

387. πρίν γ' ἀπὸ πᾶσαν] ἠρέμα ὑπώλισθεν εἰς τὸ ἀληθὲς, καὶ ἐκκύψας τὴν ἐλπίδα πάλιν αὐτοῖς ὥρισε πρόστιμον τὴν τοῦ ἐχθροῦ ποινήν.

388. τοῦτο ἐδόκει ὀχυρὸν ἔχειν ὡς ἀξιῶν γαμβρεύσειν αὐτῷ. τοῦτον δὲ πλεῖον λυπεῖ τὸ εὐτελίζεσθαι τὸν τῆς Βρισηΐδος γάμον.

389. οὐδ' εἰ χρυσείῃ Ἀφροδίτῃ] μεγίστῃ χρῆται τῇ ὑπερβολῇ. δύο δὲ εἶδεν ἀρετὰς γυναικὸς, κάλλος καὶ ἔργα φρονήσεως· ἀνδρὸς δὲ "μύθων τε ῥητῆρ' εἶναι πρηκτῆρά τε ἔργων" (443).

392. ὅστις οἵ] ὅστις ἄξιος, φησὶν, αὐτοῦ ἐστὶν, καὶ ὅστις ἐμοῦ ἢ πάντων ἀνθρώπων βασιλεύτερός ἐστιν· ἔλεγε γὰρ (160) "καί μοι ὑποστήτω, ὅσον βασιλεύτερός εἰμι." διδάσκει δὲ ὡς οὐδὲν ὀνίνησι τυραννὶς ἐπὶ γνώμῃ ἀδίκῳ.

394. Πηλεύς θήν μοι] φιλοπάτορα καὶ σώφρονα ἑαυτὸν ἀποδείκνυσι, κἀκεῖνον κρείττονα γάμον ὃν ἂν ὁ πατὴρ ἕλοιτο.

396. ἀριστήων] ὀνειδίζει τὴν ἀνανδρίαν τῷ Ἀγαμέμνονι, γενναίων κηδεστῶν, οὐχὶ τοιούτου δεῖσθαι λέγων. ἐν ᾧ δὲ προὔχει, ἐν τούτῳ ποιεῖται τὴν κρίσιν.

397. τοῦτό φησιν ὡς πολλῶν ἐπιδικασομένων γαμβρεύσειν αὐτῷ διὰ τὴν ἀρετήν.

399. μνηστὴν] τὴν γὰρ Ἀγαμέμνονος οὐ λογίζεται μνηστὴν, ἐπεὶ δῶρον αὐτῷ δίδοται. δοτικῆς δὲ τὸ γήμαντι· γάμου δὲ τέλος οὐ κτῆσις, οὐ κάλλος, οὐκ ἄλλο τι τῶν τοιούτων, εἰ μὴ τῶν συνόντων ἡ ὁμόνοια καὶ τὸ ἁρμόδιον, ὅπερ φησὶν "οὐ μὲν γὰρ τοῦ γε κρεῖσσον καὶ ἄρειον, ἢ ὅθ' ὁμοφρονέοντε" (Od. 6, 182). ἢ εἰρωνεύεται ὡς γαμήσων κατὰ τὸ ἑαυτοῦ ἀξίωμα· φησὶ γοῦν (391) "ὁ δ' Ἀχαιῶν ἄλλον ἐλέσθω ὅστις οἵ τ' ἐπέοικεν."

400. τὰ γέρων ἐκτήσατο Πηλεύς] λέγει ὅτι πατρῷα ἔχειν δεῖ

13. *ῥητῆρ' εἶναι] ῥητῆρα, omisso εἶναι

16. *βασιλεύτερός εἰμι] βασιλεύτατός ἐστι

21. *τοιούτου] τοιούτων

32. πατρῷα—εὐδαιμονοῦντα] Menandri versus (ap. Stobaeum Flor. 68, 28) fuit πατρῷ' ἔχειν δεῖ τὸν καλῶς εὐδαίμονα.

τὸν καλῶς εὐδαιμονοῦντα. φησὶ γοῦν ὡς μᾶλλον αἱροῦμαι πατρίδος καὶ τῶν ἐμῶν ἀπολαύειν κτημάτων ἢ πολεμεῖν.

401. ἐμφαίνει τι τοῖς παροῦσιν, εἴ γε δώρων προήσεται τὴν ψυχήν, αὐτῶν ὧνπερ διδόντων ὑπὲρ σωτηρίας τῆς ψυχῆς ἑαυτῶν· καὶ ὅτι πρώην κατεφρόνει αὐτῆς, ἀχαρίστῳ χαριζόμενος ἀνδρί. ὅτι δὲ οὐ φιλοψυχεῖ, πρὸς τὴν μητέρα φησὶν "αὐτίκα τεθναίην" (Il. 18. 98).

404. *ἀφήτορος] τοῦ Ἀπόλλωνος, ἤτοι ὁμοφήτορος, τοῦ ὁμοῦ ἢ ὁμοίως πᾶσι προφητεύοντος καὶ μαντευομένου, τῷ τε πλουσίῳ καὶ πένητι. ἢ τοξικοῦ, ἀπὸ τῆς τῶν βελῶν ἀφέσεως. ἢ τοῦ πολυφήτορος, τουτέστι τοῦ πολλὰς φήμας ἀφιέντος· ὃ καὶ ἄμεινον.

οἱ μὲν ἀσαφήτορος. οἱ δὲ τοξότου. ἕκαστον δὲ ἀγωνιστὴν δύσθυμον ποιεῖ τὸ ἐπταισμένον ὑποδηλῶν τοῦ πολέμου. ἡδεῖα δὲ ἡ περίφρασις καὶ πλήρης ἐναργείας.

405. *Πυθοῖ] Πυθὼ πόλις Φωκίδος, ἧς οἱ οἰκήτορες Δελφοί. ἔστι δὲ ἱερὰ Ἀπόλλωνος. κέκληται δὲ ἤτοι ἀπὸ τοῦ πυνθάνεσθαι τῆς Πυθίας τοὺς μαντευομένους, ἢ ἀπὸ τοῦ τοξευθῆναι τὸν τοῦ χρηστηρίου φύλακα δράκοντα ὑπὸ Ἀπόλλωνος αὐτόθι καὶ πυσθῆναι, ὅ ἐστι σαπῆναι.

410. μήτηρ γάρ τέ μέ φησι] διὰ τοῦ φησί δηλοῖ ὅτι ὑποψιάς αὐτῷ εἴρηκεν· εὖ δὲ τὴν τῆς μητρὸς ἐδήλωσε πρόρρησιν. ἐμφαίνεται δὲ ὡς ἔστιν ἀνιήτου χρημάτων ἕνεκεν εἰς πρόδηλον ἑαυτὸν ἐμβαλεῖν θάνατον, καὶ ὅτι ἄφρονές εἰσιν οἱ δεόμενοι ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας ἕτερον ἐπὶ δώροις τελευτᾶν· καὶ ἵνα ἀποπλέοντι μὲν αὐτῷ συγγινώσκωσι, βοηθοῦντι δὲ μεγίστην ὁμολογοῖεν χάριν. τὸ ἀμφίβολον δὲ τῆς μοίρας καὶ ἐν ἄλλοις εἶδε, δι' ὧν Τειρεσίας φησὶν Ὀδυσσεῖ "τὰς εἰ μέν κ' ἀσινέας ἐᾷς, εἰ δέ κε σίνηαι" (Od. 11, 110).

417. καὶ δ' ἂν τοῖς ἄλλοισιν] τοσοῦτον ἀπέχει πειθοῦς ὥστε καὶ τοὺς λοιποὺς ὑποχωρεῖν βούλεται. πιθανῶς δὲ ἀφίστησιν αὐτοὺς τοῦ πολέμου, τὸ ἀδύνατον τῆς ἁλώσεως προβαλλόμενος.

418. δήετε] τεχνικῶς πρὸς αὐτὸν ἀπέστρεψε τὸν λόγον, ἐπεὶ καὶ

1. φησὶ γοῦν] *φησὶν οὖν
15. *Πυθὼ πόλις—κέκληται δὲ ἤτοι] om.
17. *τῆς Πυθίας] τὴν Πυθίαν
18. πυσθῆναι] *πυθῆναι
20. *ὑποψιάς] ὑπογύας
27. *μέν κ'] μέν κεν

ἔλεγε "Ζεὺς δέ σφιν Κρονίδης" (Π. 4, 166). εἰ τοίνυν, ὡς φῄς, πολέμιον ἔχετε τὸν θεὸν, ὑπόλοιπον ὑμῖν ἐστὶν ἀποπλεῖν.

420. χεῖρα ἑὴν ὑπερέσχε] ὑπερασπίζει· ἐν χερσὶ γὰρ ἡ πᾶσα δύναμις. μεγάλη δὲ ἡ φαντασία, ὡς οὐ μόνον συλλαμβάνοντος τοῦ Διὸς, ἀλλὰ καὶ τὴν χεῖρα ὑπερέχοντος.

421. ἀριστῆεσσιν Ἀχαιῶν] νῦν οὐδὲ λόγον ποιεῖ Ἀγαμέμνονος, καίτοι πρώην λέγων "τῷ πάντ' ἀγορευέμεν ὡς ἐπιτέλλω" (369). ἢ ὡς μὴ αὐτοῦ μόνου πέμψαντος, ἀλλὰ καὶ τῶν λοιπῶν. ἢ τῷ θυμῷ ὑπερκαείς.

425. ἑτοίμη] εὔληπτος, φανερὰ, ἕτοιμος. λέγει δὲ τοῦτο, ὅτι ματαία ἐστὶν αὕτη ἡ βουλὴ ἣν ἐβουλεύσαντο οἱ Ἕλληνες, πέμψαντες ὑμᾶς πρέσβεις πρός με ὡς δυναμένους πεῖσαί με.

427. Φοῖνιξ δ' αὖθι] τοῦτο εἰς πίστιν τοῦ τῷ ἦρι ἀποπλεῦσαι. προσκρούει δὲ Φοίνικι ὡς παρ' Ἀγαμέμνονι διατρίψαντι· καὶ ἐξῆς "Ἀτρεΐδῃ ἥρωϊ φέρων χάριν" (613). ἅμα δὲ καὶ προεκκόπτει αὐτὸν τῆς λιτῆς.

429. ἣν ἐθέλῃσιν] ἣν ἐθέλῃσι, φησὶ, προέσθαι Ἀγαμέμνονα. διὸ καὶ αὐτός φησι "πῶς ἂν ἔπειτ' ἀπὸ σεῖο, φίλον τέκος" (437).

ἀνάγκη δ' οὔ τί μιν ἄξω] οὐ γὰρ ἦν εἰκὸς βιάζεσθαι ᾧ ὁ πατὴρ πειθαρχεῖν ἐκέλευσεν.

431. μάλα γὰρ κρατερῶς] ἐμαρτύρησεν ἑαυτῷ ὁ ποιητὴς ὅτι ἀπότομον λόγον τῷ Ἀχιλλεῖ περιέθηκεν. ἄκρως γὰρ διέθηκε τὸν Ἀχιλλέως λόγον, φύσει, φρονήματι, ἀξιώματι, ἤθει.

432. ὀψὲ δὲ δὴ] φρονίμως τὸ μὴ εὐθέως τοῖς Ὀδυσσέως λόγοις τοὺς ἑαυτοῦ ἐπιβαλεῖν, ἀλλ' ἀντειπεῖν πρῶτον ἐᾶσαι τὸν Ἀχιλλέα καὶ ἐκχέαι τὸν θυμόν. ἀλλ' οὐδὲ παυσαμένου Ἀχιλλέως αἴφνης ἄρχεται, οὐδὲ ἀρξάμενος εὐθὺς τὴν συμβουλίαν προάγει, ἀλλὰ δακρύσας προσοχὴν καὶ ἔλεον ἐπισπᾶται· οἴκτῳ γὰρ τὸ πλέον ἀγωνίζεται καὶ διηγήμασιν οἰκείων ἀτυχημάτων. τὸν δὲ λόγον οὐκ ἐπὶ ἱκετείαν ἀνάγει, ἀλλ' ἐπὶ τὸ συμφέρον Ἀχιλλεῖ. ὀψὲ δὲ τοῦτο ποιεῖ, ὅτι πάντες ἠπόρησαν.

433. δάκρυ' ἀναπρήσας] φησὶν, οὐκ ἔστεξε τὸ δάκρυον. συνείκει μὲν οὖν ἀπ' ἀρχῆς, εἶτα ἐπάγει τὴν λιτήν. τὸ δὲ εἰ μὲν δή ὡς παραδόξου τῆς κρίσεως οὔσης· προσεδόκων γὰρ, φησὶν, ὡς παρακληθεὶς μενεῖς. ὥσπερ δὲ Ὀδυσσεὺς ἐκ τοῦ παρόντος ἔλαβε τὸ

15. * προεκκόπτει] προκόπτει

προοίμιον, οὕτω καὶ οὗτος. οὐχ ὡς συμβουλεύσων δὲ παρελήλυθεν, ἀλλ' ὡς δώσων ἀπόκρισιν πρὸς τὸ "Φοῖνιξ δ' αἶθι παρ' ἄμμι μένων."

435. ἀμύνειν νηυσὶ] τὸ ἀνεπίφθονον τῶν ὀνομάτων καὶ τὸ ἔσχατον τῶν κινδύνων ἐδήλωσε, τὸ Ἀγαμέμνονος πρόσωπον σιωπήσας, ὡς καὶ Ὀδυσσεύς.

436. χόλος ἔμπεσε θυμῷ] δείκνυσιν ὅτι διὰ θυμὸν καταφρονεῖ τοῦ δικαίου, οὗ μάλιστα δεῖ τὸν πεπαιδευμένον κρατεῖν.

437. πῶς ἂν ἔπειτ'] φάσκων ἀποπλευσεῖσθαι μετ' αὐτοῦ, διότι Πηλεὺς ὡς διδάσκαλον συνέπεμψεν αὐτὸν, τεχνικῶς ἐνέφηνεν ὅτι προσῆκόν ἐστι τὸ μὴ ἀπειθεῖν τῷ διδασκάλῳ. εἰ δὲ ὡς διδασκάλῳ ἐκέλευσε πείθεσθαι, χαλεπῶς ἂν ἤνεγκεν Ἀχιλλεύς. νῦν δὲ, δι' ἃς αἰτίας ἐκεῖνον τὸ κελευόμενον ποιεῖν ἔδει, διὰ ταύτας αὐτὸς ἀκολουθήσειν φησὶν, ὡς ἂν μὴ φάναι ὡς οὐ χωρισθείη τοῦ Ἀχιλλέως, ἀλλ' ὡς πυνθανόμενον λέγειν· διαγανακτοῦντος γὰρ ἦθος ἐμφαίνεται. ἅμα δὲ καὶ τὸν Ἀχιλλέα εὐμενῆ ἀπεργάζεται, οὐδεμίαν λέγων ὑπολείπεσθαι αὐτῷ ἄλλην ἐλπίδα. προσαγωγὸν δὲ καὶ τὸ φίλου τέκος· λέγει γὰρ ὅτι διὰ τὴν φιλοστοργίαν καὶ παρὰ τὸ δέον αὐτῷ πείσεται.

438. σοὶ δέ μ' ἔπεμπε] ὡς ὀπάων οὖν, φησὶν, οὐκ ὀφείλω ἀπολιπέσθαι. τοῦτο δὲ δυσωπεῖ αὐτόν· τὸν γὰρ διδάσκαλον δεῖ κελεύειν.

439. ἐκ Φθίης Ἀγαμέμνονι] λελησθότως δείκνυσιν ὅτι ἀπειθεῖ τῷ πατρὶ, τούτου ἀποστὰς, ᾧ καὶ πόρρωθεν αὐτὸν ἀπέστειλεν.

440. νήπιον] εἰ νηπίου ὄντος οὐ προπεφάσισται πρὸς τὴν αἴτησιν ὁ πατὴρ, πῶς, φησὶ, νῦν τελειωθεὶς οὐ πολεμεῖς;

441. ἵνα τ' ἄνδρες ἀριπρεπέες τελέθουσι] ἄμφω τὰς ἀρετὰς κυδιανείρας φησί. νῦν δὲ μᾶλλον ἐχρῆν ἐπαινεῖν τὰ ψυχικά.

442. διδασκέμεναι] ἴαται τῇ ἡλικίᾳ τὸ τραχὺ τῆς λέξεως. τὸ δὲ τάδε, εἰς ἃ νῦν ἁμαρτάνεις. καὶ ὅτι οὔπω τετέλεσται ἡ μάθησις, διὰ τῆς παρατάσεως ἐδήλωσεν· οὐ γὰρ εἶπε διδάξαι. εἰ οὖν σύμβουλος ἐπέμφθη, νῦν δὲ βοᾷ τὸ πρᾶγμα, βοᾷ δὲ δεόμενον συμβουλῆς, πῶς αὐτῷ οὐ πείθεσθαι δεῖ;

443. σημείωσαι ὅτι τὸ ὁμοιοτέλευτον ὁ ποιητὴς ἔφυγε μεταβαλὼν τὴν φράσιν· οὐ γὰρ εἶπε μύθων τε καὶ ἔργων ῥητῆρα ἀπὸ κοινοῦ, ἀλλ'

14. *μὴ] τὸ μὴ

ἐνήλλαξεν. καὶ ὅτι δὲ πάντων κρειττων ἡ εὐβουλία δηλοῖ διὰ τούτου.

δείκνυσιν ὅτι διδακτὸν ἡ ἀρετή. εἵπετο δὲ αὐτῷ ὁ Φοῖνιξ ὑποδείξων ἅ τε λεκτέον καὶ ἃ χρὴ πράττειν. εἰ ὑπὸ Φοίνικος οὖν πεπαίδευται, τί παρὰ Χείρωνος ἐδιδάχθη; δῆλον ὅτι πολεμικὴν καὶ ἰατρικήν.

446. γῆρας] γῆρας, φησὶ, τὸ μάλιστά με νῦν ἐνοχλοῦν. διὰ δὲ τοῦ ἀποξύσας ἐδήλωσε προσπεπλασμένην ἀσθένειαν παλαιῷ σώματι. καὶ αὐτῷ δὲ τῷ τῆς συλλαβῆς χρόνῳ τὸ δυσαφαίρετον τοῦ γήρως δηλοῖ. Ἀττική τέ ἐστιν ἡ ἔκτασις.

448. *φεύγων νείκεα πατρὸς] Φοῖνιξ ὁ Ἀμύντορος ἐξέπεσε τῆς οἰκείας γῆς διὰ ταύτην τὴν αἰτίαν. τοῦ πατρὸς αὐτοῦ παλλακίδα μὲν ὀνόματι Κλυτίαν ἀγαπῶντος, Ἱπποδάμειαν δὲ, ἐξ ἧς τὸν Φοίνικα ἔτεκε, στυγοῦντος, δεηθείσης τῆς μητρὸς τῇ παλλακίδι τοῦ πατρὸς ἐμίγη. γνοὺς δὲ ὁ πατὴρ ἐπηράσατο τῷ παιδὶ περὶ τέκνων. δείσας δὲ Φοῖνιξ τὸν πατέρα καὶ τὰς ὑπ' αὐτοῦ γενομένας ἀρὰς φεύγει. Πηλεὺς δὲ, ὅστις ὑποδεξάμενος αὐτὸν διὰ τὴν συγγένειαν δίδωσιν αὐτῷ τὴν Δολοπίαν χώραν, καὶ Ἀχιλλέα τὸν υἱὸν μικρὸν ὄντα εἰς ἀνατροφὴν παραδίδωσιν.

μυθολόγοι οἱ γέροντες, καὶ παραδείγμασι παραμυθούμενοι. ἄλλως τε ψυχαγωγεῖ τὴν ὀργὴν ὁ μῦθος. εἰπεῖν δὲ θέλει τὰς εὐεργεσίας Πηλέως, εἴ πως πείσειεν ὅτι εὔνους αὐτῷ ἐστί· καὶ ὅτι λιταῖς οὐ πεισθεὶς ἐν ἀλλοδαπῇ ἅπαις διήγαγεν. ἡδεῖα δὲ ἡ ἀκρόασις τῶν οἰκείας συμφορὰς διηγουμένων. καὶ ὁ κυνικὸς δὲ Διογένης τοῖς συνοῦσιν ὡμολόγει οἵας εἶχεν ὁρμὰς πρὸ τοῦ φιλοσοφεῖν, ὡς ἄρχειν αὐτοῦ μὴ δυνάμενος τῶν ἄλλων ἤθελεν. ἀκριβὴς δὲ διδασκαλία ἡ πεῖρα· διὸ καὶ τοσαῦτα ἡμαρτηκότι τῷ Φοίνικι καὶ ἐν προσκρούσει τοῦ πατρὸς γεγονότι τὸν υἱὸν ἐπιτρέπει ὁ Πηλεύς· ἑώρα γὰρ αὐτὸν αἰσθόμενον τῆς ἁμαρτίας δι' ὧν ἑαυτῷ τὴν ἐκούσιον ἐπήγαγε φυγήν.

449. παλλακίδος] οὐ τῆς ἤδη μιγείσης, ἀλλὰ τῆς εἰς τοῦτο τρεφομένης· φησὶ γοῦν προμιγῆναι. οὐκ ἀντίκειται δὲ τὸ ὅτι τὴν μὲν ἐφίλει, ἠτίμαζε δὲ τὴν γυναῖκα· ἔπραττε γὰρ ταῦτα ἐν νῷ ἔχων ἤδη τὴν πρὸς αὐτὴν ὁμιλίαν. τοῦτο οὖν ὁ Φοῖνιξ ἐποίησεν εἰς τῶν γονέων τὴν ὁμόνοιαν. οἰκείως δὲ ταῦτα πρὸς τὸν ἕνεκα τῆς

15. περὶ τέκνων] *τέκνων ἀγονίαν 25. *ὡμολόγει] ὁμολογεῖ

Βρισηΐδος χαλεπαίνοντα, ὅτι συγγνωστέος ἁμαρτήσας περὶ τὴν κόρην Ἀγαμέμνων, εἴ γε καὶ αὐτὸς ἁμαρτὼν συγγνώμης ἠξίωται παρὰ Πηλέως. τὸ δὲ περιχώσατο ἀντὶ τοῦ περισσῶς ὠργίσθη.

452. ἵν' ἐχθήρειε] ῥᾷστα γὰρ ἀνδρὸς ἀφίσταται γέροντος γυνὴ νέα, πειραθεῖσα νέου καὶ ἰσχυροτέρου ἀνδρός· ἧττον γὰρ οἱ γέροντες ἀφροδισιάζειν δύνανται.

*Πορφυρίου. ἀπρεπὲς τοιαῦτα περὶ αὐτοῦ διεξιέναι πρὸς μηδὲν ἀναγκαῖον. οἱ μὲν οὖν ἀπὸ τῆς λέξεως λύουσιν, ὅτι προμιγῆναι οὐδεμίαν ἔχει ἀτοπίαν, οἱ δὲ ἀπὸ τοῦ καιροῦ, ὅτι τὰς παλλακίδας διαβάλλει πρὸς τὸν Ἀχιλλέα ἕνεκα τῆς Βρισηΐδος χαλεπαίνοντα.

453. τῇ πιθόμην καὶ ἔρεξα] ὡς πρὸς ὁμόνοιαν γονέων τὸ τοιοῦτον ἐποίησε· φησὶ γοῦν "ἡ δ' αἰὲν ἐμὲ λισσέσκετο." καὶ πάλιν τῆς διχοστασίας αὐτῶν κρείττονα τὴν φυγὴν ἡγήσατο. ἐν ἤθει δὲ δεῖ τὸν στίχον ἀναγινώσκειν ὡς μετανοοῦντος αὐτοῦ· διὸ καὶ ἐμπείστευται Ἀχιλλέα· ὁ γάρ τι παίσας πάντως καὶ φυλάττεται. καὶ Σοφοκλῆς (Fragm. 750) "ὃς μὴ πέπονθε τἀμά, μὴ βουλευέτω." οἱ δὲ εὖ πρὸς γονεῖς ἔχοντες ἐπ' ἴσης μὲν αὐτοὺς ἀγαπῶσιν, ἐπαμύνουσι δὲ τῷ καταπονουμένῳ. ἢ τάχα βούλεται λέγειν ὅτι οὐ πάντα πειστέον μητρί· Θέτις γοῦν ἔλεγεν "ἀλλὰ σὺ μὲν νῦν νηυσὶ παρήμενος ὠκυπόροισι μήνι' Ἀχαιοῖσιν" (Il. 1, 421). ἀλλὰ μᾶλλον πατρὶ τῷ λέγοντι "φιλοφροσύνη γὰρ ἀμείνων" (256). ἀγαθοὶ δὲ διδάσκαλοι οἱ ἐν παθημάτων πείρᾳ γενόμενοι· καὶ Χείρωνα γάρ φασι τρωθέντα τὴν χεῖρα τὴν περὶ βοτανῶν ἐπιτηδεῦσαι ἰατρικήν, τὴν δὲ περὶ τὰς διαίτας τὸν Σηλυβριανὸν Ἡρόδικον, ὃς ἐμπεσὼν διὰ τοὺς πόνους εἰς φθόην ἐπιπόνως τὴν τέχνην ταύτην ἐμελέτησεν.

454. Ἐρινῦς] τὰς καταχθονίους δαίμονας, ὡς τιμωρητικὰς πατρῴων ἀσεβημάτων, ὧν τὰ ὀνόματα Ἀληκτὼ, Τισιφόνη, Μέγαιρα. εἴρηνται δὲ παρὰ τὸ ἐκ τῆς ἔρας, ἤγουν τῆς γῆς, εἶναι.

455. μή ποτε γούνασιν οἷσιν ἐφίζεσθαι φίλον υἱόν] ἐσικυῖα κατάρα τῷ ἀτιμάσαντι πατέρα τὸ τὴν ἀπὸ τῶν παίδων μὴ δέξασθαι τιμήν. πᾶς δ' εὖ φρονῶν πατὴρ υἱῶν υἱοῖς εὔχεται πάππος γενέσθαι μᾶλλον.

7. *Πορφυρίου] om.
15. ὡς] *ὡς καὶ
16. πάντως] *πάντα
17. *βουλευέτω] βουλεύηται

457. Ζεύς τε] πῶς ὁ μὲν εὔχεται ταῖς Ἐρινύσι, τὰς δὲ εὐχὰς αὐτῷ ἐκτελεῖ Ἅιδης καὶ Περσεφόνη; ὅτι αὐτοκράτορες τῶν τιμωριῶν ὄντες τὴν τοῦ κολάζειν ἐξουσίαν τοῖς ἄλλοις δαίμοσι παρέχονται.

463. κατὰ μέγαρα στρωφᾶσθαι] ἐδήλωσεν ὅτι ἐν ταῖς ἀδιαλλάκτοις ἔχθραις οὐδέν ἐστι τοῦ φεύγειν ἄμεινον.

464. ὅτι πᾶσιν ἠγαπημένος ἦν διά τε τὸ κάλλος καὶ φρόνημα, ὁ δὲ πατὴρ ὀργιζόμενος ἦν διὰ τὸν τῆς παλλακίδος ἔρωτα.

468. *Πορφυρίου. δῆλον ὅτι οἱ σύες θαλέθοντες ἀλοιφῇ καὶ πιμελεῖς ὄντες εὐόμενοι τῇ φλογὶ καὶ ὀπτώμενοι τανύονται, ὃ σημαίνει τὸ ἐκτήκοντας, ἀπὸ τοῦ τετανοὺς γίνεσθαι τοὺς ἰσχναινομένους.

472. πῦρ ἕτερον μέν] ἄλλο παρὰ τὸ τοῦ θαλάμου, ὅπου αὐτὸς ἦν· τρίτον δὲ τὸ ἐν τῇ στοᾷ καιόμενον.

473. ἄλλο δ' ἐνὶ προδόμῳ] μετήγαγε τὴν τάξιν. θάλαμος μὲν γὰρ ὁ ἔσω οἶκος, τὸ δὲ πρὸ αὐτοῦ πρόδομος· αἴθουσα δὲ τὸ περίστυλον, τουτέστι τὸ πρὸς ἥλιον τετραμμένον παρὰ τὸ ἀεὶ αἴθεσθαι.

476. ῥήξας ἐξῆλθον] τῷ μὲν Φοίνικι ἡ μεταβολὴ ἀδύνατος διὰ τὴν ὀργὴν τοῦ πατρός, τῷ δὲ Ἀχιλλεῖ καὶ ἔνδοξος διὰ τὴν τοῦ πατρὸς παραίνεσιν.

477. ῥεῖα] τῷ ὑπέρθορον συναπτέον τὸ ῥεῖα· λαθεῖν γὰρ ῥᾳδίως ἀδύνατον οὕτω φυλαττόμενον. ῥεῖα δὲ διὰ τὸ τῆς νεότητος ἄνθος.

480. ἄναχθ'] ἐμὸν, φησὶν, ἄνακτα, διὰ τὴν παρ' αὐτοῦ γεγονυῖαν εὔνοιαν.

*Πορφυρίου. διὰ τί ὁ Πηλεὺς τὸν Φοίνικα τοιαῦτα ἡμαρτηκότα, ὥστε τῇ παλλακίδι τοῦ πατρὸς συγγενέσθαι καὶ τῷ πατρὶ ἐπιβουλεῦσαι, ὅμως διδάσκαλον τῷ υἱῷ συνέπεμψεν; ἢ ὅτι ὥσπερ ἰατροὶ ἄριστοι ἐγγίνονται οὐχ οἱ μὴ ἠρρωστηκότες, οὐδὲ ἠρρωστηκότες μέν, μὴ εἰδότες δὲ τὰ ἁμαρτήματα καὶ τὰς αἰτίας, ἀλλ' οἱ ἄμφω ἔχοντες, οὕτω καὶ σύμβουλοι ἄριστοι οὐχ οἱ ἄπειροι τῶν ἁμαρτημάτων, ἀλλ' οἱ ἔμπειροι, οὐδὲ οἱ ἐν ἐμπειρίᾳ μὲν γενόμενοι, μὴ οἰόμενοι δὲ ἡμαρτηκέναι, ὃ παρῆν τῷ Φοίνικι· καὶ γὰρ ἥμαρτε, καὶ ἁμαρτὼν ἔγνω ὅτι ἥμαρτε καὶ προσεπιγνοὺς ὅτι ἥμαρτεν ἑαυτὸν τετιμώρηκε διὰ τῆς ἑκουσίου φυγῆς. ὁ τοιοῦτος ἂν εἴη ἄριστος

9 et 26. *Πορφυρίου] om.

ἰατρὸς τῶν παιδείας δεομένων. ἡ δὲ μνήμη τῆς περὶ τὴν παλλακὴν ἁμαρτίας πρὸς τὸν Ἀχιλλέα οὐκ ἄκαιρος διὰ παλλακίδος αἰτίαν ἐξαμαρτάνοντα πρὸς τοὺς Ἕλληνας, καὶ παράδειγμα φέρουσα πρὸς τὸν Ἀχιλλέα πατρικῆς πράξεως· ὡς γὰρ ὁ Πηλεὺς τὸν εἰς παλλακὴν πλημμελήσαντα, καὶ πρὸς πατέρα ὁμολογήσαντα τὸ ἀδίκημα, καὶ ἱκετεύσαντα, καὶ διὰ φυγῆς ἐξιλασκόμενον τὴν τοῦ πατρὸς μῆνιν οὐ παρητήσατο δέξασθαι, οὕτω τὸν ἱκετεύσαντα Ἀγαμέμνονα ἀνθ' ὧν εἰς τὴν παλλακίδα πλημμελεῖν ἐδόκει μὴ ἄτοπον εἶναι προσήσεσθαι, μήτ' οὖν τῷ Ἀχιλλεῖ, μήτε τῷ Φοίνικι ὑπὲρ αὐτοῦ πρεσβεύειν.

482. μοῦνον, τηλύγετον] εὖ τὸ μὴ ἀρκεσθῆναι τῇ πρὸς τοὺς υἱοὺς τῶν πατέρων φιλοστοργίᾳ, καίτοι ὑπερβολὴν μὴ δεχομένῃ, ἀλλ' ἐπενέγκαι τὸ μοῦνον· μᾶλλον γὰρ οἱ μονογενεῖς φιλοῦνται, μὴ μεριζομένης εἰς πολλοὺς τῆς φιλοστοργίας. καὶ οὐδὲ τούτῳ ἀρκεσθεὶς προσέθηκε τὸ τηλύγετον· οὗτος δέ ἐστιν ὁ τῆς γονῆς τέλος ἔχων, μεθ' ὃν ἕτερος οὐ γίνεται· ἐπὶ τούτοις γὰρ τὴν τῶν γονέων συμπάθειαν ἔστιν ἰδεῖν, ἅπασαν τὴν ἐλπίδα ἐν τῇ τούτων σωτηρίᾳ τιθεμένων. δυσωπητικὰ δὲ Ἀχιλλέως ταῦτα, καὶ ὅτι μὴ πεισθεὶς ἀτιμάσει τοῦτον ὃν ὁ πατὴρ ἐτίμησεν. ἅμα δὲ καὶ ὅτι ἐν ταῖς φυγαῖς οὐδὲν οὕτως συμβάλλεται ὡς φρόνησις καὶ παιδεία, δι' ἃς ὁ Φοῖνιξ ὑπὸ Πηλέως ἐτιμήθη.

485. τοσοῦτον] δυσωπητικὸν τὸ τῆς δείξεως, ὡς καὶ Σοφοκλῆς (El. 13) "καί σ' ἐθρεψάμην τοσόνδ' ἐς ἥβης."

486. οὐκ ἐθέλεσκες ἅμ' ἄλλῳ] οὐκ οἶδεν ὁ ποιητὴς παρὰ Χείρωνι αὐτὸν τραφέντα, ἀλλ' οἱ νεώτεροι. δεινὸν οὖν τὸ ἐν τῇ πρώτῃ ἡλικίᾳ τοσοῦτον στέρξαντα ἀπειθεῖν τελειωθέντα.

489. ὄψου] πᾶν τὸ ἐσθιόμενον ὄψον καλεῖται. ἐπὶ τὰ εὐτελέστερα δὲ καταβὰς ἔδειξε τὴν ἰσχὺν τοῦ λόγου διὰ τοῦ προταμών· πρῶτον γὰρ τέμνοντες παρέχουσι, καὶ ἐπισχών, ὡς "λαθικηδέα μαζὸν ἐπέσχον" (Π. 22, 83). οὐκ ἂν δὲ διὰ κοινοῦ ὀνόματος ἑτέρως αὐτὸ φράσειας.

491. ἀποβλύζων] ὠνοματοπεποίηται ἀφράστως. καλῶς δὲ προδανεισθείσας ἀπαιτεῖ χάριτας, εἶτα ἐπάγει τὸ "ἵνα μοί ποτ' ἀεικέα λιγὸν ἀμύνῃς," νῦν ἰδιούμενος τὴν σωτηρίαν τῶν Ἑλλήνων πάντων.

3. φέρουσα Bekkerus] φέροῦ 15. οὗτος Bekkerus] αὐτὸς
30. * ἐπέσχον] ἐπισχών

494. ὀρθοτονεῖται τὸ σέ, ὅτι δεικτικόν ἐστιν.

496. οὐδέ τί σε χρή] ἅπερ Ὀδυσσεὺς εἰπεῖν ἐφυλάξατο (πικρὸν γὰρ ἦν), ἐπὶ δὲ τὸν Πηλέα ἀνήγαγε, ταῦτα Φοίνικι δίδωσιν ἡ τῆς ἀνατροφῆς παρρησία.

497. ἀποφθεγματικόν ἐστιν, ὅταν βιωφελές τι δι' ὀλίγης ἐκφέρηται λέξεως. ἐπίφθονος δὲ ὁ λόγος· ὡς θεοῦ γὰρ ἦκον δεησόμενοι. καὶ λεληθότως διδάσκει ὅτι μὴ πειθόμενος λιταῖς, αἷς καὶ θεοὶ πείθονται, ἀσεβεῖ καὶ εἰς θεοὺς καὶ εἰς τὴν ἑαυτοῦ μητέρα.

499. θυέεσσι] καὶ ἀναντίρρητος ἄρα ἡ ἐπιχείρησις αὐτῶν. ἕτοιμον δὲ αὐτὸν ποιεῖ διὰ τούτων πρὸς τὴν τῶν δώρων λῆψιν.

500. λαθεῖν μὲν γὰρ ἀδύνατον τοὺς πάντα ἐφορῶντας, ἀλλ' οὐδὲ βιάσασθαι τοὺς ἰσχυροτέρους. μία οὖν ὁδὸς ἐκφυγῆς, ἡ ἱκετεία.

502. πρὸς ἐντροπὴν Διὸς κούρας αὐτάς φησιν· ἢ διὰ τὸ "Ζεὺς ἐπιτιμήτωρ ἱκετάων" (Od. 9, 270)· ἢ παρόσον ὁ Ζεὺς πατὴρ ἀνδρῶν τε θεῶν τε λέγεται. μυθικῶς δὲ ὡς γέρων ὑποβάλλει ὅτι ὅρα μή σοι διὰ τὴν ὑπεροψίαν ἔσται τι δεινόν.

503. ἀπὸ τῶν συμβαινόντων περὶ τοὺς ἱκέτας παθημάτων τὰς μορφὰς τῶν αἰτήσεων διετύπωσεν. ὅσα δὲ κρατεῖ τῆς ἡμετέρας δυνάμεως, θεῖα ὀνόμαζον. χωλαὶ δὲ διὰ τὸ μόγις εἰς δεήσεις ἔρχεσθαι· ῥυσαὶ δὲ διὰ τὸ σκυθρωπάζειν· παραβλῶπες δὲ, ὅτι παριδόντες τι τῶν ἀναγκαίων παρακαλοῦμεν ὕστερον.

*ῥυσαὶ ἐπὶ τοῦ μετώπου συστροφὰς τοῦ δέρματος ἔχουσαι· παραβλῶπες διάστροφοι τοὺς ὀφθαλμούς, ἐπειδὴ οἱ ἱκετεύοντες ὑπὲρ τοῦ ἐλεεινοὶ φαίνεσθαι προσίασιν οἰκτρὰ τὰ σχήματα αὐτῶν καὶ τὰς θέας ἔχοντες. Διὸς δὲ θυγατέρας ταύτας καλεῖ, ὥστε σεβασμιωτέρας φαίνεσθαι. ἔνιοι δ' οὕτως εἰσὶν ἀμαθεῖς ὡς αἰτιᾶσθαι τὸν Ὅμηρον καὶ περὶ τῶν Λιτῶν, εἰ τὰς Διὸς γονὰς οὕτως ὕβρισεν, διάστροφον αὐταῖς περιθεὶς ἀμορφίας χαρακτῆρα "καὶ γάρ τε Λιταί εἰσι Διὸς κοῦραι μεγάλοιο, χωλαί τε ῥυσαί τε παραβλῶπες τέ ὀφθαλμώ." ἐν δὲ τούτοις τοῖς ἔπεσι τὸ τῶν ἱκετευόντων σχῆμα διαπέπλασται. πᾶσα γὰρ οὖν συνείδησις ἁμαρτόντος ἀνθρώπου

16. *ὅρα] om.
18. παθημάτων] μαθημάτων
25. ἐλεεινοὶ recte A et B: male ἐλεεινούς Bekkerus. ἐλεεινὸν in schol. minoribus.
27. ἔνιοι δ'—ὀνόμασιν] Haec ex Heracliti Alleg. c. 37 p. 75.
29. περιθεὶς Heraclitus] περὶ

βραδεῖα, καὶ μόλις οἱ δεόμενοι τοῖς ἱκετευομένοις προσίασι, τὴν αἰδῶ κατὰ ῥῆμα μετροῦντες. οὔτε μὴν ἀτρεμὲς δεδόρκασιν, ἀλλ' ὀπίσω τὰς τῶν ὀμμάτων βολὰς ἀποστρέφουσι. καὶ μὴν ἔν γε τοῖς πρώτοις οὐδὲν γεγηθὸς ἐν τῇ διανοίᾳ τῶν ἱκετευόντων περιτίθησιν ἔρευθος, ἀλλ' ὠχροὶ καὶ κατηφεῖς διὰ τῆς πρώτης ὄψεως ἐκκαλουμένη τὸν ἔλεον· ὅθεν εὐλόγως οὐ τὰς Διὸς θυγατέρας, ἀλλὰ τοὺς ἱκετεύοντας ἀπεφήνατο χωλούς τε ῥυσούς τε παραβλῶπάς τ' ὀφθαλμώ, τοὔμπαλιν δὲ τὴν Ἄτην κρατεράν τε καὶ ἀρτίπουν· κρατερὸν γὰρ αὐτῆς τὸ ἄφρον· ἀλογίστου γὰρ ὁρμῆς ὑπόπλεως δρομὰς ὡς ἐπὶ πᾶσαν ἀδικίαν ἴεται. παθῶν οὖν ἀνθρωπίνων ὥσπερεὶ ζωγράφος ἐστὶν Ὅμηρος, ἀλληγορικῶς τὸ συμβαῖνον ἡμῖν θεῶν περιθεὶς ὀνόμασιν.

504. καὶ μετόπισθ'] ἁμαρτάνοντες γὰρ καὶ βλαβέντες ὕστερον παρακαλοῦμεν, φροντίζομεν δὲ τῶν ὑπὸ τῆς Ἄτης πεπραγμένων· συνέπονται οὖν αὐτῇ αἱ Λιταί.

505. σθεναρή τε καὶ ἀρτίπους] εἰκότως διὰ τὸ ἐξ ὑπερoχῆς τῆς ἰσχύος τὰς βλάβας γίνεσθαι. οὐκ ἔστι δὲ ἐναντίον τῷ ἑτέρωθι (Il. 19, 92) λεγομένῳ, ὅτι τῆς Ἄτης ἁπαλὼ τὼ πόδε· ἐκεῖ γὰρ ὡς λελῃθότως αὐτῆς ἐπιούσης τοῖς ἀνθρώποις ἀκούσιον θέλει δεῖξαι τὸ πταῖσμα.

509. τὸν δὲ μέγ' ὄνησαν] ὑπὲρ αὐτοῦ οὖν ἐστὶν, ὅπως ἐν ἀσφαλείᾳ διάγοι ἐπικούρους ἔχων· εἰκὸς γὰρ καὶ αὐτὸν ἁμαρτῆσαι καὶ εὐμενεῖς τοὺς ἱκετευομένους ἔξειν. φυσιολογεῖ οὖν μὴ θέλων εἰπεῖν ἐξ ὀνόματος ὡς καὶ αὐτὸς βλαβήσεται μὴ πεισθείς· ὅθεν ἐπάγει "ἀλλ' Ἀχιλεῦ πόρε καὶ σύ."

512. ἵνα βλαφθεὶς ἀποτίσῃ] ἵνα καὶ αὐτὸς ἐν ἄτῃ γεγονὼς ἐπὶ τὰς λιτὰς καταφύγῃ.

514. ἤ τ' ἄλλων περ] καὶ ἄλλοι, φησὶν, εἰσὶν ἀγαθοὶ ἀδικηθέντες, αἰδούμενοι δὲ τὰς λιτάς.

515. ὥρα] ταῦτα τὴν ἱκετείαν δηλοῖ καὶ τὸν ἐνυποπίπτοντα Ἀγαμέμνονα. καὶ διὰ τοῦ φέρει αὐτὸν παρέστησε. καὶ τὸ μὲν

2. οὔτε] Immo οὐδέ
3. πρώτοις] προσώποις Mehlerus p. 76.
4. οὐδὲν—ἔρευθος ex Heraclito] οὐδὲ—ἔρῖθος
ἐν τῇ διανοίᾳ—ἐκκαλουμένη (ἐκκαλοῦν B)] τῶν ἱκετευόντων ἡ διάνοια περιτίθησιν ἔρευθος, ἀλλ' ὠχρὰ καὶ κατηφὴς διὰ — ἐκκαλοῦμένη apud Heraclitum.
11. ὀνόμασιν] ὀνόμ/
14. * αὐτῇ] αὐταῖς
22. * εὐμενεῖς] θυμὸν εἰς

ὀργίζεσθαι δικαίως συγχωρεῖ, τὸ δὲ ἀτιμάζειν τὰ διδόμενα καὶ τοὺς ἥκοντας Ἀχιλλέως ἀνάξιόν φησιν.

520. ἀρίστους] οὗτος πρεσβευτὴς οὐκ ἔστιν, ἐπεὶ οὐκ ἂν ἑαυτὸν ἐπῄνει.

521. κρινάμενος κατὰ λαόν] ὁ μὲν γὰρ συνέσει, ὁ δὲ ἰσχύϊ προύχει. λέγει δὲ ὅτι καὶ δίχα Ἀγαμέμνονος ὤφειλεν αὐτοῖς πείθεσθαι.

522. φίλτατοι] ἐλεγκτικῶς, ὅτι εἰπὼν "οἱ γὰρ φίλτατοι ἄνδρες ἐμῷ ὑπέασι μελάθρῳ" (204) νῦν ἀπειθεῖ τοῖς φιλτάτοις.

τὸ δὲ ἐλέγξῃς ἀντὶ τοῦ ὀνειδίσῃς· "τὰ δ' ἐλέγχεα πάντα λέλειπται" (Il. 24, 260)· ὡς τῆς αἰσχύνης τοῦ μὴ πείθειν ἀνατρεχούσης εἰς αὐτούς.

*μὴ ἀτιμάσῃς, μὴ ὀνειδίσῃς τὸν ὑπὲρ τῆς ἀξιώσεως καὶ πρεσβείας λόγον αὐτῶν μηδὲ τὴν ἄφιξιν αὐτῶν.

523. πρὶν δ' οὔτι νεμεσσητὸν] τὸ πρώην μηνίειν ἀνεμέσητον εἰπὼν, ἐκ τοῦ ἐναντίου τὸ νῦν νεμεσητόν φησιν.

525. χόλος ἴκοι] περὶ πάντων τοῦτο. εἶτα τὸν Μελέαγρον ἐπὶ τῇ ἰσότητι παρέλαβεν· οὐ γὰρ ἂν ἐφάνη τὸ δεινὸν τοῦ μὴ πεισθῆναι, εἴ τινα παρέλαβε τῶν πεισθέντων.

527. μέμνημαι τόδε ἔργον] ὑποδιήγησις τὸ τοιοῦτον καλεῖται. ὁμοίαν δὲ μῆνιν παραγράφει. Ἀχιλλεὺς τοῖς Ἕλλησιν οὐκ ἐπαμύνει δι' Ἀγαμέμνονα, καὶ ὁ Μελέαγρος τοῖς Αἰτωλοῖς διὰ τὴν μητέρα. ἀρχὴ μήνιδος Ἀχιλλεῖ χόλος Ἀπόλλωνος, καὶ τῷ Μελεάγρῳ Ἀρτέμιδος ὀργή· Ἀχιλλεῖ Βρισηΐδος ὕβρις, Μελεάγρῳ δὲ Ἀταλάντης. πρὸς ἑκάτερον πρεσβεύουσι, δῶρα δώσειν ὑπισχνούμενοι. τὰ λοιπὰ ὁ Φοῖνιξ εὔχεται ὅμοια μὴ γενέσθαι· ὅμως γεγόνασιν. οὐδέτερος αὐτῶν εἶξε τοῖς δεομένοις. τὸν Μελέαγρον ἐποίησεν ἡ γυνὴ ἐξελθεῖν, τοῦ πολέμου ἐπὶ θύραις ὄντος· καὶ ὁ Πάτροκλος πλησίον τῶν πολεμίων ὄντων δεηθεὶς προελθεῖν, ἔπειτα ἀποθανὼν, ἠνάγκασε τῆς ἔχθρας παύσασθαι τὸν Ἀχιλλέα. ὅπερ καὶ Μελέαγρος πέπονθεν.

528. ἐπεὶ κατὰ τοῦ Ἀχιλλέως ἐκφέρει τὸ παράδειγμα, φησὶν, ἐπὶ φίλων γάρ μοί ἐστιν ὁ λόγος.

529. ἀντὶ τοῦ εἰπεῖν Κουρῆτες καὶ Καλυδώνιοι ἐπὶ τὸ γενικώτερον ἦκε. διχῇ δὲ διῄρηται ἡ Αἰτωλία, καὶ τῆς μὲν Καλυδωνίας

17. *περὶ—ἰσότητι] om. 24. *ὀργὴ] om.
31. *ἐκφέρει] φέρει

ἦρχεν Οἰνεύς, τῆς δὲ Πλευρωνίας Θέστιος. ψυχαγωγεῖ δὲ ἡ ἱστορία τὸν θυμόν. δύο δέ φησι, μὴ ἀτιμάζειν ἱκέτας, καὶ ὡς ἄτιμος ἡ μετὰ δέησιν αὐτόκλητος ἐπικουρία. περισκέπων δὲ διὰ τῆς διηγήσεως τὸν λόγον δείκνυσιν ὡς πάντως δεῖ βοηθῆσαι. καὶ τὰς ἱστορίας δέ φησι παλαιὰς, ὅτι ἀειμνήστους ἐπὶ κακῷ ποιεῖ τοὺς ὀργιζομένους ὁ θυμός. οἰκεῖον δὲ διδασκάλῳ ἐκ τῶν παλαιῶν σωφρονίζειν τοὺς νέους. ποικίλλει δὲ τὴν δέησιν, πιστούμενος τὰς ἱστορίας διὰ τῶν παλαιῶν προσώπων.

534. *θαλύσια] τὰς ὑπὲρ εὐθαλείας καὶ εὐφορίας τῶν καρπῶν διδομένας θυσίας μετὰ τὴν συγκομιδὴν τῶν καρπῶν τοῖς τε ἄλλοις θεοῖς καὶ τῇ Δήμητρι.

δηλοῖ ὅτι ἀεὶ δεῖ μεμνῆσθαι θεοῦ. ἅπαξ δὲ κεῖται ἡ λέξις. δηλοῖ δὲ ἃ ἡμεῖς φαμὲν συγκομιστήρια.

**Οἰνεὺς Αἰτωλίας δυνάστης τὰς ἀπαρχὰς τῶν ἐτησίων καρπῶν τοῖς θεοῖς θύων Ἄρτεμιν μόνην παρέλιπεν. ἡ δὲ θεὸς ὀργισθεῖσα μέγα τοῖς Αἰτωλοῖς συὸς χθῆμα ἔπεμψεν, ὃς οὐ μόνον τὴν χώραν, ἀλλὰ καὶ τινὰς ἐνοικοῦντας διέφθειρε. Καλυδώνιοι δὲ καὶ Πλευρώνιοι προῆλθον ἐπὶ τοῦτον. Μελέαγρος δὲ ὁ Οἰνέως πρῶτος ἐπιτυχὼν, γέρας τὰ τοῦ συὸς ἀκροθίνια λαβὼν, τὴν κεφαλὴν καὶ τὸ δέρμα, Ἀταλάντῃ δι' ἔρωτα δωρεῖται· καὶ γὰρ αὐτὴ συνεξῆλθεν αὐτοῖς ἐπὶ κυνηγίᾳ. οἱ δὲ Θεστίου μὲν παῖδες, ἀδελφοὶ δὲ τῆς Μελεάγρου μητρὸς Ἀλθαίας, ὀργίλως ἐπὶ τούτῳ διατεθέντες ἐπεβούλευον τῷ Μελεάγρῳ. ὁ δὲ προγονοὺς οὓς μὲν ἀπέκτεινεν, οὓς δὲ εἰς φυγὴν τραπῆναι ἐποίησε· διόπερ Πλευρώνιοι τοῖς Καλυδωνίοις ἐπεστράτευον. Μελέαγρος δὲ κατ' ἀρχὰς τῇ μητρὶ μηνιῶν οὐκ ἐβοήθει τῇ πατρίδι, πορθουμένης δὲ ἤδη τῆς πόλεως πεισθεὶς ὑπὸ Κλεοπάτρας τῆς γυναικὸς, καὶ προελθὼν οὓς μὲν ἀνεῖλεν, οὓς δὲ ἠνάγκασεν ἐκεῖθεν κατὰ κρημνῶν ἐνεχθῆναι. Ἀλθαία δὲ μηνιῶσα τῷ παιδὶ τὴν ὑπὸ Μοιρῶν δεδομένην δᾷδα κατέφλεξεν· ἦν δὲ πεπρωμένον ἐκείνης κατακαείσης καὶ τὸν Μελέαγρον ἀποθανεῖν. φθαρέντος δὲ τοῦ παιδὸς Ἀλθαία μετανήσασα ἑαυτὴν ἀναιρεῖ.

537. ἣ λάθετ' ἣ οὐκ ἐνόησε] ἀπὸ μετοχῶν εἰς ῥῆμα μετῆλθε. λάθετο δὲ ἀντὶ τοῦ ἑκὼν παρεπέμψατο· οὐκ ἐνόησε δὲ οὐκ ἔλαβεν

11. *Δήμητρι] δημήτρα
15. *παρέλιπεν] κατέλιπεν
21. *κυνηγίᾳ] κυνηγίαν
*Θεστίου] θυέστου
28. *μηνιῶσα] μηνίουσα
29. *Μοιρῶν] μηροῖς

εἰς νοῦν. ἀξιόπιστον δὲ τὸ διστάσαι· ὡς ἔχει καὶ τὸ "ἢ δρυὸς ἢ πεύκης" (Il. 23, 328). ἀσύγγνωστον δὲ τὴν εἰς θεοὺς παράβασιν ὑποτίθεται, εἴθ' ἑκὼν μὴ τιμῷ εἴτε ἀκουσίως, καὶ εἰ μὴ πάντας.

538. δῖον γένος] πρὸς Ἀχιλλέα· οὐδέποτε γὰρ ἐπὶ θεοῦ τάσσει τὴν λέξιν. ὁ δὲ Νικάνωρ ἐπὶ Ἀρτέμιδος.

539. ἐπὶ] οἱ μὲν ἀναστρέφουσιν, ἵν' ᾖ ἐπῶρσεν· οἱ δὲ ἐκδεξάμενοι χλούνην τὴν χλόην ἐνέκλιναν, ἵνα γένηται τὸ ἐξῆς ἐπὶ τὴν χλούνην.

**χλούνην] οἱ μὲν ἀφριστήν· χλυδεῖν γὰρ τὸ ἀφρίζειν τινὲς Δωριέων ἔλεγον. ἄλλοι δὲ κακοῦργον· καὶ γὰρ τῶν ἀρχαίων ἰαμβοποιῶν τινὰ φάναι "ἄνδρα δ' ἐσπέρης καθεύδοντα ἀπ' ὧν ἔδυσε χλούνης." Ξενοφῶντα δὲ γένος τι Ἰνδῶν φάναι τὸν χλούνην εἶναι, καθάπερ καὶ παρ' Αἰσχύλῳ ἐν Ἡδωνοῖς (Fr. 63) "μακροσκελὴς μὲν ἄρα μὴ χλούνης τις ᾖ." τινὲς δὲ τῶν τὰ Αἰολικὰ ἀναγεγραφότων Χλούνην τόπον τινὰ καλεῖσθαί φασι περὶ Καλυδῶνα, ἐν ᾧ τὸν κάπρον διατρίβειν, καὶ διὰ τοῦτο χλούνην προσαγορευθῆναι. τινὲς δὲ ἐπὶ τὸ αὐτὸ παρατείνοντα τὸν ποιητὴν σῦν ἄγριον εἰρηκέναι.

οἱ μὲν τὸν ἐντομίαν. κνώμενοι γὰρ πρὸς τὰ φυτὰ παρατρίβονται καὶ ἀγριώτεροι γίνονται. οἱ δὲ τὸν ἐν χλόῃ διάγοντα· τὸν γὰρ οἰκοτραφῆ σιαλόν φησιν· οἱ δὲ τὸν εἰς γῆν καταβάλλοντα τὰ φυτά.

540. ἔθων] εἰθισμένος τοῖς τόποις διατρίβειν. οἰκεία δὲ τιμωρία τῷ περὶ καρποὺς ἡμαρτηκότι.

**τὸ ἔθων ὅμοιον τῷ "οὓς παῖδες ἐριδμαίνωσιν ἔθοντες" (Il. 16, 260), τουτέστιν ἐξ ἔθους ἐπιφοιτῶντες. καὶ οἱ ἐθήμονες δὲ ἐντεῦθεν.

541. τὰ ἄλλα ἐπ' ἄλλοις προτιθέμενα, ὅ ἐστι συνεχῆ. φησὶ γοῦν καὶ "σάκος σάκεϊ προθελύμνῳ" (Il. 13, 130) καὶ "τετραθέλυμνον" (Il. 15, 479).

1. *ἢ δρυὸς] ἢ om.

12. ἄνδρα—ἔδυσε Hermannus Opusc. vol. 5 p. 10] ἀνὴρ ὅδ' ἐσπέρης καθεύδοντα ἄπουν ἔδησε

χλούνης (quod in fine versus collocatum fuisse videtur) scripsi pro χλούνην. χλοῦνις Hermannus.

13. Ξενοφῶντα—Ἰνδῶν] Ξενοφάνη—ἀκρίδων Hermannus.

14. μὲν ἄρα μὴ χλούνης (ἄρα μαχλούνης apud Vill.) τις ᾖ] Incerta emendatio. Hermannus ΑΓΓ. μακροσκελὴς μέν. ΛΥΚ. ἆρα μὴ χλούνης τις εἶ;

22. * διατρίβειν] om.

542. μήλων] ἐξ ἑνὸς τὸ πᾶν· "καὶ μηλέαι ἀγλαόκαρποι" (Od. 7, 115). μηλοφόρον δὲ καὶ τὴν Δήμητρα τιμῶσιν.

543. Μελέαγρος] ἴσως ὅτι πρῶτος ἔβαλεν· ἅμα δὲ καὶ ἡ Ἀταλάντη. Μελέαγρος δὲ παρὰ τὸ ἐν μελέτῃ τῆς ἄγρας εἶναι· κυνηγοὶ γὰρ οἱ Αἰτωλοί.

546. οὐ ζῶν μόνον, ἀλλὰ καὶ τελευτήσας διὰ τὴν ἐπ' αὐτῷ μάχην. ἀλεγεινῆς δὲ, ὅτι ἀλγοῦμεν ἐπὶ τοῖς ἀποθνήσκουσιν.

548. ἀμφὶ συὸς κεφαλῇ] δείκνυσιν ὅτι οἱ θεοβλαβεῖς περὶ τῶν οὐδενὸς ἀξίων διαφέρονται πρὸς ἀλλήλους. ἐσιώπησε δὲ τὴν Ἀταλάντην, αἰδούμενος τὸν Ἀχιλλέα.

*ταῦτα συνέκειτο δοθῆναι ἀριστεῖα τῷ πρώτως βαλόντι τὸν σῦν. λαβὼν δὲ αὐτὰ ὁ Μελέαγρος ἐδωρήσατο Ἀταλάντῃ τῇ Ἰάσου, Ἀρκάδι τὸ γένος. λοχήσαντες δὲ αὐτὴν οἱ μήτρωες τοῦ Μελεάγρου ἀφείλαντο τὰ γέρας τῆς κόρης. ἐφ' ᾧ ὀργισθεὶς ὁ Μελέαγρος διεχειρίσατο αὐτούς. λυπηθεῖσα δὲ ἐπὶ τοῖς ἀδελφοῖς ἡ τοῦ Μελεάγρου μήτηρ Ἀλθαία κατέφλεξε τὸν ὑπὸ Μοιρῶν αὐτῇ δοθέντα δαλὸν, ὄντα συνεκτικὸν τῆς Μελεάγρου ζωῆς. ᾧ συνδιεφθάρη καὶ ὁ Μελέαγρος.

554. εἰδάνει] εἰδαίνεσθαι ποιεῖ, ὡς τὸ μελάνει. καὶ ὅτι μὲν ἀνθρώπινον τὸ πάθος εἶδεν, ἀλλὰ περιγίνεσθαι παραινεῖ, καὶ ἡμᾶς μὲν αὐτῆς ἐκτρέπει, τῷ δὲ Ἀχιλλεῖ συγγινώσκει.

555. καθόλου τὸ φίλῃ· οὐ γὰρ ἦν αὐτῷ τότε φίλη ἡ μήτηρ.

557. κούρῃ Μαρπήσσης] Ἴδας ὁ Ἀφαρέως μὲν παῖς κατ' ἐπίκλησιν, γόνος δὲ Ποσειδῶνος, Λακεδαιμόνιος δὲ τὸ γένος, ἐπιθυμήσας γάμου παραγίνεται εἰς Ὀρτυγίαν τὴν ἐν Χαλκίδι, καὶ ἐντεῦθεν ἁρπάζει τὴν Εὐηνοῦ θυγατέρα Μάρπησσαν. ἔχων δὲ ἵππους Ποσειδῶνος ἠπείγετο. ὁ δὲ Εὐηνὸς εἰς ἐπιζήτησιν ἐξῆλθε τῆς θυγατρὸς, ἐλθὼν δὲ κατὰ τὸν Λυκόρμαν ποταμὸν τῆς Αἰτωλίας, μὴ καταλαβὼν, ἑαυτὸν ἐκεῖ καθῆκεν· ὅθεν ὁ Λυκόρμας Εὐηνὸς μετωνομάσθη. κατὰ δὲ τὴν Ἀρήνην ἀπαντήσας ὁ Ἀπόλλων τῷ Ἴδᾳ λαμβάνεται τῆς Μαρπήσσης· ὁ δὲ ἔτεινε τὸ τόξον καὶ διεφέρετο περὶ τοῦ γάμου. οἷς κριτὴς ὁ Ζεὺς γενόμενος αἵρεσιν τοῦ γάμου ἐπὶ τῇ Μαρπήσσῃ τίθεται. ἡ δὲ δείσασα μὴ αὐτὴν ἐπὶ γήρᾳ καταλίπῃ ὁ

2. Δήμητρα] δήμητραν
14. διεχειρίσατο] * διεχρήσατο
28. Λυκόρμαν—Λυκόρμας] λυκορμᾶν—λυκορμᾶς
29. * μετωνομάσθη] ὠνομάσθη
* μὴ καταλαβών] om.

Ἀπόλλων, αἱρεῖται τὸν Ἴδαν. οὕτως δὲ Σιμωνίδης τὴν ἱστορίαν περιείργασται.

** Εὐηνὸς Ἄρεως παῖς, βασιλεὺς Αἰτωλίας, ἔχων θυγατέρα Μάρπησσαν τοὔνομα εὐπρεπεστάτην, τοὺς μνηστευομένους αὐτὴν προεκαλεῖτο εἰς ἁρματηλασίας ἀγῶνα, λέγων ἐκδώσειν τῷ διαφεύγοντι αὐτὸν διώκοντα. τοὺς δὲ λειφθέντας καρατομῶν, ἐπετίθει τὰς κεφαλὰς ἐπὶ τῶν τοίχων τῆς οἰκίας εἰς κατάπληξιν τῶν λοιπῶν. πολλῶν τοίνυν ἤδη ἀνῃρημένων, Ἴδας Ἀφαρέως μὲν υἱὸς, ταῖς δ' ἀληθείαις Ποσειδῶνος, τελευταῖον λαβὼν παρὰ τοῦ πατρὸς ἵππους ποδωκεστάτους, ἥρπασε τὴν κόρην χορεύουσαν ἐν Ἀρτέμιδος. Εὐηνὸς δὲ ὡς οὐκ ἠδύνατο καταλαβεῖν, ἀποσφάξας τοὺς ἵππους οὓς εἶχεν, ἔρριψεν ἑαυτὸν εἰς τὴν θάλατταν, μᾶλλον δὲ εἰς τὸν Λυκόρμαν ποταμὸν, ὃς ἀπ' αὐτοῦ Εὐηνὸς προσηγορεύθη. διαπεφευγότι δὲ τῷ Ἴδᾳ τὸν κίνδυνον Ἀπόλλων ἠναντιοῦτο περὶ τῆς κόρης, βουλόμενος ἁφαρπάζειν αὐτήν. προϊόντων δὲ αὐτῶν εἰς τὴν μάχην, Ζεὺς πέμψας Ἑρμῆν ἐπέτρεψε τῇ κόρῃ ἑλέσθαι ὃν ἂν βούληται. ἡ δὲ εἵλετο τὸν Ἴδαν, εὐλαβηθεῖσα μὴ γηράσασαν αὐτὴν ἀπολίπῃ Ἀπόλλων.

καλλισφύρου] σημεῖόν ἐστι συμμετρίας σώματος· αἱ γὰρ παχεῖαι τοῖς ἐρῶσιν οὐκ ἀγαθαί. τὸ δὲ θῆλυ εἶδος ἐκ τῶν σφυρῶν καὶ τῆς ζώνης καὶ τῆς ὄψεως ὁρᾶται.

559. τῶν τότε] ἐπαινετὸν τὸ ἀκριβὲς περὶ τὴν ἑκάστου ἠθοποιίαν. ὁ μὲν οὖν Φοῖνιξ κάρτιστον εἰπὼν τὸν Ἴδαν, ἵνα μὴ δόξῃ καὶ τοῦ Ἀχιλλέως αὐτὸν προτετιμηκέναι, ἐπήνεγκε "τῶν τότε." τῷ δὲ Νέστορι ἀθωπεύτως εἴρηται "οὐ γάρ πω τοίους ἴδον" (Il. 1, 262).

561. τὴν δὲ τότ'] τὴν Κλεοπάτραν ὁ Ἴδας καὶ ἡ Μάρπησσα. ἀπὸ τῶν αὐτοῖς δὲ συμβεβηκότων τὴν Κλεοπάτραν οὕτως ἐκάλουν, ὡς Μεγαπένθης καὶ Ὀδυσσεύς· ἔκλαιε δὲ ἡ Μάρπησσα καλοῦσα τὸν ἄνδρα Ἴδαν, ὅτε αὐτὴν, τὴν Μάρπησσαν, ἥρπασεν ὁ Ἀπόλλων.

562. Ἀλκυόνην] ἀντὶ τοῦ Ἀλκυόνα. γίνεται δὲ παρὰ τὸ ἐν ἁλὶ κύειν.

* Κῆϋξ ὁ Φωσφόρου τοῦ ἀστέρος, Ἀλκυόνην γήμας τὴν Αἰόλου, μέγα φρονήσας ἐφ' ἑαυτῷ θεὸς ἐβούλετο νομίζεσθαι· διόπερ ἥ τε

6. *λειφθέντας] ληφθέντας
9. τελευταῖον] τελευταί°
* τοῦ πατρὸς] τοῦ om.
12. τὸν] * om.
21. ἐπαινετὸν] * ἐπαινετέον
24. * ἴδον] εἶδον
31. * Κῆϋξ] κύηξ hic et infra.
* τοῦ ἀστέρος] om.
32. * ἐφ'] ἐν

γαμετὴ διὰ παντὸς αὐτὸν ἐκάλει Δία, κἀκεῖνος Ἥραν τὴν γυναῖκα. Ζεὺς δὲ ἀγανακτήσας μετέβαλεν αὐτοὺς εἰς ὄρνεα χωρὶς ἀλλήλων βιοῦντα· ἐκλήθη δὲ ἡ μὲν ἀλκυόνη, ὁ δὲ κῆυξ. τῆς ἀλκυόνης δὲ παρὰ τοῖς αἰγιαλοῖς τικτούσης συνέβη ἐπελθόντα τὰ κύματα τὰ ἔκγονα αὐτῆς κατασύρειν. Ζεὺς δὲ θεασάμενος αὐτὴν κλαίουσαν κατηλέησε καὶ ἐπέταξε τοῖς ἀνέμοις, καθ' ὃν καιρὸν ἡ ἀλκυόνη τίκτει, μὴ πνεῖν μέχρι ιδ' ἡμερῶν τοῦ χειμῶνος αὐξανομένου. ἐπώνυμον δὲ ἀντὶ τοῦ φερώνυμον καὶ ἐκ τοῦ συμβεβηκότος οἰκείως κείμενον. Κλεοπάτραν οὖν, φησί, φερωνύμως καὶ Ἀλκυόνην ἐκάλουν διὰ τὸ τὴν μητέρα Μάρπησσαν δίκην ἀλκυόνος κλαῦσαι, ὅτε ἀφῃρεῖτο αὐτὴν ὁ Ἀπόλλων. ἀλκυὼν δὲ παρὰ τὸ ἐν ἁλὶ κύειν. οἱ οὖν γονεῖς ἀπὸ τῶν αὐτῇ συμβεβηκότων οὕτως ἐκάλουν αὐτὴν Κλεοπάτραν, ὡς Μεγαπένθην καὶ Εὐρυσάκη καὶ Ὀδυσσέα καὶ Νεοπτόλεμον· ἔκλαιεν οὖν τὸν ἄνδρα Ἶδαν, ὅτε ἥρπασεν αὐτὴν ὁ Ἀπόλλων.

567. κασιγνήτοιο φόνοιο] τοῦ ἀδελφικοῦ. λείπει δὲ ἡ περί.

568. ** χερσὶν ἁλοία] ταῖς χερσὶν ἔπληττεν. εὔχονται δὲ οἱ ἥρωες τοῖς μὲν οὐρανίοις θεοῖς ἄνω τὰς χεῖρας ἀνίσχοντες "μεγάλ' εὐχετόωντο ἕκαστος" (Il. 8, 347)· τοῖς δὲ θαλασσίοις "πολλὰ δὲ μητρὶ φίλῃ ἠρήσατο χεῖρας ὀρεγνύς" (Il. 1, 351), εἰς θάλασσαν ὑηλονότι· τοῖς δὲ καταχθονίοις κόπτοντες τὴν γῆν, ὡς ἐνθάδε φησίν.

570. *τὸ πρόχυν σημαίνει δύο· τὸ πρόγονν, ὡς ἐνταῦθα, καὶ τὸ παντελῶς, ὡς "πρόχυν, ἐπεὶ πολλῶν ἐπὶ γούνατ' ἔλυσε" (Od. 14, 69).

571. ἠεροφοῖτις] ἡ ἐν τῷ σκότῳ φοιτῶσα· αἱ ποιναὶ γὰρ ἀπροοράτως ἔρχονται. πῶς δὲ Ἄιδην ἐπικαλεῖται, ἡ δὲ Ἐρινὺς ἔρχεται; δῆλον ὡς ὑπηρέτις.

573. δοῦπός ἐστι ψόφος δέος ἐμποιῶν τοῖς ἀκούουσι.

579. ἐπίτηδες καὶ τοῦτο λέγει, ἵνα τὰ Ἀγαμέμνονος δῶρα δείξῃ μείζονα. γύης δέ ἐστι μέτρον γῆς, μικρῷ τῶν δέκα ὀργυιῶν ἔλασσον.

580. ψιλὴν διὰ τοῦ ῑ, ἤτοι γυμνὴν φυτῶν· λείπει δὲ ἡ εἰς, ἵν' ᾖ ἥμισυ καὶ ψιλὴν εἰς ἄροσιν.

583. σείων] πράως κινῶν διὰ τὸ γῆρας. τοῦτο δὲ ἐποίει, ὅτι ἤδη οἱ πολέμιοι τὸ τεῖχος ἀμφέβαινον.

3. *τῆς ἁλκυόνης] τῆς ἁλκυόν
5. *κατασύρειν] πολεμεῖν
10. *ἀφῃρεῖτο] ἀφήρῃ
13. *καὶ Ὀδυσσέα] om.
οὖν] *οὖν ἡ Μάρπησσα καλοῦσα

584. γράφεται μὲν κασίγνηται κατὰ Ἀρίσταρχον, δύναται δὲ μᾶλλον κασίγνητοι· πλείους γὰρ αὐτῷ οἱ ἀδελφοὶ ἦσαν· "οὐ γὰρ ἔτ' Οἰνῆος μεγαλήτορος υἱέες ἦσαν" (Il. 2, 641). δύνανται δὲ συλληπτικῶς μετὰ τῶν ἀρσένων καὶ αἱ θήλειαι ἀκούεσθαι. παρακαλεῖ δὲ καὶ ἡ μήτηρ, ἡ αἰτία τῆς Μελεάγρου ὀργῆς, ὡς καὶ Ἀγαμέμνων.

586. οἵ οἱ κεδνότατοι καὶ φίλτατοι] ὡς οἱ νῦν. τοιοῦτον δὲ εὗρε παράδειγμα τὸ ἱκανὸν πρὸς πειθώ.

590. παράκοιτις] καὶ πῶς οὐκ ἄτοπον μόνῃ γυναικὶ πείθεσθαι; ἢ ὅτι ὁ καιρὸς ἦν ὁ πείθων, οὐχ ὁ ἔρως. ὅτι γὰρ οὐ γυναικοκρατεῖται δῆλον· οὐ γὰρ ἐρωτικοῖς αὐτὴ ἐχρήσατο ῥήμασιν, ἀλλὰ πεφθέντος τοῦ θυμοῦ τότε παρακαλεῖ.

593. ἀμαθύνει] σποδὸν καὶ κόνιν ἐργάζεται, ἣν καὶ ἄμαθον εἶπεν.

598. εἴξας ᾧ θυμῷ] πάλαι ὅτε ὠργίζετο, οὐ νῦν ὅτε ἤμυνεν. ἢ θυμὸν τὸν ἐπιλογισμόν φησι· τοὺς γὰρ ἀναγκαίους παρεὶς τῇ γυναικὶ πέπεισται.

600. μή μοι ταῦτα νόει φρεσί] μόγις παρρησιάζεται, καὶ ὡς μέγα κακὸν ἀπεύχεται αὐτῷ.

602. ἐπὶ δώροις] ἀντὶ τοῦ μετὰ δώρων. ἐλέγχει δὲ ὅτι καὶ ἄκων ὕστερον αὐτόκλητος ἐπικουρήσει.

605. τιμῆς] οἱ μὲν ἀντὶ τοῦ τιμήεις κατὰ συναίρεσιν. Ἀρίσταρχος δὲ, τῆς τιμῆς, φησὶν, ἔσῃ· διὸ καὶ ἐπάγει "οὐ χρεὼ τιμῆς." τοῖς γὰρ ἔμπροσθεν ἀντειπεῖν οὐκ ἔχων ἐκ τοῦ ἐσχάτου ἄρχεται.

607, 608. πρὸς τὸ εἰρημένον ὑπὸ Φοίνικος "ἶσον γάρ σε θεῷ τίσουσιν Ἀχαιοί" (603) φησὶν ὁ Ἀχιλλεὺς "οὔ τί με ταύτης χρεὼ τιμῆς ἥ μ' ἔξει," ὅ ἐστιν, οὐκ ἀγαθόν μοι τοιαύτη τιμὴ, δι' ἣν ἐγὼ μέχρι θανάτου ταῖς ναυσὶν ἐνδιατρίψω. εἶπε γὰρ "εἰ μέν κ' αὖθι μένω, ὥλετο μέν μοι νόστος" (412). πιθανῶς δὲ τῇ τοῦ Ἀγαμέμνονος τιμῇ ἀντέθηκε τὴν παρὰ τοῦ Διός. οὐ καλῶς δὲ κέχρηται ταῖς εὐτυχίαις.

612. μή μοι σύγχει θυμόν] ὁμολογεῖ μὲν ἡττῆσθαι τῷ ἐλέῳ, τὴν δὲ ἀφορμὴν διαβάλλει.

615. καλόν τοι σὺν ἐμοὶ τὸν κήδειν] δεῖγμά ἐστιν ὅπως χρὴ διακεῖσθαι τοὺς φίλους συναιρομένους ἀλλήλοις τὰ φίλα.

616. ἶσον ἐμοὶ βασίλευε καὶ ἥμισυ μείρεο τιμῆς] κοινὰ γὰρ τὰ

3. * υἱέες ἦσαν] om. 29. * παρὰ] om.

τῶν φίλων. ἅμα δὲ καὶ ἀντὶ τῆς χάριτος ἣν λαβεῖν ἐβούλετο ὁ Φοῖνιξ, ἑτέραν αὐτῷ μείζω δίδωσι, τὴν δέησιν αὐτοῦ ἀποκρυόμενος.

617. *σὺ δ'] διὰ τί τὸν Φοίνικα οὐκ ἀπολύει ὁ Ἀχιλλεύς; ῥητέον οὖν ὅτι γνοὺς παρακεκλῆσθαι αὐτὸν ὑπὸ Ἀγαμέμνονος τῇ πρεσβείᾳ ἐφοβήθη μὴ μετὰ μείζονος δεήσεως πάλιν ἐκπεμφθῇ, καὶ δὶς ἀτιμάζειν ἀνάγκην ἕξει. οἱ δὲ ὡς ὡμολογημένον αὐτὸ λαμβάνουσιν, ὅτι ὡς τροφέα αὐτὸν κατέχει.

619. φρασσόμεθ' ἤ κε] ὀργῆς ἴδιον τὸ μὴ ἐφ' ἑνὶ τὴν γνώμην ἐρείδειν. εὔελπιν δὲ ποιεῖ τὸν γέροντα, σκοπήσειν λέγων τὸ συμφέρον.

622. ἐκ κλισίης νόστοιο μεδοίατο] παρενοχλεῖσθαι ἐπὶ πλέον οὐ θέλει ταῖς νουθεσίαις· οἶδε γὰρ ὅτι παρόντες δυσωπήσουσι. καὶ πάλιν γὰρ τραχέως διώκειν οὐχ Ἑλληνικόν.

τοῖσι δ' ἄρ' Αἴας] τέσσαρές εἰσι ῥήτορες· Ὀδυσσεὺς συνετὸς, πανοῦργος, θεραπευτικός· Ἀχιλλεὺς θυμικὸς, μεγαλόφρων· Φοῖνιξ ἠθικὸς, πρᾶος, παιδευτικός· Αἴας ἀνδρεῖος, σεμνὸς, μεγαλόφρων, ἁπλοῦς, δυσκίνητος, βαθύς. εἰ δέ που κινηθείη εὐκαίρως, εὐστόχως καὶ διὰ βραχέων φησίν. νῦν γοῦν οὐκ ἐκινήθη πρὶν ὁ Ἀχιλλεὺς αὐτὸν ἐπὶ παντὶ δυσχεραίνων παρώξυνεν. ἐλευθερίως δὲ ἄρχεται, ὡς οὐδὲ πρεσβεύσασθαι πρὸς τὸν τοιοῦτον ἐχθρὸν ἐχρῆν· ἐκείνου δὲ Πατρόκλῳ διαλεχθέντος, καὶ αὐτὸς πρὸς τὸν συμπρεσβευτήν. ἄτοπον δὲ ἦν μετὰ Φοίνικα καὶ Ὀδυσσέα πείθειν· τὸ δὲ μὴ λαλεῖν περισσὴν αὐτῷ τὴν πάροδον ἐποίει.

625. ἴομεν] εὖ τὸ μὴ ἀπὸ δεήσεως ἄρξασθαι, ἀλλ' ἀγανακτοῦντα. πολλὴν δὲ ἐμφαίνει μεγαλοφροσύνην, κελεύων ἀπαλλάσσεσθαι.

626. ἀπαγγεῖλαι δὲ τάχιστα] ὑποκνίζει, μή ποτε πορισάμενοι μηχανὴν σωτηρίας οὐ δεηθῶσιν αὐτοῦ. ἅμα δὲ καὶ τὸ πλῆθος τῶν καραδοκούντων δυσωπεῖ Ἀχιλλέα. ἔοικε δὲ δηλοῦν ὡς ὅτι δευτέρας ἁπάντων δεῖ πρεσβείας. ἢ ἐλέγχει τὸ ἀπηνὲς αὐτοῦ διὰ τοῦ "καὶ οὐκ ἀγαθόν."

630. σχέτλιος] ἴδιον τῶν θυμουμένων μὴ πρὸς τοὺς μεμφομένους ἀπειτείνεσθαι. τὸ δὲ "οὐδὲ μετατρέπεται φιλότητος ἑταίρων"

9. *μὴ] om.
18. εὐκαίρως] *ἐπικαίρως
19. *γοῦν] τ' οὖν
20. *παντὶ] πάντη
30. *διὰ τοῦ] om.
33. *τὸ δὲ—ἑταίρων] om.

παρρησίᾳ λέγει, καὶ οὐκ Ἀγαμέμνονος μέμνηται, ἀλλ' ὡς Φοῖνιξ λέγει (521) "οἵ τε σοὶ αὐτῷ."

631. ποινήν] ἔθος γὰρ ἦν τοῖς συγγενέσι διδόναι, πρὸς τὸ μὴ πλέον τοῦ ἐνιαυτοῦ φεύγειν. λέγει οὖν, μὴ λαβὼν ἐκεῖνος οὐκ ἐᾷ μόνον ἐνιαυτὸν φεύγειν.

636. σοὶ] ἐντέχνως ἡ μετάβασις ἐκ τοῦ περὶ αὐτοῦ λόγου εἰς τὸν πρὸς αὐτὸν ἐγένετο. χρῆται δὲ παρρησίᾳ ὡς ἀνδρεῖος ἢ ὡς συγγενής.

637. εἵνεκα κούρης] ἵνα μὴ δι' ἀκολασίαν, ἀλλὰ διὰ γέρας μικρὸν δοκῇ λυπεῖσθαι. καὶ ὁ μὲν Ἀχιλλεὺς εἰς γυναῖκα ἠδικῆσθαι ἔφη, οὗτος δὲ κούρην αὐτήν φησι, διασύρων αὐτοῦ τὴν πρόφασιν. καλῶς δὲ ταῦτα μετὰ τὴν πέψιν τοῦ θυμοῦ.

639. ἵλαον] μεγαλοφυῶς θωπείας ὁ λόγος μετέχει· θεοποιεῖ γὰρ αὐτὸν διὰ τοῦ ἵλαον.

640. αἴδεσσαι δὲ μέλαθρον] ἀξιολόγῳ ὀνόματι ἱκετεύει· τὸ γὰρ αἴδεσσαι μέλαθρον τοὺς πρόσφυγας τῆς ἑστίας λέγει, αἴδεσσαι. τὸ δὲ ὁμοτράπεζον καὶ ὁμόστεγον προτείνας καὶ πολέμιον ἂν ἐκίνησεν, ὡς καὶ τοῦ οἴκου συμπρεσβεύοντος.

641. ἐκ τοῦ πλήθους φήσας τοὺς εὐνουστάτους καὶ συγγενικωτάτους ἥκειν πολλὰ δι' ὀλίγων ἐσήμανεν, ὑπεροψίας ἐπιτίμησιν, μετριότητος ὑπόμνησιν, αἰδῶ τῶν ἀνθρωπίνων παθῶν, ἔλεον ἱκεσίας, ἐντροπὴν συγγενείας, καὶ οἷος ἂν ἔοι ἀνήρ, ἀρετῇ μὲν ἴσος, ἀνθρωπισμῷ δὲ βελτίων, λόγῳ δὲ σύμβουλος, συγγενὴς δὲ γενναῖος, ὥστε μηδ' ὁτιοῦν ἀντειπεῖν Ἀχιλλέα.

646. ὁμολογεῖ θυμῷ κρατεῖσθαι διὰ τὸ δεινὸν τῆς ῥητορικῆς ἢ σύντομον. ὅτι δὲ ἰσχυρὸς ὁ λόγος δηλοῖ τὸ "οὐ γὰρ πρὶν πολέμοιο."

647. μνήσομαι] πάλιν τῆς ἐξ Ἀγαμέμνονος ὕβρεως μέμνηται, δεικνὺς ὡς βούλεται μὲν εἴκειν, τὸ δὲ μέγεθος αὐτῆς οὐκ ἐπιτρέπει.

ἀσύφηλον] ἀντὶ τοῦ ἀσυφήλως· δηλοῖ δὲ τὸ μετὰ παραλογισμοῦ βλάπτειν.

1. *λέγει] om.
6. *αὐτοῦ] αὐτὸν
9. *δι' (διὰ plene in cod. Lips.) ἀκολασίαν] Mire in B διὰ νεκροκτασίαν, quod vocabulum neque alibi lectum neque aptum huic loco.
16. *λέγει] om.
23. δὲ σύμβουλος] *καὶ συμβουλῇ

649. ἀλλ' ὑμεῖς ἔρχεσθε] ἔχει τινὰ ἐλπίδα. νῦν γάρ, φησίν, ἀποπρεσβεύσασθε· ὕστερον δὲ ταῦτα ποιήσω. σκληρὸν δὲ ἦν τὸ μετὰ τῆς προθέσεως εἰπεῖν ἀπέρχεσθε.

650. πολέμοιο μεδήσομαι] πρὸς μὲν Ὀδυσσέα ἀποπλεύσεσθαί φησιν (ἔτι γὰρ αὐτὸν σφόδρα ἡ ὀργὴ ἐξέμαινε), πρὸς δὲ Φοίνικα ἤδη πραϋνόμενος σκέψασθαι περὶ τοῦ μένειν, τὸν δὲ Αἴαντα αἰδεσθεὶς τότε ἐπαμυνεῖν ἡνίκα πλησίον γένωνται οἱ πολέμιοι, οὔτε ἀνέλπιστον τὴν συμμαχίαν τοῖς Ἕλλησι καταστῆσαι θέλων οὔτε ἕτοιμον, ἵνα μὴ μέτρια πεπονθέναι δοκῇ.

651. Ἕκτορα δῖον] οὐχ Ὁμηρικὸν τὸ ἐπίθετον, ἀλλ' ὁ Ἀχιλλεὺς πεποίηκεν αὐτό, λυπῶν τοὺς Ἀχαιούς. καὶ Ὀδυσσεῖ ἔλεγε (356) "νῦν δ' ἐπεὶ οὐκ ἐθέλω πολεμίζειν Ἕκτορι δίῳ."

654. σμύξαι] σμύχειν ἐστὶ τὸ καπνὸν μόνον διὰ τοῦ πυρὸς ἀνίεσθαι, ὃ καὶ τύφεσθαι λέγεται.

657. Πάτροκλος οὐ λαλεῖ, ἵνα μὴ νῦν προσκρούσας Ἀχιλλεῖ ὕστερον μὴ πείσῃ.

661. ῥῆγός τε] ῥῆξαί ἐστι τὸ βάψαι. βαπτὸν οὖν περιβόλαιόν φησιν· οἱ δὲ τάπητα. οἰκεία δὲ ἡ κοίτη τῷ γέροντι. καὶ ὁ Νέστωρ καθεύδει "εὐνῇ ἔνι μαλακῇ" (Il. 10, 75). καὶ ῥηγεῖς οἱ βαφεῖς.

671. ἐρέοντο] πάντες αὐτὸν ἐξερωτῶσι, προσδοκῶντες χρηστόν τι καὶ τῆς σφῶν σωτηρίας παρ' αὐτοῦ τεκμήριον ἐναργὲς ἀκούσεσθαι.

673. πολύαιν' Ὀδυσεῦ] διὰ τὸ φρονιμώτερος εἶναι τῶν ἄλλων τὸ πλεῖστον αὐτῷ τῆς πρεσβείας ἐπετέτραπτο· ὅθεν καὶ Νέστωρ "Ὀδυσσῆϊ δὲ μάλιστα" (180) φησὶ, καὶ οὗτος αὐτὸν πρὸ τῶν ἄλλων ἐρωτᾷ. οὗ γὰρ φρόνησις, ἀνδρείας οὐ τόσον φροντίς.

674. οὐ περὶ τῆς ἀποδοχῆς καὶ τῆς δεξιώσεως αὐτὸν ἐρωτᾷ, ἢ περὶ τῆς τῶν δώρων λήψεως, ἀλλὰ τὸ καιριώτατον πάντων προμαθεῖν ἐπείγεται.

678. καλῶς τὸ σβέσαι· δίκην γὰρ πυρὸς ὁ θυμὸς τὰ ἐντὸς ὑποσμύχει.

681. σόῃς] καὶ μὴν Φοίνικι μὲν ἔλεγε "φρασσόμεθ' ἤ κε νεώμεθα," Αἴαντι δὲ "οὐ γὰρ πρὶν πολέμοιο μεδήσομαι." ἀλλ' ἴσως

4. ἀποπλεύσεσθαι Bekk.] ἀποπλεύσασθαι
6. * περὶ τοῦ μένειν] om.
9. * μὴ] om.
16. * μὴ] om.
20. * χρηστόν τι] χρηστότητα
22. * φρονιμώτερος] φρονιμώτερον
27. * καιριώτατον] καιριώτερον

Ὀδυσσεὺς τὰ πρὸς ἑαυτὸν μόνον ῥηθέντα ἀγγέλλει, ἀνακόπτει δὲ τὰ Αἴαντος εἰπὼν "εἰσὶ καὶ οἵδε," ὅπως μὴ αἰσχύνοιτο Αἴαντος πλέον κατορθώσαντος. ἢ ἵνα ἐκκόψῃ αὐτῶν τὴν ἐλπίδα καὶ εὐψύχως πολεμήσωσιν· ὅθεν καὶ παραινεῖ ὁ Διομήδης "καρπαλίμως πρὸ νεῶν ἐχέμεν λαόν τε καὶ ἵππους." ὅπερ ἀγνοήσαντές τινες ὠβέλισαν τὰ ἔπη.

688. *τὸ ὣς ἔφατ' ἐνταῦθα μὴ νόει, ὥς τινες κακῶς, ἀντὶ τοῦ οὕτως εἶπεν Ὀδυσσεὺς πρὸς Ἀγαμέμνονα, ἀλλὰ τὸ ὡς ἔφατο ὁ Ἀχιλλεύς· ὁ γὰρ Ὀδυσσεὺς ἀπαγγέλλει πρὸς τὸν Ἀγαμέμνονα τὰ παρὰ Ἀχιλλέως αὐτῷ λεχθέντα. διὸ καί φησιν Ὀδυσσεὺς πρὸς Ἀγαμέμνονα, "εἰσὶ καὶ οἵδε τάδ' εἰπέμεν οἵ μοι ἕποντο."

*Πορφυρίου. ἐν τῷ μουσείῳ τῷ κατὰ Ἀλεξάνδρειαν νόμος ἦν προβάλλεσθαι ζητήματα καὶ τὰς γινομένας λύσεις ἀναγράφεσθαι. προεβλήθη οὖν, πῶς τοῦ Ἀχιλλέως τοῖς πρὸς αὐτὸν ἐλθοῦσι πρέσβεσι ταύτην δεδωκότος ἀπόφασιν "οὐ γὰρ πρὶν — νῆας ἱκέσθαι· ἀμφὶ δέ τοι — σχήσεσθαι οἴω" (650–1–2–4–5), Ὀδυσσεὺς ἐρωτώμενος τὰ περὶ τῆς πρεσβείας τοῦτο μὲν οὐ φησιν, ἀλλὰ τὸ "αὐτὸς δ' ἠπείλησεν ἄμ' ἠοῖ φαινομένηφι νῆας ἐϋσσέλμους ἅλαδ' ἑλκέμεν ἀμφιελίσσας·" παραπρεσβείας γὰρ εἶναι τὸ μὴ ταληθῆ ἀπαγγέλλειν. πρὸς τοῦτο ὁ λύων ἔφασκε ταληθῆ μὲν ἀπαγγεῖλαι τὸν Ὀδυσσέα, οὐχ ἃ πρὸς ἄλλους εἴρηκεν εἰπόντα, ἀλλ' ἃ πρὸς ἑαυτὸν καὶ ἃ ἤκουσε παρ' Ἀχιλλέως· ἦν δὲ πρὸς αὐτὸν ῥηθέντα "νῦν δ' ἐπεὶ—μεμαῶτας" (356–361). ὅταν μὲν οὖν ὁ μὲν εἴπῃ αὔριον πορεύεσθαι, ὁ δ' Ὀδυσσεὺς ἄμ' ἠοῖ φαινομένηφι, ταληθὲς ἂν εἴη ἀπηγγελκώς. οὐ μέντοι ἁπλῶς ἔφη ὅτι ταῦτα εἴρηκεν Ἀχιλλεύς, ἀλλ' ὅτι ἠπείλησεν, ἀπειλὴν τὸ πρᾶγμα καὶ οὐκ ἔργον ἀποφαίνων, δι' ἃ ἤκουσε πρὸς τοὺς ἄλλους ὑπ' αὐτοῦ λεγόμενα, ὧν πρὸς μὲν τὸν Φοίνικα "φρασσόμεθ' ἤ κε νεώμεθ' ἐφ' ἡμέτερ' ἠὲ μένωμεν" (619), πρὸς δὲ τὸν Αἴαντα, πρίν γ' υἱὸν Πριάμοιο ἐλθεῖν ἐπὶ τὴν σκηνήν, οὐ πρότερον ἔξεσθαι τοῦ πολέμου. τί οὖν ἔδει τὰ πρὸς τοὺς ἄλλους λέγειν, ἀλλ' οὐχὶ μόνον ἐπικρίνειν τὰ πρὸς αὐτὸν ῥηθέντα; ἀπειλαὶ δὲ ἦσαν ἐξ ὧν πρὸς τοὺς ἄλλους μετὰ ταῦτα ἔφη. εἰ δ' αὔτως καὶ

2. οἵδε] *οἵδε τάδ' εἰπέμεν

7. τὸ ὣς ἔφατ'] Scholion manus recentioris.

12. *Πορφυρίου] Hoc scholion in B adscriptum est versui 356. Transposuit Villoisonus.

30. ἔξεσθαι Cobetus] ἐξίεσθαι

32. αὔτως] Compendio expressum αὕτ̃, ut mox ὁμ̃ pro ὅμως.

τὰ πρὸς Αἴαντα φθάσας εἶπε ῥηθέντα, ὕβρις ἂν ἦν τοῦ Αἴαντος μὴ δυναμένου λέγειν ἃ ἀκήκοε· διὸ ἐπήγαγεν, εἰσὶ καὶ οἵδε ἀπαγγέλλειν οἷοί τε τὰ ῥηθέντα πρὸς αὐτούς.

εἰσὶ καὶ οἵδε] συντέμνει διὰ τὸ ἀηδὲς τῆς ὑποθέσεως, ἄλλως τε, ἵνα μὴ δοκῇ ἀτιμάζειν τοὺς λοιπούς.

690. Φοῖνιξ δ'] οὐχ ὡς πρεσβεύσαντος τοῦ Φοίνικος, ἀλλ' εἰς πίστιν τοῦ ἀποπλευσεῖσθαι.

697. Ἀτρεΐδη] οὐδὲ ὅλως ἐσχημάτισε τὸν λόγον πρὸς Νέστορα, εἰπόντα "ἀτὰρ οὐ τέλος ἵκεο μύθων" (56), ἀλλ' ὡς συναλγῶν Ἀγαμέμνονι ταῦτά φησιν.

698. μὴ ὄφελες] ἀντὶ τοῦ οὐκ ὄφελες. ἀεὶ δὲ ἀντιστασιώτης τοῦ Ἀχιλλέως ὁ Διομήδης εὑρίσκεται.

699. μυρία δῶρα διδούς] ἐπαινεῖ αὐτοῦ τὴν προαίρεσιν ὡς ὑπὲρ τῶν Ἀχαιῶν πολλὰ παρασχόντος.

709. καὶ δ' αὐτὸς] ἀπὸ τοῦ κοιμήσασθε πληθυντικοῦ ἐπὶ τὸ ἑνικὸν μετεσχημάτισε τὸν λόγον· ἐπὶ γὰρ τὸν Ἀγαμέμνονα μετῆλθε. στρατηγικῶς δὲ καὶ αὐτὸν βούλεται πολεμεῖν, πρὸς τὸ καταπλῆξαι τοὺς ἐναντίους τῷ προθυμοποιηθῆναι τὸν βασιλέα.

ΕΙΣ ΤΗΝ Κ.

1. *ἄλλοι μὲν — εὗδον] εἰκότως· ἀμφότερα γὰρ ὕπνου ἀγωγά, καὶ ὁ ἐκ τῆς μάχης κάματος καὶ ἡ ἐπὶ τῇ ἥττῃ δυσθυμία. παρὰ νηυσὶ δὲ λέγει, ἐπεὶ οἱ φύλακες ἐκτὸς τῶν νηῶν ἦσαν, οἷς τὸ ἐγρηγορέναι ἀναγκαῖον. οὔτε δὲ οἱ ἀριστεῖς δι' ὅλης τῆς νυκτὸς ἐκάθευδον, ἀλλ' Ὅμηρος τὸ παννύχιοι καὶ πανημέριοι εἴωθε τιθέναι καὶ ἐπὶ τῶν κατὰ μέρος· "παννυχίη γάρ μοι Πατροκλῆος δειλοῖο ψυχὴ ἐφεστήκει" (Il. 23, 105)· "παννύχιοι μὲν ἔπειτα καρηκομόωντες Ἀχαιοί" (Il. 7, 476)· "οἱ δὲ πανημέριοι μολπῇ θεὸν ἱλάσκοντο" (Il. 1, 472).

2. παννύχιοι] νῦν τὸ παννύχιοι οὐ σημαίνει τὸ δι' ὅλης τῆς νυκτὸς, ἀλλὰ τὸ πλεῖστον μέρος τῆς νυκτός.

μαλακῷ] τῷ πάντας μαλάσσοντι, ὅθεν καὶ πανδαμάτωρ καλεῖται.

18. προθυμοποιηθῆναι] *πρόθυμον γενέσθαι scholio dicitur quod versui 2 adscriptum est οἱ γὰρ φύλακες ἔξω νεῶν ἦσαν κοιμώμενοι.

22. ἐπεὶ οἱ φύλακες. Idem in

3. ἀλλ' οὐκ Ἀτρεΐδην] ἀγρυπνεῖ ὁ στρατηγὸς πρῶτα μὲν ὅτι "οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα" (Il. 2, 24) — τὰ μὲν γὰρ ἄλλα τῆς τύχης, τοῦ δὲ ἀμελεῖν ἡ αἰτία ἀπαραίτητος τοῖς στρατηγοῖς —, καὶ ὅτι τοὺς πρώην πολιορκουμένους ὁρᾷ πολιορκοῦντας, καὶ ὅτι ἡ εἰς Ἀχιλλέα ἐλπὶς ἐξεκέκοπτο, ἧς μάλιστα τὴν αἰτίαν εἶχεν. πολλῶν δὲ κατὰ τὴν ποίησιν διηνυσμένων μετὰ μάχας ἱππικὰς καὶ πεζάς, θεῶν τρώσεις, μονομαχίας, δημηγορίας, ἐκκλησίας ἀνδρῶν καὶ θεῶν, πρεσβείας, καὶ μέχρι τῆς Ἴδης καταγαγὼν τὸν Δία, καὶ ἀστραπαῖς καὶ κεραυνοῖς ποιήσας ἡττώμενον τὸ Ἑλληνικόν, ἐπ' ἄλλο εἶδος τρέπεται ὁ ποιητής, διὰ δόλου καὶ νυκτὸς ἀποπληρῶν τὴν ἡμερινὴν ἀτυχίαν τῶν Ἀχαιῶν.

4. πολλὰ φρεσὶν ὁρμαίνοντα] τὸ πολυμερὲς καὶ ἀπέραντον τῆς φροντίδος διὰ τοῦ πολλὰ ὁρμαίνειν ἐδήλωσεν.

5. πρὸς τὸ διαπύρως καὶ ὀξέως καὶ μετὰ σκέμματος γίνεσθαι τοὺς στεναγμούς. μεγαλοπρεπῶς δὲ τὸν τῆς Ἑλλάδος στρατηγὸν εἴκασε τῷ μεγίστῳ θεῷ.

6. τὸ ἀθέσφατον τῷ χάλαζαν συναπτέον. εἰς τρία δὲ διήρηκεν, εἰς ὄμβρον, εἰς χάλαζαν καὶ νιφετόν. χάλαζα μὲν οὖν ἐστὶ τὸ παχὺ ὕδωρ, νιφετὸς δὲ τὸ λεπτομερέστερον. διὸ ἐπάγει ἐπάλυνεν, ἐπέπασσε· πασπάλη γὰρ ἡ γυρίς.

8. φθαρτικὸν γάρ ἐστι τὸ στόμα τῶν δι' αὐτοῦ φερομένων σιτίων.

10. νειόθεν ἐκ κραδίης] ἐκ τῶν ἐσωτάτω λογισμῶν· ἔνδον γὰρ ἐν τοῖς ἐπιλογισμοῖς τὰ δεινὰ ὁρῶν καθ' ἑαυτὸν στένει. ἐντεῦθεν κινηθεὶς Φιλότιμος ἐν καρδίᾳ τὸ ἡγεμονικὸν ἔθετο· ἔθεν γὰρ τὸ χαίρειν καὶ τὸ λυπεῖσθαι τὰς ἀρχὰς ἔχει, δῆλον ὅτι ὁ νοῦς ἐκεῖθεν ἤρτηται.

11. *Πορφυρίου. ἀδύνατον, φασὶν, ἐν τῇ σκηνῇ ὄντα κατιδεῖν εἰς τὸ πεδίον. ῥητέον οὖν ὅτι ἰδεῖν καὶ ἀθρῆσαι λέγομεν καὶ τὸ τῇ διανοίᾳ σκέψασθαι. ἐγχωρεῖ δὲ καὶ οὕτως ἔχειν τὴν σκηνὴν ὥστε δύνασθαι ἀπιδεῖν· ἔθος γὰρ τοῖς βασιλεῦσι τοιαῦτα κατασκευάζειν ἀφ' ὧν περιόψονται.

ἢ ὅτι ἐφ' ὕψους ἡ σκηνὴ ἡ βασιλικὴ, ἢ ὅτι οἱ Τρῶες ἐπὶ

20. πασπάλη γὰρ ἡ γυρίς] *παιπάλη γὰρ ἡ πιτυρίς

24. Φιλότιμος] Φιλότιμος σοφιστὴς cod. Lips. Simpliciter Φιλότιμος etiam in Ven. A. vol. 1 p. 340, 1, sed Φιλότιμος ἰατρός ib. p. 392, 2, ubi vid. quae dixi.

27. *Πορφυρίου] om.

θρωσμῷ πεδίου. ἔνιοι δὲ τὸ ἀθρήσειεν ἐπὶ τοῦ νοῦ ἀκούουσιν· ἀλλὰ προσέθηκεν ἂν τὸ φρεσίν, ὡς τὸ "ὄφρα ἴδωμαι ἐνὶ φρεσί" (Il. 18, 61) καὶ "ὀσσόμενος πατέρ' ἐσθλὸν ἐνὶ φρεσί" (Od. 1, 115).

14. αὐτὰρ ὅτ' ἐς νῆας] πανταχόθεν τὸ ἐναντίον ὁρῶν ἐδυσφόρει. οὐκ ἐπεξῆλθε δὲ ὅσα περὶ τοὺς Ἕλληνας ἦν δεδοικὼς, ἀλλ' ἠρκέσθη τῇ τῶν εὐημερούντων διαθέσει ἐμφῆναι τὴν τῶν δυστυχούντων κατάστασιν· ἀεὶ γὰρ φιλέλλην ὁ ποιητής.

17. ἦδε δέ οἱ] τὸ προνοητικὸν αὐτοῦ καὶ ἐν ταῖς συμφοραῖς δηλοῦται, μὴ ἀποφάσκοντος τοῖς δεινοῖς. δείκνυσι δὲ ὅτι δεῖ καὶ ἐν τοῖς κακοῖς ἐπὶ σοφίαν καταφεύγειν. αὐτουργεῖ δὲ δυσωπῶν αὐτὸν, ὅπως τοῦ βασιλέως καὶ τοῦ γέροντος διαφοιτώντων ὑπακούσωσιν οἱ λοιποί.

23. δαφοινὸν] λίαν φονευτικόν. τινὲς δὲ πυρρόν.

δέρμα λέοντος] τινὲς ἐκ τούτου χειμερίου φασι τὸν καιρόν· σκέπη γὰρ ὄμβρων ἦν ἡ λεοντῆ. τὸν δὲ Μενέλαον ὡς ἥττω παρδαλῆν ἐνδύει, Δόλωνα δὲ ὡς δειλὸν καὶ ἐπὶ λαθρίδιον πρᾶξιν ὁρμῶντα λυκῆν.

25. ὣς δ' αὔτως] κατὰ τὸν αὐτὸν καιρὸν τῷ Ἀγαμέμνονι· ἀλλ' ὁ ποιητὴς τῷ βασιλικωτέρῳ προσώπῳ ἀπένειμε τὴν προτέραν τάξιν τοῦ λόγου, ὥστε καὶ τῶν ἀριστέων οὓς μὲν διήγειρεν Ἀγαμέμνων, ἀκριβῶς διεξέρχεται, οὓς δὲ Μενέλαος ἐπὶ κεφαλαίου.

29. τὸ μὲν ζῷον πόρδαλις, ἡ δὲ δορὰ παρδαλέη γράφεται.

32, 33. διὰ τάχους ἐνέφηνε τὸ ἀξίωμα καὶ τοὺς ἀρχομένους, ὅπως πρὸς τοὺς ἄρχοντας διακεῖσθαι δέον, καὶ τοὺς ἄρχοντας ὁποίους ὀφείλουσιν ἑαυτοὺς παρέχειν τοῖς ἀρχομένοις, ἵνα ὡς θεοὶ τιμῶνται. δῆλον δὲ ὡς προεταράχθη Μενέλαος, ὁ δὲ ποιητὴς καταπλῆξαι ἠθέλησε διὰ τοῦ βασιλικωτέρου προσώπου.

35. νηΐ] ἀντὶ τοῦ νηός. εἰ δὲ ἄλλων ἐδεῖτο, πόσῳ μᾶλλον ἀδελφοῦ;

36. πρότερος] ὡς κατεπτηχότος τοῦ βασιλέως· ἢ ὅτι ἐνδιδυσκόμενον αὐτὸν εὗρεν, ὅθεν καὶ ἐξ αὐτοῦ ἄρχεται.

*τὸ πρότερος διαφέρει τοῦ πρῶτος, ὅτι ὁ μὲν πρότερος ἐπὶ δύο λαμβάνεται, ὡς ἐνταῦθα καὶ ὡς ἐπὶ Τληπολέμου καὶ Σαρπηδόνος "τὸν καὶ Τληπόλεμος πρότερος" (Il. 5, 632)· καὶ τῷ μὲν προτέρῳ

15. *ὄμβρων] ὅπλων
16. *λυκῆν] λύκον
31. τὸ πρότερος διαφέρει —] Eadem fere in Etym. M. p. 692, 54, et apud Choerobosc. in Psalm. p. 2, 17.

ἀκόλουθος ὁ ὕστερος, ὁ δὲ πρῶτος ἐπὶ πολλῶν, ὡς τὸ "ὦρτο πολὺ πρῶτος μὲν ἄναξ ἀνδρῶν Ἀγαμέμνων" (Il. 7, 162). τὸ δὲ πρῶτος σημαίνει τέσσαρα, τὸ κατὰ χρόνον, ὥσπερ πρῶτοί εἰσιν οἱ προφῆται τῶν ἀποστόλων· τὸ κατὰ φύσιν, ὡς τὸ πρῶτόν ἐστι τὸ ζῷον τοῦ ἀνθρώπου· τὸ κατὰ τάξιν, ὥσπερ πρῶτά εἰσι τὰ στοιχεῖα τῶν συλλαβῶν καὶ τὰ προοίμια τῶν διηγήσεων· τὸ κατ' ἀξίαν, ὡς τὸ πρῶτοί εἰσιν οἱ ἄρχοντες τῶν ἀρχομένων.

38. προὔλαβε τὴν Νέστορος γνώμην τὴν περὶ τοῦ δεῖν κατασκόπους πέμπειν, τοῦ καιροῦ αὐτῷ τὴν ἐπίνοιαν τοῦ ἔργου ὑποβάλλοντος. καὶ τὸν ἀδελφὸν ὁπλιζόμενον ὁρῶν, καὶ αὐτὸν τοῦτο βουλεύεσθαι ὑπονοεῖ.

39. δείδω μὴ οὔ τις] ὡς ἤδη δεδειγμένης τῆς βουλῆς ἐπιλογισμὸν εἰσάγει. εἰς κίνησιν δὲ τὸν ἀκροατὴν εἰσάγει διὰ τὸ δυσχερές.

43. σεμνὸν τὸ τοῦ βασιλέως εἰς ἐπίσκεψιν πλείονα φερομένου. ἅμα δὲ καὶ ὁ ποιητὴς ἀναρτᾷ τὸν ἀκροατήν. τὸ δὲ χρεώ οἱ μὲν ἀντὶ τοῦ χρεία λέγουσιν, οἱ δὲ ἀντὶ τοῦ δεῖ, οἷον δεῖ ἐμὲ καὶ σὲ βουλῆς, ἤτοι περὶ βουλῆς διανοεῖσθαι ἀρίστης.

44. κερδαλέης] ἐπωφελοῦς· δεῖ γὰρ, φησὶ, τὰ ἀπὸ τῆς τύχης προσγινόμενα ταῖς βουλαῖς ἀντισηκοῦν.

46. θεοσεβὴς ὑπόνοια μὴ δι' Ἀχιλλέα, διὰ δὲ θυσίας λέγειν τὸν Δία βοηθεῖν.

47. οὐ γάρ πω ἰδόμην] ἠΰξησε τὰ ἔργα τοῦ Ἕκτορος, ἀνυπέρβλητα φήσας αὐτὰ εἶναι καὶ ὄψει καὶ ἀκοῇ.

50. ἁπλοϊκῶς δεῖ λαμβάνειν· οὐ γὰρ πρὸς Ἀχιλλέα ἡ σύγκρισις.

53. ἀλλ' ἴθι νῦν] πρεπόντως τὴν τάξιν ἐμέρισεν ἀμφοτέροις· καὶ ὁ μὲν νεώτερος καὶ ἥττων τὸ ἀξίωμα ἐπὶ τοὺς πόρρω σκηνοῦντας ἀπέρχεται, ὁ δὲ πρεσβύτερος καὶ βασιλικώτερος ἐπὶ τὸν συνετώτατον Νέστορα, σὺν ἐκείνῳ δὲ καὶ τοὺς ἄλλους ἐγείρει. πρεπόντως δὲ καὶ ἐπὶ μὲν τῶν νεωτέρων καὶ ἥττων ἐνδόξων τὸ κάλεσον προστακτικῶς εἶπε· περὶ δὲ τοῦ Νέστορος παραπεφυλαγμένως φησὶν αἴ κ' ἐθέλῃσιν, ἀντὶ τοῦ ἐὰν αὐτῷ δόξῃ χρήσιμον εἶναι, ἐπὶ τῇ ἐκείνου γνώμῃ τὴν πᾶσαν κρίσιν ποιούμενος.

9. * ὑποβάλλοντος] ἐπιβάλλοντος ἁπλοϊκῶς

12. δεδειγμένης] δεδογμένης Bekkerus.

25. ἁπλοϊκῶς] * κατὰ Πορφύριον

28. * πρεσβύτερος καὶ βασιλικώτερος] πρεσβύτατος καὶ βασιλικώτατος

56. *ἱερὸν τέλος*] *ὅτι τοῖς καθεύδουσιν ἄδειαν παρέχουσιν, ὅ ἐστι θεοῦ ἴδιον.*

**ἤτοι μέγα, ἢ ἀπηλλαγμένον τῶν λοιπῶν ἔργων. τέλος δὲ τὸ τάγμα. σημαίνει δὲ ἡ λέξις πολλά, ποτὲ μὲν τὸ τάγμα, ὡς ἐνθάδε, ποτὲ δὲ τοῦ συμπεπληρωμένου πράγματος ἢ ἔργου τέλος, ποτὲ δὲ τὴν ἐκ τῶν ἐπεισαγομένων ὠνίων φοιτῶσαν ταῖς πόλεσι πρόσοδον, ποτὲ δὲ τὰς ἀρχὰς καὶ τὰ ἀξιώματα, ὡς ἔστιν εὑρεῖν παρά τε Θουκυδίδῃ καὶ Ξενοφῶντι καὶ Εὐριπίδῃ· "τοῖς ἐν τέλει βεβῶσι πείσομαι·" ποτὲ δὲ τὸ δαπάνημα, ὡς Εὐριπίδης ἐν Πολυείδῳ (Fr. 640) "μάτην γὰρ οἴκῳ σὸν τόδ' ἐκβαίη τέλος" καὶ Δημοσθένης ἐν τοῖς Φιλιππικοῖς (p. 73, 8) "Χερρόνησον δὲ ἐν τοῖς αὐτοῦ τέλεσι διορύξει·" ποτὲ δὲ τὴν ἑορτήν, ὡς Εὐριπίδης ἐν Μηδείᾳ (1382) "σεμνὴν ἑορτὴν καὶ τέλος προσάψομαι."*

57. *κείνου γάρ κε μάλιστα*] *διὰ δύο, ὅτι τε τὸν υἱὸν παρέσχεν αὐτῶν ἄρχειν, καὶ αὐτὸς δυσωπεῖ παρὼν καὶ ἐπιμελόμενος. παιδευτικῶς δὲ ὁ βασιλεὺς ἑτέρῳ παραχωρεῖ τὰ τῆς πειθοῦς.*

61. *πῶς γάρ*] *πιθανῶς· ὁ μὲν γὰρ ἐκπεπληγὼς οὐ προνοεῖ τὸ πᾶν τῆς ἐπιταγῆς, ὁ δὲ ὡς προπαρεσκευασμένος ἐρωτᾷ τὸ πῶς.*

62. *αἶθι*] *ἐν τοῖς φύλαξιν· ὅθεν καὶ Ἀγαμέμνων ἑξῆς (126) πρὸς τὸν Νέστορά φησιν "ἐκείνους δὲ κιχησόμεθα πρὸ πυλάων ἐν φυλάκεσσιν."*

**διαφέρει τὸ αἶθι τοῦ αἶθις. τὸ μὲν γὰρ αἶθί ἐστι τοπικὸν ἐπίρρημα, καὶ γίνεται ἀπὸ τοῦ αὐτόθι· τοῦτο ἐκ τοῦ αὐτοῦ, ὡς τὸ "αὐτοῦ κ' ἔνθ' ἀκάχοιτο" (Il. 8, 207), τὴν εἰς τόπον σχέσιν, ἀντὶ τοῦ ἐκεῖσε. καὶ ὥσπερ ἀπὸ τοῦ ἀγχοῦ γίνεται ἀγχόθι, οὕτως καὶ ἀπὸ τοῦ αὐτοῦ αὐτόθι, καὶ συγκοπῇ αἶθι. τὸ δὲ αἶθις σημαίνει πάλιν καὶ μετὰ ταῦτα.*

67. *φθέγγεο*] *τεχνικῶς, ἵνα ἐκ τῆς φωνῆς ἐπιγινώσκηται φίλος ὢν, μή πως ὑπονοήσωσιν ἔφοδον εἶναι πολεμίων. καὶ Νέστωρ πρὸς Ἀγαμέμνονά φησι (85) "φθέγγεο μηδ' ἀκέων ἐπ' ἔμ' ἔρχεο."*

8. * καὶ Εὐριπίδῃ—πείσομαι] om.
Εὐριπίδῃ] Immo Σοφοκλεῖ Ant. 67.
10. γὰρ in aliis codicibus omissum, ὅ' est apud Eustathium, γ' ἂν Matthiae.
οἴκῳ σὸν] * εἰκοστόν. οἴκῳ σῷ Valckenarius.
* ἐκβαίη] ἐκκαίει. In aliis ἐκβαίνει
11. * Χερρόνησον] Χερόνησον
12. * Μηδείᾳ] μειδίᾳ
13. προσάψομαι] προσάψομεν recte apud Euripidem.
15. * ἐπιμελόμενος] ἐπιτελλόμενος
22—27. διαφέρει—] Eadem fere in Epimer. Homericis Crameri p. 15, 31 et Etym. M. p. 169, 16.

67. ἐγρήγορθαι] πρὸς τὸ διαμένειν τὴν φυλακήν. ἐπεὶ δὲ τὸ ἄνωχθι ἀνοίκειον τῷ καιρῷ, πρόσκειται τὸ πάντας κυδαίνων.

68. πατρόθεν ἐκ γενεῆς] ὡς ὅταν λέγῃ "διογενὲς Λαερτιάδη" τὸν πατέρα γὰρ δηλοῖ, τὸ δὲ διογενὲς τὸν ἀρχηγὸν τοῦ γένους.

*Πορφυρίου. φθέγγεο δ' ἧ κεν—μεγαλίζεο θυμῷ] ταῦτα σημειωτέον ὡς ἐπιτήδεια εἰς αἰτίας ἀπόδοσιν, δι' ἣν εἰώθασιν οὕτω πρὸς ἀλλήλους διαλέγεσθαι οἱ ἥρωες "διογενὲς Λαερτιάδη πολυμήχαν' Ὀδυσσεῦ" εἶναι γὰρ φιλοφρονουμένων τὸν τοιοῦτον τρόπον τῆς προσαγορεύσεως. τὸ μὲν οὖν πατρόθεν ὀνομάζειν ἐστὶν ἐν τῷ Λαερτιάδη, τὸ δὲ ἐκ γενεῆς τὸ ἐκ γενάρχου, οἷον τὸ διογενές· ἐκ γὰρ τοῦ Διὸς τοῦ ἀρχηγέτου τοῦ γένους εἴληπται τὸ διογενές. τὸ δὲ οὕτως ὀνομάζειν κυδαίνοντός ἐστι τοὺς καλουμένους. τί οὖν τὸ μηδὲ μεγαλίζεο θυμῷ; οὐ γάρ, ὥσπερ οἱ γραμματικοί, τὸ μὴ μέγα ἡγοῦ τὸ τοιοῦτον καὶ τὸ οὕτω προσφωνεῖν· ἀλλὰ σημαίνει, μὴ μεγάλυνε σεαυτοῦ τὴν ψυχήν, ἐξ οὗ σημαίνεται, μὴ ὑπερόπτης γίνου μηδ' ἀνάξιον σαυτοῦ τὸ ἄλλον κυδαίνειν ἡγοῦ. ταυτὸν γὰρ τοῦτο καὶ ἐν ἄλλοις ἔφη "σὺ δὲ μεγαλήτορα θυμὸν ἴσχειν ἐν στήθεσσι" (Il. 9, 255)· ὅμοιον γὰρ τῷ μὴ μεγαλίζεο θυμῷ τὸ ἴσχειν ἐν στήθεσι θυμὸν μεγαλήτορα, ᾧ ἐπάγει "φιλοφροσύνη γὰρ ἀμείνων" ταυτὸν οὖν τῷ πάντας κυδαίνων. καὶ ἡ Πηνελόπη δὲ λέγει "οὐ γάρ τι μεγαλίζομαι οὐδ' ἀθερίζω" (Od. 23, 174), οὐχ ὑπερηφανῶ ὥς τις μεγάλη, οὐδέ σ' ὡς μικρὸν καὶ ἀνάξιον ἀτιμάζω· ἀθερίζειν γὰρ, ἀπὸ τῶν ἀποκρινομένων ἀθέρων, τὸ ἀτιμάζοντα ἀποκρίνειν ὡς τοῦ μηδενὸς ἄξιον, ὡς ἀθέρας ἀπὸ τοῦ καρποῦ ἀποκρίνοντα· "καὶ οὔ ποτέ μ' οἵ γ' ἀθέριζον" (Il. 1, 261), οὔ ποτέ με ἐν ἀθέρων μοίρᾳ εἶχον. ταυτὸ δὲ τὸ ἀθερίζειν ἐστὶ τῷ ἀπόβλητόν τι ποιεῖσθαι· "οὔ τοι ἀπόβλητον ἔπος ἔσσεται" (Il. 2, 361), ᾧ ἀντικείσεται τὸ "ἄνδρας δὲ λίσσεσθαι ἐπιπροέηκεν ἀρίστους κρινάμενοι κατὰ λαὸν Ἀχαϊκόν" (Il. 9, 520) καὶ "αἰσυμνῆται δ' ἔκκριτοι ἐννέα πάντες ἀνέσταν" (Od. 8, 258). ἐξηγούμενος δὲ τὸ ἀθερίζειν ἔφη "τῶν δ' ἄλλων οὔ πέρ τιν' ἀναίνομαι οὐδ' ἀθερίζω." ἔστι δὲ τὸ ἀναίνομαι οὐχὶ ἐπαινῶ, διὸ ἴσον ἂν εἴη τῷ πάντας κυδαίνειν. καὶ τὸ οὐχ ἅλιον δὲ ἴσον τῷ οὐκ ἀθερίζειν, οὐκ ἀποβολῆς ἄξιον τῆς θαλάττης· τὸ μὲν γὰρ ἀθερίζειν ἀπὸ τῶν ἀποκρινομένων ἀθέρων, ὁ δὲ ἅλιος ἀπὸ τῶν εἰς ἅλα βαλλομένων, ὡς τὸ

5. *Πορφυρίου] om. 17. ἴσχειν] ἔχειν

"ἄλιον ἔπος ἔκβαλον ἥματι κείνῳ" (Il. 18, 324). τὸ μὲν οὖν μὴ μεγαλίζεσθαι θυμῷ σημαίνει τὸ μὴ ὑπερηφανεῖν δι' ὑπεροψίαν. αὐτό τε τὸ ὑπερηφανῆσαί φησι "σὺ δὲ σῷ μεγαλήτορι θυμῷ εἴξας ἄνδρα φέριστον, ὃν ἀθάνατοί περ ἔτισαν, ἠτίμησας" (Il. 9, 109), ὃ ἔφη ἠθέρισας. καὶ πάλιν "εἰ τὸ πάρος θυμῷ ἦρα φέροντες ἀφεστᾶσι" (Il. 14, 131) καταφρονοῦντες καὶ ὑπερηφανοῦντες διὰ τὸ αὐτοῖς χωρίζεσθαι, ὥς που ἔφη "ταῦθ' ὑπερηφανέοντες Ἐπειοὶ χαλκοχίτωνες ἡμέας ὑβρίζοντες ἀτάσθαλα μηχανόωνται" (Il. 11, 694). οἱ μέντοι συνείκοντες καὶ τῆς ὑπεροψίας παυόμενοι· "ὡς ὁ μὲν Αἰτωλοῖσιν ἀπήμυνεν κακὸν ἦμαρ, εἴξας ᾧ θυμῷ" (Il. 9, 597).

70. ἀλλὰ καὶ αὐτοί] πρὸς τὸ πρόθυμον τοῦ ἀδελφοῦ. καὶ ἔστι συμπαθὲς τὸ δύο βασιλεῖς οὕτως αὐτουργεῖν.

72. εὖ ἐπιτείλας] ἐπεσημήνατο τοὺς λόγους ὡς καὶ καλῶς εἰρημένους καὶ παραγγελθέντας στρατηγικῶς.

75. εὐνῇ ἔνι μαλακῇ] οὐδὲ ταῦτα ἐᾷ, ἀλλὰ τὸ πρέπον αὐτοῖς σώζει. μαλακὴ γὰρ στρωμνή ἐστι τῷ γέροντι, ὡς καὶ τῷ Φοίνικι· τῷ δὲ Διομήδει νεωτέρῳ ὄντι ὑπέστρωτο ῥινὸς βοός (155)· τὸν δὲ Ὀδυσσέα κατέκλινεν Εὔμαιος ὑποβαλὼν ῥῶπας καὶ δέρμα αἰγός (Od. 14, 49).

79. ἀφαιρεῖ τὰς προφάσεις τῶν ἀργεῖν ἐθελόντων, δεικνὺς ὡς καὶ τοῖς φυσικοῖς ἐλαττώμασιν οἷδεν ἀντιτάσσεσθαι προθυμία.

80. εἰς τὸ ἀγκῶνος ἡ διαστολή. λείπει δὲ ὁ καί, ἵν' ᾖ καὶ κεφαλὴν ἐπαείρας.

82. τίς δ' οὗτος] τετάρακται μέν· σκόπει δὲ τὴν προσοχὴν τοῦ γέροντος, ὃς οὐδὲ φθεγγομένου τοῦ Ἀγαμέμνονος ἤσθετο καὶ προὔλαβε τὸν λόγον διὰ τῆς ἐρωτήσεως. ἔθος δὲ τοῖς γέρουσιν ἀϋπνεῖν καὶ μηδὲν φροντίζουσιν· οὗτος δὲ καὶ διὰ τὸν καιρὸν τοῦτο ποιεῖ.

85. φθέγγεο] ταρασσόμενός φησιν, εἰπὲ δι' ἣν αἰτίαν πρὸς ἐμὲ ἦλθες· ἐκπλήττεται γὰρ ὑπονοῶν τὴν τῶν πολεμίων ἔφοδον.

87. ὦ Νέστορ Νηληϊάδη] ὃ προσέταξε τῷ Μενελάῳ, καὶ αὐτὸς ποιεῖ, πατρόθεν ἐκ γενεῆς αὐτὸν καλῶν.

88. ἅμα τῇ ἐκφωνήσει τοῦ ὀνόματος τὸ πάθος ἤρξατο κινεῖν, τὰς συμφορὰς παρατιθείς.

91. ὧδ'] ὧδε μόνος, ὡς ὁρᾷς, περιέρχομαι. ἀσύνδετος δὲ ὢν ὁ λόγος τὸ κομματικὸν τοῦ πάθους δηλοῖ.

3. σῷ] τῷ · 5. φέροντες] φρένες

94. ἀλαλύκτημαι] παρὰ τὸ ἀλάλημαι ἡ λέξις. τῷ δὲ πλεονασμῷ τῶν στοιχείων ἐπιτετάρακται. φαντασία δέ τις προσπίπτει τῆς ἐκπηδῆσαι βιαζομένης καρδίας.

96. οὐδὲ σέ γ' ὕπνος ἱκάνει] ἵνα μὴ δόξῃ ἐμποδίζειν πρὸς τὸν ὕπνον τῷ γέροντι.

98. ἀδηκότες] ἀηδισθέντες. ὕπνῳ δὲ τῇ ἀγρυπνίᾳ λέγει· "ὕπνῳ καὶ καμάτῳ ἀρημένος" (Od. 6, 2).

100. περισσὸν τὸ τί. ἐξήλλαξε δὲ τὴν φράσιν· ἔδει γὰρ εἰπεῖν, μὴ ἐκεῖνοι μὲν ἀμελήσωσιν, οἱ δὲ πολέμιοι ἀπροόπτως ἐπέλθωσιν.

104. οὔ θην Ἕκτορι πάντα] αἱ γὰρ ἄκραι τῶν εὐτυχιῶν μεταβολὰς ποιοῦσι. πιθανῶς μὲν οὖν νῦν παραθαρσύνει τὸν Ἀγαμέμνονα· ὁρᾷ γὰρ αὐτὸν ὑπὸ τῆς συμφορᾶς τεταπεινωμένον· ἐν δὲ τοῖς ἑξῆς τὸν Διομήδην φοβεῖ, εὑρὼν βαθέως καθεύδοντα. δεῖ γάρ, ὡς ἔοικε, τοὺς μὲν πεφοβημένους θαρσύνειν, τοὺς δὲ θαρροῦντας φοβεῖν, ὅπως μήτε τῷ δέει τις ἐκπλήττοιτο μήτε τῷ θάρσει ἀπαρασκεύαστος γίνοιτο.

108. ἐγείρομεν] καλῶς οὐχ ὁ Ἀγαμέμνων καθ' ἑαυτὸν ἐγείρει τοὺς ἀριστέας, ἔχων τὴν αἰτίαν τῆς Ἀχιλλέως ὀργῆς.

114. ἀλλὰ φίλον περ ἐόντα] χαρίεν τὸ τῆς ὑποθέσεως· ὅπερ γὰρ εὑρίσκεται ἤδη πεποιηκὼς Μενέλαος, περὶ αὐτοῦ μέμφεται.

120. ἄλλοτε μέν σε] οὐχ ὡς συνκοφαντοῦντι τῷ Νέστορι μέμφεται, οὐδὲ καθάπαξ ὑπεραπολογεῖται τοῦ ἀδελφοῦ, ἀλλ' ὁμολογεῖ αὐτὸν ἐνίοτε ἀμελεῖν. δεξιῶς οὖν τὸν λόγον ἐκέρασεν.

122. οὔτ' ὄκνῳ εἴκων] φιλαδέλφως ἀπολογεῖται. δύο δέ ἐστι δι' ὧν ἡ ῥαθυμία γίνεται, ἀμέλεια καὶ ἄνοια.

124. μάλ' ἐπέγρετο] ἐπέστη ταχέως. ἐδήλωσε δὲ ὡς πολλῷ προὔλαβεν αὐτὸν ἐκεῖνος ἀναστάς.

129. οὔ τίς οἱ] οὐδεὶς οὐδέπω τῶν κελευομένων ἀντερεῖ, ὅταν αὐτουργοῦντα τὸν βασιλέα ὁρᾷ.

138. ἀνέγειρε — Νέστωρ] οὐδὲν ἔτι ποιεῖ Ἀγαμέμνων, ἀλλ' ἕπεται αὐτῷ, τοῦτο δηλοῦντος τοῦ ποιητοῦ, ὡς ἐν ταῖς χρείαις ὁ λόγῳ δυνατὸς ὀφείλει πάντα πράττειν, οὐ βασιλεύς.

6. Versui 98 adscriptum est scholion Porphyrii, quod ad v. 198 referendum suo loco posuimus.

20. *αὐτοῦ] αὐτὸ

26. Scholion versus 124 bis scriptum est, sed omisso ἀναστάς loco altero.

140. δυσωπεῖται γὰρ Νέστορος καλοῦντος. οὐ δειλὸς δὲ, ὅτι ἐντὸς τῆς σκηνῆς καθεύδει· οὐ γὰρ πρὸς ἀσφάλειαν αἱ σκηναὶ, ἀλλὰ πρὸς σκέπην αὐτοῖς πεποίηνται.

141. ταῦτα ὡς σχετλιάζων, ὅτι θορυβοῦσι τοὺς στρατιώτας μόνοι οἱ βασιλεῖς νυκτὸς περιιόντες· δέδιε γὰρ μή τι νεώτερόν ἐστιν ἐν τῷ στρατῷ.

145. μὴ νεμέσα] παραιτεῖται τὴν μέμψιν, οὐ νεώτερόν τι σημαίνων, ἀλλὰ διὰ τὰ ἐνεστῶτα· ὁ συνεὶς Ὀδυσσεὺς ἕπεται μηδ' ὁτιοῦν ἀντιλέγων.

149. ἀμφ' ὤμοισι σάκος θέτο] δειλὸς, φασὶν, οὗτος, ὅτι ἀσπίδα καὶ οὐ δόρυ ἀναλαμβάνει. ἴσως δὲ σιωπωμένῃ τῇ ἀποκρίσει χρῆται πρὸς τὸν Νέστορα εἰπόντα βουλεύσεσθαι πότερον φευκτέα ἢ μενετέα, ἐμφαίνων διὰ τῆς ἀσπίδος ὅτι μενετέα. δόρυ μὲν γὰρ φέρουσι καὶ μὴ μαχόμενοι, ἀσπὶς δὲ μενόντων ἐστὶ καὶ μαχομένων.

151. σὺν τεύχεσιν] οὐχ ὡπλισμένος (δειλοῦ γάρ), ἀλλ' οἷον πλησίον ἔχων τὰ τεύχη. καλῶς δὲ οἱ ἑταῖροι τὴν μεθ' ἡμέραν τάξιν φυλάττουσιν, περιστοιχοῦντες τὸν βασιλέα. στρατηγικὸν δὲ καὶ τὸ αἰθριοκοιτεῖν.

153. τρόπου τινὰ περιχαρακοῦντα τὸν ἡγεμόνα. ἐμφαίνει δὲ καὶ διὰ τούτου ὁ ποιητὴς τὸ ἀνδρεῖον Διομήδους καὶ ἕτοιμον εἰς μάχην· στρατιωτικῶς δὲ τοῖς αὐτοῖς ὅπλοις χρῶνται καὶ πρὸς πόνον καὶ πρὸς ἀνάπαυλαν. τῷ δὲ σκιάζοντι τῆς νυκτὸς ἀντιπεριέστησε τὴν ἐκ τῶν αἰχμῶν ἀναλάμπουσαν αὐγήν. σαυρωτὴρ δὲ ἡ δορατοδόκη καλεῖται· παρὰ δέ τισιν ὁ καυλὸς τοῦ δόρατος.

*Πορφυρίου. φαύλη δοκεῖ εἶναι ἡ τῶν δοράτων ἐπὶ σαυρωτῆρας στάσις· καὶ δὴ πανταχοῦ θόρυβον ἤδη πεποίηκε νύκτωρ ἓν μόνον πεσόν. λύει δ' Ἀριστοτέλης λέγων ὅτι τοιαῦτα ἀεὶ ποιεῖ Ὅμηρος οἷα ἦν τότε. ἦν δὲ τοιαῦτα τὰ παλαιὰ οἷάπερ καὶ νῦν ἐν τοῖς βαρβάροις. πολλοὶ δὲ οὕτω χρῶνται τῶν βαρβάρων.

156. τάπης] ἀναγκαῖον σκληρᾶς οὔσης τῆς στρωμνῆς τὸ προσκεφάλαιον εἶναι ἁπαλὸν, ἵνα μικρὸν ἀναπαύοιτο. τάπης δέ ἐστιν ὁ ἐκ τοῦ ἑτέρου μέρους ἔχων μαλλὸν, ἀμφιτάπης δὲ ὁ ἐξ ἀμφοτέρων.

158. *λὰξ] εὐτόνως τῷ δακτύλῳ τοῦ ποδὸς τοῦ κοίλου μέρους ἁψάμενος τοῦ Διομήδους ποδὸς, ὡς δῆλον ἐκ τῶν ἐπιφερομένων "ὤτρυνέ τε νείκεσέ τ' ἄντην."

11. *οὐ] om. 25. *Πορφυρίου] om. 32. μαλλόν] μαλόν

εἰκὸς αὐτὸν διὰ τοὺς μεθ' ἡμέραν κόπους οὐκ αἰσθάνεσθαι φωνούντων. δυσωπητικὸν δὲ τὸ ὑπὸ τοῦ γέροντος ἀνίστασθαι· διὸ καὶ λὰξ αὐτὸν ἀνίστησι, τὴν ἀπρονοησίαν ὀνειδίζων.

160. οὐκ ἀΐεις] Ἀγαμέμνονα μὲν καταπληχθέντα παραμυθεῖται, Διομήδεα δὲ ἀμελοῦντα ἀναπτεροῖ, καὶ ἄμφω βελτίους ποιεῖ. τὸ δὲ ἀΐεις ἀντὶ τοῦ ἀκούεις, πρὸς πλείονα ἐπίτασιν ὡς πλησίον αὐτῶν ὄντων.

*θρωσμὸς δέ ἐστι τόπος ὑψηλὸς ἐν τῷ πεδίῳ πρὸ τῆς Ἰλίου, ὃς ὀνοματικῶς καλεῖται Θρωσμός, ὡς καὶ ἕτερος Καλλικολώνη, ᾧ στρατοπέδῳ ἐχρῶντο οἱ Τρῶες, εἴ ποτε τῆς πόλεως ἔξω τάσσοιντο.

164. σχέτλιος ὁ ἄξια ἀγανακτήσεως πράσσων. εἰώθαμεν δὲ ἀμελείας ἐγκαλούμενοι φιλοπονωτέρους τοῦ δέοντος φάσκειν τοὺς ἐγκαλοῦντας, τῷ ἐπαίνῳ ἐκείνων τὸν ἴδιον ἀπολυόμενοι ψόγον, οὐχ ἑαυτοὺς ἧττον τοῦ δέοντος φάσκοντες πονεῖν, ἀλλ' ἐκείνους τοῦ δυνατοῦ περισσότερον.

167. ἀμήχανος] ἀνίκητος, πρὸς ὃν οὐδὲ τὸ γῆράς τι μηχανήσασθαι δύναται.

οὔ νυ καὶ ἄλλοι — γεραιέ] ἀμήχανος γάρ, πρὸς ὃν οὐδὲ τὸ γῆράς τι ἐμηχανήσατο, ἐξ οὗ νοεῖται τὸ ἀνίκητος. οὕτω καὶ ἐπὶ τῆς Ἥρας "ἦ μάλα δὴ κακότεχνος, ἀμήχανε, σὸς δόλος, Ἥρη" (Il. 15, 14), τουτέστιν ἀήττητε, πρὸς ἣν οὐδὲν ἔστι μηχανήσασθαι. ὁ δ' ἀπὸ κοινοῦ τρόπος ἐστὶ καὶ παρ' αὐτῷ καὶ ἐν τοῖς τοιούτοις· "οὐ γὰρ πώποτ' ἐμὰς βοῦς ἤλασαν οὐδὲ μὲν ἵππους" (Il. 1, 154)· ἀπὸ κοινοῦ γὰρ οὐδὲ τοὺς ἵππους ἤλασαν. "ὣς οἱ μὲν παρὰ νηυσὶ κορωνίσι θωρήσσοντο, Τρῶες δ' αὖθ' ἑτέρωθεν ἐπὶ θρωσμῷ πεδίοιο" (Il. 20, 1)· ἐκ κοινοῦ γὰρ θωρήσσοντο. "παννύχιοι μὲν ἔπειτα καρηκομόωντες Ἀχαιοὶ δαίνυντο, Τρῶες δὲ κατὰ πτόλιν ἠδ' ἐπίκουροι" (Il. 8, 476), δαίνυντο δηλονότι. "πολλὰ δὲ τόνδε κασιγνήτη καὶ πότνια μήτηρ ἐλίσσονθ', ὁ δὲ μᾶλλον ἀναίνετο, πολλὰ δ' ἑταῖροι" (Il. 9, 580)· ἐκ κοινοῦ γὰρ τὸ ἐλίσσοντο. "ἀγαθὴ δὲ παραίφασίς ἐστιν ἑταίρου" (Il. 11, 793) ἀγαθοῦ· οὐ πᾶσα γὰρ παραίφασίς ἐστιν ἀγαθή, ἀλλὰ τοῦ ἀγαθοῦ, ὥστ' ἐκ κοινοῦ τὸ ἀγαθή· τὸ δ' ἐπὶ τοῦ ἑταίρου ἀκουστέον ἀρσενικῶς. πάλιν "οἱ δ' ἀμφ' Ἰδομενῆα θωρήσσοντο· Ἰδομενεὺς μὲν ἐνὶ προμάχοις, συὶ εἴκελος ἀλκήν" (Il. 4, 252)· τὸ γὰρ θωρήσσετο προσυπακούομεν ἀπὸ τοῦ θωρήσσοντο. "χώρησαν δ' ὑπό τε πρόμαχοι καὶ φαίδιμος Ἕκτωρ" (Il. 16, 588)·

ἐκ κοινοῦ τὸ ἐχώρησεν. "εὗρ' υἱὸν Πετεῶο Μενεσθῆα πλήξιππον ἑσταότ'· ἀμφὶ δ' Ἀθηναῖοι μήστωρες ἀϋτῆς" (Il. 4, 327)· ἐκ κοινοῦ τὸ ἕστασαν ἀπὸ τοῦ ἑσταότα. "τῇ ῥ' ἐνόρουσ', ἅμα δ' ἄλλοι ἀριστῆες Παναχαιῶν" (Il. 11, 167), δηλονότι ἐνόρουσαν. "ὡς ἂν Πηλείδην τιμήσομεν, ὃς μέγ' ἄριστος Ἀργείων παρὰ νηυσὶ καὶ ἀγχέμαχοι θεράποντες (Il. 16, 271)· ἀπὸ τοῦ ἄριστος καὶ ἄριστοι οἱ θεράποντες ἀκουσθήσονται. "οὐδ' ἄρ' ἔμελλε δίφρῳ ἐφέζεσθαι πολλῶν κατὰ οἶκον ἐόντων" (Od. 4, 716)· ἐκ κοινοῦ δίφρων. "καμάτῳ τε καὶ ἰδρῷ νωλεμὲς ἀεὶ γούνατά τε κνῆμαί τε παλάσσετο" (Il. 17, 385)· ὡς ἐκ κοινοῦ τὸ παλάσσοντο ληπτέον, καὶ ἐπὶ μὲν τῶν γονάτων οἰκείως εἴρητο, ἐπὶ δὲ τῶν κνημῶν ὑπακουστέον. "ἐκ πόλιος δ' ἄξεσθε βόας καὶ ἴφια μῆλα καρπαλίμως, οἶνον δὲ μελίφρονα οἰνίζεσθε, σῖτον δ' ἐκ μεγάρων" (Il. 8, 505)· οὔτε γὰρ οἰνίζεσθε οὔτε ἄξεσθε, ἀλλὰ φέρετε ἢ λαμβάνετε. καὶ πάλιν "οἱ μὲν ἔπειθ' ἵζοντο κατὰ στίχας, ἧχι ἑκάστῳ ἵπποι ἀερσίποδες καὶ ποικίλα τεύχε' ἔκειτο" (Il. 3, 326)· οὐ γὰρ καὶ οἱ ἵπποι ἔκειντο, ἀλλὰ τὸ εἱστήκεισαν ἀκούομεν ἢ ἦσαν, ὡς ἐπὶ τοῦ "ποῦ δέ οἱ ἔντεα κεῖτο ἀρήϊα, ποῦ δέ οἱ ἵπποι" (407); ὑπακουσόμεθα γὰρ τὸ εἰσίν ἢ εἱστήκεισαν· "οὐ μὰν ἀκλεὴς Λυκίην κατακοιρανέουσιν ἡμέτεροι βασιλῆες, ἔδουσί τε πίονα μῆλα οἶνόν τ' ἔξαιτον" (Il. 12, 318), δηλονότι πίνουσι. τὰ τοιαῦτα παρατηρῶν τις πολλὰ λύσει τῶν ζητουμένων κατὰ τὸ παραπλήσιον. τούτοις γὰρ ὅμοιον τὸ "ἀλλὰ πολὺ πρὶν φραζώμεθ' ὥς κεν καταπαύσομεν, ἠδὲ καὶ αὐτοὶ παυέσθων· καὶ γάρ σφιν ἄφαρ τόδε λώϊόν ἐστιν" (Od. 2, 167). ἐκ κοινοῦ γὰρ δεῖ λαβεῖν τὸ παυέσθων, καὶ σχηματίσαι οἰκείως τοῖς ἑξῆς, ἵν' ᾖ καὶ γὰρ καὶ αὐτοῖς ἄφαρ παυσαμένοις καὶ ταχέως, πρὶν ἐλθεῖν τὸν Ὀδυσσέα, λώϊόν ἐστι· προείρηται γὰρ "ἀλλά που ἤδη ἐγγὺς ἐὼν τοῖσδεσσι φόνον καὶ κῆρα φυτεύει πάντεσσι." τὸ δὲ "ἄφαρ χεῖρες ἀμύνειν εἰσὶ καὶ ἡμῖν" (Il. 13, 814) ἐν ὑπερβατῷ εἴρηται, ἐπεὶ εἰσὶ γὰρ καὶ ἡμῖν χεῖρες ὥστ' ἄφαρ ἀμύνειν. τὸ δὲ "αἰ γὰρ δὴ Ὀδυσεύς τε καὶ ὁ κρατερὸς Διομήδης ὧδ' ἄφαρ ἐκ Τρώων ἐλασαίατο μώνυχας ἵππους" (Il. 9, 537), δῆλον οὐ τὸ ταχέως. ἀπὸ δὲ τοῦ ἄφαρ ἔοικεν ἐν συνηθείᾳ εἶναι τῶν Ἀλεξανδρέων τὸ λέγειν ἄφαρ πεποίηκε τὸ ἐσπευσμένως καὶ τεθορυβημένως. Ὅμηρος δὲ ἀπὸ τοῦ ἄφαρ πεποίηκε τὸ ἀφάρτεροι,

1. * ἑσταότ'] ἑσταῶτ' 3. ἑσταότα] ἑσταῶτα 22. φραζώμεθ'] φραζόμεθ'
32. δῆλον] δῆ 33. ἄφαρ] ἄφαρι (sic)

οἱ ταχύτεροι· "τῶν δ' ἵπποι μὲν ἔασιν ἀφάρτεροι" (Il. 23, 311) ἤτοι ταχύτεροι. πολλάκις δὲ ὁ ποιητὴς ἐν ἄλλοις μὲν τὸ πλῆρες λέγει, ἐν ἄλλοις δὲ τὸ ἐλλιπὲς, καὶ δεῖ ἀναπληροῦν μαθόντας παρ' αὐτοῦ τί ἦν τὸ λεῖπον, οἷον εἶπέ που "ὡς δ' αὕτως καὶ κεῖνο ἰδὼν ἐτεθήπεα θυμῷ, ὡς τὸ γύναι ἄγαμαί τε τέθηπά τε δείδια δ' αἰνῶς" (Od. 6, 166). λέγει δ' οὖν ὡσαύτως, ὅπερ καὶ ἐν τῇ συνηθείᾳ λέγεται, ὡσαύτως με ἀδικεῖς ὡς καὶ πολλάκις. καὶ ὅταν οὖν λέγῃ "αὕτως γὰρ ἐπέεσσ' ἐριδαίνομεν" (Il. 2, 342), λείπειν φήσομεν τὸ ὥς, ἵν' ᾖ ὡσαύτως γὰρ λόγοις μόνοις ἐριδαίνομεν, μηχανὴν δὲ εὑρεῖν, οὗ ἕνεκα ἐληλύθειμεν, οὐ δυνάμεθα. ὅμοιον καὶ τὸ "ἀλλ' αὕτως ἀλάλη-μαι ἀν' εὐρυπυλὲς Ἄϊδος δῶ" (Il. 23, 74), τουτέστιν ὡσαύτως ὡς κατῆλθον, καὶ ἐξ οὗ κατῆλθον, ὁμοίως ἀλάλημαι. οὕτως ἀκουσόμεθα καὶ τὸ "οὔπω μέν φασιν φαγέμεν καὶ πιέμεν αὕτως" (Od. 16, 143)· ὡσαύτως καὶ ὁμοίως. "κτενέει δέ με γυμνὸν ἐόντα αὕτως ὥστε γυναῖκα" (Il. 22, 124), ὡσαύτως ὡς γυναῖκα. "αὕτως οὔτε θεᾶς υἱὸς φίλος οὔτε θεοῖο" (50)· ὡσαύτως οὔτε θεᾶς υἱὸς ἔρεξεν οὔτε θεοῖο.

169. ναὶ δὴ] ὁ γέρων ἐπαινεθεὶς ἰᾶται τὸ "τί πάννυχον ὕπνον ἀωτεῖς;" φρονίμως δὲ οὐ συνεχώρησε τοῦτο ὅτι φιλοπονώτερός ἐστι τῶν ἄλλων (φορτικὸν γὰρ ἦν), διὰ τὸ τὸν καιρὸν ἐπικίνδυνον εἶναι καὶ τῆς παρὰ δύναμιν φιλοπονίας δεόμενον.

176. τὸ ἑξῆς ἄνστησον, εἰ μ' ἐλεαίρεις. οὐκ ἐπιτακτικῶς δέ φησιν, ἀλλ' εἰ ταῖς ἀληθείαις ἐλεεῖς με, διὰ τὸ "σὺ μὲν πόνου οὔποτε λήγεις." τὸ δὲ "σὺ γάρ ἐσσι νεώτερος" πρὸς τὸ "καὶ ἄλλοι ἔασι νεώτεροι υἷες Ἀχαιῶν."

179. βῇ δ' ἰέναι] ταχέως πάνυ καὶ μεγαλείως τοῦτο ποιεῖ· οὐδὲν γὰρ ἔδει διατρίβειν περὶ πρᾶξιν μηδὲν ἠθικὸν μηδὲ ἀξιόπιστον ἔχουσαν.

182. οὔτε κατακλίνονται δεόντως, ἵνα μὴ καταβαρηθῶσιν ὕπνῳ, οὔτε ἑστήκασιν, ἵνα μὴ τῆς χρείας προκάμωσιν. οἰκεῖον δὲ φύλαξι τὸ μὴ κοιμᾶσθαι μηδὲ πρὸς βραχὺ ἀποθέσθαι τὴν ἀσπίδα.

183. θείως τὴν τῶν φυλάκων ἀγρυπνίαν τῇ τῶν κυνῶν παρέβαλε, καὶ ταῦτα ποιμενικῶν· ὀξυήκοοι γὰρ καὶ ἄγρυπνοι, ἔπειτα καὶ λέοντος προσδοκῶντες ἔφοδον.

18. * πάννυχον] παννύχιον

186. σφιν] αὐτοῖς τοῖς κυσί· θορύβου γὰρ παρεμπεσόντος, κἂν οἱ ἄνδρες ἀφυπνώσωσιν, οὐκέτι κοιμῶνται οἱ κύνες. διὸ ὑπερβολικῶς εἶπε τὸ ὄλωλεν, ὡς μηδὲ ὕστερον εἰ βουληθεῖεν ὑπνωσόντων.

187. κοινῶς ὡς ἂν εἴποις, κακὴν νύκτα διήγαγον· καὶ ἔστι παθητικὸν ὑπὸ τοῦ ποιητοῦ προσκείμενον. ἅμα δὲ καὶ ἐξηγεῖται τὸ δυσωρήσονται· δηλοῖ γὰρ τὴν δυσχερῆ παραφυλακήν.

192. οὕτω νῦν] τεχνικῶς διὰ τοῦ παραγγεῖλαι αὐτοῖς ὁμοίως φυλάττειν ἐπῆνεσέ τε ἅμα καὶ προσέταξεν ἀνεπιφθόνως. εὖ δὲ καὶ τὸ φίλα τέκνα· τῷ γὰρ συγγενικῷ ὀνόματι τὴν ἀπὸ τοῦ ὕπνου νενίκηκεν ἡδονήν.

193. μὴ χάρμα] τὸ μάλιστα λυποῦν παρέλαβε, χαρὰν πολεμίων. ὡς ἐν ὑπιθήκῃ δὲ λέγων, ἐν αὐτοῖς εἶναι τὴν πᾶσαν Ἑλλήνων σωτηρίαν φησίν.

194. ὑπὲρ γερουτικὴν προθυμίαν καὶ πρῶτος πρόεισι, δυσωπῶν αὐτούς. διὰ τί δὲ μὴ μᾶλλον ἔσω τοῦ τείχους ἀσφαλέστερον βουλεύονται; ἀλλ' ἐν τῷ στρατεύματι νυκτὸς περιιόντες θόρυβον ἂν ἐκίνησαν, καὶ ταῦτα προτεταλαιπωρημένων ἤδη τῶν Ἑλλήνων. ἄλλως τε ἄτοπον ἦν εἰς κατασκοπὴν ὀτρύνοντας μὴ τολμᾶν προϊέναι τῶν πυλῶν. ἔτι δὲ καὶ πρὸς παραμυθίαν τῶν μελλόντων ἐκπέμπεσθαι.

198. *Πορφυρίου. ἄλογον τὸ μὴ ἐντὸς τῆς τάφρου τὸ συνέδριον εἶναι. λύεται δὲ ἐκ τοῦ καιροῦ· οὐ γὰρ τὸ θορυβεῖν τοὺς ἐν στρατοπέδῳ προσῆκον. θαρραλεώτερόν τε τὸν κατάσκοπον ἐχρῆν ποιεῖν παρακαθήμενον καὶ οὐδὲν μέλλοντα πείσεσθαι δεινὸν, τῶν φυλάκων περὶ τὴν τάφρον τυγχανόντων.

*Πορφυρίου. ἠπόρησεν Ἀριστοτέλης διὰ τί ἔξω τοῦ τείχους ἐποίησε τοὺς ἀριστέας βουλευομένους ἐν νυκτηγορίᾳ, ἐξὸν ἐντὸς τοῦ τείχους ἐν ἀσφαλεῖ. καί φησι· πρῶτον μὲν οὖν οὐκ εἰκὸς ἦν ἀποκινδυνεύειν τοὺς Τρῶας οὐδ' ἐπιτίθεσθαι νύκτωρ· οὐ γὰρ τῶν εὐτυχούντων ἦν ἀποκινδυνεύειν· ἔπειτα ἐν ἐρημίᾳ καὶ καθ' ἡσυχίαν βουλεύεσθαι περὶ τῶν τηλικούτων ἔθος. ἄτοπον δ' ἂν ἦν εἰ ἠξίουν μὲν πορευθῆναί τινας εἰς τοὺς Τρῶας, αὐτοὶ δὲ οὐδὲ μικρὸν προελθεῖν

3. *ὑπνωσόντων] ὑπνωσσόντων
18. *ὀτρύνοντας] ὀτρύνοντες
20, 25. *Πορφυρίου] om.
25. ἠπόρησεν] Scholion manifesto ad hunc versum referendum in B adscriptum est versui 98.
28. οὐδ' scripsi pro οὔτ'
30. ἠξίουν Bekk.] ἠξίου
31. προελθεῖν Bekk.] προσελθεῖν

ἐτόλμων. ἔπειτα στρατηγῶν ἂν εἴη τὸ φυλάσσεσθαι τοὺς νυκτερινοὺς θορύβους, τὸ δ' ἐν τῷ στρατεύματι νυκτὸς συνιόντας βουλεύεσθαι, νεωτερισμοῦ ὑποψίαν παρασχὸν, φόβον ἐνεποίει. ἅμα δὲ καὶ ἡ πρόθεσις ἦν τοὺς φύλακας θεάσασθαι, ἐν οἷς ἦν ἡ σωτηρία τῶν καθευδόντων· γενόμενοι δ' ἐν τούτοις τὰς βουλὰς, ὀλίγῳ πόρρω τούτων ἀποστάντες, ἐν ἡσυχίᾳ μὲν καὶ ἐν ἀπορρήτῳ ἐποιοῦντο, μὴ ἀναμεμιγμένοι τοῖς φύλαξιν, ἐν ἀσφαλεῖ δέ· πλησίον γὰρ τῶν φυλάκων. καὶ ἅμα ταχέως ἦν ἐπιτελέσαι τὰ δόξαντα. ὁ δὲ νεκύων χῶρος πλήρης μὲν τῶν κειμένων πτωμάτων, ὀλίγον δὲ καθαρὸν ἔχων νεκρῶν, ἔνθα καθέζοιντο, τοῦ περὶ τὴν τάφρον παντὸς χωρίου πλήρους ὄντος τῶν ἀγρηνέων. ἀπολογούμενος δὲ διότι ἄταφοι ἦσαν, ἐπάγει ὅτι τῶν πολεμίων νυκτὸς γέγονεν ἡ ἀναχώρησις καὶ σχολὴν οὐκ ἐνδέδωκεν ὁ καιρὸς εἰς ταφὴν, νυκτὸς μὲν καταλαβούσης, ἐκ δὲ τῆς ἥττης ὑπὸ τοῦ καμάτου εἰς ὕπνον τετραμμένων πάντων. φησὶ γὰρ "μὴ τοὶ μὲν καμάτῳ ἀδηκότες ἠδὲ καὶ ὕπνῳ κοιμήσωνται, ἀτὰρ φυλακῆς ἐπὶ πάγχυ λάθωνται" (98) καὶ "ὅθεν αὖτις ἀπετράπετ' ὄβριμος Ἕκτωρ" (200) καὶ τὰ ἑξῆς.

ὀρυκτήν] τὴν εὖ ὀρυχθεῖσαν, ὅ ἐστι βαθεῖαν· ἢ ἀντιδιαστέλλει πρὸς τὰς ἐκ τῶν ὄμβρων γινομένας ῥωγάδας.

199. διεφαίνετο] ὡς ἐν σκότῳ οὐ καθαρῶς ἐφαίνετο. ἐκίνησε δὲ ἡμῶν τὴν διάνοιαν τῷ ἐναργεῖ, τὸ μὲν περὶ τὴν τάφρον ἅπαν χωρίον φήσας πλῆρες εἶναι νεκρῶν, ὀλίγον δὲ τὸν καθαρὸν τόπον.

204. οὐκ ἂν δή τις] ἐξ αὐτοῦ τοῦ πράγματος ἄρχεται· οὐκ ἔδει γὰρ προοιμίων, ἀλλ' ὀξυβουλίας ἐν τῷ τοιούτῳ καιρῷ. ὑποθετικῶς δὲ ἄρχεται, οὐ προστακτικῶς. εὖ δὲ καὶ τὸ μὴ ἕνα ἐκλέξασθαι· ἐλύπει γὰρ αὐτὸν ὡς καταφρονῶν τῆς αὐτοῦ σωτηρίας, καὶ τοὺς λοιποὺς ἤσχυνε. φιλοτιμίαν οὖν τοῖς ἀρίστοις εἰς ἀλλήλους ἐμβαλὼν τοὺς ἀτόλμους οὐκ ἤλεγξεν, ἀλλ' ἡσυχίαν αὐτοῖς ἀνεπίφθονον δέδωκεν. εὖ δὲ καὶ τὸ αὐθαίρετον· οὐ γὰρ ἐμοὶ, φησὶ, πεπίθοιτο, ἀλλ' ἑῷ αὐτοῦ θυμῷ, καὶ τολμήεντι, ὅ ἐστι περιεκτικὸν τῆς προκειμένης πράξεως.

206. ὑποστίζων εἰς τὸ ἐλθεῖν τελείου ὡς εἰς τὸ Ἀχαιούς, καὶ τελειῶν εἰς τὸ ἐλθεῖν ἀπόδος εἰς τὸ ἀνθρώπους.

ἕλοι] ζωγρήσει πρὸς τὸ πυθέσθαι τὰ τῶν πολεμίων. διὰ δὲ τοῦ ἐσχατόωντα τὸ ἀκίνδυνον ὑπέφηνε τῆς πράξεως.

10. καθέζοιντο Vill.] καθέζοῦ

207. *φῆμιν] εἰώθασιν οἱ πολεμούμενοι φήμας τινὰς λέγειν ἐν ἑαυτοῖς, οἷον Λακεδαιμονίων βουλευομένων ποῖον χωρίον ἐπιτειχίσουσι τῆς Ἀττικῆς, Ἀλκιβιάδης συνεβούλευσε πέμπειν εἰς Ἀθήνας κατασκόπους, οἵτινες παραγενόμενοι ἤκουσαν αὐτῶν τῶν Ἀθηναίων διαλεγομένων ὅτι τὴν Δεκέλειαν μέλλουσιν ἐπιτειχίζειν οἱ πολέμιοι· καὶ οὕτως Λακεδαιμόνιοι ἐπετείχισαν τὴν Δεκέλειαν.

211. πανταχόθεν προτρέπεται, τῷ εὐχερεῖ, τῷ ἀκινδύνῳ, τῷ εὐκλεεῖ.

215. τῶν πάντων] μέγας οὖν ἔσται, ἀριστεῖα παρ' ἰδίων λαμβάνων· καὶ τὸ δῶρον ἐκ μεγίστης προφάσεως διδόμενον. ἔσται δὲ αὐτῷ ἀγέλη μελάνων οἰῶν, ὃ σπάνιόν ἐστι καὶ σύμβολον τῆς νυκτιπραξίας.

217. αἰεὶ δ' ἐν δαίτῃσι] ἐκ τούτου δῆλον ὡς οὐ πάντες ἀεὶ ἐκαλοῦντο. ἢ τὸ ἀεί τὸ αὐτόματον δηλοῖ τῆς ἑστιάσεως.

221. οὐκ εἰκῇ τὸ ἐγγὺς ἐόντα, ἀλλ' ὅτι μέγαν κίνδυνον ἀναδέχεται. τοῦτο δὲ οὐχ οὕτως ἐξαίρων ἑαυτόν φησιν, ἀλλ' ὡς καὶ ἑτέρου τινὸς συνεργοῦ δεόμενος.

223. μᾶλλον θαλπωρή] ἐπιτήδειόν ἐστι πανταχοῦ τὸ κοινωνὸν ἐν τοῖς δεινοῖς αἱρεῖσθαι, ὅπερ μὴ ποιήσας Δόλων ἀποτυγχάνει.

227. οἱ δ' ἔθελον] προτρέπει ἐπὶ τὰ καλὰ τῶν ἔργων δεικνὺς ὅτι πᾶς ἀνὴρ ἀγαθὸς πρὸς ὑντινασοῦν κίνδυνον ἐλθεῖν θέλων πολλοὺς ἕξει συγκινδυνεύοντας.

233. τοῖσι δὲ καὶ μετέειπεν ἄναξ] πάντα Νέστωρ διώκησε καταπληχθέντος τοῦ βασιλέως. ἄτοπον δὲ ἦν τὸ ἄφωνον αὐτὸν μεῖναι· νῦν οὖν τῷ βάρει τῶν ἀριστέων ὥσπερ ἀνασφήλας φησὶ περὶ τοῦ ἀδελφοῦ.

235. τὸν μὲν δὴ ἕταρον] τεχνικῶς ἔχει ὁ λόγος. καὶ γὰρ ὁρῶν τοὺς ἀνθρώπους πολλάκις καὶ παρὰ γνώμην τοὺς ἐν ἀξιώμασι προτιμῶντας, ἰδίᾳ μὲν ὤκνησεν ὑπὲρ τοῦ ἀδελφοῦ ποιήσασθαι τὸν λόγον, ἵνα μὴ τοῦ κινδύνου αὐτὸν ὑπεκκλέπτειν δοκῇ, κοινῇ δὲ ὑπὲρ ἁπάντων λέγει τὸν ἄριστον αἱρεῖσθαι.

237. τοὺς πρὸς τὰ ἔργα ἡμῖν χρησίμους ἐσομένους ἀξιοῖ Ὅμηρος σκοπεῖν, οὐ τοὺς εὐγενεῖς ἢ πλουσίους, ὥσπερ καὶ ἰατροὺς οὐ τοὺς πλουσίους παραλαμβάνομεν ἐν ταῖς νόσοις, ἀλλὰ τοὺς ἰάσασθαι δυναμένους.

2. ἐπιτειχίσουσι] *ἐπιτειχίσωσι 5, 6. *Δεκέλειαν] δικέλειαν

243. Ὀδυσῆος] τῇ ἑαυτοῦ θαρρῶν ἀνδρείᾳ σύμβουλον μόνον αἱρεῖται.

244. οὔ πέρι] ἀληθὴς ὁ ἐν τοῖς κινδύνοις ἔπαινος πᾶσαν αἰδῶ παρωσάμενος. ἅμα δὲ καὶ τοῖς ἄλλοις ἀπολογεῖται, οὐ δι' ἀνδρείαν φήσας αὐτὸν αἱρεῖσθαι, ἀλλὰ διὰ φρόνησιν.

247. νοστήσαιμεν] πρὸς τὸ φιλάλληλον οὐκ εἶπε νοστήσαιμι, καὶ ὑποφαίνει ὡς εἰ ἄλλον εἵλετο, αἴτιος ἂν θανάτου ἀμφοτέροις ἐγεγόνει. καὶ δείκνυσιν ὅτι κρείττων ἀνδρείας φρόνησις.

249. ἐντεῦθεν τὸ μηδὲν ἄγαν δηλοῦται. ἀριστέως δὲ τὸ βέλειν μὲν εὐφημίαν, οὐκ ἀνέχεσθαι δὲ αὐτῆς· περισσὸς γὰρ ὁ μεταξὺ τῶν φίλων ἔπαινος.

251. μάλα γὰρ νὺξ ἄνεται] ἤδη πρὸ τῆς ἐξόδου περὶ τοῦ καιροῦ συμβουλεύει, κατεπείγων αὐτόν· ἄτοπον γὰρ πρὸς ἡῶ κατασκόπους πέμπεσθαι. δεόντως οὖν αὐτὸν εἵλετο.

252. *Πορφυρίου. ἡ συναγωγὴ τῶν ζητουμένων γέγονε μὲν ἤδη καὶ παρ' ἄλλοις· ἡμεῖς δὲ τὰ προβλήματα λαμβάνοντες παρὰ τῶν ἐζητηκότων τὰς λύσεις ἐπικρίνομεν ἃς ἐκεῖνοι ὑπέταξαν τοῖς προβλήμασιν, καὶ τινὰς μὲν τούτων ἐγκρίνομεν, τινὰς δὲ παραιτούμεθα, τὰς δ' αὐτοὶ ἐξευρίσκομεν, τὰς δὲ πειρώμεθα διορθοῦν καὶ ἐξεργάζεσθαι, ὥσπερ τοῖς ἐντυγχάνουσιν ἔσται δῆλον. αὐτίκα τῶν παλαιῶν ζητημάτων ὡμολόγηται εἶναι τὸ τοιοῦτο, ἐν οἷς φησὶν "ἄστρα δὲ δὴ προβέβηκε, παρώχηκεν δὲ πλέον νὺξ τῶν δύο μοιράων, τριτάτη δ' ἔτι μοῖρα λέλειπται." πῶς γάρ, εἰ αἱ δύο μοῖραι ἐξήκουσιν αὐταί τε καὶ ἔτι τούτων πλέον, ἡ τριτάτη μοῖρα λέλειπται, ἀλλ' οὐχὶ τῆς τρίτης μόριον; ὅθεν καί τινες προστιθέντες τὸ σ̄ ἠξίουν "τριτάτης δ' ἔτι μοῖρα λέλειπται" γράφειν, ἵνα τῆς τρίτης μερίς τις ᾖ καταλελειμμένη, ἀλλ' οὐχ ὅλη ἡ τρίτη. Μητρόδωρος μὲν οὖν τὸ πλεῖον δύο σημαίνειν φησὶ παρ' Ὁμήρῳ· καὶ γὰρ τὸ σύνηθες, ὡς ὅταν λέγῃ "νώτου ἀποπροταμὼν, ἐπὶ δὲ πλεῖον ἐλέλειπτο" (Od. 8, 475) καὶ "ἀλλὰ τὸ μὲν πλεῖον πολυάϊκος πολέμοιο χεῖρες ἐμαὶ διέπουσιν" (Il. 1, 165). σημαίνει καὶ τὸ πλῆρες, ὡς ἐν τῷ "σὸν δὲ πλεῖον

1. ἀνδρείᾳ] ἀνδρίᾳ ab correctore. et infra ἀνδρίαν et ἀνδρίας

15. *Πορφυρίου] Quae sequuntur sunt prooemium libri cuiusdam ζητημάτων Ὁμηρικῶν Porphyrii, e quo huc delatum est hoc scholion. Monuit Rosius in Aristot. pseud-epigr. p. 165.

21. τὸ τοιοῦτο] Hoc ζήτημα, quod πολυθρύλητον vocatur in scholio codicis A, memorat Aristoteles Poet. c. 25 p. 1461, 26.

ὄέπας αἰεὶ ἕστηκε" (Il. 4, 262) καὶ ἐν τῷ "πλεῖαί τοι χαλκοῦ κλισίαι" (Il. 2, 226). νῦν οὖν τὸ πλέον ἀντὶ τοῦ πλῆρες εἰρῆσθαι· πλήρης γὰρ ἡ νὺξ τῶν δύο μοιρῶν γεγονυῖα παρῴχηκε, τριτάτης δέ τι περιλέλειπται. διεῖλε δ' εἰς τρία ὡς ἂν τριφυλάκου τῆς νυκτὸς οὔσης. Χρύσιππος δὲ, ὥσπερ εἴ τις, φησὶ, περὶ τριῶν ἡμερῶν διαλεγόμενος ἐν τῇ τρίτῃ λέγει μίαν ἀπολείπεσθαι ἔτι ἡμέραν, κἂν μὴ περὶ ὄρθρον ποιῆται τοὺς λόγους· οὕτως καὶ τὸν Ὀδυσσέα, εἰ καὶ πλέον ἦν παρῳχηκὸς τῶν δύο μοιρῶν, τὴν τρίτην φάναι καταλείπεσθαι, ἐπειδὴ τριμεροῦς οὔσης τῆς νυκτὸς ἕκαστον μέρος ἕν τι λαμβάνεται, ὥστε κἂν ἐλλιπὲς ᾖ τοῦτο καὶ μὴ ὁλόκληρον, ἀλλ' ἀριθμεῖσθαί γε τρίτην, τῷ τάξιν τῶν ἡμερῶν ἔχειν τὴν τρίτην· οὕτω γὰρ καὶ ἄνθρωπον παρὰ πόδα γενόμενον ἔτι τυγχάνειν τῆς ὅλης προσηγορίας. ἄλλοι δέ φασιν ἔθος ἔχειν τοὺς ποιητὰς τῷ ἀπηρτισμένῳ χρῆσθαι ἀριθμῷ, ὁτὲ μὲν τὰ ἐπιτρέχοντα τοῖς ἀριθμοῖς περιγράφοντας ὑπὲρ τοῦ ὁλοσχερεῖ καὶ ἀπηρτισμένῳ χρῆσθαι, ὅταν χιλιόναυν στρατὸν φήσειε τῶν Ἑλλήνων — ἦσαν δὲ αἱ νῆες χίλιαι ἑκατὸν ὀγδοήκοντα ἓξ —. καὶ ἔτι "πύργους εἴκοσι μιᾷ στολῇ, πεζοῖς μὲν ἕνδεκα, ναυσὶ δὲ δυώδεκα" ἀντὶ τοῦ κγ'· ὁτὲ δὲ τὸν προκείμενον περιγράφουσι, τῷ ἐπιτρέχοντι ἀρκούμενοι, οἷον (Pind. fr. 157) "κατὰ μὲν φίλα τέκνα ἔπεφνε βάλλοντα ἥβᾳ δυώδεκα, αὐτὸν δὲ τρίτον" ἀντὶ τοῦ τρίτον καὶ δέκατον· καὶ "τετράτῳ δ' αὐτὸς πεδάθη," φησὶν ὁ Πίνδαρος (fr. 100), ἀντὶ τοῦ τετάρτῳ καὶ δεκάτῳ· "ἡ δὲ γυνὴ τέτορ' ἤβώοι, πέμπτῳ δὲ γαμοῖτο" (Hesiod. O. 696) ἀντὶ τοῦ τεσσαρεσκαιδεκάτῳ καὶ πεντεκαιδεκάτῳ. Εὔπολίς τε Χρυσῷ γένει

δωδέκατος ὁ τυφλὸς, τρίτος ὁ τὴν κάλην ἔχων,
ὁ στιγματίας τέταρτός ἐστιν ἐπὶ δέκα,
πέμπτος δ' ὁ πύργος, ἕκτος ὁ διεστραμμένος·
χοῦτοι μὲν εἰς ἑκκαίδεκ', εἰς Ἀρχέστρατον,

3. τριτάτης] τριτάτη
17. πεζοῖς] πεζὸς
22. τέτορ' ex Hesiodo pro τετάρτῳ ἤ θ'
24. Χρυσῷ γένει Bekk.] χρυσογένειαν
25. δωδέκατος Meinekius vol. 2 p. 537] δέκατος
κάλην Otto Schneiderus apud Meinekium vol. 5 p. lxxxiv, collato Phrynicho Bekk. Anecd. p. 47, 20.
27. πύργος] πηρός Cobetus.
28. χοῦτοι Meinekius] καὶ οὗτοι ἑκκαίδεκ', εἰς—ἑπτακαίδεκ'] ἑκκαίδεκα, ἐς—ἑπτακαίδεκα. Personarum notas B et Λ ante et post ἴσχε δή addidit Meinekius.

ἐς τὸν δὲ φαλακρὸν ἑπτακαιδεκ'. Β. ἴσχε δή.
Α. ὄγδοος ὁ τὸν τρίβων' ἔχων.

ὁτὲ δὲ ἔξω προστιθέασιν, ἵνα τὸν πλήρη ἀριθμὸν εἴπωσιν, οἷον Ὁμήρου εἰπόντος "ἐννεακαίδεκα μέν μοι ἴσης ἐκ νηδύος ἦσαν" (Il. 24, 496) Σιμωνίδης φησὶ "καὶ σὺ μὲν εἴκοσι παίδων μᾶτερ ἔλλαθι." καὶ δεκάτῳ μηνὶ τοῦ τοκετοῦ ταῖς γυναιξὶ γιγνομένου φησὶν Ὅμηρος "χαῖρε γυνὴ φιλότητι, περιπλομένου δ' ἐνιαυτοῦ τέξῃ ἀγλαὰ τέκνα" (Od. 11, 248). καὶ "ἄλλοι θ' οἳ Κρήτην ἑκατόμπολιν ἀμφενέμοντο" (Il. 2, 649) καὶ "πολλοὶ ἀπειρέσιοι καὶ ἐνενήκοντα πόληες" (Od. 19, 174)· ἢ γὰρ κατὰ τὸ ἕτερον προστίθησιν ἢ κατὰ τὸ ἕτερον ἀφαιρεῖ. ὁμοίως καὶ "πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα δαίνυντο" (Il. 1, 601), οὐχ ἅμα τῇ ἕῳ ἀρξαμένων πίνειν· καὶ "πᾶν δ' ἦμαρ μάρναντο περὶ Σκαιῇσι πύλῃσι" (Il. 18, 453), καίπερ βραχέος γινομένου χρόνου ὑπὲρ τὴν μάχην. καὶ τῶν Ὀλυμπίων δὲ ἐναλλὰξ ἀγομένων διὰ ν' μηνῶν καὶ μθ', οἱ ποιηταὶ πεντηκοντάμηνόν φασι τὴν πανήγυριν εἶναι. οὕτως οὖν οὐδὲν κωλύει καὶ τῆς τρίτης μοίρας ἐλλιποῦς οὔσης οὐχ ὁλόκληρον τρίτην αὐτὴν ὀνομάσαι μοῖραν. Ἀριστοτέλης δὲ οὕτως ἀξιοῖ λύειν, ἐν οἷς φησίν· ἡ εἰς β' διαίρεσις εἰς ἴσην δύναται γενέσθαι ἐν τούτοις, ἐπειδὴ τὸ πλέον τοῦ ἡμίσεος ἀόριστόν ἐστιν. ὅταν τοσοῦτον αὐξηθῇ ὡς τοῦ ὅλου τρίτον ἀπολείπεσθαι, ἀκριβοῦς ἂν εἴη τὸ ἀφορίσαι τοῦτο καὶ δηλῶσαι ὅσον ἐστὶ τὸ καταλειφθὲν, ἵνα ὅσον ηὐξήθη τοῦ ὅλου τὸ ἥμισυ δῆλον γένηται. οἷον τῶν ε' ἥμισυ τὰ γ'. εἴπερ διαιρεθείη τὰ ε' εἰς β' ἴσα, ἔσται γ'. ἐὰν τὸ ἕτερον μέρος αὐξηθῇ, ἄδηλον πότερον μορίῳ ἀριθμοῦ ἢ ὅλῃ μονάδι. ἐὰν οὖν ὅλῃ μονάδι πλέον γένηται τὸ μέρος τὸ ὑπολειπόμενον, τρίτον ἔσται τοῦ ὅλου, ὥστε καὶ ὁ εἰπὼν τῶν β' μερῶν θάτερον πλέον γινόμενον καταλέλοιπε τριτάτην μοῖραν δεδήλωκεν ὅτι ἐν αὐξήσει τὸ πλέον μονάδι γέγονε, τεσσάρων γεγονότων τῶν τριῶν καὶ β' ὑπολειπομένων, ὅπερ ἦν τῶν ε' τὸ τρίτον. ἐπεὶ οὖν καὶ τῆς νυκτὸς αἱ ιβ' μοῖραι εἰς β' ἴσας μερίδας μερίζεσθαι δύνανται εἰς ε', ηὐξήθη δὲ καὶ πλέον γεγονὸς θάτερον μέρος, ἄδηλον δὲ τὸ πόσαις ὥραις — καὶ γὰρ μιᾷ καὶ δύο καὶ τρισὶ καὶ πλείοσιν ἡ αὔξησις δύναται γίνεσθαι —, ἀφορίζει ὁ ποιητὴς τὸ ἀόριστον τοῦ πλείονος πόσον ἦν, καὶ ὅτι β' ὥραις ηὐξήθη, ἐπήγαγεν ὅτι τριτάτη μοῖρα λέλειπται, ὡς ἡ μὲν

1. ἐς τὸν δὲ φαλακρὸν Meinekius] ἐς δὲ τὸν φαλακρὸν

5. ἔλλαθι] Forma Aeolica, de qua v. Thes. vol. 3 p. 242.

γενέσθαι τὰς παρῳχηκυίας ὥρας, καταλείπεσθαι δὲ δ', αἵπερ εἰσὶ τοῦ ὅλου τρίτον. οὕτω καὶ εἰ ιή εἴη μερῶν, ὅτι δίχα διαιρεῖται εἰς β', εἴποις δ' ὅτι πλέον τῆς εἰς β' μοίρας παρῳχηκεν, ἡ δὲ τρίτη μοῖρα περιλείπεται, δῆλον ποιήσεις ἐκ τοῦ τὸ τρίτον φάναι περιλείπεσθαι, ὅπερ ἐστὶν ς', ὅτι ιβ' φὴς εἰλῆφθαι. ἔστω δὲ καὶ ἐπὶ τοῦ νυχθημέρου τῶν ὡρῶν τὸ αὐτὸ ζητούμενον, καὶ λεγέτω τις ὅτι πλέον τι τῶν εἰς β' μοίρας νεμομένων ὡρῶν παρῳχηκεν, ἔτι μὴ ἀφορίσας τὸ πόσον, ἐπαγέτω δὲ ὅτι ἡ τρίτη μοῖρα τοῦ παντὸς λέλειπται· δῆλον γίνεται ὅτι τῆς εἰς β' διαιρέσεως εἰς ιβ' καὶ ιβ' γενομένης, τοῦ τρίτου καταλειφθέντος τοῦ παντός, ὅπερ ἐστὶν ἡ, θάτερον μέρος τὸ πλέον ἐν τέτρασιν ἔσχεν, ὥστε ις' ὥρας τὰς πάσας παρεληλυθέναι, ὑπολείπεσθαι δὲ ἡ. ἐν οἷς οὖν εἰς β' ἴσα καὶ εἰς γ' ἐστὶ διαίρεσις, ἐάν τις εἰς β' πλεονάσαντα τὸ γ' τῆς εἰς γ' καταλίποι, ἀφορίζει ὅσῳ πλέον ἡ αὔξησις γέγονε. σοφῶς οὖν ὁ ποιητὴς τὸ ἀόριστον τρίτον τῆς αὐξήσεως τοῦ ἡμίσεος δεδήλωκεν ἴσον ἦν, ὅτι ὥραις δύο καὶ ἐγδόῃ παρεληλύθει ὥρα, διὰ τοῦ φάναι "τριτάτη δ' ἔτι γὰρ μοῖρα λέλειπται." εἰδὼς γάρ τις ὅτι ιβ' μὲν αἱ ὧραι πᾶσαι τῆς νυκτὸς, ὧν ἡ εἰς δύο μὲν μοίρας διαίρεσις ς' καὶ ς' ποιεῖ, ἡ δὲ εἰς γ' δ' καὶ δ', καὶ ἀκούσας τῆς εἰς β' μοίρας διαιρέσεως πλέον τι παρῳχηκέναι, εἶτα γνοὺς ὅτι τῆς εἰς γ' τὸ τρίτον ἐπιμένει, ὅπερ ἐστὶν ὥραι δ', εὐθὺς γινώσκει ὅτι ἀπὸ τοῦ μεσονυκτίου β' ὧραι ἦσαν παραλλάξασαι μεταβάντος. Αὐτόχθων δέ φησιν ὅτι τετελεσμένων τῶν β' μοιρῶν, λειπομένης δὲ τῆς τρίτης, εἰκότως φησὶν ὡς παρῆλθε τὸ πλέον ἡ νὺξ οὖσα μοιρῶν β'· πλέον γὰρ μέρος εἰσὶ τῆς νυκτὸς α' β', εἴ γε τὰ β' τοῦ ἑνὸς πλείονα. τὸ οὖν παρῳχηκεν, ὅτι παροιχομένων τῶν β' μοιρῶν τῷ πλείονι ἡ νὺξ παρῴχηκεν. οὕτω γὰρ οὐδ' ἁμάρτημα ἔσται ἐν τῷ πλέῳ, ὅπερ θηλυκῶς ἀκούοντές τινες ἡμαρτῆσθαι λέγουσιν ἀντὶ τοῦ ἡ πλείων· ἔστι γὰρ τῷ πλέῳ ἡ νὺξ παρῳχηκυῖα μέρει, τουτέστι τῷ πλείονι καὶ μείζονι μέρει παρήλλαχε, τῶν β' μερῶν παρῳχημένων. Ἀπίων δὲ αὐτῶν τῶν β' τὸ πλέον μέρος ἀνηλῶσθαι λέγει, ὥστε καὶ τῆς δευτέρας εἶναι λείψανον, καὶ ὧν οὖν τὸ πλέον παρῴχηκεν, τὸ τρίτον καταλείπεται· περὶ γὰρ νύκτας μέσας ἀναστὰς

2. μερῶν Bekk.] μέτρων
3. τῆς εἰς β' Bekk.] τῶν εἰς β'
5. φὴς] φησὶν Bekk.
7. παρῳχηκεν, ἔτι Bekk.] παρώχηκέ τι
19. παρῳχηκέναι Bekk.] παρώχηκεν
30. Ἀπίων] ἀππίων
31. δευτέρας (δεῦ B)] δεκάτης Vill.

Ἀγαμέμνων ἐγείρει τὸν Νέστορα καὶ μετ' αὐτοῦ τινὰς τῶν ἀριστέων, καὶ ἐπὶ τὴν τάφρον προελθόντες πέμπουσι τοὺς κατασκόπους. τὸν δὲ καιρὸν τῆς νυκτὸς ὑποβάλλει καὶ τὸ πλῆθος τῶν πράξεων. ὁπλισάμενοι γὰρ οἱ κατάσκοποι, ὀφθέντος αὐτοῖς τοῦ ἐρωδιοῦ, εὐξάμενοί τε τῇ Ἀθηνᾷ χωροῦσι πρόσω· καὶ ἐντυχόντες τῷ Δόλωνι οὐκ ὀλίγον χρόνον περὶ τὰς ἐρωτήσεις διέτριψαν· καὶ κτείναντες αὐτὸν μετὰ ταῦτα ἐπὶ τοὺς Θρᾳκας ἔρχονται· καὶ βραδύνουσιν αὐτοῖς περὶ τὸν τούτων φόνον ἡ Ἀθηνᾶ ἐπὶ τὰς ναῦς ἀπαλλάττεσθαι παραινεῖ· καὶ ἐπανελθόντες λύονταί τε καὶ ἀριστοποιοῦνται, καὶ τότε ἡμέρα γίνεται. Ὀδυσσεὺς δὲ λέγει "ἐγγύθι δ' ἠώς," τὴν διέξοδον ἐπείγων· οὐδὲ γὰρ εὔλογον πλησιαζούσης τῆς ἕω κατάσκοπον πέμπεσθαι, ἀλλὰ καὶ πάνυ ἐπισφαλές. τὸ δὲ πλέω δύναται μὲν καὶ ὡς πληθυντικὸν οὐδέτερον παρειλῆφθαι, τὰ πλείονα ἐκ τῶν δύο μοιρῶν παρῆλθεν· ἢ πλείονα παρὰ μοίρας τὰς δύο, ὥς που καὶ ὁ Θουκυδίδης λέγει "ἀλλὰ καὶ ταύτην τὴν στρατιὰν θαλάσσῃ ἤδη πλείω χρώμενοι συνῆλθον" (1, 3). δύναται δὲ καὶ θηλυκὸν ἑνικὸν εἶναι, πτῶσιν αἰτιατικὴν προβάλλον, ἡ νὺξ παρῆλθε τὴν πλείονα μοῖραν τῶν δύο μοιρῶν. πιθανῶς δὲ οὐδένα ἄλλον τὴν τῶν ἄστρων πορείαν ἐποίησε φυλάττοντα ἢ τὸν Ὀδυσσέα, προεικονομῶν εἰς τὴν Ὀδύσσειαν· ἐκεῖ γὰρ αὐτῷ ὁ πλοῦς ἀνύεται "Πληϊάδας εἰσορόωντι καὶ ὀψὲ δύοντα Βοώτην" (5, 272).

*λέγοντος τοῦ Ὀδυσσέως "ἄστρα δὲ δὴ προβέβηκε" ζητήσειεν ἄν τις τί δηλοῖ τὸ προβέβηκεν, καὶ ποῖά εἰσι τὰ ἄστρα ἐξ ὧν στοχάζεται τὴν ὥραν. τὸ γὰρ ἐκ τῆς ἄρκτου λέγειν οὐχ ὑγιές· οὐ γὰρ ἐκ τῶν ἀειφανῶν, ἀλλ' ἐκ τῶν ἀνατελλόντων καὶ δυομένων τὰς ὥρας τεκμαίρεσθαι ἔστιν. οἱ δὲ οὐδ' ἐπ' ἄλλου φασὶν οἷόν τε ἢ ἐπὶ τῆς ἄρκτου εἰρῆσθαι διὰ τοῦ προκεῖσθαι τὸ προβεβηκέναι· σημειωσάμενον γὰρ τοὺς τόπους καθ' ὥραν ὡς ἐπιλαμβάνουσι στρεφόμενοι τῆς ἄρκτου οἱ ἀστέρες, προβεβηκέναι φάναι ἐπὶ πλέον κατὰ τὴν στροφὴν χωρήσαντας. οἱ δὲ ἀπὸ τῶν Πληϊάδων καὶ Ὑάδων καὶ Ὠρίωνος, ἤτοι δὲ ἀνατολὴν ἑῴαν ποιουμένων καὶ προβεβηκότων ἀπὸ τῆς ἀνατολῆς, Πληϊάδων δύσιν ποιουμένων καὶ ἤδη προβαινόντων εἰς τὴν δύσιν· τὸ αὐτὸ γὰρ καὶ ἐν τῷ "ἀλλ' ὅτε δὴ τρίχα νυκτὸς ἔην, μετὰ δ' ἄστρα βεβήκει" (Od. 12, 312) ἢ ὡς πρὸς ἀνατολὴν ἢ πρὸς δύσιν, τὸ μέν-

20. εἰσορόωντι] ἐσορῶντι
23. τὰ ἄστρα] τὰ om.
30. Ὑάδων Vill.] υἱάδων

τοι τρίχα ἀντὶ τοῦ τρίτον. διχῶς δὲ τὸ τρίτον, τό τε κατὰ σχέσιν τὴν πρὸς τὸ πρῶτον. μή ποτε ἐκ τοῦ ζῳδιακοῦ κύκλου τὴν ὥραν καταμεμαθηκέναι φησί· τούτου γὰρ εἰς ιβ' διηρημένου, ς' μὲν εὐθέως καταδύνοντος ἡλίου βλέπεται, νυκτὸς δὲ προβαινούσης τὰ λοιπὰ, οὐκ αὐτὰ μὲν ὁρώμενα, τὸν δὲ ἀριθμὸν τὸν ἐξ φυλάττοντα. ἐκ τῶν ζῳδίων οὖν τῶν ἐπιφερομένων τῷ δωδεκατημορίῳ τούτῳ ἐν ᾧ ὁ ἥλιος ἔδυ, τὴν ὥραν στοχάζεται Ὀδυσσεύς. ἢ ἁπλῶς πάντα, φησὶ, τὰ ἄστρα προβέβηκε, τουτέστι προκεχώρηκεν εἰς δύσιν τὰ ἀφ' ἑσπέρας ἐν τῇ ἀνατολῇ φανέντα, ὡς καὶ νῦν φαμὲν, πολὺ προῆλθε τῆς ἡμέρας, εἰς δύσιν λέγοντες προελθεῖν· ἐφ' ὧν γὰρ ἀπὸ πέρατος εἰς πέρας ἐστί τις δρόμος. ὅταν ἤδη πρὸς τῷ ἑτέρῳ πέρατι ὁρώμενα φαίνηται, προβεβηκέναι λέγοιτ' ἂν ἀφ' οὗ πρῶτον ὁρμώμενα ὤφθη. ὅτι δὲ καὶ τὴν ἡμέραν καὶ τὴν νύκτα εἰς τρία διαιρεῖ δῆλον. ἐπὶ μὲν γὰρ τῆς ἡμέρας "ἔσσεται ἠὼς ἢ δείλης ἢ μέσον ἦμαρ" (Il. 21, 111), ἐπὶ δὲ τῆς νυκτὸς "ἀλλ' ὅτε δὴ τρίχα νυκτὸς ἔην" (Od. 12, 312).

παρῆλθον τῆς νυκτὸς αἱ β' πλήρεις μοῖραι· οἱ δὲ, ὅτι τὸ πλέον τῶν β' μοιρῶν τῆς νυκτὸς παρῆλθεν. αἱ β' δὲ μοῖραι ἡ εἰσιν ὧραι· τούτων τὸ πλέον, ὅ ἐστιν αἱ ζ', παρῆλθεν· ἐσμὲν δὲ ἐν ὀγδόῃ ὥρᾳ, λείπονται δὲ τέσσαρες. τὸ δὲ ὅλον οὕτως· παρῆλθεν ἡ πλείων ἤδη μοῖρα τῶν β' τῆς νυκτὸς μοιρῶν, ἵνα λείπηται μέρος τι τῶν β' καὶ τρίτη τελεία.

255. Τυδείδῃ μὲν δῶκε] ἵνα μὴ ἀπιόντες πάλιν εἰς τὰς σκηνὰς χρονοτριβοῖεν. ὁπλίζει δὲ αὐτὸν ὁ Θρασυμήδης ὡς νεωστὶ τὸν Νέστορα σώσαντα.

258. ὁ φάλος ὀμφαλός ἐστιν ἀσπίδι μικρᾷ παραπλήσιος. κεῖται δὲ κατὰ τὸ μέτωπον, ὑπερέχων τῶν ὀφρύων, ἀποσκιάζων τὴν αὐγὴν τοῦ ἡλίου. ἦν δὲ ἄφαλος καὶ ἄλοφος διὰ τὸ λανθάνειν· καταΐτυξ δὲ παρὰ τὸ κάτω τετύχθαι· οὐ γὰρ ἔχει λόφον.

259. ῥύεται δὲ κάρη] δείκνυσιν ὅτι πρὸς μόνην σκέπην, οὐ πρὸς κόσμιν πεποίηται, ὥστε τῇ μὲν ἐμπλοκῇ τῶν ἱμάντων δυσδιάλυτον εἶναι τὸ κράνος, τὴν δὲ ἔξωθεν ἐπιφάνειαν σκέπεσθαι μετὰ τῶν ὀδόντων πυκνῶς ἐρεισθέντων.

266. τὴν μὲν κλοπὴν ἐν Ἠλεῶνί φησι γενέσθαι τῆς Ἀμύντορος καταίτυγος (Ἠλεὼν δὲ πόλις τῆς Βοιωτίας), τὴν δὲ διανομὴν ἐν Σκανδείᾳ πόλει Κυθήρων.

268. Σκάνδειαν] κατὰ παράλειψίν ἐστι τῆς εἰς προθέσεως,

ἵν' ἦ εἰς Σκάνδειαν. εἰς δὲ τὸ ἄρα διαστολὴ μικρά. τὸ δὲ ἑξῆς ἀκόλουθον.

271. δὴ τότ' Ὀδυσσῆος] ἡδεῖα ἡ περιπέτεια, τὸ διὰ τοσούτων ἐλθοῦσαν αὐτὴν πάλιν σκεπάσαι Ὀδυσσέα τὸν ἐξ Αὐτολύκου.

272. ὅπλοισιν ἐνὶ δεινοῖσιν] ἴσως διὰ τὴν κατάπληξιν τῆς προσδοκωμένης αὐτῶν λαθραίας πράξεως τὴν δεινότητα τοῖς ὅπλοις προσῆψεν.

273. πάντας ἀρίστους] μένοντας καὶ καραδοκοῦντας δηλονότι τὴν ἀπόβασιν.

274. ἀγαθὸν λίαν τὸ σημεῖον τοῖς ἐνεδρεύουσιν, ὥς φησιν Ἕρμων. ἐδήλου δὲ ὅτι οὐχ ἁρπήσονται μὲν, ἔκπυστα δὲ καὶ ἄκρυπτα δράσουσιν ἐν τοῖς πολεμίοις. ἐρωδιὸν δὲ ἔπεμψεν, ἐπεὶ ἑλώδης ὁ παρὰ τῷ Σκαμάνδρῳ τόπος καὶ ὑδατῶδες τὸ ὄρνεον. ἐδήλου οὖν τὴν ἐπὶ τὰς ναῦς ὑποστροφήν.

*ἐρωδιόν] Ζωΐλος ὁ κληθεὶς Ὁμηρομάστιξ γένει μὲν ἦν Ἀμφιπολίτης, τοῦ δὲ Ἰσοκρατικοῦ διδασκαλείου, ὃς ἔγραψε τὰ καθ' Ὁμήρου γυμνασίας ἕνεκα, εἰωθότων καὶ τῶν ῥητόρων ἐν τοῖς ποιηταῖς γυμνάζεσθαι. οὗτος ἄλλα τε πολλὰ Ὁμήρου κατηγόρει καὶ τὰ περὶ τοῦ ἐρωδιοῦ, ὃν ἐν τῇ νυκτεγερσίᾳ ἔπεμψε τοῖς περὶ τὸν Ὀδυσσέα ἡ Ἀθηνᾶ, ὃν, φησὶν, οὐκ εἶδον ὀφθαλμοῖσιν, ἀλλὰ κλάγξαντος ἄκουσαν. πῶς γὰρ, φησὶ, χαῖρε δὲ τῷ ὄρνιθι Ὀδυσσεύς; εἰκὸς γὰρ ἦν ὑπολαβεῖν περιβοήτους ἔσεσθαι· φωνὴ γὰρ σημεῖόν ἐστι τοῖς λανθάνειν προαιρουμένοις ὑπεναντίον. Μεγακλείδης, ὅτι μαντικῶς ταῦτα ἐποίησεν· δηλοῖ γὰρ ὅτι φωνὴν ἤκουσαν μόνον. οὐκοῦν οὕτως ἀπέβη τὸ μέλλον· αὐτοὶ μὲν γὰρ ὑπὸ τῶν πολεμίων οὐκ ὤφθησαν, ἤκουσαν δὲ τὰ βουλεύματα καὶ τὰς τάξεις Δόλωνος ἐξαγγείλαντος. πῶς ἂν οὖν οἰωνὸς σαφέστερος φανείη; Ἀλέξανδρος δὲ ὁ Μύνδιος ἐν τῷ τρίτῳ περὶ ζῴων ἠπόρει διὰ τί ἡ Ἀθηνᾶ ἐπὶ τὴν κατασκοπὴν πορευομένοις τοῖς περὶ τὸν Ὀδυσσέα οὐ τὴν γλαῦκα τὴν ἰδίαν ὄρνιν ἔπεμψε σημαίνουσαν τῇ φωνῇ, καὶ ταῦτα νυκτερινὴν οὖσαν ὄρνιν, ἀλλ' ὅτι ἱερὸν τοῦ Ποσειδῶνος καὶ ἑτέρων τινῶν θεῶν. φασὶν οὖν λύοντες ὅτι ἑλώδους ὄντος τοῦ τόπου, τῶν ζῴων τούτων νυκτὸς ἐν τοῖς ποταμοῖς καὶ τοῖς τέλμασι νεμομένων, διὰ τούτου σημῆναί τι τοῖς κατασκόποις ἠβουλήθη, καὶ οὐ τῆς τὸ ὕδωρ καὶ

6. αὐτῶν] * δι' αὐτῶν
16. διδασκαλείου] διδασκᾶ, quod pro διδασκάλου accepit Vill.

τὰ ἕλη μισούσης ὄρνιθος, διαιτωμένης καὶ οἰκούσης ἐν πέτραις καὶ τείχεσιν, ἐπεὶ καὶ ὁ ὄρνις οὗτος ἡμέρᾳ τε καὶ νυκτὶ χρῆται ἐνεργὸς ὢν, καὶ ἔστιν ἀμφίβιος, ὥστε καὶ ἐν ὕδατι τροφὰς ἑαυτῷ πορίζειν. οἱ δ' ἀριστεῖς οὗτοι καὶ σὺν ναυσὶ καὶ πεζοὶ τὰ κατὰ τοὺς πολεμίους ἐλκήζοντο, καὶ ἀναφανδὸν καὶ τότε διὰ τῆς νυκτὸς τὰ πρὸς τὸν πόλεμον ἔπραττον. ἐπεὶ δ' αὐτίκα δράσειν ἔμελλον, ἐγγὺς ὁδοῖό φησι· τὰ γὰρ ἐγγὺς ἀπανταχοῦ ἐστὶ σημεῖα. ἐν δεξιᾷ δὲ χώρᾳ ἡ κλαγγὴ αὐτοῖς γίνεται, ὅτι ἡ δεξιὰ ἀλλοτρία χώρα, ἐν ᾗ τοῖς δυσμενέσιν ἔμελλον ἔσεσθαι ἀλγηδόνες, τοῖς δ' ἀκούσασι χαρά τε καὶ ἔρυμα. ὁ γὰρ ἐρωδιὸς οὗτος ὡς ἐπὶ τὸ πολὺ τότε κλαγγάζει, ἡνίκα εὖ πράττει καὶ εὐθυμεῖ ἄγρας ἕνεκα. ἔτι δὲ ὁ ἐρωδιὸς λέγεται ἀφροδισίων ἕνεκα αἷμα δακρύειν, καὶ προπίπτειν αὐτοῦ τοὺς ὀφθαλμούς, καὶ ἀποθνήσκειν, ὥστε τῇ δεξιᾷ χώρᾳ ὀφθεὶς ἐν τῇ ἀλλοτρίᾳ τοὺς ἀλλοτρίους καὶ πολεμίους γάμων ἕνεκα ἐθήλου τεθνήξεσθαι. καὶ Ἕρμων δὲ ὁ Δήλιος γράφει "ἐρωδιὸς ὁ πελλὸς ἐν πεδίῳ φαινόμενος δαπέδου μεθέοντός ἐστι Ποσειδῶνος, ἄρμενος εἰς πόλεμόν τε καὶ ἐν νήεσσι μάχεσθαι ἐσθλὸς, καὶ πεζοῖσι καὶ ἱππήεσσιν ἄριστος, ἐν πεδίῳ θεμένοισι μάχην, ἐν ὄρει δέ τε χείρων φαινόμενος, μάλα γὰρ πέλεται νικηφόρος ὄρνις, ἔς τε βρομίην ὁρμένῳ ἀπειλίην ἄρμενος, ὁπλίτην κεν ἄγων οἰκόνδε νέοιτο." οὕτω δὲ καὶ ἀξιοῦσιν οὐ Παλλὰς Ἀθηναίη γράφειν, ἀλλὰ πελλόν· τοὺς δὲ μεταγράψαντας τῷ ἐπιθέτῳ ψυχαγωγηθῆναι, οὐ τῇ ἀληθείᾳ δὲ ἀκολουθῆσαι· ὅθεν καὶ Ζώπυρος ἐν τετάρτῳ Μιλήτου κτίσεως γράφει· ἐν τῇ νυκτεγερσίᾳ τοῦ ποιητοῦ θέντος πελλὸν Ἀθηναίῃ, μεταγράφουσί τινες καί φασι Παλλὰς Ἀθηναίη, τῷ ἐπιθέτῳ ψυχαγωγούμενοι, ἀλλ' οὐ τῇ ἀληθείᾳ ἀκολουθοῦντες. τρία δὲ γένη ἐστὶν ἐρωδιῶν, καὶ τῇ χροιᾷ διαλλάσσοντα ἀλλήλων καὶ τῇ πράξει διάφορα ὄντα καὶ τῇ φωνῇ· ἓν μέντοι γένος ἐστὶν ἐρωδιῶν, τὸ καλούμενον πύγαργον, ὅπερ ἐστὶ πρὸς γάμων τῶν πάντων δυσαντητότατον· ἐν γὰρ τῷ συνουσιάζειν ἀπόλλυται μετὰ πόνου· πριβάλλει γὰρ τοὺς ὀφθαλμοὺς καὶ αἱμορραγεῖ. ἄλλως ἐστὶν ἐρωδιὸς, ὃν καλοῦσιν ἀφροδισίων· οὗτος δὲ ἐν μὲν τῇ συνουσίᾳ ἁρμόζει, πρὸς δὲ γάμον καὶ συμφωνίαν βίου αἰσιώ-

13. ἐν addidit Vill.

15. Ἕρμων Eustathius p. 804, 57] ἔρων. Locus ex Hermone allatus hexametris scriptus est, partim corruptis.

19. ἀπειλίην] Literae ην deletae.

20. ὁπλίτην] Sic codex, non ὁπλίτα ut Vill.

νέοιτο] νέοτ. (sic B)

23. νυκτεγερσίᾳ] νυκτηγερσίᾳ

τατος. τρίτος δὲ πελλὸς ὁ μελάγχρους, καὶ πρὸς λαθραίαν πρᾶξιν ἄριστος πάντων ἐστίν. οὐκ ἤμελλεν οὖν ὁ ποιητὴς τριῶν ὀρνίθων ὄντων, καὶ τούτων ἴδιον ἑκάστου φέροντος πρᾶγμα, ἀφεὶς τὸ τὴν παροῦσαν ὀδὸν σημαῖνον τῇ κοινοτέρᾳ τῶν ὀρνίθων ἐπὶ πάντων ὁμοίως χρῆσθαι. Καλλίμαχος δὲ ἐν τῷ περὶ ὀρνέων οὐ τὸν πύγαργόν φησιν εἶναι τὸν ἐν τῇ ὀχείᾳ τοὺς ὀφθαλμοὺς αἱμάσσοντα, ἀλλὰ τὸν πελλὸν, γράφων ὧδε· "ἀστερίας, ὁ δ' αὐτὸς καλεῖται ὄκνος· οὗτος οὐδὲν ἐργάζεται. πελλός· οὗτος ὅταν ὀχεύῃ, κραυγάζει καὶ ἐκ τῶν ὀφθαλμῶν ἀφίησιν αἷμα, καὶ τίκτουσιν ἐπιπόνως αἱ θήλειαι. λευκός· οὗτος ἀνωδύνως ἐν ἀμφότεροις ἀπαλλάσσεται."

ἐγγὺς ὁδοῖο] ἐγγὺς τῆς ἐξόδου, πρὸ τοῦ πόρρω αὐτοὺς ἀποβῆναι.

275. δηλοῖ ὅτι οὐκ ὀφθήσονται μὲν, εἴσονται δὲ τὰ τῶν πολεμίων ἐκ τῆς φωνῆς Δόλωνος.

278. καλῶς οἱ μὲν Ἕλληνες θεὸν ἡγεμόνα ἐπικαλοῦνται καὶ ἀκούονται, ὁ δὲ βάρβαρος Δόλων μὴ εὐχόμενος ἀποτυγχάνει.

279. παρίστασαι] καὶ τοῦτο πραγματικῶς· προθυμότερον γὰρ καὶ ἄνθρωποι καὶ θεοὶ εὐεργετοῦσι τοὺς ὑπὲρ ὧν πεπόνθασι χάριν ὁμολογοῦντας.

280. κινύμενος] ὑπερβολικῶς εἶπε, οἷον καὶ ἐπὶ μικράν τινα πρᾶξιν ὁρμῶν.

286. δύναται μὲν καὶ εἰς τὸ Τυδέϊ δίῳ ἡ στιγμὴ τάττεσθαι, δύναται δὲ καὶ εἰς τὸ Θήβας· τὸ γὰρ ἐς Θήβας ἄμφω συντάσσειν ἀκώλυτόν ἐστιν.

288. καλῶς μειλίχιον ἔφη λόγον τὸν διαλλαγὰς εὐαγγελιζόμενον.

291. ὣς νῦν μοι] ὅρα πῶς ὁ συνετώτερος Ὀδυσσεὺς τὴν εὐχὴν ἐκοινοποίησεν, οὗτος δὲ ἰδίᾳ καὶ ἄλλως.

299. ὑπὸ τὸν αὐτὸν χρόνον ἀμφότεροι τοὺς κατασκόπους πέμπουσι· συντυγχάνουσι γὰρ ἀλλήλοις ἰόντες· ἀλλ' ὁ ποιητὴς ἐτίμησε τὸ Ἑλληνικὸν τῇ προτέρᾳ τάξει τοῦ λόγου.

300. πάντας ἀρίστους] ὁ μὲν Ἕκτωρ θορυβώδης καὶ ἀλαζὼν ὢν πάντας ἀνοήτως συγκαλεῖ τοὺς ἀρίστους, ἔνθα δέος καὶ ἐκπεσεῖν τι τῶν ἀπορρήτων, οἱ δὲ Ἕλληνες βραχεῖς.

303. τίς κέν μοι] ὁ μὲν Ἕκτωρ μετὰ προστάξεως τὸν ὑπακουσόμενον τῇ χρείᾳ καλεῖ, ὁ δὲ Νέστωρ ὑποτίθεται. καὶ οἱ μὲν ἃ

1. λαθραίαν Vill.] λαθραίην 7. ὧδε Bekk.] δ'

ἔχουσιν ἐπαγγέλλονται, ὁ δὲ ἃ οὐκ ἔχει. καὶ οἱ μὲν δῶρον, ὁ δὲ ἀτίμως φησὶ μισθόν.

308. ὁ μὲν Νέστωρ τὴν πρᾶξιν ἐξεφαύλισεν, ἐπὶ φήμης ἀκοὴν πέμπων τὸν κατάσκοπον ἢ ἐπὶ σύλληψίν τινος πολεμίου μονωθέντος· ὁ δὲ Ἕκτωρ ἐπὶ τὴν περὶ τῶν ὅλων γνῶσιν.

314. ἦν δέ τις] διηγήσεως ἐδέησε πρὸς τὸ σημᾶναι τὸ ἄδηλον τοῦ ἀνδρός, ὅπως τοιοῦτος ὢν τῶν Ἀχιλλέως ἵππων ἐρᾷ καὶ μετ' ὀλίγον πραδότης γίνεται. ταχέως δὲ ἅπαντα ἐδήλωσε, τὸ ἔθνος, τὸ ὄνομα αὐτοῦ τε καὶ τοῦ πατρὸς, τὴν τέχνην, τὴν τύχην, ὅτι πλούσιος, τὴν μορφὴν τοῦ Δόλωνος καὶ τὴν ὠκύτητα.

315. ὅμως καίπερ ἔχων πάντα, δι' ἀλαζονείαν ἠράσθη κέρδους. τὸ γὰρ πλουτεῖν καὶ ἱπποτροφίας ἐμποιεῖ πόθον. εὔελπις δὲ ἦν ὡς εἰ ληφθείη, διὰ τούτων λυτρωθήσεται.

318. ὅς ῥα τότε] δοκεῖ διαγανακτεῖν ὁ ποιητὴς, οἷος ὢν οἵοις ἐπιχειρεῖ.

319. Ἕκτορ, ἦ ἀτρύνει] ὁ μὲν Διομήδης προσλαβέσθαι συνεργὸν ἔσπευσε, καὶ τὸ ἐπικίνδυνον τοῦ πράγματος καὶ τὸ νεμεσητὸν ὑφορώμενος· ὁ δὲ ἀνοήτως μόνος ὁρμᾷ.

320. ἔκ τε πυθέσθαι] τὰ ἀκριβῆ περὶ πάντων ἀκοῦσαι· ὁ δὲ εἴ τινα που δηΐων ἕλοι ὡς ἐκ παραδόξου.

321. τὸ ἄπιστον δηλοῖ τῶν βαρβάρων, ὅτι τὰς πίστεις ὅρκοις, οὐ τρόποις ἀγαθοῖς βεβαιοῦσιν.

323. οἳ φορέουσιν ἀμύμονα Πηλείωνα] ὁ μὲν Ἕκτωρ ἀρίστους δώσειν φησὶν, ὁ δὲ τοὺς Ἀχιλλέως αἰτεῖ, τούτους εἰδὼς ἀρίστους. δηλοῖ δὲ ἀμφοτέρων τὴν ἀτοπίαν καὶ ἄνοιαν.

324. οὐκ ἄποθεν τῆς οἰήσεως ἧς ἔχεις περὶ ἐμοῦ. ἢ οὐκ ἐξ ὑπολήψεως ἀπαγγελῶ, ἀλλὰ μετὰ ἀκριβείας περὶ πάντων μαθών.

328. καί οἱ ὄμοσσεν] μωρότερος τοῦ αἰτοῦντος ὁ ἐπαγγειλάμενος· ὄμνυσι γὰρ ὡς ἤδη τὰ λάφυρα διαιρῶν.

334. λευκοῦ, ὡς ἄφρων· κατάφωρος γὰρ δι' αὐτοῦ ἐγένετο. ὁ δὲ Ἀριστοφάνης τεφρώδους φησί· λέγει γὰρ μὴ εἶναι λύκον λευκόν.

335. ἰκτίς ἐστι κατ' Ἀριστοτέλην ζῷον ὀρνιθοφάγον, ὅμοιον μικρῷ κυνιδίῳ, οὗ τὸ δέρμα φορεῖ. τάχα οὖν ὁ ποιητὴς κατὰ ἀφαίρεσιν αὐτὸ ἐποίησε τοῦ πρώτου ι.

30. * ἐγένετο] ἐγίνετο

339. ὡς προνοῶν μὴ καὶ παρὰ τῶν πολεμίων εἴη τις δόλος· ὁ δὲ Διομήδης, καταφρονῶν τῶν κινδύνων, οὐ προνοεῖ. πῶς δὲ τὸν ἐρωδιὸν μὴ ὁρῶντες αὐτὸν ὁρῶσιν; ἴσως ὅτι πρὸς ὄρθρον ἡ σελήνη ἀνέσχεν.

343. ἤ τινα συλήσων] οὐ γὰρ οὕτω ῥᾴδιον οἴεται τὸ μόνον εἰς κατασκοπὴν ἀφικέσθαι. ἐῶσι δὲ παρελθεῖν, μὴ εἰδότες τὴν ὠκύτητα αὐτοῦ.

346. εἰ δ' ἄμμε] εἰ δὲ πλαγίαν ὡς ἐπὶ τὴν πόλιν ποιεῖται τὴν ὁδὸν, ἀπόστρεφε πάλιν αὐτὸν ἐπὶ τὰς ναῦς.

350. παρέδραμεν ἀφραδίῃσιν] παρέδραμε, φησὶν, ἀσυνέτως, οὐ θεασάμενος αὐτούς. δεῖ δὲ τοὺς κατασκόπους τὴν ὄψιν περιάγειν πρὸς ἐπίγνωσιν ἀκριβῆ.

351. ὅσον ἀροτριῶσα ἡ ἡμίονος ὑπογράφειν δύναται, ὅ ἐστι πλέθρον.

*Ἀρίσταρχος οὕτως ἐξηγήσατο. ὅσον, φησὶν, ἐξ ἑνὸς καὶ ὁμοῦ ὑπό τινος ἀφεθέντος καὶ ἀπολυθέντος ζεύγους ἡμιόνων καὶ ζεύγους ἄλλου βοῶν, φθάσωσι καὶ προλάβωσι τὰς βοῦς αἱ ἡμίονοι (ταχύτεραι γάρ εἰσι τῶν βοῶν), τοσοῦτον, φησὶν, ἐάσαντες διάστημα παρελθεῖν τὸν Δόλωνα μεταστραφέντες ἐδίωξαν.

353. ἐν γὰρ τῇ πρώτῃ αὔλακι σχολαιοτέρων προσδεῖ ζῴων πρὸς τὸ βαθυτέραν γενέσθαι τὴν αὔλακα, ἐν δὲ τῇ νειῷ ὀξυτέρων· προευτρέπισται γὰρ τῷ ἔαρι.

*πηκτὸν ἄροτρον] τὸ τὸν γύην προσπεπηγότα ἔχον· αὐτόγυον δὲ τὸ ἐξ αὐτοῦ μονόξυλον. καὶ Ἡσίοδος διὰ ἀρότρά φησι θέσθαι, "αὐτόγυον καὶ πηκτόν" (O. 433).

360. νῦν μὲν κυσὶν αὐτοὺς εἰκάζει διὰ τὸ ἀγρευτικὸν, πρότερον δὲ λέουσι διὰ τὸ εὐσταθές.

361. ἐμμενές] ἐν τούτῳ γάρ ἐστι τῶν κυνῶν τὸ κράτιστον. ταῦτα γὰρ τὰ ζῷα φύσει μέν ἐστι ταχέα, ὑπεκλυόμενα δὲ διὰ τὴν ἀσθένειαν· οἱ δὲ κύνες τοὐναντίον.

362. μεμηκώς] τὸν καταληφθησόμενον δηλοῖ· περικατάληπτοι γὰρ γινόμενοι βοῶσιν οἱ λαγωοί.

369. δουρὶ δ' ἐπαΐσσων] ὑπόνοιαν διδοὺς ὅτι βαλεῖ αὐτόν. ἐνεργείας

16. *ἀφεθέντος] ἀφέντος
17. *αἱ ἡμίονοι] αἱ om.
20. *σχολαιοτέρων] σχολεταίρων, quod σχολαιτέρων esse potest.
27. *εὐσταθές] εὐπαθές

δὲ μεστός ἐστιν ὁ ἐπικραδαίνων τὸ δόρυ καὶ βοῶν, ὡς ἀφήσων ἐπ' αὐτὸν εἰ μὴ στῇ.

370. δουρὶ κιχήσεσθαι] εἶον εἰ μὴ τοῖς ποσὶ δύναμαι. καὶ πῶς ἅμα τῇ ἀπειλῇ ἀφῆκεν; ὅτι ὀξυλαβείας ἔδει, καὶ οὐκ ᾤετο ὡς ἀπειλῇ μόνῃ πεισθήσεται. ὑπόνοιαν δὲ αὐτῷ δίδωσιν ὡς οὐ βούλεται αὐτὸν ἀνελεῖν, ἵνα ὑπήκοον ἔχῃ πρὸς τὴν ἀνάκρισιν.

372. ἑκὼν δ' ἥμαρτανε] ζῶντα γὰρ κρατῆσαι βούλεται πρὸς τὸ τῆς ἐπερωτήσεως χρήσιμον. ἔξεστι δὲ εἰπεῖν ὅτι καὶ τὰ βέλη ὡς ἔμψυχα τῷ ποιητῇ συναγωνίζεται.

375. ἄκρως ἐδήλωσε πάθος δυσερμήνευτον, τοῖς δειλοῖς παρακολουθοῦν, τὸν θρασύδειλον Δόλωνα ὑπογράφων, καὶ τοῖς ἐσχάτοις ἐξευτελίζων ὀνόμασι. τὸ δὲ βαμβαίνειν δηλοῖ τὸ ἱκεσίας καὶ λόγων ἀπορεῖν, καὶ δεδιότα ἵστασθαι, καὶ τρέμειν, καὶ ἀσαφῆ φωνὴν προϊέναι ὑπὸ τοῦ φόβου. ἄραβος δὲ κυρίως ἡ ἐν τῷ ἄρει γινομένη βοή.

378. βαρβαρικὸν τὸ εὐθὺς περὶ ἑαυτοῦ διαλέγεσθαι, καὶ ἵνα ὡς ἀγενοῦς αὐτοῦ καταφρονήσαντες μὴ ταχὺ φονεύσωσιν.

382. Ὀδυσσεύς] ἑκατέρῳ προσώπῳ τὴν πρέπουσαν ἀπένειμε τάξιν. ὅπου μὲν γὰρ ἀκοντίσαι καὶ κατασχεῖν τὸν πολέμιον χρεία, ἐκεῖ Διομήδης ἐνεργεῖ, ὅπου δὲ λόγον δοῦναι καὶ λαβεῖν, Ὀδυσσεύς.

387. ἐπίτηδες ἐνδόσιμον αὐτῷ καιρὸν ψευσμάτων δίδωσιν, ὅπως αὐτοῦ δοκιμάσῃ τοὺς λόγους. τί γὰρ παρέτρεχε τοὺς νεκρούς, εἴπερ σκυλεῦσαι θέλει;

390. ὑπὸ δ' ἔτρεμε γυῖα] κατάσκοπος γὰρ ἐφωράθη, καὶ εἰ μὴ ἀληθεύσει, σωτηρίας ἐλπίδα οὐχ ὁρᾷ. αἱ δὲ συνεχεῖς πεύσεις οὐκ ἐῶσιν εἰς ψεῦδη τραπῆναι.

391. πολλῆσίν μ' ἄτῃσι] ἄτας ἔφη τὰς ἐπὶ κακῷ ὑποσχέσεις. ὡς ἀναγκασθεὶς δὲ καὶ δελεασθεὶς καὶ τὴν φρενοβλάβειαν αὐτοῦ ὑποτίθεται, ἔλεον θηρώμενος.

394. θοὴν] ἐπεὶ μετὰ δύσιν ἡλίου τάχιστα σκότος γίνεται, ἢ ἐπεὶ διὰ τὸν ὕπνον ἥττονα αὐτὴν ἡγούμεθα. ἢ τὴν θετικήν· ἀποτίθησι γὰρ ἡμᾶς εἰς ἀνάπαυλαν.

13. καὶ τρέμειν—βοή] Haec a m. sec. addita.

14. * ὑπὸ] ἀπὸ

17. ἀγενοῦς] ἀγεννοῦς B, sed ν priore eraso.

395. ἀνδρῶν δυσμενέων] ὑπομιμνήσκει τῆς ἔχθρας αὐτοὺς καθ' Ἕκτορος, ἀναζωπυρῶν αὐτῶν τὸν θυμόν.

401. ἦ ῥά νύ τοι] δεόντως τὴν τοῦ ἐλπίσαντος, οὐ τοῦ ὑποσχομένου τοσοῦτον αἰτιᾶται ἄνοιαν.

406. ποῦ—λίπες Ἕκτορα] καλῶς τοῦτο πυνθάνονται, ἵνα ἐγρηγορότος μὲν καὶ διέποντος τὰς φυλακὰς ἀπόσχοιντο, καθεύδοντος δὲ ἐπιχειρήσειαν αὐτὸν ἀνελεῖν.

407. ποῦ δέ οἱ ἔντεα] εἰκὸς γὰρ ἦν ὡς βασιλέα σκηνοποιεῖσθαι στρατηγικώτερον· ἵνα οὖν κἂν ἀφέλωνται τὰ ὅπλα αὐτοῦ, τούτου χάριν ἐπερωτῶσιν.

δεῖ τὸ ἑστᾶσι τῷ ἵπποι προσυπακούειν· οὐ γὰρ κοινὸν τὸ κεῖται.

413. * Πορφυρίου. τὸ καταλέξω οὐκ ἔστιν ἁπλῶς ἐρῶ, ἀλλ' εἰς τέλος τοῦ λόγου ἀφίξομαι καὶ καταλέξω. ταυτὸν γάρ ἐστι τῷ "ἀτὰρ οὐ τέλος ἴκεο μύθων" (Il. 9, 56) καὶ "ἐπεὶ ᾧ παιδὶ ἑκάστου πείρατ' ἔειπεν" (Il. 23, 350). τὸ διεξελθεῖν οὖν τὸν λόγον μέχρι τοῦ ἀπολῆξαι.

415. στρατηγικῶς τὸν τόπον τοῦτον ἐπελέξατο μέσον ὄντα τοῦ πεδίου, ἵνα μὴ οἱ Ἕλληνες ἀποπλεῖν βουλόμενοι λάθοιεν, μήτε εἰς τὴν πόλιν λόχος εἰσέλθῃ.

417. οὕτις κεκριμένη] ἀστρατήγητον τὸ πᾶσιν ἐπιτρέψαι τὴν φυλακὴν ἑκουσίως. καὶ πολλῆς τῆς ἀλαζονείας· καταφρονεῖ γὰρ Ἑλλήνων.

418. * πυρὸς ἐσχάραι] ἐσχάρα σημαίνει ἑ· τὴν πυρὰν, καὶ τὴν ἑστίαν, καὶ τὸ ῥυπαρὸν καὶ καυθὲν ἕλκος, καὶ τὸν βωμὸν, ὡς παρ' Εὐριπίδῃ ἐν Ἡρακλεῖ (922), καὶ τὴν κυρίως λεγομένην.

ὅσαι Τρώων εἰσὶν ἑστίαι καὶ οἰκίαι. οἱονεὶ ὅσοι εἰσὶν ἐθάδες Τρῶες, οὗτοι φυλάσσουσιν. ἐκ γὰρ τῆς ἑστίας τὸν πολίτην δηλοῖ. ἀνέστιος δὲ ὁ ἄπολις καὶ ἄοικος.

* Πορφυρίου. τοῦ ποιητοῦ πολλάκις ἐπισημαινομένου περὶ τῶν

1. * καθ'] om.
13. * Πορφυρίου] om.
30. * Πορφυρίου] om. B. Scholion hoc Porphyrii, τοῦ ποιητοῦ πολλάκις—δέχεσθε δέκεσθε in B et codicibus Scorialensi et Harleiano totum est adscriptum ad 8, 509, et in Scorialensi quidem et Harleiano cum lemmate Πορφυρίου εἰς τὸ "ἐπὶ δὲ ξύλα πολλὰ λέγεσθε," licet ex scholio ipso appareat ab Porphyrio non huic versui adscriptum fuisse, sed 10, 418 "ὅσσαι γὰρ Τρώων πυρὸς ἐσχάραι," ad quem versum recte rettulit Bekkerus, quod partim confirmatur ipsius

πυρῶν ἃς οἱ Τρῶες ἐποιοῦντο ἐκ τῆς τοιαύτης τοῦ Ἕκτορος παραγγελίας· "ἐπὶ δὲ ξίλα πολλὰ λέγεσθε, ὡς κεν παννύχιοι μέσφ' ἠοῦς ἠριγενείης καίωμεν πυρὰ πολλά, σέλας δ' εἰς οὐρανὸν ἵκῃ" (Il. 8, 507) καὶ πάλιν "ἐγγὺς γὰρ νηῶν καὶ τείχεος αἶλιν ἔθεντο ὑπέρθυμοι τηλέκλητοί τ' ἐπίκουροι, κειάμενοι πυρὰ πολλὰ κατὰ στρατόν" (Il. 9, 232) καὶ πάλιν "ἤτοι ὅτ' ἐς πεδίον τὸ Τρωϊκὸν ἀθρήσειεν, θαύμαζεν πυρὰ πολλά, τὰ καίετο Ἰλιόθι πρό" (11), εἰκότως ἀσαφέστατόν ἐστι τὸ τοῦ Δόλωνος, ὅτι ἐρωτηθεὶς "πῶς δαὶ τῶν ἄλλων Τρώων φυλακαί τε καὶ εὐναί;" ἀποκρίνεται "φυλακὰς δ' ἃς εἴρεαι ἥρως, οὔ τις κεκριμένη ῥύεται στρατὸς, οὐδὲ φυλάσσει· ὅσσαι μὲν Τρώων πυρὸς ἐσχάραι, οἷσιν ἀνάγκη, οἵ τ' ἐγρηγόρθασι, φυλασσέμεναί τε κέλονται ἀλλήλοις." τί γὰρ βούλεται τὸ "ὅσσαι μὲν πυρὸς ἐσχάραι," προδεδηλωμένου ὅτι πολλὰς πυρὰς ἔκαιον; ὃ ἀπορροῦντας οὐκ ἔστι ῥᾳδίως συνιδεῖν. λύοντες οὖν λέγομεν ἡμεῖς ὅτι τῶν ἐν τῷ πεδίῳ πυρῶν νῦν οὐ ποιεῖται τὸν λόγον, ἀλλὰ βούλεται εἰπεῖν ὡς ὅσοι Τρῶες αὐθιγενεῖς καὶ οὐ ξένοι, ἀλλ' ἑστίαν ἔχοντες, ὅπερ ἐν ἄλλοις περὶ τῶν αὐτῶν λέγει "Τρῶας μὲν λέξασθαι ἐφέστιοι ὅσσοι ἔασι" (Il. 2, 125), τουτέστιν ὅσοι πῦρ τε καὶ ἑστίας ἔχοντες, ὡς καὶ ἐν ἄλλοις "ἦλθε μὲν αὐτὸς ζωὸς ἐφέστιος" (Od. 23, 55), τουτέστιν εἰς τὴν αὐτοῦ ἑστίαν· ἑστία γὰρ ὁ οἶκος· ὃ γὰρ εἶπεν

codicis B auctoritate, in quo versui 10, 418 altera pars scholii inde ab verbis προδεδηλωμένου ὅτι πολλὰς πυράς usque ad verba prope extrema ἐφέστιον πῦρ ἔχοντες iterum est adscripta, multa cum scripturae diversitate, προδεδηλωμένου ὅτι πυρὰς πολλὰς ἔκαιον; ὃ ἀποροῦντας οὐκ ἔστι ῥᾳδίως συνιδεῖν. λύοντες οὖν ἡμεῖς λέγομεν ὅτι τῶν ἐν τῷ πεδίῳ πυρῶν νῦν οὐ ποιεῖσθαι τὸν λόγον, ἀλλὰ βούλεσθαι εἰπεῖν ὡς ὅσοι Τρῶες αὐθιγενεῖς καὶ οὐ ξένοι, ἀλλ' ἑστίαν ἔχοντες, ὅπερ ἐν ἄλλοις περὶ τῶν αὐτῶν λέγει "Τρῶας μὲν λέξασθαι ἐφέστιοι ὅσσοι ἔασι" (Il. 2, 125), τουτέστιν ὅσοι πῦρ τε καὶ ἑστίας ἔχοντες, ὡς καὶ ἐν ἄλλοις "ἦλθε μὲν αὐτὸς ζωὸς ἐφέστιος" (Od. 23, 55), τουτέστιν εἰς τὴν αὐτὴν ἑστίαν· ἑστία γὰρ ὁ οἶκος· ὃ γὰρ εἶπεν "ἦλθεν αὐτὸς ἐφέστιος" μεταλαβὼν ἔφη "ἦλθ' Ὀδυσσεὺς καὶ οἶκον ἱκάνετο" (ib. 7)· ὁ οὖν ἔχων οἰκίαν ἐφέστιος, ὁ δὲ ἄπολις καὶ φυγὰς "ἀφρήτωρ ἀθέμιστος ἀνέστιος" (Il. 9, 63)· καὶ ἐπὶ τοῦ εἰς ἀλλοτρίαν οἰκίαν οἰκοῦντος. καὶ τὰ νῦν ὅσοι πολῖται τῶν Τρώων καὶ ἐφέστιοι καὶ ἑστιούχῳ Διὶ θύουσιν, καὶ τὸ περὶ τῶν Φαιάκων εἰρημένον "πᾶσι γὰρ ἐφέστιόν ἐστιν ἑκάστῳ" (Od. 6, 265). τουτέστιν οὐδεὶς ξένος ἐστὶν ἐνταῦθα, ἀλλὰ πάντες πολῖται ἑστίας καὶ πῦρ ἔχοντες.

5. τηλέκλητοι] τηλέκλειτοι Scor.

8. δαὶ] δ' αἱ Scor.

14. Ante λύοντες lemma λύσις in Scor.

15. ποιεῖται—βούλεται Vill.] ποιεῖσθαι—βούλεσθαι

17. λέξασθαι Bekkerus] λέξασθε

ἐφέστιοι ὅσσοι ἔασι] Sic B ad 10, 418: sed ὅσοι ἐφέστιοι, omisso ἔασι, B et Scor. ad 8, 509.

"ἦλθε μὲν αὐτὸς ἐφέστιος," μεταλαβὼν ἔφη "ἦλθε δ' Ὀδυσσεὺς καὶ οἶκον ἱκάνετο" (ib. 7)· καὶ πάλιν ἀντὶ τοῦ οἶκος "ἑστίη τ' Ὀδυσῆος ἀμύμονος ἣν ἱκάνω" (Od. 14, 159). ὁ οὖν κεκτημένος οἰκίαν ἐφέστιος, ὁ δὲ ἄπολις καὶ φυγὰς "ἀφρήτωρ ἀθέμιστος ἀνέστιός ἐστιν ἐκεῖνος" (Il. 9, 63)· καὶ ἐπὶ τοῦ εἰς ἀλλοτρίαν οἰκίαν ἐνοικοῦντος "ἀλλ' ἐμὲ τὸν δύστηνον ἐφέστιον ἤγαγε δαίμων" (Od. 7, 248). τὸ οὖν "ὅσσαι μὲν Τρώων πυρὸς ἐσχάραι" δηλοῖ, ὅσσαι Τρώων ἑστίαι, ἐξ οὗ ὅσοι Τρώων ἐφέστιοι καὶ πολῖται καὶ ἑστιούχῳ Διὶ θύουσιν, ὥσπερ καὶ ὁ Φήμιος "Διὸς μεγάλου ποτὶ βωμὸν ἑρκείου" (Od. 22, 334) καταφεύγει, ᾧ δηλονότι κατὰ πᾶσαν τὴν ἡμέραν ἔθυον. ὅτι γὰρ τοὺς πολίτας εἶπε μὴ λείπειν ἐνταῦθα τῆς διὰ τοῦ πυρὸς ἐσχάρας, δηλοῖ τὰ ἐπαγόμενα "οἷσιν ἀνάγκη, οἵ τ' ἐγρηγόρθασι φυλασσέμεναί τε κέλονται ἀλλήλοις, ἀτὰρ αὖτε πολύκλητοι ἐπίκουροι εὔδουσι· Τρωσὶν γὰρ ἐπιτραπέουσι φυλάσσειν." ἐκ τούτων λύσεις καὶ τὸ περὶ τῶν Φαιάκων εἰρημένον "πᾶσι γὰρ ἐφέστιόν ἐστιν ἑκάστῳ" (Od. 6, 265). λέγει γάρ, οὐδεὶς ξένος ἐστὶν, ἀλλὰ πάντες πολῖται καὶ ἐφέστιον πῦρ ἔχοντες. διὰ δὲ τοῦ ψιλοῦ ἐξενήνεκται ὡς τὸ δέχεσθε δέκεσθε.

419. φυλασσέμεναί τε κέλονται] δῆλον ἐκ τούτου ὡς ἐξ ἐπιταγῆς ἡ φυλακή. ἐντεῦθεν οἱ νομοθέται γυναικονόμον ὁρίζουσιν αἱρεῖσθαι τὸν γεγαμηκότα, καὶ παιδονόμιον οὐκ ἄπαιδα, ἵνα ἐκ τῶν οἴκοι τὴν συμπάθειαν ἔχοντες πολλὴν ποιῶνται τὴν ἐπιμέλειαν. εὖ δὲ τὸ μὴ μόνον ἰδίᾳ ἕκαστον ἀγρυπνεῖν, ἀλλὰ καὶ ἀλλήλοις παρακελεύεσθαι, ἵνα ὁ τῷ ὕπνῳ νικώμενος ὑπὸ τοῦ πλησίον ἐγείρηται.

421. Τρωσὶν γὰρ ἐπιτραπέουσι φυλάσσειν] τὸ ἀσυμπαθὲς δηλοῖ τῶν βαρβάρων. εὐλόγως γὰρ ἀποκρίνεται· ἠρωτήθη γάρ.

424. ἕως τοῦ νῦν ἀναπαύειν δεῖ τὴν ἀνάγνωσιν, τὰ δὲ λοιπὰ ἀπὸ ἄλλης λέγειν ἀρχῆς κατ' ἐρώτησιν. τὸ δὲ ἑξῆς οὕτως· πῶς γὰρ νῦν εὕδουσι;

427. καὶ ταῦτα] καὶ πλείονα ἓν ἠρωτήθη λέγει, σύμβουλος γενόμενος τοῦ ὀλέθρου τῶν συμμάχων.

428. πρὸς μὲν ἁλὸς Κᾶρες] πρὸς σύγκρισιν τῆς Θύμβρης προστέθειται τὸ ἁλός. θαλασσοκράτορας δέ φασι πρώην Κᾶρας εἶναι.

431. Φρύγες] οἱ μὲν νεώτεροι συγχέουσι Φρύγας καὶ Τρῶας· φαίνεται δὲ ὁ ποιητὴς ἐπικούρους Τρώων αὐτοὺς καλῶν.

9. ὁ Φήμιος Scor.] ὁ Εὐφήμιος B. 10. ἑρκείου Scor.] ἕρκειον

433. εἰ γὰρ δὴ μέματον] οἱ μὲν περὶ Ὀδυσσέα οὐ τρανῶς ἐξέφηναν τὴν βούλησιν· ὁ δὲ συμβάλλεται αὐτῶν τῇ σκέψει, καὶ μιᾶς ψυχῆς ἀτυχίᾳ προδίδωσιν ὅλον τὸ συμμαχικόν.

434. οἵδ'] οἱονεὶ χειρὶ δείκνυσιν καθ' ὃν τόπον ἐστρατοπεδεύκασιν. ἀπάνευθε δὲ διὰ τὸ μὴ μεμῖχθαι τοῖς ἄλλοις. τὸ δὲ νεήλυδες πρὸς τὴν ἀπειρίαν τῶν τόπων καὶ τὴν πάρεσιν τὴν ἀπὸ τοῦ κόπου. ἔσχατοι δὲ Τρώων, ἀπὸ δὲ νεῶν πρῶτοι.

435. Ῥῆσος Στρυμόνος τοῦ ποταμοῦ Θρᾴκης καὶ Εὐτέρπης τῆς Μούσης υἱός. ἱστορεῖ δὲ Πίνδαρος (Fr. 181) ὅτι καὶ μίαν ἡμέραν πολεμήσας πρὸς Ἕλληνας μέγιστα αὐτοῖς ἀνεδείξατο κακά. κατὰ δὲ θείαν πρόνοιαν νυκτὸς αὐτὸν Διομήδης ἀναιρεῖ.

436. καλλίστους ἵππους] ὡς φίλιππος κἀκείνους ἐσκόπησε· κινδυνεύει γὰρ διὰ ἵππους· ἢ ὡς μέγιστα χαριζόμενος ἀντὶ τῆς ἰδίας ψυχῆς. τοσοῦτον δὲ ἀπέσχε τοῦ λαβεῖν ἵππους, ὅτι καὶ τῶν ἐν τῷ ἰδίῳ στρατοπέδῳ καλλίστων προδότης ἐγένετο.

437. δύο ὑπερβολὰς ἐνῆκεν ἐντέχνως, τὴν μὲν ἐξ ὑπερθέσεως, τὴν δὲ ἐξ ὁμοιώσεως, καὶ ἐφ' ἑκατέρας παρέλαβε τὸ οἰκεῖον· χιόνος μὲν γὰρ δύναταί τι λευκότερον γενέσθαι, ἀνέμου δὲ θᾶσσον οὐδέν. ἐπαινετέον δὲ καὶ τὴν φράσιν, ὅτι κατ' αἰτιατικὴν δυνάμενος εἰπεῖν λευκοτέρους χιόνος, καὶ τοῦ μέτρου ἐπιδεχομένου, θαυμαστικῶς κατ' ἰδίαν ἀνεφώνησε τὸν ἔπαινον, καὶ λείπει τὸ εἰσίν. οἱ δὲ πτώσεως μετάθεσιν τὸ τοιοῦτον ὠνόμασαν.

καὶ εἴ γε νεήλυδες ἦσαν πῶς ἐγίνωσκε τὸ τάχος; ἢ ὡς ἀκούσας, ἢ ὡς ἀποσεμνύνων πρὸς τὸ μὴ ἀναιρεθῆναι.

438. χρυσῷ] τὸ σμικροπρεπὲς τοῦ ἀνδρὸς ἄκρως κωμῳδεῖ, ὅτι περὶ χρυσὸν ἐπτόηται.

442. ἀλλ' ἐμὲ μὲν] πέπεισται ὅτι μέγιστα αὐτοῖς ἐχαρίσατο, καὶ ἐπὶ μαρτυρίαν πιστὴν κατέρχεται· εἰ γὰρ μὴ τοῦτο προσέθηκεν, εὐήθεις ἂν ἦσαν οἱ περὶ Διομήδην πιστεύσαντες αὐτῷ καὶ εἰς τοὺς Τρῶας παρελθόντες. δῆλον γὰρ ὡς οὐκ ἠπάτα, φυλάττεσθαι παρὰ τοῖς πολεμίοις μέλλων.

447. καὶ πῶς ᾔδεισαν αὐτοῦ τὸ ὄνομα; εἰκὸς ἦν ὡς κήρυκος υἱὸν πολλάκις συμπαρεῖναι τῷ πατρί, ἢ ἠρώτησαν κρατήσαντες.

* Πορφυρίου. ἀδύνατον τὸν οὕτω δῆλον μὴ γινώσκεσθαι ὑπὸ τῶν

4. *τόπον] τρόπον
10. ἀνεδείξατο] *ἀπεδείξατο. ἐνεδείξατο Eust. p. 817, 24.
34. * Πορφυρίου] om.

ἀριστέων. λύεται δὲ ἐκ τοῦ ἔθους. καὶ γὰρ πλούσιον αὐτὸν ὄντα εἰκὸς εἶναι διάδηλον· καὶ οὐκ ἂν ἦν ἐν τῷ συνεδρίῳ τοῦ Ἕκτορος μὴ τῶν ἐπιφανῶν ὤν· καὶ ἔστιν υἱὸς κήρυκος, τοῖς δὲ τοιούτοις εἰς τὰς ἀποστολὰς χρῆσθαι εἰώθασιν.

Ἑλληνικῶς ὁ κοινωνήσας αὐτῷ φιλανθρώποις λόγοις οὐ φονεύει, ἀλλ' ἄλλος.

450. ἦ τε καὶ ὕστερον] ἐπεὶ οὐχ Ἑλληνικὸν τὸ τὸν ἱκέτην ἀναιρεῖν, προφάσεις ἀναγκαίας περιέθηκεν. ἅμα δὲ καὶ ἄτοπον ἦν αὐτὸν πάλιν ὑποστρέφειν εἰς τὰς ναῦς. ἅμα δὲ καὶ ὡς προδότην ἀναιρεῖ· ὑπὸ γὰρ ἐκείνων μεμίσηται πρῶτον, οἷς τοὺς οἰκείους παρέδωκεν.

454. ὁ μέν μιν ἔμελλε] ἀνόητος ὁ μετὰ τοιαύτην ἀπόκρισιν λιπαρεῖν μέλλων. τάχιστα δὲ αὐτὸν ὁ ποιητὴς ἀναιρεῖ, ἵνα μὴ φθάσῃ γονυπετῶν.

457. φθεγγομένου] ἅμα τῷ ἄρξασθαι φωνὴν ἀφεῖναι, πρὶν σαφηνισθῆναι τὸ λεγόμενον· καὶ ἀνῆλθε μὲν τὸ πνεῦμα μέχρι τοῦ στόματος, καὶ τὸν τόπον ὅλον πληρῶσαν ἐξεχύθη τῇ τμήσει τῆς κεφαλῆς, ὡς εἰ καὶ σωλῆνά τινες μεστὸν ὕδατος διατέμοιεν, ἡ μὲν τῆς ἐπεισροῆς φορὰ εἴργεται, τὸ δὲ ἤδη διελθὸν ἐκχεῖται.

460. καὶ τά γ' Ἀθηναίη] διδάσκει τῶν κατορθουμένων αἴτιον τὸ θεῖον οἴεσθαι. καὶ τὸ ἐπίθετον δὲ οἰκεῖον τῷ καιρῷ, ἐκ τῆς πράξεως εἰλημμένον. οἰκείως δὲ φονεύει μὲν Διομήδης, ἀνατίθησι δ' Ὀδυσσεύς.

461. πανταχόθεν ἐκίνησε τὴν ἐνάργειαν, ἐκ τοῦ ἱκετεύειν μέλλοντος, ἐκ τῶν διακοπτομένων ἀθρόως τενόντων, ἐκ τῆς φθεγγομένης κεφαλῆς μετὰ τὸ πεσεῖν, ἐκ τοῦ σκυλεύοντος τὰ ὅπλα καὶ εἰς ὕψος ἀνέχοντος.

463. ἐπιδόσεων καὶ δώρων ἀξιώσομεν. προτρεπτικὸν δὲ τοῦτο εἰς συμμαχίαν.

473. τριστοιχεί] ἵνα ὦσι τρία τάγματα πρὸ Ῥήσου, ἀφ' ὧν ἑκάστου τέσσαρες ἄνδρες ἀναιροῦνται· τρισκαιδέκατος δὲ ὁ Ῥῆσος.

475. ἐπιδιφριὰς μέρος τοῦ δίφρου καθ' ὃ ἐπιβαίνειν εἰώθασιν. ἔγνωσαν δὲ ἢ ἀπὸ τοῦ τὸν Ῥῆσον μέσον εἶναι ἰδίᾳ, ἢ ἀπὸ τῆς τῶν ἵππων θέας.

10. παρέδωκεν] *προδέδωκεν 24. *ἐνάργειαν] ἐνέργειαν

479. * Πορφυρίου. φέρτερον τὸν κρείττω λέγει, τὸν φέρειν ἰσχύοντα, ποιήσας τοὔνομα ἀπὸ τοῦ φέρειν δύνασθαι μᾶλλον τὰ προσπίπτοντα. τούτου οἶν ἐν εἴδει ὁ ὁπλότερος, ὁ φέρειν μᾶλλον ὅπλων δυνάμενος. ἀντιφερίζει δὲ ὁ ἐξ ἐναντίας τῷ φέροντι ἀντιφερίζων τὸ ἴσον. τὸ δ' αὐτὸ καὶ ἰσοφαρίζει λέγει, ἤτοι ἀπὸ τῶν φερόντων ἐναντία ὅπλα, ἢ καὶ ἀπὸ τῶν ὑποζυγίων "ἥλικες ἰσοφόροι" (Od. 18, 373). ἀπὸ τοῦ φέρειν δὲ καὶ τὸ "ἀλλ' ἄγε δὴ πρόφερε κρατερὸν μένος," ὡς εἰ ἔλεγε τὸ ὅπλον· καὶ "μή μοι δῶρ' ἐρατὰ πρόφερε χρυσῆς Ἀφροδίτης" (Il. 3, 64).

480. δηλοῖ ὡς μᾶλλον ἐπιτηδειότερος ὢν εἰς τὸ φονεύειν τούτου λαβέσθαι ὀφείλει. εἶτα σοφῶς Διομήδει παρέχει τὴν αἵρεσιν.

εἰκότως τὸ μὲν εὐχερέστερον τῷ πρακτικῷ, τὸ δὲ δυσχερέστερον τῷ βουλευτικῷ δίδωσιν.

483. ἐπιστροφάδην] ἐπιστρέφων τὴν ὄψιν, ἵνα λάθῃ. ἢ τῇ καὶ τῇ, ὡς ἐπὶ Ἀχιλλέως· ὃ καὶ ἄμεινον. στόνος δὲ οἷον ὡς ἐν ὕπνῳ ἀναιρουμένων.

* μετ' ἐπιστροφῆς, ἐφ' ἑκάτερα τὰ μέρη στρεφόμενος.

* ἐπειδὰν τὸ πᾶν σύνταγμα πυκνώσαντες κατὰ παραστάτην καὶ ἐπιστάτην καθάπερ ἀνδρὸς ἑνὸς σῶμα ἐπὶ δόρυ ἢ ἐπ' ἀσπίδα ἐγκλίνωμεν, καθάπερ ἐπὶ κέντρῳ τῷ λοχαγῷ παντὸς τοῦ τάγματος περιενεχθέντος, καὶ μεταλαβόντες τόπον μὲν τὸν ἔμπροσθεν, ἐπιφάνειαν δὲ τὴν ἐκ δεξιῶν, διαμενόντων ἑκάστῳ τῶν τε παραστατῶν καὶ ἐπιστατῶν.

485. ὡς δὲ λέων] οἰκεία ἐπ' ἀμφοῖν τοῖν προσώποιν ἡ παραβολή· καὶ γὰρ οὗτοι τῆς ἐκ τοῦ βασιλέως φυλακῆς κοιμωμένου ἐστέρηντο.

490. τὸν δ' Ὀδυσεὺς] τὸ προγνωστικὸν καὶ φρόνιμον Ὀδυσσέως ἐνδείκνυται· ἐπὶ μὲν γὰρ ἄλλων ἵππων φησὶ "στείβοντες νέκυάς τε" (Il. 11, 534), ἐπὶ δὲ τῶν νεηλύδων καὶ μήπω πεπειραμένων πολέμου μεταφέρει τοὺς νεκρούς. ὃς δὲ τὸ τοῦ Ὀδυσσέως ἔλαβεν ὄνομα, σχῆμα κινῶν· ἐδύνατο γὰρ ἡ διάνοια καὶ ἅπαξ αὐτὸ ἔχειν

496. τοῦτο ἐπὶ τῶν ἀπὸ τοῦ ἤθους· ὅταν γάρ τις νυκτὸς κακῷ τινὶ περιπέσῃ, φαμὲν ὅτι κακὸν ὄναρ εἶδεν ὁ δεῖνα.

499. σὺν δ' ἤειρεν] συνέζευξεν αὐτοὺς τοῖς ἵμασι. τουτέστι

1. Πορφυρίου] om.
4. * ἀντιφερίζων] ἀντιφέρων
15. ὃ καὶ ἄμεινον repetit post ἀναιρουμένων
29. * ὃις] διὼ

συνημμένους καὶ οὐ καθ' ἕνα ἐξέφερεν, ὡς μὴ κατ' ἰδίαν αὐτῶν εἰθισμένων ἡνιοχεῖσθαι. καὶ ἔστι μὲν νησιώτης, τῇ δὲ πείρᾳ οὐ δευτερεύει τινός.

500. ἐπεὶ οὐ μάστιγα φαεινήν] ἀνθρωπίνως, ἵνα τοῖς λοιποῖς πιστεύσωμεν· οὐ γὰρ ἄτοπον ἐν τοιαύτῃ ταραχῇ παρεῖσθαί τι, καὶ τοῦτο οὐ τῶν ἀναγκαίων. ἀλλὰ καὶ ὅμως ἀντ' αὐτοῦ Ὀδυσσεὺς μεμηχάνηται.

502. ἄναρθρον καὶ βαρβαρικὴν φωνὴν μιμούμενος, ὥστε μηδένα τῶν πολεμίων, εἰ τύχοι τις ἐγρηγορώς, αἰσθέσθαι. οὐ γὰρ συμπαρεῖναι αὐτῷ ἐδύνατο, ἐλάσας πόρρω τοὺς ἵππους.

503. αὐτὰρ ὁ μερμήριζε] φιλότιμος γὰρ ὢν καὶ νέος δυσαπαλλάκτως εἶχε τοῦ ἐρήματος.

505, 506. δύο εἰσὶ βουλαί, ἢ εἰς Θρᾴκας τραπῆναι ἢ τὸν δίφρον ἀφελέσθαι· τὸ δὲ περὶ τοῦ δίφρου εἰς δύο διήρηται, ἢ ἑλκύσαι αὐτὸν ἢ βαστάσαι. ἀλλ' οὐδὲν τούτων ἀκίνδυνον ἦν σωθῆναι αὐτόν.

509. νόστου δὴ μνῆσαι] ὅτι δεῖ μάλιστα ἐν ταῖς εὐτυχίαις τὸ μέλλον σκοπεῖν, καὶ μὴ ἁπλήστως χρῆσθαι αὐταῖς. τοῦτον δ' εἶχε τὸν νοῦν Ὀδυσσεύς· διὸ ῥοιζήσας καλεῖ Διομήδην.

510. οὐ μόνον διὰ τοῦ πεφοβημένος, ἀλλὰ καὶ διὰ τοῦ θεός ἐκθειματοῖ. τὸ δὲ ἄλλος ἐσήμανεν ὅτι καὶ αὐτὴ θεός ἐστιν.

513. κέλησι μὲν οὐδ' ἐν τοῖς ἀγῶσιν εἰσάγει χρωμένους· νῦν δὲ διὰ τὴν χρείαν.

515. πῶς οὐκ ἀλαός ἐστι τοσούτων πεφυευμένων; οὐ λέγει ὅτι ἐφύλασσε τὰ πρασσόμενα· πεκεκήρυκτο γὰρ ὑπὸ Διὸς μηδένα μηδενὶ στρατεύματι βοηθεῖν· ἀλλ' ὡς εἶδεν ἐλθοῦσαν Ἀθηνᾶν πρὸς Διομήδην, καὶ αὐτὸς ἦλθε. βραδέως δὲ ἐνεργεῖ, δεδιὼς Δία, ἡ δὲ Ἀθηνᾶ ταχέως. εἴωθε γὰρ παραβαίνειν τὰς ἐντολὰς Διός.

519. Ῥῆσου ἀνεψιόν] οἰκτρὸν τὸ τὸν ἴδιον ἀνεψιὸν ἐπισκέψασθαι τὸ δεινόν. οὐ μὴν δὲ θρήνους περιτίθησι, καίτοι εὐπορῶν, ἀλλ' ἐν ἑτέρῳ μέρει τῆς ποιήσεως τηρεῖ αὐτοὺς ἐπὶ Ἕκτορι τεθνεῶτι.

522. ὀνόμηνεν] ἀνεκαλέσατο· τοῦτο γὰρ συμβαίνει τοῖς ἐκπληττομένοις.

523. Τρώων δὲ κλαγγή] ἄκρως τοὺς ἐπτοημένους παρέστησε διὰ τῆς βοῆς καὶ τοῦ θορύβου καὶ τῆς ἐπὶ τὸ αὐτὸ συνδρομῆς.

524. θηεῦντο δὲ] τὸ θαῦμα τῶν θεωμένων τὸ δεινὸν ὑποφαίνει τῶν δραθέντων· ἀγνοοῦντες γὰρ ὅθεν ἡ ἐρημία ἐθαύμαζον.

532. Νέστωρ δὲ πρῶτος] εἰκότως· τῶν φρονιμωτέρων γὰρ αἱ αἰσθήσεις ὀξύτεραι. ἢ καὶ ὅτι τῶν ἄλλων μᾶλλον προσεῖχεν ὡς ἂν τῆς ἐκπομπῆς τῶν κατασκόπων τὴν αἰτίαν ἐπιφερόμενος· ἔοικεν οὖν παρακαλεῖν ὁ ποιητὴς μή τινα καταφρονεῖν γήρως, συνέσεις γὰρ ἔχει πλείονας καὶ ἀρείονας.

*πρῶτος τοῦ ψόφου τῶν ποδῶν ἤσθετο ἀγωνιῶν διὰ τὸ αὐτὸν εἰσηγητὴν γεγονέναι τῆς κατασκοπῆς. ὡς οὖν γνώμην δοὺς εἰς τὸ ἐκπεμφθῆναι τοὺς ἄνδρας οὐ μόνον ἠγωνία περὶ αὐτῶν, ἀλλὰ καὶ τῇ ψυχῇ συνεπεδήμει αὐτοῖς.

534. ψεύσομαι ἢ ἔτυμον ἐρέω] ἐν ἀμφιβόλῳ αὐτὸ ἐᾷ, ἵνα ἐπιτυχὼν μὲν δοξασθῇ, ἀποτυχὼν δὲ μὴ ἐλεγχθῇ.

536, 537. αἰ γὰρ] δι' εὐχῆς ἐσήμανε τὴν ἰδίαν ὑπόνοιαν. τὸ δὲ ἄφαρ ἀπιστοῦντός ἐστιν εἰ ἐν τοιούτῳ καιρῷ τοιαῦτα πεπράχασιν.

538. ἀνθρωπίνως οὐκ ὤκνησε καὶ τῶν ἀπευκταίων τι λαβεῖν· μεγαλοφυῶς δὲ προαναιρῶν τὴν αἰσχύνην φησὶν ὑπὸ Τρώων ὀρυμαγδοῦ.

544. ὦ πολίαιν' Ὀδυσεῦ] Διομήδην ἐάσας τὸν προηγουμένως ἀποσταλέντα, παρ' Ὀδυσσέως πυνθάνεται ὡς συνετωτέρου.

546. πόρεν θεός] εὐφραντικὰ ταῦτα τοῦ ἀκροατοῦ. λέγει δὲ ἢ διὰ τὸ κάλλος, ἢ διὰ τὸ ἀμήχανον εἶναι δύο εἰς σκοπὴν ἀπελθόντας τοιαῦτα λαβεῖν λάφυρα.

547. διὰ τῆς μεταβάσεως τῶν πτώσεων ἡ τοῦ θαυμάζοντος ἔκπληξις δηλοῦται, μὴ μετὰ στοχασμοῦ αὐτοῖς ὁμιλοῦντος.

550. ῥεῖα θεός] αἰδημόνως οὐκ ἀνασκευάζει τὴν ὑπόνοιαν τοῦ γέροντος, ἀλλ' αὔξει μᾶλλον τὰ θεῶν εὐσεβῶς.

559. Θρήικιοι] ἀπὸ τῶν ἵππων ἀρξάμενος δικαίως Ῥῆσον καὶ Θρᾷκας συνῆψεν, εἶτα Δόλωνα, ἀναστρέφων τὴν διήγησιν. οὐδὲ ἐν τῇ ἀπελάσει δὲ τῶν ἵππων ἑαυτὸν συμπεριέλαβεν.

560. ἀρίστους] οὐ γὰρ ἂν συνεκοιμῶντο τῷ βασιλεῖ, εἰ μὴ ἄριστοι ἐτύγχανον.

561. πῶς τοῦ Ῥήσου καὶ τῶν δώδεκα ἑταίρων συναριθμουμένων τρισκαιδέκατός ἐστιν ὁ Δόλων; δῆλον οὖν ὅτι τὸν Ῥῆσον κατ' ἐξοχὴν ὑπεξεῖλεν.

*Πορφυρίου. πῶς εἰπὼν "ἀλλ' ὅτε δὴ βασιλῆα κιχήσατο, τὸν τρισκαιδέκατον μελιηδέα θυμὸν ἀπηύρα" (494) πάλιν διηγούμενος

34. * Πορφυρίου] om.

τὰ συμβάντα φησὶ "τὸν τρισκαιδέκατον σκοπὸν εἵλομεν;" ὁ γὰρ Δόλων τοῖς τρισκαίδεκα συναριθμούμενος τῶν Θρᾳκῶν τεσσαρεσκαιδέκατος ἂν εἴη. δηλονότι τὸν Ῥῆσον ἐξελὼν καὶ δώδεκα τοὺς ἑταίρους τοῦ Ῥήσου, τρισκαιδέκατον μετὰ τῶν ἑταίρων τοῦ Ῥήσου εἰκότως τὸν Δόλωνα κατηριθμήσατο. τί γὰρ φησίν; "ἵπποι δ' οἵδε, γεραιέ, νεήλυδες οὓς ἐρεείνεις, Θρηΐκιοι, τὸν δὲ σφιν ἄνακτ' ἀγαθὸς Διομήδης ἔκτανε." τοῦτον μὲν καθ' ἑαυτὸν χωρίσας ὠνόμασεν, εἶτ' ἐπάγει "πὰρ δ' ἑτάρους δυοκαίδεκα," μεθ' ὧν ἐξῃρημένου τοῦ βασιλέως τὸν τρισκαιδέκατον σκοπὸν εἵλομεν. καὶ αὐτὸς δ' ἐπεσημήνατο ὅτι παρὰ τὸν Ῥῆσον ἀριθμεῖται τοὺς ἑταίρους καὶ οὐ σὺν τούτῳ καταλέγει τοὺς ἄλλους· ἔφη γὰρ "τὸν δὲ σφιν ἄνακτα ἀγαθὸς Διομήδης ἔκτανε, πὰρ δ' ἑτάρους δυοκαίδεκα," ιβ' μὲν τοὺς ἑταίρους, τὸν δὲ σκοπὸν τρισκαιδέκατον. ἑαυτὸν δὲ κοινωνὸν θεὶς τῆς λήψεως τοῦ σκοποῦ, οὐκ ἔφη ἀπεκτείναμεν, ἀλλὰ εἵλομεν, ἐπεὶ ὥσπερ καὶ τοὺς ἄλλους Διομήδης ἀνεῖλε, συνέλαβε δὲ τὸν σκοπὸν Διομήδει Ὀδυσσεύς. καὶ Ὅμηρος ἀεὶ τοὺς βασιλεῖς τῶν στρατιωτῶν χωρίζει κατ' ἐξοχήν. ἔθει οὖν κατὰ τὸν ἀριθμὸν κεχώρισται ὁ Ῥῆσος, ὡς ἐπὶ τοῦ "Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα" (Il. 13, 1).

εἵλομεν] ἐκοινώνησε γὰρ καὶ αὐτὸς τῷ φόνῳ τοῦ Δόλωνος. ἐπιεικὲς δὲ κἀν τούτῳ ἐμφαίνει ἦθος Ὀδυσσεύς· οὐ γὰρ εἶπεν ἐκτείναμεν, διὰ τὸ ὑπὸ Διομήδους πληγέντα θανεῖν τὸν Δόλωνα, ἀλλ' εἵλομεν.

562. τόν ῥα διοπτῆρα] ὑπόνοιαν δίδωσιν ὅτι καὶ περὶ τῶν ἄλλων μεμάθηκε παρὰ Δόλωνος, σιωπᾷ δὲ διὰ τὸν καιρόν.

564. τάφροιο διήλασε] καλῶς ἀνεῖρξε τῶν πολλῶν τὰς ἐρωτήσεις, τῆς περὶ τὰς ναῦς ἄρξας ἐπανόδου· οὐ γὰρ τοσαύτην κίνησιν ἔχει τὰ λυπηρὰ ὁπόσην τὰ ἡδέα.

568. Διομήδεος ἵπποι] αὐτοῦ γὰρ τὸ κατόρθωμα· ὁ δὲ δεισιδαίμων Ὀδυσσεὺς τὰ ἀφιερωμένα τῇ θεῷ λαμβάνει.

570. *ἔναρα μὲν πάντα τὰ ὅπλα περιεκτικῶς λέγονται, κυρίως δὲ ὅσα ἤγαγε καὶ συνήρμοσεν, ἤγουν ὁ θώραξ καὶ ἡ κυνέη καὶ αἱ κνημῖδες.

571. ὄφρ'] ἀντὶ τοῦ ἕως. ὁ δὲ νοῦς, ἕως εὐπορήσαντες ἱερεῖα ἀναθῶσιν Ἀθηνᾷ. τὸ δὲ ἑτοιμασαίατο ἀντὶ τοῦ ἑτοιμάσαιντο.

573. βραχεῖα διαστολὴ εἰς τὸ ἐσβάντες, καὶ κοινὸν τὸ ἀμφί· τὸν ἀμφὶ τὰς κνήμας ἱδρῶ καὶ τὸν λόφον.

12. *iβ'* addidit Vill.

576. *ἀσαμίνθους] λεκάνας, παρὰ τὸ τὴν ἄσαν ἤγουν τὸν ῥύπον μινύθειν, ὅ ἐστιν ἐλαττοῦν καὶ μειοῦν.

577. τὼ δὲ λοεσσαμένω] διὰ τὸν κάματον θεραπείας αὐτοῖς τοῦ σώματος ἔδει. ἄλλως τε καὶ μέλλουσιν ἐξιέναι ἐπὶ τὸν πόλεμον.

578. δείπνῳ ἐφιζανέτην] κατὰ τὸ σιωπώμενον τὸ ἱερεῖον σφάξαντες ἀνατιθέασι τὰ δῶρα, ὕστερον δὲ εὐωχοῦνται.

ΕΙΣ ΤΗΝ Λ.

1. ὡς φιλέλλην ὁ ποιητὴς μέχρι τῶν νεῶν τοὺς Ἕλληνας συνελάσας, καὶ ἐπαυλιζομένους ταῖς ναυσὶ ποιήσας τοὺς βαρβάρους, οὐκ εὐθέως τειχομαχίαν ἐποίησεν οὐδὲ τὴν ἐπὶ ταῖς ναυσὶ μάχην, ὅπερ καὶ κατὰ δόξαν ἦν τοῖς ἀκροωμένοις, ἀλλὰ πρότερον τὴν Ἀγαμέμνονος ἀριστείαν διέγραψε, καὶ μετ' αὐτὴν τὴν τῶν ἄλλων ἀριστέων, εἶτα ἐπειδὴ τοὺς ἀρίστους ἐπὶ τὰς ναῦς ἀπέστειλε τρωθέντας, τότε τοὺς Ἕλληνας ἐποίησεν ἡττωμένους. ἐπειδὴ δὲ μεμνωμένους τοὺς Ἕλληνας ἀπίθανον ἦν παρεισάγειν ἀνδραγαθοῦντας ἔωθεν, εὐλόγως ἡ νὺξ παραμυθεῖται αὐτῶν τὴν ἧτταν, καὶ τοσοῦτον ὡς συνωθῆσαι πάλιν μέχρι τείχους τοὺς Τρῶας, ἄχρις ὅτου τῆς τοῦ Διὸς τύχωσιν ἐπικουρίας· ἐπιδείκνυσι γὰρ ὅτι τύχαις, οὐ γνώμαις ἐλείποντο Ἕλληνες. δικαίως μὲν οὖν Ἀγαμέμνων ἀριστεύει· θαρροῦντα μὲν γὰρ τοῖς πράγμασιν οὐκ εὔλογον ἦν αὐτὸν ἐπὶ τοὺς κινδύνους φέρεσθαι, ἀλλὰ διὰ τὴν ἡγεμονίαν ἀσφαλέστερον μᾶλλον ἢ φιλοκινδυνότερον ἀγωνίζεσθαι· ἐπὶ ξυροῦ δὲ νῦν, καὶ ταῦτα δι' αὐτὸν, ὄντων Ἑλλήνων ἀναγκαίως κινδυνεύει. γέγονε δὲ ἀντίστροφα τὰ πράγματα· καὶ Διομήδης γὰρ ὑπ' Ἀγαμέμνονος ὀνειδισθεὶς εὐδοκιμεῖ, καὶ πάλιν Ἀγαμέμνων ὑπὸ Διομήδους· Ἕκτωρ δὲ μεγάλα ὑπισχνούμενος διώκεται.

*Τιθωνὸς Λαομέδοντός ἐστι παῖς, ἀδελφὸς Πριάμου, Ἡμέρας σύνευνος.

τὸ δὲ Ἠὼς δ' ἐκ λεχέων νομιστέον, ὅτι ἀπὸ τοῦ ἡλίου ἡμέρα γίνεται. Τιθωνοῖο δὲ, οἱονεὶ Τιτανοῖο· Τιτὰν γὰρ ὁ Ἀπόλλων, ὅτι ἀπὸ Λητοῦς. τοῦτον δὲ καὶ ἥλιον νενομίκαμεν. ἐκ λεχέων δὲ, ὅτι σὺν αὐτῷ ἀεὶ θεωρεῖται· ἡμέρα γάρ ἐστι πεφωτισμένος ἀὴρ ἡλίου ὑπὲρ γῆν ὄντος.

1. ἄσαν] *ἄσην 12. *τὴν τῶν] τὴν om. 30. *Τιτανοῖο] τιτωνοῖο

Ἱερώνυμός φησι τὸν Τιθωνὸν αἰτήσασθαι ἀθανασίαν παρὰ τῆς Ἠοῦς, οὐ μέντοι καὶ ἀγηρασίαν· ὡς δὲ πολλῷ τῷ γήρᾳ χρώμενος ἐδυσφόρει, αἰτήσασθαι θάνατον· τὴν δὲ ἀδυνατοῦσαν εἰς τέττιγα αὐτὸν μεταβαλεῖν, ὅπως ἥδοιτο διηνεκῶς τῆς φωνῆς ἀκούουσα. ἀγαυοῦ δὲ ἤτοι ἀγαστοῦ ἐπὶ τῷ κάλλει. τινὲς δὲ παρειλῆφθαί φασι τὸν Τιθωνὸν διὰ τὸ εὐημερεῖν Τρῶας. ἔστιν οὖν ἡ περίφρασις ποιητική· τοῦτο γὰρ διαλλάττει τῆς ῥητορικῆς, ἧς ἡ μὲν τὸ πεζὸν οἶδεν, ἡ δὲ φεύγει αὐτό.

2. ἀθανάτοισι] ἀθανάτους νῦν οὐχὶ τὰ οὐράνια ἀκουστέον (ἀεὶ γὰρ ἐν φωτί εἰσιν), ἀλλ' ἤτοι τὰ στοιχεῖα ἢ τὰ περὶ γῆν θειότερα ζῷα καὶ ἀέρια. ἢ ἐπεὶ ἐν τῷ Ὀλύμπῳ ὑποτίθεται ὁ ποιητὴς οἰκεῖν τοὺς θεούς, ὄρος δὲ ὁ Ὄλυμπος, ἁρμοδίως τῷ πλάσματί φησιν αὐτοὺς καὶ ἐν σκότῳ ποτὲ εἶναι.

3. Ζεὺς δ' Ἔριδα] ἀγῶνας πάλιν τῇ ποιήσει κινῶν Δία παρορμᾶν τὸ Ἑλληνικόν φησιν· οὐ γὰρ ἂν καταπτήξαντες προῆλθον εἰς μάχην. τοὺς δὲ Τρῶας ἐγεῖραι ἱκανὸν ἦν τὸ ἐκ τῆς προγενομένης νυκτὸς θάρσος.

4. *πολέμοιο τέρας] οἱ μὲν τὸν πόλεμον, οἱ δὲ ἀστραπὴν, οἱ δὲ δόρυ, οἱ δὲ Ἶριν.

13. τοῖσι δ' ἄφαρ] δεδήλωκε τὴν πρώην αὐτῶν ὁρμὴν ἐγειρομένην· κακωθεῖσι γὰρ οὐδὲν ἕτερον ἦν πρὸ ὀφθαλμῶν ἢ τὸ φεύγειν.

16. ἐν δ' αὐτὸς] οὐ γὰρ ἐπιτάσσων, ἀλλὰ ποιῶν προθύμους ἔχει τοὺς ὑπηκόους.

20. Κινύρης] οὗτος Βίαντος μὲν ἦν παῖς, βασιλεὺς δὲ Κύπρου. ζάπλουτος δὲ ὢν παριόντας Ἕλληνας ἐξένισε, καὶ ὑπέσχετο αὐτοῖς ἐν Ἰλίῳ πέμψειν τὰ πρὸς τὸν βίον. φασὶ δὲ αὐτὸν ἀμελήσαντα τῶν ὑποσχέσεων καταραθῆναι ὑπὸ Ἀγαμέμνονος, καὶ αὐτὸν μὲν ὑπὸ Ἀπόλλωνος ἀναιρεθῆναι, ἐπείπερ ἠμιλλᾶτο αὐτῷ εἰς μουσικήν, τὰς δὲ θυγατέρας αὐτοῦ πεντήκοντα οὔσας ἁλέσθαι εἰς θάλασσαν. ἀφεστήκασι μὲν οὖν Κύπριοι Ἑλλήνων, καὶ ὡς μὴ συντελοῦντες εἰς Ἕλληνας οὐδὲ συστρατεύουσιν. οἰκειοῦνται δὲ δώροις τὴν Ἑλλήνων φιλίαν· οὐ γὰρ ὑπὲρ τοῦ μὴ στρατεῦσαι τὰ δῶρα διδόασιν, ἀλλὰ χαριζόμενοι, φησὶ, βασιλῆϊ· ἠκούετο γὰρ, φησὶν, εἰς Κύπρον τὸ μέγα κλέος.

24. οἷμοι μὲν αἱ ὁδοὶ, νῦν δὲ αἱ ὀρθαὶ ῥάβδοι· ἢ ὡς ἐζωσμέναι, ὃ καὶ ἄμεινον. παραλλήλους δὲ λάβωμεν τὰς ῥάβδους, ἵν' ᾖ ποικίλον

καὶ βασιλικὸν τὸ φόρημα. ὑποστατέον δὲ προκεῖσθαι μὲν κυανέαν ῥάβδον, εἶτα κασσιτερίνην, μετ' αὐτὴν δὲ τὴν χρυσῆν ἐν διαστάσει, καὶ πάλιν κασσιτερίνην, εἶτα πάλιν κυανέαν ἀκολούθως· τὰς δὲ περὶ τὸν τράχηλον δύο χρυσᾶς πρὸς κόσμον.

26. ὀρωρέχατο ποτὶ δειρήν] ὥστε σκέπειν τὰ ἀσκέπαστα. φησὶ γὰρ "ὅθι κληῖδες καὶ στῆθος φαίνετο, βεβλήκει ὑπὲρ ἄντυγος ἀγχόθι δειρῆς" (Π. 22, 324). ἔστι δὲ περὶ ἑκατέραν κλεῖν εἷς, μέσον δὲ εἷς, εἷς εἰς τὸν πρηγορεῶνα. ἐμψύχους δὲ παρίστησιν αὐτοὺς διὰ τοῦ ὀρωρέχατο. τὸ δὲ ἑκάτερθεν πῶς συντακτέον; δῆλον ὅτι ἓξ ἦσαν οἱ δράκοντες, ἐξ ἑκατέρου μέρους τοῦ θώρακος τρεῖς ἀναφερόμενοι, καὶ τὰς τέσσαρας κεφαλὰς συμπλέκοντες, ἀνατείνοντες δὲ τὰς δύο.

27. Ἴριννιν ἐοικότες] τῷ κυρτώματι ἢ τῷ χρώματι· φησὶ γὰρ Ξενοφάνης "ἥν τ' Ἶριν καλέουσι, νέφος καὶ τοῦτο πέφυκε πορφύρεον καὶ φοινίκεον καὶ χλωρὸν ἰδέσθαι." ἢ πρὸς τὴν διάστασιν αὐτῶν ἡ ὁμοίωσις.

28. τέρας μερόπων ἀνθρώπων] καὶ ἐπὶ τῶν διαττόντων διδάσκει ὅτι οὐκ αὐτόματά εἰσιν, ἀλλ' ὑπὸ θείαν αἰτίαν.

36. Γοργὼ] γοργότητά τινα καὶ κατάπληξιν τῶν ὁρώντων. τὸν γὰρ περὶ Γοργοῦς μῦθον Ἡσίοδος ἔπλασεν.

40. ἀμφιστεφέες] ἀλλήλαις περιπεπλεγμέναι, διὰ τὸ ἑνὸς αὐχένος εἶναι. ἢ εἰς ἀλλήλας ἀπεστραμμέναι.

45. ἐπὶ δ' ἐγδούπησαν] οὐ μόνον τῇ ὁπλίσει, ἀλλὰ καὶ ταῖς διασημίαις προφαντάζει τὸν ἀκροατήν.

48. ἵππους εὖ κατὰ κόσμον] ἐντειλάμενοι τοῖς ἡνιόχοις οἱ παραβάται ἐπὶ τῇ τάφρῳ σὺν τοῖς ἵπποις ἀναμένειν αὐτούς, ἐν ὅσῳ τοὺς ἵππους ἐκεῖνοι ζευγνύουσι καὶ αὐτοὶ ἅμα αὐτοῖς διαβαίνουσι τὴν τάφρον.

51. μεθ' ἱππήων] ἔφθασαν οἱ πεζοὶ ἐν τῇ τάφρῳ μετὰ τῶν ἵππων κοσμηθέντες, δηλονότι ἐάσαντες τοὺς πεζοὺς τοῖς ἵπποις καὶ τὰ ἅρματα πρὸς τὸ ἀγαγεῖν αὐτά.

53. ὦρσε κακὸν Κρονίδης] ὁ Ζεὺς αὐτοὺς προτρέπεται, ὅπως ἐξελθόντων καὶ τρωθέντων ἐξαγάγοι Πάτροκλον.

*Πορφυρίου. ἐζήτηται πῶς ἐνεδέχετο ἔχειν τὰς νεφέλας αἷμα.

23. * διασημίαις] δημοσίαις 34. *Πορφυρίου] om.

ῥητέον οὖν ὅτι τὸ τοῦ ὕδατος λεπτότατον καὶ κουφότατον ἁρπάσαν τὸ πῦρ τὸ τοῦ ἡλίου μετέωρον ἐξήρανε καὶ κατέμιξε τῷ ἀέρι, καὶ τὸ μὲν θολερὸν αὐτοῦ καὶ βαρὺ ἐκκριθὲν ὁμίχλη γίνεται, τὸ δὲ καθαρώτατον καὶ κουφότατον γλυκαίνεται καταλελειμμένον ἕψοντος τοῦ ἡλίου καὶ καίοντος· εἰ γὰρ καὶ τὰ ἄλλα τοῦ ὕδατος, ἐὰν ᾖ ἁλμυρά, τὸ παρ' ἡμῖν πῦρ γλυκέα ἀπεργάζεται, τί χρὴ προσδοκᾶν πυρὸς ὅπερ ἥλιον λέγομεν; τὸ ἀναπεμφθὲν οὖν τοῦτο ὕδωρ μέχρι διεσκέδασται μετέωρον φερόμενον, ὅταν εἰς τὸ αὐτὸ συστραφῇ βαρύμενον, κάτω φέρεται καὶ ὄμβρος γίνεται. καὶ ἡ αἰτία· ὅταν νέφεσιν ἐλαυνομένοις ὑπ' ἀνέμου ἐμπέσῃ πνεῦμα ἐναντίον καὶ νέφη ἕτερα ὑπὸ τούτου διωκόμενα, τὰ μὲν πρῶτα συστρέφεται, τὰ δ' ὄπισθεν αὐτοῖς ἐπιφερόμενα παχύνεται καὶ μελαίνεται, καὶ καταρραγέντα ὑπὸ τοῦ βάρους ὄμβρον ἐγέννησεν. εἴπερ οὖν οἱ ποταμοί, πολλοῦ κατ' αὐτοὺς συντελουμένου τοῦ φόνου, ἦσαν αἵματος ἀνάπλεοι, εἰκότως τὸ ἀναφερόμενον ἀπ' αὐτῶν ὕδωρ γίνεται ὄμβρος αἱματώδης· καὶ τοῦτο μυθῶδες δοκοῦν οὐκ ἀποφεύγει τὸ πιθανόν.

ὅτι σύνεγγύς ἐστιν ὁ ἀὴρ τοῦ αἰθέρος. ἢ ὅτι Διός ἐστιν ἔργον τὸ τοιοῦτον καὶ οὐχ ὑετός· διὸ καὶ ἐνήλλακται. ἠμαγμέναι δέ εἰσιν αἱ σταγόνες, ἐπειδὴ καὶ οἱ περὶ Τροίαν ποταμοὶ ἐκ τῶν ἀναιρουμένων αἱματώδεις ἦσαν.

58. ὃς Τρωσί] οὐ μάτην ἡ προσθήκη, ἀλλ' ἐμφαίνει τὴν τάξιν τῶν ἀνδρῶν· μετὰ γὰρ Ἕκτορα οὗτος δεύτερος. διὸ καὶ ζηλοτυπία τις ἦν ἐν αὐτοῖς· φησὶ γὰρ "αἰεὶ γὰρ Πριάμῳ ἐπεμήνιε δίῳ, οὕνεκ' ἄρ' ἐσθλὸν ἐόντα μετ' ἀνδράσιν οὔ τι τίεσκεν" (Il. 13, 460).

61. ἀσπίδα παντόσ' εἴσηη] οἷός τε ἦν ὁ ποιητὴς, διελθὼν περὶ τῆς Ἀγαμέμνονος ἀσπίδος, ἐκφράσαι καὶ τὴν Ἕκτορος· ἀλλὰ τῇ παραβολῇ τὸ κίνημά γε καὶ λαμπρὸν τῶν ὅπλων ἐσήμανεν. ἴσως δέ τινα τῶν κομητῶν ἀστέρων φησὶ, καὶ τὴν φθορὰν προδηλοῖ.

62. οἷος δ' ἐκ νεφέων] ἐμφερεστάτη ἡ εἰκὼν πρός τε τὴν λαμπρότητα καὶ τὸ μὴ διηνεκῶς φαίνεσθαι, ἀλλ' ἔσθ' ὅτε καὶ ἀποκρύπτεσθαι. ὥσπερ οὖν ὁ ἀστὴρ ἐν τῇ κινήσει ἐνίοτε καὶ ὑπονέφελος γίνεται, οὕτω καὶ Ἕκτορά φησι καὶ ἀπολάμπεσθαι τοῖς ὅπλοις καὶ ἀποκρύπτεσθαι ὑπὸ τοῦ πλήθους, ἄλλοτε ἐπ' ἄλλα μέρη φαινόμενον.

*οὖλιος] ὁ ὀλέθρου σημαντικός. λέγει δὲ τὸν κύνα, περὶ οὗ καὶ

11. αὐτοῖς] ἀὖ
13. ἐγέννησεν Vill.] ἐγένησαν
15. ἀπ' Bekk.] ὑπ'
23. *ἐν] om.

ἀλλαχόσε φησὶν ὁ ποιητὴς "καί τε φέρει πουλὺν πυρετὸν δειλοῖσι βροτοῖσιν" (Il. 22, 31). ἴσως δὲ οὐ τὸν κύνα λέγει, ἀλλὰ τῶν κομητῶν ἕνα· καὶ διὰ τοῦτο οὔλιος, ὅτι ὄλεθρον προδηλῶν, ὥστε Ὅμηρος πρότερον καὶ κομητῶν γένεσιν παρέδωκεν, ὅτι γίνονται ἐξ ἀπέπτου καὶ νοσώδους ἀέρος, ἀναχθέντος εἰς αἰθέρα καὶ πιληθέντος αὐτόθι καὶ ἀγωγὴν κυκλοτερῆ λαβόντος διὰ τὴν προσβάλλουσαν αὐτῷ ἀπό τε τοῦ ἡλίου καὶ τῶν ἄλλων ἀστέρων λαμπηδόνα.

67. ὥστ' ἀμητῆρες] τοὺς μαχομένους ξίφεσι καὶ δόρασι τοῖς θερίζουσι διὰ τῶν δρεπάνων εἰκότως παρείκασεν.

ἐναντίοι ἀλλήλοισιν] τὸ παλαιὸν γὰρ οὕτως ἐθέριζον, ἀπὸ τῶν περάτων ἀρχόμενοι καὶ εἰς τὰ μέσα τελευτῶντες. τὸ δὲ ἐλαύνοντες πρὸς τὴν σύντομον ἀναίρεσιν. ἐν πλατεῖ δὲ λῄῳ εἰκός ἐστι πολλοὺς ἐργάζεσθαι.

69. ταρφέα] τὸ εὐχερὲς καὶ δυσαρίθμητον τῶν πιπτόντων δηλοῖ.

72. ἰσοκέφαλος ἦν αὐτοῖς ἡ μάχη. λύκοι δὲ διὰ τὸ πρόθυμον καὶ κατὰ τὸ πλῆθος δραστικόν· ὁ γὰρ λέων μόνος ἀγωνίζεται.

76. ἐνὶ μεγάροισι καθείατο] οὐδὲ ὁρᾶν δυνάμενοι τὴν μάχην διὰ τὸ ἐλαθῆναι ὑπὸ Διός. θαυμαστῶς οὖν τέως ἰσορροποῦσιν Ἕλληνες, καὶ ταῦτα ἀπὸ δυστυχίας ὄντες· μετ' οὐ πολὺ δὲ καὶ περιέσονται τῶν Τρώων.

84. ἱερὸν ἦμαρ] ἱερὸν καλεῖται τὸ ἕως μεσημβρίας, ἡνίκα αἱ θυσίαι γίνονται καὶ τὰ πρακτικὰ πάντα.

86. ἦμος δὲ δρυτόμος] ἄκρως τὸν καιρὸν ἐδήλωσεν, ἀπὸ τῶν κατειθισμένων καὶ πᾶσι γνωρίμων τὴν δήλωσιν ποιησάμενος· οὔπω γὰρ ἦν ὥραις μετρητὴ ἡ ἡμέρα. ὁρᾶται δὲ ἡ ἀρετὴ τῶν Ἑλλήνων, ὅτι οὐδὲ τῷ καιρῷ παραχωροῦσι τῷ πάντας διαλύειν ἐκ τῶν ἔργων πεφυκότι.

δεῖπνον τὸ ἑωθινὸν ἄριστον· εὐθέως γὰρ μετὰ τὸν ὄρθρον αὔξην λαμβανούσης τῆς ἡμέρας ὁ ὑλοτόμος ἐπὶ τὸ ἑωθινὸν ἄριστον ἔρχεται.

87. ἐπεί τ' ἐκορέσσατο χεῖρας] διδάσκει μετὰ τοὺς πόνους ἐμφορεῖσθαι σιτίων πρὸς τὸ εὐόρεκτον.

90. σφῇ ἀρετῇ] λέγει ὅτι κεκοπωμένοι ἦσαν τοῖς σώμασιν, ἀντιτάσσονται δὲ τῷ κόπῳ ταῖς ψυχικαῖς ἀρεταῖς.

91. κεκλόμενοι ἑτάροισι] διδάσκει ὡς καὶ τοῖς δεινοῖς τὸ φιλάλληλον πέφυκε σώζειν ἡμᾶς.

1. πουλὺν] πολὺν 4. πρότερον] πρότερος Vill. ἐξ addidit Vill.

92. πρῶτος ὄρουσ'] ἀποτυχὼν γὰρ Ἀχιλλέως ἡ λαμπρὸς εἶναι θέλει ἢ εὐκλεῶς ἀναιρεθῆναι.

93. αὐτὸν, ἔπειτα δ' ἑταῖρον] ἐν κεφαλαίοις εἰπὼν ὡς ἀνῄρηνται, τὸ πῶς ἐπάγει κατὰ μέρος. διὰ δὲ τοῦ φόνου τοῦ δευτέρου ἐδήλωσε καὶ περὶ τοῦ πρώτου· εἰπὼν γὰρ ὡς ἐξ ἵππων κατεπάλμενος ἀνῄρηται, δηλοῖ ὡς ὁ πρῶτος ἐπιβεβηκὼς τῷ δίφρῳ πεφόνευται.

98. πεπάλακτο] διεβρέχετο, ὡς τὸ "παλάσσετο δ' αἵματι θώρηξ" (Il. 5. 100). φησὶν οὖν τὸν ἐγκέφαλον ἐμπεπλῆσθαι τοῦ αἵματος· σφιγγομένου γὰρ τοῦ δόρατος ὑπὸ τοῦ ὀστέου, ἔξω εἴργεται προελθεῖν τὸ αἷμα, ἔσω δὲ ἐπισυνάγεται, καθάπερ ἐπὶ τῶν βληθέντων λίθῳ, ὅταν συντριβῇ μὲν τὰ ὀστᾶ, μὴ διαιρεθῇ δὲ ἡ ἐπιφάνεια, ἐντὸς χεῖται τὸ αἷμα τῆς ἔξω φορᾶς εἰργόμενον.

100. οὐ συνάπτει Νικάνωρ, ἀλλὰ τὸ παμφαίνοντας δηλοῦν φησὶ τὸ νέον αὐτῶν. Πῶς δὲ τὰ στήθη περιφαίνοντας. οἱ δὲ ὅλον, στήθεσι παμφαίνοντας χιτῶνας.

103. σημειωτέον ὅτι οὗτος ὁ στίχος πρὸς τὸ πρῶτον ἀπαντᾷ, νόθον καὶ γνήσιον· ἐδήλωσε γὰρ φιλοτέχνως διὰ τούτου ποῖος ὁ νόθος ἦν.

104. ἐφ' ἑκάστου πίπτοντος ἢ γένος ἢ τύχην ἢ σχῆμα πτώματος δηλῶν ποικίλλει τὸ ὑποκείμενον.

105. μόσχοισι] οὐκ ἀπίθανος ἡ μεταφορὰ, ἀπὸ τῶν ἀπαλῶν ἔτι βοῶν ἐπὶ τὰ τρυφερὰ τῶν φυτῶν ἀγομένη.

106. *ἔθος ἦν τοῖς παλαιοῖς κατὰ τὴν πρώτην ἡλικίαν βουκολεῖν ἢ ἱπποφορβεῖν καρτερίας καὶ ἀσκήσεως ἕνεκεν.

110. σπερχόμενος δ' ἀπὸ τοῖιν] εἰώθασιν ἐπισαρκάζειν τοῖς ἐπισήμοις τῶν φονευομένων. νῦν οὖν ἐπείπερ ὀξύς ἐστιν ὁ καιρὸς, ἄμφω δηλοῖ, καὶ ὡς ἐπεγίνωσκεν αὐτοὺς, καὶ ὡς ὁ καιρὸς οὐκ εἴα λαλεῖν.

113. ὡς δὲ λέων] εἰς τὸ δυνατὸν καὶ βασιλικὸν Ἀγαμέμνονος ὁ λέων παρείληπται. ἡ δὲ παραβολὴ πρὸς τὸ μὴ δύνασθαι τῇ ἐκείνων ἀναιρέσει βοηθῆσαί τινα τῶν Τρώων. λίαν δέ ἐστιν ἐμφερεστάτη· νεβροὶ γὰρ οἱ νέοι Πριαμίδαι, μήτηρ οἱ Τρῶες, προθυμίᾳ μὲν τῶν νεβρῶν ὑπερέχοντες καὶ κηδεμονίᾳ, κατεπτηχότες δέ. πιθανῶς δὲ οὐκ ἐπ' ἄλλων τοῦτο παρέλαβεν, ἀλλ' ἐπὶ τῶν Πριάμου παίδων, ἐφ' οἷς τὴν μὲν προθυμίαν σφοδροτέραν εἶναι, ἀδύνατον δὲ τοῖς Τρωσὶν ὑπάρχειν.

115. εἰς εὐνὴν] τὴν τοῦ λέοντος ἰδίαν, ὅπου ἀγνοοῦσα αὐτοὺς

9. *εἴργεται] εἴργετο 26. *αὐτοὺς] αὐτὸν

ἔθηκε. καὶ τοῦτο δῆλον ἑτέρωθεν· "ὡς δ' ὁπότ' ἐν ξυλόχῳ ἔλαφος κρατεροῖο λέοντος νεβροὺς κοιμήσασα νεηγενέας γαλαθηνούς· ὁ δέ τ' ὦκα ἐὴν εἰσήλυθεν εὐνήν" (Od. 4, 335). ὁ γὰρ λέων οὐδέποτε κοίτην ἄλλου ἐρευνᾷ ζῴου, εἰ μή κατά τινα τύχην.

ἀπαλόν τέ σφ' ἦτορ ἀπηύρα] οὕτως Ἀριστοτέλης καὶ Ἀντίπατρος ὁ ἰατρὸς συναύξεσθαί φασι τῷ σώματι τὴν ψυχὴν, καὶ συμμειοῦσθαι πάλιν.

117. αὐτὴν γάρ μιν] ἵνα μὴ δοκῇ χαρίζεσθαι Ἕλλησι, λελῃθότως τῇ παραβολῇ τὸ ἀγενὲς τῶν Τρώων δηλοῖ.

123. δαΐφρονος] οὐ πολεμικοῦ, ἀλλὰ τῇ βουλῇ τοὺς πολεμίους μόνον διεγείροντος. γράφεται δὲ καὶ κακόφρονος.

ὅς ῥα μάλιστα οὐκ εἴασκεν, ὡς καὶ ἄλλων αὐτῷ συμπραττόντων. ἐπάγεται οὖν κατ' αὐτῶν τὸν ἀκροατήν. ἐμέρισε δὲ τὸ διήγημα, πρῶτον μὲν τὴν αἰτίαν εἰπὼν, εἶτα τὸ εἴασκεν ἐπαγαγών.

127. ὁμοῦ τῷ Ἀγαμέμνονι, ἀντὶ τοῦ ἐν ταὐτῷ. διὰ δὲ τοῦ φύγον ἡνία καὶ τοῦ κυκηθήτην αἰτίαν δίδωσι τοῦ ταραχθέντας περιπεσεῖν Ἀγαμέμνονι· διὰ γὰρ τὴν ταραχὴν καὶ ἀφηνίασιν τῶν ἵππων συμπλέκονται αὐτῷ.

130. τὼ δ' αὖτ' ἐκ δίφρου] καινὸν τὸ τῆς διαθέσεως. ἕνα ἱκετεύουσι δύο, καὶ πεζὸν ἐποχούμενοι ἅρματι, οὐδ' ὁτιοῦν τῆς φυγῆς προνοούμενοι.

131. ἄξια] καὶ τοῦτο προσαγωγὸν ὡς ληψομένου ὅσα βούλεται· εἰς εὐσέβειαν δὲ ἡμᾶς παρακαλεῖ, τὸν ἐξ ἀσεβείας χρηματισάμενον στερίσκων τῶν παίδων, δι' οὓς καὶ μάλιστα συνῆγε τὸν χρυσόν.

132. πολλὰ δ' ἐν Ἀντιμάχοις] οὐδεὶς Ἑλλήνων τοιοῦτος· εἰσὶ γὰρ πλούτῳ μᾶλλον ἢ δυνάμει ἐναβρυνόμενοι.

134. δύο εἰσὶ τὰ ἐναντιούμενα, τὸ θέλειν καὶ τὸ δύνασθαι, ἅπερ ἄμφω προβάλλονται· τὸ γὰρ χαρίσαιτο ὡς μὴ ποιησόντων αὐτῷ αἴσθησιν τῶν δώρων. ἀνιάτως δὲ τοῦ πατρὸς αὐτὸν ὑπομιμνήσκουσιν.

137. ἀμείλικτον μὲν ἑαυτοῖς, δικαίαν δέ.

138. εἰ μὲν δὴ] εἰρωνικῶς τοῦτό φησιν ὡς δὴ φιλίας παλαιᾶς μνείαν τινὰ ποιούμενος.

δαΐφρονος] καὶ τοῦτο ἐν εἰρωνείᾳ· φαύλην γὰρ γνώμην εἰσενεγκὼν εἰς Τρῶας διήγειρε πολεμεῖν. εἰ δὲ καὶ τὸν πολεμικὸν δηλοῖ, κατ'

1. * ἑτέρωθεν — κοιμήσασα] ἑτέρωθι—κοιμίσασα, omisso ἐν ξυλόχῳ.

6. καὶ συμμειοῦσθαι πάλιν a m. sec.

22. * προσαγωγὸν] προσαγαγὸν

εἰρωνείαν καὶ τοῦτο, ὅτι τοὺς ἐν σπονδαῖς ἀφικομένους κτεῖναι παρῆνει ὥσπερ τι γενναῖον ποιεῖν δοκῶν.

140. *ἀγγελίην] δύο σημαίνει, τὸ ἄγγελμα, ὡς ἐν τῷ "ἀγγελίην εἶποιμι περίφρονι Πηνελοπείῃ" (Od. 15, 313), καὶ τὸν ἄγγελον ἤτοι τὸν πρέσβιν, ὡς ἐνταῦθα.

μετ' ὀνόματος εἰρηνικοῦ ἥκοντα παρὰ τὸν τῶν ἀνθρώπων νόμον φονεύειν ἐπεχείρησεν.

142. λώβην] ἣν ἐλωβήσατο εἰς Ἕλληνας. διδάσκει δὲ ὅτι τὰ πατέρων καὶ παισὶ φυλάττονται.

146. οἰκεία ἡ κόλασις τῷ τοῦ πατρὸς ἀδικήματι· κεφαλὴ γὰρ ἀποτέμνεται ἡ φθεγξαμένη γνώμην πονηράν, καὶ χεῖρες αἱ χρυσὸν ἔλαβον.

147. ὁ κυλινδρώδης λίθος οὕτως καλεῖται, ᾧ ἐμφερὲς καὶ τὸ σκεῖος ὁ ὅλμος. δεῖ δὲ πάσχειν ἐξαίρετα υἱοὺς ὄντας τοῦ αἰτίου τοῦ πολέμου. καὶ ὅσῳ μὲν δεινὰ ποιεῖ, φιλαδελφίας ἐμφαίνει μέγεθος· εἰ δὲ Μενέλαος ἦν, μικροψυχίας ἂν αὐτοῦ κατεγνώκειμεν, εἰ ὑπὲρ ἑαυτοῦ πικρὸς οὕτως ἐφαίνετο.

151. ὦρτο κονίη] ὁ γὰρ κονιορτὸς κόνις ἐστὶν ὡρμημένη, ὅπερ ἄλλως ἐνταῦθα φράζει.

154. Ἀργείοισι κελεύων] οὐ μόνον αὐτὸν ἀριστεύοντα ποιεῖ, ἀλλὰ καὶ τοῖς λοιποῖς εὐδοκιμήσεως αἴτιον γινόμενον.

155. ἀξύλῳ] πολυξύλῳ, ἀφ' ἧς οὐδεὶς ἐξυλίσατο, ἵνα πλῆθος ἔχοι ξύλων καὶ ἐκ παλαιοῦ τμηθεῖσα ξηροτάτη καὶ πρὸς καῦσιν ἐπιτηδεία ἔοι. ἡ παραβολὴ οὖν πρὸς τὴν συνέχειαν τῶν πιπτόντων. τί δὲ ὀξύτερον ἢ εὐκινητότερον πυρός;

*Πορφυρίου. ἄξυλον ὕλην οἱ μὲν τὴν πολύξυλον ἀποδεδώκασιν, οἱ δὲ τὴν ὁμόξυλον. δηλοῖ γὰρ, φασὶ, τὸ ᾱ καὶ τὸ ὁμοῦ, ὡς ἐπὶ τοῦ ἀκόλουθος (ἔστι γὰρ ὁμοκέλευθος) καὶ ἄβρομοι, ἅμα βρόμῳ, καὶ ἀΐαχοι, ἅμα ἰαχῇ. οὕτως καὶ ἄλοχος καὶ ἄκοιτις ἡ ὁμόλεχος καὶ ὁμόκοιτις. καὶ ἄξυλος οὖν ἡ ὁμόξυλος διὰ τὸ πυκνόν. ἐμοὶ δὲ δοκεῖ ἄξυλον λέγειν οὐ κατὰ στέρησιν τοῦ ξύλου (ἐπάγει γὰρ "οἱ δέ τε θάμνοι πρόρριζοι πίπτουσιν"), ἀλλὰ κατὰ στέρησιν τοῦ ξυλίσασθαι, ἵνα ᾖ ἄξυλος ὕλη ἐξ ἧς οὐδείς πω ἐξυλεύσατο, τουτέστιν ἀφ' ἧς

5. πρέσβιν But semper] *πρέσβυν 463, 12 in scholio m. secundae.
23. ἔχοι—ἔοι] *ἔχῃ—ᾖ
24. ἡ—πυρός] Eadem infra p.
26. *Πορφυρίου] om.
27. *ὁμόξυλον] ἄξυλον

ξύλον οὐδεὶς ἔκοψε. καὶ ἡ ἄκοιτις δὲ καὶ ἡ ἄλοχος, ὡς ἐμοὶ δοκεῖ, κυρίως ἡ παρθενικὴ λέγεται, παρὰ τὸ λέχους ἑτέρου μὴ μετασχεῖν μηδὲ κοίτης, παρὸ καὶ λέγει "κουριδίης ἀλόχου," τῆς ἐκ παρθενίας, ἀλλ' οὐ λέχους ἑτέρου μετασχούσης. λοιπὸν δ' ἡ κατάχρησις καὶ ἐπὶ τὰς ἄλλας μετήγαγεν, ὥσπερ κυρίως τὸ ἀλεξῆσαι τὸ ὑπὲρ τῶν ἀλόχων βοηθῆσαι· λέγει γὰρ Ἕκτωρ "ἀλλ' ἵνα μοι Τρώων ἀλόχους καὶ νήπια τέκνα προφρυέως ῥύσισθε" (Il. 17, 223)· λοιπὸν δὲ ἐν καταχρήσει γέγονεν ἐπὶ τοῦ ὁπωσοῦν συμμαχεῖν· καὶ τὸ ἀΐδηλον δὲ πῦρ οὐκ ἔστι τὸ μεγαλόδηλον, ἀλλὰ τὸ ἀδηλοποιόν, ἐξ οὗ σημαίνει τὸ ἀφανιστικόν. οὕτως γοῦν ἔφη "σὺ δὲ κτείνεις ἀϊδήλως" (Il. 21, 220), ἀφανίζων καὶ ἀδήλους ποιῶν. οὐ κακῶς δὲ καὶ Σέξτος ἀΐδηλον ἀποδέδωκε τὸ ἐξ ἀδήλου ἐμπεσόν. ἡ παραβολὴ οὖν πρὸς τὴν συνέχειαν τῶν πιπτόντων· τί δ' ὀξύτερον ἢ εὐκινητότερον πυρός;

156. εἰλυφόων] σημαντικῶς τῷ ὀνόματι χρῆται· δηλοῖ γὰρ τὴν μετὰ ἑλίξεως καὶ περιστροφῆς τοῦ πυρὸς κίνησιν. εἰς ἐπίτασιν δὲ καὶ ἄνεμον ἐπιγενέσθαι φησίν.

157. πρόρριζοι] τῶν γὰρ ὑπογείων οὐ δύναται τοσοῦτον ἅπτεσθαι.

159. φευγόντων] τοῦτο γὰρ αἴτιον τῆς ἀσώστου αὐτῶν ἀπωλείας, ὅτι οὐδὲ ἀνθιστάμενοι ἀνῄρηντο.

162. γύπεσσιν πολὺ φίλτεροι] μάλα εὐπρεπῶς ἔφρασεν ὅτι φίλτεροι ἦσαν τοῖς γυψὶν ὅτε ἀπέθανον ἢ ταῖς γυναιξὶν ὅτε ἔζων. ἢ τοῖς μὲν γυψὶν ἔμελον, ταῖς δὲ γυναιξὶν οὔ.

163. ἀντὶ τοῦ ἔξω τῶν βελῶν. ἐντέχνως δὲ ἔχει καὶ ταῦτα· τό τε γὰρ παρόντα ἐλαττοῦσθαι Ἀγαμέμνονι οὐ σύμφωνον τῇ πιθήσει, τό τε περιφεύγειν αὐτὸν οὐ τῆς θρασύτητος Ἕκτορος. καλῶς οὖν τὸν Δία φησὶν αὐτὸν ἐξαγαγεῖν, ὡς εἴπερ παρῆν, ἀπέλαυσεν ἂν τοῦ δεινοῦ.

165. οἱ μὲν ἀντὶ τοῦ σφενδονηδόν, οἱ δὲ ἀντὶ τοῦ σπευστικῶς εἴπετο.

170. *Σκαιάς τε πύλας] κατὰ τρεῖς τρόπους λέγονται Σκαιαὶ πύλαι, ἢ ἀπὸ Σκαιοῦ τοῦ δημιουργήσαντος αὐτάς, ἢ ὅτι ἐν τοῖς σκαιοῖς ἤγουν τοῖς ἀριστεροῖς μέρεσι κεῖνται. σκαιὰ γὰρ τὰ ἀριστερά, ὡς καὶ ὁ ποιητὴς ἐδήλωσεν εἰπὼν "εἶτ' ἐπὶ δεξί' ἴωσι

11. *Σέξτος] σέξσος
28. Post hoc scholion sequitur folium 145 versus complexum 167—217, et manu recentiore scriptos nullis cum scholiis manus primae, sed solis secundae.

πρὸς ἠῶ τ' ἠελίοῦ τε, εἶτ' ἐπ' ἀριστερὰ τοί γε ποτὶ ζόφον ἠερόεντα" (Π. 12, 239). ἢ παρὰ τὸ σκαιῶς βεβουλεῦσθαι τοὺς Τρῶας· τὸν γὰρ δούριον ἵππον κατ' αὐτὰς ἐδέξαντο.

183. * πιδηέσσης] πῖδαξ γίνεται παρὰ τὸ πιδῶ τὸ ἱδρῶ· ἱδρῶτα γὰρ τῆς γῆς οἱ φυσικοὶ τὰς πηγὰς λέγουσιν. ἢ ἐκ τοῦ πίνω πῖναξ καὶ πῖδαξ.

190. * μάρνασθαι] ἐκ τοῦ μάρνημι. τοῦτο ἐκ τοῦ μαραίνω, ὃ σημαίνει τὸ φθείρω· ὁ μέλλων μαρανῶ, καὶ συγκοπῇ μαρνῶ, καὶ ἐξ αὐτοῦ μάρνημι.

* ὑσμίνην] ὑπομένη γίνεται ἐκ τοῦ ὑπομένω ὑπομονή, καὶ συγκοπῇ καὶ πλεονασμῷ τοῦ σ̄ γίνεται ὑσμίνη· δεῖ γὰρ ὑπομονῆς ἐν τῷ πολέμῳ.

218. ἔσπετε νῦν μοι Μοῦσαι] ἐπὶ τοῖς μεγίστοις τὰς Μούσας καλεῖ, ὡς ἐρῶν τι καινότερον· αἱ γὰρ τοιαῦται προπαρασκευαὶ ἀκμαιοτέρας ποιοῦσι τὰς προσοχὰς τοῖς ἀκροαταῖς.

221. τοῦτο οὕτως συντακτέον "Ἰφιδάμας Ἀντηνορίδης ἠΰς τε μέγας τε (231), ὅς ῥα τότ' Ἀτρείδεω Ἀγαμέμνονος ἀντίος ἦλθε," καὶ τοὺς λοιποὺς ἐννέα στίχους διὰ μέσου.

223. τὸ Κισσῆς ἀπὸ τοῦ Κισσέας κατὰ κρᾶσιν· διὸ περισπαστέον. ὡς νεώτατον δὲ εἰς εἰρηνικὰ χωρία διδάσιν ἐκτρέφεσθαι οἱ γονεῖς.

227. ὡς νέος καὶ νεωτέρων πραγμάτων ἐρῶν· φιλοπόλεμοι γὰρ οἱ νέοι, ὡς καὶ Πίνδαρος (Fr. 76) "γλυκὺς ἀπείρῳ πόλεμος, ἐμπείρων δέ τις ταρβεῖ προσιόντα νιν."

233. ἀξιοπίστως, ἵνα μὴ πάντα ἐπιτυγχάνοντα εἰσάγῃ. ἅμα δὲ καὶ τὸ ἀνθρώπινον ἐνδείκνυται.

234. κατὰ ζώνην θώρηκος ἔνερθε] οὐ τὸν θώρακα δηλοῖ, ἀλλὰ τὴν καλουμένην θωρακοζώνην. τὸ δὲ ἔνερθεν εἰς τὸ κάτω μέρος αὐτῆς, ὡς ὅταν λέγῃ "ἀγκῶνος ἔνερθεν" (252), κατὰ τὸ τοῦ ἀγκῶνος κάτω μέρος.

239. ἐφ' ἑαυτῷ, ὥστε μὴ χρήσασθαι ἔτι ἐκεῖνον τῷ δόρατι. ἐφ' ἑαυτῷ δὲ ἕλκει, οὐ δεδιὼς ἔτι τὴν τρῶσιν διὰ τὸ ἀνακεκλάσθαι τὴν αἰχμήν· δῆλον γὰρ ὅτι ἅμα ἕλκων καὶ ὑποχωρεῖ· ὀρθοτονητέον δὲ τὴν οἷ, καὶ εἰς σύνθετον μεταληπτέον.

19. * Κισσέως] κισσεύς

συντόμως ἅμα καὶ ἀληθῶς τῇ παραβολῇ ἐχρήσατο· καὶ οἱ λέοντες γὰρ ὑφαρπάζουσι τῶν κυνηγετῶν τὰ δόρατα, ἀφαιρούμενοι τῶν κτεινόντων τὰ ὅπλα, καὶ λανθάνουσιν ἑαυτοὺς τιτρώσκοντες.

242. ἐπεὶ περὶ θαλάμοιο ἔμπροσθεν διελέγετο καὶ κοίτης τῆς παρὰ γυναικὶ, περιπαθῶς τῇ ἐπιφωνήσει ἐχρήσατο. ἀστοῖσι δὲ τοῖς Τρωσὶν, ἐπεὶ Ἀντήνορος ἦν παῖς.

243. ἧς οὔτι χάριν ἴδε] ἤτοι οὐκ ἐχάρη ἐπὶ τῇ συμβιώσει αὐτῆς οὐδὲ ἐπὶ τῇ τεκνοποιήσει.

244. ὑπέστη] ὑπέσχετο ἐκ τῆς γονῆς τῶν ποιμνίων ἀποδοῦναι καὶ ταῦτα. περιπαθῶς δέ φησιν ὅτι σπουδάσας περὶ τὴν γυναῖκα.

247. τεύχεα καλά] ἔοικε διαφέροντα εἶναι τὰ ὅπλα ὡς νέου καὶ νυμφιδίου· διὸ οὐδὲ παρέρχεται αὐτὰ ὡς τἄλλα.

251. λαθὼν Ἀγαμέμνονα] ἠνάγκαστο μὲν διὰ τὸ πάθος τοῦ ἀδελφοῦ παρακινδυνεύειν, οὐ τολμᾷ δὲ, ἀλλὰ κλέπτει τὴν μάχην λελησθότως. δυστυχίας οὖν, οὐκ ἀνανδρίας ἐγκαλεῖται Ἀγαμέμνων· ἀριστεύων γὰρ ὑπό τινος εὐτελοῦς ἐκ πλαγίου τιτρώσκεται. Μενέλαος δὲ τοὐναντίον μαλθακὸς μὲν αἰχμητὴς, ἄλλως δὲ μακάριος. διδάσκει οὖν ὁ ποιητὴς ὡς οὐ τέλεια τὰ μὴ ῥώμης, φρονήσεως καὶ τύχης ποσῶς εὐποροῦντα.

256. στερεὸν, ὑπὸ ἀνέμων γεγυμνασμένον τὰς ἴνας· ἢ ἀνεμοτρεπὲς, τὸ ἀντιτασσόμενον καὶ ἀνέμοις ξύλιν διὰ στεριφότητα.

261. ᾧ ἐπικουρῶν ὁ Κόων ἔτρωσεν Ἀγαμέμνονα, ἐπ' αὐτῷ δὲ τρωθεὶς κατέπεσεν.

266. ὄφρ' οἱ αἷμ' ἔτι] ἰατρικῶς· μέχρι γὰρ τούτου ἀφλέγμαντά ἐστι τὰ ἕλκη.

268. ὀξεῖαι] ὡς γὰρ ὑπὸ κέντρων, οὕτως ἀπὸ τῶν τοιούτων φλεγμονῶν ἀλγοῦμεν. κυριώτατα οὖν κεῖται τὸ ὀξεῖαι, καὶ ἔστι δυσμετάληπτον, μόνοις δῆλον τοῖς πεπειραμένοις. πάντα δὲ ὀδυνηρὰ ἔλαβε τὰ ὀνόματα, τὸ ὀξὺ, τὸ βριμὺ, τὸ πικρὸν, ἐπιτείνων τὸν πόνον.

269. ὡς δ' ὅταν ὠδίνουσαν] πρὸς τοὺς νυγμοὺς τῆς ἀλγηδόνος εἴκασται· πῶς γὰρ ἄνανδρος ὁ εἰργασμένος τοιαῦτα;

* Πορφυρίου. ἐπεὶ παραβολῆς ἐμνήσθημεν, σκέψαι τὴν τοῦ

3. * τὰ ὅπλα] τὸ ὅπλον
8. * τῇ] om.
9. γονῆς] * ἐπιγονῆς
13. ἠνάγκαστο] * ἠνάγκασται
14. * κλέπτει] καλύπτει
21. * στεριφότητα] στερριφότητα
31. * εἴκασται] ἵστηται
32. * Πορφυρίου] om.

ποιητοῦ ἐνταῦθα χρῆσιν. ἐπὶ γὰρ τοῦ Ἀγαμέμνονος τρωθέντος χρησάμενος τῇ παραβολῇ ταύτῃ "ὡς δ' ὅταν ὠδίνουσαν ἔχῃ βέλος ὀξὺ γυναῖκα," καὶ ἀνταποδόσει "ὣς ὀξεῖ' ὀδύναι δῦνον μένος Ἀτρείδαο," ἐπὶ τοῦ Κύκλωπος δυνάμει τὰ τῆς παραβολῆς μεταφέρων χρῆται, ἐν οἷς λέγει "Κύκλωψ δὲ στενάχων τε καὶ ὠδίνων ὀδύνῃσιν" (Od. 9, 415)· ἔστι δὲ τῆς παραβολῆς τὸ ὠδίνων, τῆς δὲ ἀνταποδόσεως τὸ ὀδύνῃσιν. πάλιν δὲ εἰπὼν ἐπὶ τῆς τοῦ Ἕκτορος κατὰ τῶν Ἑλλήνων ὁρμῆς "ὀλοίτροχος ὡς ἀπὸ πέτρης, ὅν τε κατὰ στεφάνης ποταμὸς χειμάρροος ὦσει" (Il. 13, 137), κατὰ τὴν αὐτὴν φαντασίαν πεποίηκε περὶ αὐτοῦ λέγοντα τὸν Διομήδην "νῶϊν δὴ τόδε πῆμα κυλίνδεται ὄβριμος Ἕκτωρ" (Il. 11, 347). ὁ δὲ ὄβριμος οἰκεῖος ἀψύχῳ ὁρμῇ. οὐ γὰρ θρασὺν ἔφη οὐδὲ κορυθαίολον, οἷς ἰδίοις αὐτὸν προσαγορεύειν εἴωθεν. πάλιν ἐπὶ τοῦ Νέστορος, σκεπτομένου ποῖ τράπηται, "ἢ μεθ' ὅμιλον ἴοι Δαναῶν ταχυπώλων ἠὲ μετ' Ἀτρεΐδην Ἀγαμέμνονα" (Il. 14, 21), ὅλην τὴν παραβολὴν διεξελθών "ὡς δ' ὅτε πορφύρῃ πέλαγος μέγα κύματι κωφῷ, ὀσσόμενον λιγέων ἀνέμων λαιψηρὰ κέλευθα, αὖτως οὐδ' ἄρα τε προκυλίνδεται οὐδ' ἑτέρωσε, πρίν τινα κεκριμένον καταβήμεναι ἐκ Διὸς οὖρον" (ib. 16)· εἶτα ἐπ' Ἀγήνορος προτραπέντος μὲν ὑπ' Ἀπόλλωνος ὑποστῆναι Ἀχιλλέα. ὅμως δὲ τὴν θέαν αὐτοῦ καταπλαγέντος, ἠρκέσθη τῷ ὀνόματι "πολλὰ δέ οἱ κραδίη πόρφυρε κιόντι" (Il. 21, 551). πάλιν τε εἰπὼν ἐπὶ τῆς Ἥρας "ὡς δ' ὅταν αἰζηῷ νόος ἀνέρος, ὅστ' ἐπὶ πολλὴν γαῖαν ἐληλυθὼς φρεσὶ πευκαλίμῃσι νοήσῃ ἔνθα ἴῃ ἢ ἔνθα, μενοινήσειέ τε πολλὰ, ὣς κραιπνῶς μεμαυῖα διέπτατο πότνια Ἥρη" (Il. 15, 80), καὶ ἀπὸ μὲν τοῦ νοῦ ποιήσας παραβολὴν, ἀπὸ δὲ τοῦ πέτεσθαι ἀποδοὺς τὴν ἀνταπόδοσιν, συντέμνων τὰ αὐτὰ ἐν ἄλλοις φησὶν "ὡσεὶ πτερὸν ἠὲ νόημα" (Od. 7, 36· θαυμαστὸν δὲ αὐτῷ κἀκεῖνο. ἐκ μεταφορᾶς γάρ τι τολμηρότερον φθεγξάμενος οἰκείαν ἐπάγει παραβολὴν, κρατύνων δὲ αὐτὴν ὡς εὔλογον ἔσχε τὴν τόλμαν. εἰπὼν "κραδίη δέ οἱ ἔνδον ὑλάκτει" (Od. 20, 13), ἐπάγει "ὡς δὲ κύων ἀμαλῇσι περὶ σκυλάκεσσι βεβῶσα ἄνδρ' ἀγνοιήσασ' ὑλάει, μέμονέν τε μάχεσθαι." καὶ ἐπὶ τῶν στρατοπέδων ἀντικαθημένων "τῶν δὲ στίχες εἵατο πυκναὶ, ἀσπίσι καὶ κορύθεσσι καὶ ἔγχεσι πεφρικυῖαι" (Il. 7, 61) εἰπὼν, ἐπήγαγεν "οἵη δὲ ζεφύροιο ἐχεύατο

1. ἐνταῦθα Vill.] ἐνταῦ′
5. Κ. δὲ] κ. τὲ
18. κεκριμένον] om.
23. νοήσῃ] νοῇ

πόντον ἔπι φρὶξ ὀρυμένοιο νέον, μελάνει δέ τε πόντος ὑπ' αὐτῆς." ἐπί τε τῶν Τρώων ἔτι ποικιλώτερον κέχρηται· ἀρξάμενος γὰρ ἀπὸ μεταφορᾶς ὁμοίωσίν τε αὐτῇ τὴν ἀκόλουθον ἐπάγει καὶ ἐπ' ἀμφοῖν τὴν παραβολήν. "Τρῶες μὲν κλαγγῇ" (Il. 3, 2)· τοῦτο μὲν δὴ ἡ μεταφορά· τὸ δ' "ὄρνιθες ὥς" ἡ ὁμοίωσις· εἶθ' ἡ παραβολή "ἠύτε περ κλαγγὴ γεράνων πέλει οὐρανόθι πρό, αἵτ' ἐπεὶ οὖν—ῥοάων," ἣ σχεδὸν μόνη τῶν παραβολῶν οὐκ ἀνταπέδωκεν, ὡς τῆς ὁμοιώσεως ἅμα καὶ μεταφορᾶς προεχουσῶν τὴν ἀνταπόδοσιν. πάλιν τε αὐτοῦ παρατηρητέον ἐκεῖνο. τάς τε γὰρ οἰκείως τιθεμένας φωνὰς ἐπὶ τῶν πραγμάτων πολλάκις εἰς τὰς παραβολὰς μετατίθησι, καὶ τὰς ἐπὶ τῶν παραβολῶν εἰς τὰ πράγματα, οἷον ἔθνη στρατιωτῶν λέγεται, σμήνη δὲ μελισσῶν· παραβαλὼν δὲ τὰ πλήθη τῶν στρατιωτῶν ὀνόματι ἐπὶ τῶν μελισσῶν κέχρηται "ἠύτ' ἔθνεα εἶσι μελισσάων ἀδινάων" (Il. 2, 87), ὃ πλήθους ἀνθρώπων ἐστὶν ὄνομα. οὕτως ὀλοοιτρόχῳ λίθῳ τὴν ὁρμὴν τοῦ Ἕκτορος ἀπεικάζων (Il. 13, 137) ἀναθρώσκειν τέ φησι τὸν λίθον καὶ πέτεσθαι· καὶ τελευτῶν, ὡς ἀπ' αὐτοῦ τοῦ στρατιώτου ἀφιγμένου, ἀλλ' οὐχὶ τοῦ λίθου, ἐπάγει "ὁ δ' ἀσφαλέως θέει ἔμπεδον, εἰσόκεν ἔλθῃ." οὕτω καὶ ἐπὶ τοῦ κύματος, ὃ τάξεσιν ἀπεικάζει στρατοπέδου, προειπὼν "ὡς δ' ὅτ' ἐν αἰγιαλῷ πολυηχέϊ κῦμα θαλάσσης ὄρνυτ' ἐπασσύτερον ζεφύρου ὑποκινήσαντος" (Il. 4, 422) μετάγει ἀπὸ τῶν στρατιωτῶν ἐπὶ τὰ ἑξῆς· "πόντῳ μὲν τὰ πρῶτα κορύσσεται." ἀνάπαλιν δὲ τὰς τῶν παραβολῶν μετατίθησι φωνὰς ἐπὶ τὰ πράγματα, ὡς ἐπὶ τοῦ Ἀχιλλέως "ὡς δ' ὅτ' ἀριζήλη φωνή, ὅτε τ' ἴαχε σάλπιγξ" (Il. 18, 19) εἰπὼν ἐπάγει μετατιθεὶς ἀπὸ τῆς σάλπιγγος ἐπὶ τὸν ἄνθρωπον "οἱ δ' ὡς οὖν ἄϊον ὄπα χάλκεον Αἰακίδαο." κεκινδύνευται αὐτῷ ἐκεῖνα, οἷον "σιδήρειος δ' ὀρυμαγδὸς χάλκεον οὐρανὸν ἷκε δι' αἰθέρος ἀτρυγέτοιο" (Il. 17, 424)· ὡς γὰρ ἐξ ἀντιτυπίας χαλκοῦ καὶ σιδήρου τὴν φαντασίαν εἰς τὸν ἐκ πόντου ἦχον κεκίνηκεν.

270. μογοστόκοι] αἱ ἐπὶ τῶν μόγις τικτουσῶν τεταγμέναι.
* ἢ αἱ μογοῦσαι ἤτοι κακοπαθοῦσαι ἐπὶ τοῖς τῶν γυναικῶν τόκοις.

1. μελάνει] μελανεῖ
8. αὐτοῦ Vill.] αὐτῷ
12. παραβαλὼν δὲ τὰ πλήθη] οὕτως δὲ μεταλαβὼν τῷ Vill.
13. κέχρηται] χρῆται Vill.
15. ἀπεικάζων] εἰκάζων Vill.
17. ἀφιγμένον Vill.] ἀφιγμένου.
22. τὰ πρῶτα κορύσσεται] κορύσσεται τὰ πρῶτα
24. εἰπὼν addidit Vill.
26. κεκινδύνευται] δὲ addidit Vill.

271. ἀμφίβολον τὸ ἔχουσαι· ἢ γὰρ ἐπιμελείας ἀξιοῦσαι, ὡς τὸ "καί μοι κῆπον ἔχει" (Od. 4, 736), ἢ ἐπέχουσαι τὰς πικρὰς ὠδῖνας καὶ εἴργουσαι. ἄμεινον δὲ τὸ πρῶτον.

272. διὰ τοῦ δῦνον τὸ σφοδρὸν τῆς πληγῆς καὶ τὴν εἰς βάθος χωρήσασαν ἀλγηδόνα ἐσήμανεν.

273. ἐς δίφρον δ' ἀνόρουσε] πρῶτον τὸν βασιλέα, ἔπειτα τοὺς ἀριστεῖς ἐξάγει, ὅπως ἀναρχίας ἕνεκεν, οὐκ ἀσθενείας δοκοίη τῶν νεῶν ἡ καῦσις γενέσθαι. πῶς δὲ οὐδένα στρατηγὸν ἀνθ' ἑαυτοῦ κατέλιπεν; ἵνα μὴ προτιμήσας ἕνα τοῖς λοιποῖς ἀπέχθηται.

274. ἤχθετο] ἀπολογεῖται, ὅτι οὐκ ἂν ἀπηλλάγη, εἰ μὴ τῆς ψυχῆς αὐτοῦ ἥπτετο τὸ δεινόν.

276. ὦ φίλοι] εὖ τοῖς ἀριστεῦσιν ἐντέλλεται ἀπιών· εἰ γὰρ μὴ τὴν αἰτίαν τῆς ὑποχωρήσεως ἐσήμανε, κἂν δεινότερα ὑπενόησαν περὶ αὐτοῦ.

279. εἴασε Τρώεσσι] οὐκ ἐπεξεργάζεται τὰ τοῦ τραύματος, ἀλλ' εὐπρεπῶς ἐνεδείξατο ὅτι ὑπὸ θεοῦ κωλυθεὶς ἀγωνίσασθαι δι' ὅλης ἡμέρας νῦν ἀναχωρεῖ.

282. ἄφρεον] ἔστιν ἰδεῖν τὸν ἀφρὸν τῶν ἵππων μέχρι τῶν στηθῶν καταφερόμενον καὶ τὸν κονιορτὸν ἀναφερόμενον κάτωθεν.

290. ὑπέρτερον] ἢ τοῦ τῶν Ἑλλήνων ὑπέρτερον, ἢ οὗ πρότερον ἐκτήσασθε.

291. μένος καὶ θυμὸν ἐκ παραλλήλου· μένος δὲ καὶ τὴν ψυχὴν εἴωθε καλεῖν.

292. ὡς δ' ὅτε πού τις] διὰ τῆς παραβολῆς ἀσθενεστέρους τοὺς Τρῶας καὶ θρασυτέρους παρίστησιν.

297. ὑπεραΐει] ἀντὶ τοῦ ἄνωθεν φερομένη, ἥτις ἐστὶν ἀπαραφύλακτος καὶ σφοδροτέρα. πρὸς δὲ τὴν ἀπροσδόκητον τοῦτο εἴρηται ἐπιφάνειαν Ἕκτορος καὶ τὴν ὁρμήν. ἐμφαντικῶς δὲ καὶ τὸ ἅλμα καὶ ἡ ἔμπτωσις τοῦ ἥρωος ταραχὴν παρέστησεν.

299. ἔνθα τίνα πρῶτον] ἐπὶ τῇ λύπῃ τῶν Ἀχαιῶν οὐκ αἰτεῖ τὴν Μοῦσαν, ἀλλὰ μόνον ἑαυτὸν ἐρωτᾷ.

300. ὅτε οἱ Ζεὺς κῦδος ἔδωκεν] δείκνυσιν ὅτι νόθα τὰ κατορθώματα. ὡς ἐν παρόδῳ δὲ καταλέγει τοὺς ἀναιρουμένους, ἐπικρύπτων τῇ βραχυλογίᾳ τὸ ὄνειδος.

301. Ἀσαῖον] προπερισπαστέον· παρὰ γὰρ τὸ αἶσά ἐστι καὶ

24. *τοὺς] om.

πάντα ἀπὸ τῶν εἰς ᾱ ληγόντων θηλυκῶν καὶ μακρᾷ παραληγομένων προπερισπῶνται.

304. ἡγεμόνας] ἢ τῶν τάξεων, φησὶν, ἡγεμόνας, ἢ τοὺς προμαχίζοντας. ἵνα δὲ μὴ δοκῇ χαρίζεσθαι Ἕλλησι, καὶ τοῦτον ἡγεμόνας λέγει ἀναιρεῖν, ἀλλ᾽ οὐ σύνδυο, ὡς Ἀγαμέμνων.

305. ὡς ὁπότε νέφεα] ἡ ὁμοίωσις πρὸς τὸ συνεχὲς τῶν ἀναιρουμένων. ὡς γὰρ νέφη, φησὶ, διώκει ζέφυρος ἄνεμος ὑπὸ νότου συνηγμένα, οὕτως διώκων ἀνῄρει τὸ πλῆθος ὁ Ἕκτωρ. καλῶς δὲ τοὺς πυκνωθέντας μὲν ὑπὸ Ἀγαμέμνονος, διασκεδασθέντας δὲ ὑπὸ Ἕκτορος νέφεσιν εἴκασεν, ἃ συνάγει μὲν νότος, διώκει δὲ ζέφυρος. ἤὐξησε δὲ καὶ τὸν ζέφυρον, μέγα κῦμα ὑπ᾽ αὐτοῦ ἀνεγείρεσθαι λέγων. οἶδε δὲ καὶ τὰς ἀνέμων φύσεις ὁ ποιητής.

306. ἀργεστᾶο] εἰ μὲν τὸν Εὖρον δηλοῖ, ἔστι κύριον προπαροξυνόμενον· εἰ δὲ ᾗ τοῦ νότου ἐπίθετον, προπερισπᾶται. δηλοῖ δὲ ἢ τὸν λευκὸν ἢ τὸν ταχύν. εἰς τὸ νότοιο δὲ ὀλίγη διαστολὴ, ἵν᾽ ᾖ, ὡς δὲ ζέφυρος κινήσει νέφη ἃ συνήγαγε νότος, οὕτως Ἕκτωρ τοὺς ὑπὸ Ἀγαμέμνονος συνηγμένους.

307. πολλόν] οὐκ ἐπὶ ἀριθμοῦ, ἀλλ᾽ ἐπὶ μεγέθους ἡ λέξις, ὡς τὸ "πολλὸς γάρ τις ἔκειτο" (Il. 7, 156). ἄχνη δὲ ἧς ἔχεσθαι οὐ δυνάμεθα διὰ τὸ λεπτόν.

308. πολυπλάγκτοις] τοῦ πανταχοῦ τὰ κύματα περιάγοντος.

313. τί παθόντε] ἠρέμα ἀπολογεῖται περὶ τῆς ἐν τῇ πρότερᾳ μάχῃ φυγῆς. τότε γὰρ εἶξεν Ὀδυσσεὺς, ὅτε τὸ Ἑλληνικὸν κεραυνοῖς ἐφόβει ὁ Ζεὺς, ἀλογίστως δὲ ὁ Διομήδης ἀθίστατο. ἐνταῦθα δὲ οὐδενὸς τοιούτου γενομένου ἐλισθηρῶς μὲν ὁ Διομήδης ἀφέστηκεν, ὁ δὲ Ὀδυσσεὺς εὐλόγως μένει, καί φησι τί παθόντε λελάσμεθα, ἤτοι τί τὸ φοβοῦν ἡμᾶς ἐστίν;

314. δὴ γὰρ ἔλεγχος] εὖ τὸ μὴ τοῦ θανάτου πεφροντικέναι, ἀλλὰ μᾶλλον τῆς αἰσχύνης ἧς ἐπεφέρετο τὸ πρᾶγμα.

316. ἤτοι ἐγὼ μενέω] ὡς ἔμφρων ὁ Διομήδης αἰσθάνεται μὲν τὰ θεῶν, οὐ προφασίζεται δὲ ὡς γενναῖος.

318. ἡμέων ἔσσεται ἦδος] ἀπὸ τῆς ἀγχιστρόφου μάχης τοῦτο νοεῖ· Ὀδυσσεὺς δὲ βασανίζει τὸν καιρόν. οἰκονομικῶς δὲ ὁ ποιητὴς ἐπιρρίπτει αὐτοὺς τοῖς δεινοῖς, ὅπως τρωθέντες ὑποχωρήσωσι καὶ δι᾽

13. * Εὖρον] ἔβρον

ἀναρχίαν ἡ καῦσις τῶν νεῶν γεγονέναι δοκῇ. διδάσκει δὲ ὅτι χρὴ πράττειν τὰ παρ' ἑαυτοῦ, καὶ εἰ μέλλοι τὰ τῆς τύχης ἐναντιοῦσθαι.

327. τὸ ἑξῆς, φεύγοντες Ἕκτορα δῖον ἀσπασίως ἀνέπνευν. ὅρα δὲ τὸ ὄφελος τῶν Ὀδυσσέως λόγων· παρορμήσας γὰρ τὸν Διομήδην αἴτιος ἐγένετο τοῖς ἄλλοις Ἕλλησι σωτηρίας.

331, 332. οὔτε ἀπειθεῖν πατράσιν ἀξιοῖ οὔτε μαντικῆς καταφρονεῖν, θανάτῳ τοὺς ταῦτα δράσαντας κολάσας.

336. πρὸς τὸ ἀξιόπιστον· οὐ γὰρ ἂν ἠρίστευον ἀντιτασσομένου Διός. φιλέλλην δὲ ὢν ὁ Ζεὺς, τὸ πρόθυμον αὐτῶν αἰδεσθεὶς, πρὸς ὀλίγον ἐνδίδωσιν. ἢ τοῦτο θέλει εἰπεῖν, ὡς ἰσοβαρὴς αὐτοῖς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γέγονεν ἡ μάχη. ἀριστεύει μὲν γὰρ Ἀγαμέμνων, ἔπειτα Ἕκτωρ· εἶτα τιτρώσκονται οὗτοι, ἐτρώθη δὲ καὶ Ἕκτωρ.

346. ἐγγὺς ἑόντα] οὐκ ἀφίστανται ἀλλήλων· ἴσασι γὰρ ὡς τὸ κοινὸν αἴτιον αὐτοῖς τῶν κατορθωμάτων.

347. κυλίνδεται] ἀντὶ τοῦ ἐπιπέμπεται· οἶδε γὰρ ὡς τὸ δαιμόνιον αὐτῷ συνεργεῖ.

348. ἀλλ' ἄγε δὴ στέωμεν] ἀντιφιλοτιμοῦνται ταῖς προθυμίαις. ὅρα δὲ ὅτι βλέποντες παρόντα κίνδυνον οὐ περὶ φυγῆς διανοοῦνται.

354. * Πορφυρίου. ἀπέλεθρον] τουτέστιν ἀμέτρητον, ὃ οὐκ ἔστι μέτρῳ οὐδὲ πελέθρῳ μετρῆσαι. οὕτως ἐστὶ καὶ τὸ ἀμαιμάκετον, ᾧ οὐκ ἔστι μῆκος παραβαλεῖν· "ἰστὸν ἀμαιμάκετον" (Od. 14, 311), ὃν ἐν ἄλλοις ἔφη περιμήκετον, περισσῶς μέγαν. καὶ ἡ ἀμαιμάκετος οὖν χίμαιρα τὴν μεγάλην δηλοῖ, πρὸς ἣν οὐκ ἔστι μέγεθος τῶν ὁμοίων παραβαλεῖν· πρὸς γὰρ τὰ ὁμογενῆ τὰ πρός τι· "ἡ δ' ἄρ' ἔην θεῖον γένος οὐδ' ἀνθρώπων" (Il. 6, 180).

355. στῆ δὲ γυὺξ ἐριπών] ἔστη ἐπὶ γόνυ πεσὼν, καὶ σκότωσις αὐτῷ γέγονεν.

356. * Πορφυρίου. προεβλήθη ποίου γένους τὸ ὅσσε, καὶ τίς ἡ ἐνικὴ εὐθεῖα. οἱ μὲν οὖν ἔφασαν. ὥσπερ ἀπὸ τοῦ βῆρε τοῦ δυϊκοῦ κατ' ἀποβολὴν τοῦ ε̄ τὸ ἐνικὸν γίνεται θήρ, οὕτως καὶ τοῦ ὄσσε τὸ ἐνικόν ἐστιν ὄσς, διὰ δύο σ̄. ἐλέγχονται δέ· οὐ γὰρ ἐπὶ πάντων ταὐτὸ γίνεται. ἰδοὺ γὰρ ἀπὸ τοῦ δμῶε οὐ γίνεται τὸ ἐνικὸν δμώς, οὐδὲ ἀπὸ τοῦ φῶτε φώς· οὕτως οὐδὲ ἀπὸ τοῦ ὄσσε ὄσς. ἡ δὲ αἰτία· ἐπὶ τὸ ρ̄ καὶ τὸ ν̄ τῶν ἀμεταπτώτων κατά γε τὸ

19 et 28. * Πορφυρίου] om. 30. τοῦ Vill.] τῷ
33. φῶτ Bekkerus] φῶ

πλεῖστον, προσεβλήθη καὶ τῷ θήρ καὶ τῷ χήν τὸ ε̄ καὶ δυϊκὰ γέγονεν· οὐδέποτε δ' ἂν εὕροις τοῦτο συμβαῖνον ἐφ' ὧν ἔσχατον ἦν τὸ σ̄. τῷ γὰρ Κρής εἰ προσθείη τὸ ε̄, δυϊκὸν οὐκ ἂν γένοιτο, Κρῆσε, οὐδὲ τῷ χρώς καὶ παῖς. οὕτως οὐδὲ τῷ ὅσς. ἔτι καὶ ἀδύνατόν ἐστι συλλαβὴν μίαν εἰς δύο σσ̄ λήγειν. οὐδὲ μὴν δυνατὸν ὃς εἶναι δι' ἑτέρου σ̄. τῶν γὰρ εἰς ος̄ ληγόντων ὀνομάτων τὰ δυϊκὰ εἰς ω̄ λήγει. ῥητέον οὖν ὅτι τὸ ὅσσε οὐκ ἔστιν ἀρσενικὸν δυϊκόν· φησὶ γάρ ὁ ποιητὴς "τὼ δέ οἱ ὅσσε πὰρ ποσὶν αἱματόεντα χαμαὶ πέσον" (Il. 13, 616), οὐχ αἱματόεντες. οὐδετέραν οὖν ληπτέον εὐθεῖαν, καὶ ἔσται τὸ ὅσσος ὡς ἔρκος βέλος τεῖχος. τὸ δὲ πληθυντικὸν κατ' Ἀθηναίους μὲν ἔρκη βέλη τείχη, κατὰ δὲ τοὺς Ἴωνας ἕλκεα βέλεα τείχεα· καὶ δῆλον ὅτι ὄσσεα. τῶν δὲ εἰς ᾱ πληθυντικῶν τὰ δυϊκὰ καὶ οὐδέτερα εἰς ε̄ τελευτᾷ, οἷον ὄμματα ὄμματε, γράμματα γράμματε· καὶ Ἀριστοφάνης ἐν Πλούτῳ (454) "γρύζειν δὲ καὶ τολμᾶτον, ὦ καθάρματε;" σαφὲς οὖν ὅτι καὶ τείχεε λέξουσι δυϊκὰ καὶ ὄσσεε. εἶτα κατὰ ἀφαίρεσιν ὄσσε ἐγένετο.

357. ἐρωήν] τὴν ὁρμήν. δηλοῖ δὲ ἡ λέξις καὶ τὴν ὑποχώρησιν.

358. ἐφάνη, παρὰ τὸ εἶδω· ἢ κατήχθη, παρὰ τὸ εἶω τὸ δηλοῦν τὸ πορεύομαι.

362. ἐξ αὖ νῦν] εἰκότως ἐπικαυχᾶται τῷ Ἕκτορι, ἐπεὶ κἀκεῖνος ἐπεκαυχήσατο κατ' αὐτοῦ εἰπὼν "ἔρρε κακὴ γλήνη" (Il. 8, 164).

366. εἴ πού τις καὶ ἐμοί] οἶδε μὲν ὡς ἐπίκουρον ἔχει τὴν Ἀθηνᾶν, οὐ μὴν ἐπεκαυχήσατο ἀλαζονικώτερον, ἀλλὰ μετρίως.

369. αὐτὰρ Ἀλέξανδρος] καὶ τὸν Διομήδην λάθρα τιτρωσκόμενον εἰσάγει, ὡς καὶ τὸν Ἀγαμέμνονα. ὅρα δὲ ὅτι τῷ Ἀλεξάνδρου ὀνόματι ὡς ἐπὶ πολὺ τὴν Ἑλένην προστίθησιν, ὥσπερ ἀναμιμνήσκων τῆς ἀσελγείας αὐτοῦ τοὺς ἀκούοντας.

371. παρακεκρυμμένος καὶ κεκαλυμμένος, ὡσεὶ νεκρὸς, φησὶ, παρὰ νεκρῷ ἑστηκώς. ἀνδροκμήτῳ δὲ, ὑφ' ᾧ ἀνὴρ καμὼν ἔκειτο· ἢ ἀνδρὶ πονηθέντι.

372. δημογέροντος] καὶ τοὺς βασιλεῖς οὕτως ἐκάλουν ὡς παρὰ

1. προσεβλήθη Vill.] ἐπροσεβλήθη
2. εὕροις Bekkerus] εὕρης
4. οὕτως] οὕτως οὖν Vill.
5. ὅς—ἑτέρου σ̄ Bekkerus] ὁσ—ετέρου σσ
7. τὸ ὅσσε Bekkerus] τὼ ὅσσε
19. * εἶω] ἔω

τοῦ δήμου γέρας ἔχοντας· ὁμοίως δὲ καὶ τοὺς γέροντας δημηγόρους, ἀλλὰ καὶ δημότας.

375. εὖ τὸ παρατατικῶς εἰπεῖν ἀνεῖλκεν, ἵνα δὴ ἐναργῶς ἐπιδείξῃ τὸν τοῦ πολεμίου ἐπιτυχεῖν στοχαζόμενον. πῆχυς δὲ τόξου ἐκ δύο συμβεβλημένου κεράτων.

379. ἐκ λόχου ἀμπήδησε] εὖ τὸν ἀφανῶς τοξεύοντα ἐκ λόχου λέγει ἀναπηδῆσαι. ἀσχημόνως δὲ πάνυ ὡς μέγα τι κατωρθωκὼς βοᾷ· κατακρύψας γὰρ ἑαυτὸν ἕνα ἔτρωσεν, ἀλλ' οὐδὲ τοῦτον ἀνεῖλεν.

383. ὡς δειλὸς καὶ περὶ τῶν ἄλλων ὑπείληφεν ὡς φοβουμένων. ἔστι δὲ καὶ ἀνοήτων τὸ τοὺς οἰκείους ἐπὶ τῶν πολεμίων ἐλέγχειν.

385. τοξότα λωβητήρ] ἀλλὰ καὶ οἱ θεοί, φασί, τοξόται, καὶ τῶν ἡρώων οἱ κράτιστοι, Ἀπόλλων, Ἄρτεμις, Ἡρακλῆς, Εὔρυτος, ἀλλὰ καὶ ἐν τοῖς πρὸς Ἴλιον στρατευομένοις Μηριόνης, Φιλοκτήτης, Τεῦκρος. οὐχ ὅτι δὲ τοξότης, ὀνειδίζει, ἀλλ' ὅτι φαῦλος· τοῦτο γὰρ ἐμφαίνει τὸ λωβητήρ. εἶτα πάλιν τῇ τριχὶ, φησὶ, κάλλιστε ἐπὶ ἀπάτῃ παρθένων· οὐδὲ γὰρ οὐδὲ τὸ κομᾶν κακόν ἐστι καθ' ἑαυτό. τὸ δὲ κέρᾳ σὺν τῷ ῑ ἡ παράδοσις, δοτικὴν ἐκδεχομένη· τινὲς δὲ πληθυντικῶς ἤκουσαν.

386. εἰ μὲν δὴ ἀντίβιον] γενναῖόν ἐστι τὸ πάσχοντα αὐθωρὸν προκαλεῖσθαι τὸν βαλόντα.

388. ἄκρως οὐ πληγὴν, ἀλλ' ἐπιγραφήν φησιν· ὁ δὲ ποιητὴς ταλληθὲς λέγων ἔφη "διαμπερὲς ἰὸς ἐν γαίῃ πάγη" (377).

390. κωφόν] μεταφορικῶς τὸ μὴ αἴσθησιν τοῖς τιτρωσκομένοις ἐμποιοῦν.

395. οὐκ ἔστι σύνθετον τὸ περὶ πλέες, ἀλλὰ κατὰ παράθεσιν ἡ περί. ὅθεν οἰκειοτονεῖται.

397. ἔστη πρόσθ'] τὸ φιλικὸν πάλιν Ὀδυσσέως ὁρᾶται, καὶ τὸ ἀξιόπιστον Διομήδους δείκνυται. εὐπρεπῶς δὲ οὐ φαίνεται Διομήδης παρακαλῶν εἰς τοῦτό τινα. διὰ δὲ τὸν καιρὸν οὐχ οἱ δύο περὶ τὴν τοῦ ἑνὸς θεραπείαν καταγίνονται.

403. εἶπε] ποιητικῶς τὰ ἐνθυμηθέντα ὡς εἰρημένα διατυποῖ. ἅμα δὲ καὶ διδάσκει ὅτι οὐ μανικῶς δεῖ ὁρμᾶν εἰς τὰ δεινά.

4. * ἐπιτυχεῖν] τυχεῖν

21. * ἀλλ'] om.

32. * μανικῶς] μαντικῶς. Versui proximo (404) manus recentissima adscripsit quae apud Suidam s. v. πάθος et πάθη δύο leguntur. Quae quum apud Villoisonum legi possint p. 277, non est operae pretium hoc loco repeti.

405. *Πορφυρίου. ἀσύμφορον ἀναπείθειν δεινότερον εἶναι τοῦ ἀποθανεῖν τὸ φυγεῖν. λύεται δὲ ἀπὸ τῆς λέξεως· τὸ γὰρ ἁλώω δύναται καὶ ἐπὶ τοῦ ζωγρηθῶ εἶναι.

τοῦτο, φησί, δεινότερον πάντων, εἰ ζωγρηθῶ καὶ αἰχμαλωτισθῶ· οὐδεὶς γὰρ Ἑλλήνων τοῦτο πέπονθεν.

407. ἀλλὰ τίη μοι] χρησίμως πρὸς τὴν οἰκονομίαν ἔχει τὰ τοῦ ἐπιλογισμοῦ τῷ Ὀδυσσεῖ· ἐπειδὴ γὰρ ναυμαχίαν εἰσάγειν βούλεται ὁ ποιητής, προτιτρώσκει τοὺς ἀρίστους· ἄτοπον γὰρ ἦν παρόντων καίεσθαι τὰς ναῦς.

412. τόφρα δ' ἐπί] δεινὴ ἡ ἀγωνία· οὐ γὰρ εἰ θέλοι ὑποχωρεῖν, ἔξεστιν αὐτῷ.

414. ὡς δ' ὅτε κάπριον] ἐναργὲς τὸ παράδειγμα πρὸς τὸ καθ' ἕνα μὲν ὑπερέχειν τῶν κυκλωσάντων, ὀχλεῖσθαι δὲ τῷ πλήθει.

416. θήγων λευκὸν ὀδόντα] καὶ τοῦτο ἐμφερές· καὶ οὗτος γὰρ λογισμῷ προπαρεσκεύασται.

μετὰ γναμπτοῖσι γένυσσιν] συμπαρατρίβει γὰρ τὸ γένειον, ἀκονῶν τὸν ὀδόντα. οὐ γὰρ ἐπὶ τὸ δάκνειν ὁ κάπρος ὁρμᾷ, ἵνα ἀναστείλῃ τὰς γένυς, τῇ δὲ ἐμβολῇ μόνον ἀμύνεται.

421. στιγμὴ εἰς τὸ ὕπερθεν· οἱ δὲ ὕπερθε μετάλμενος, ἵν' ᾖ ἐκ τοῦ ἄνωθεν μέρους ἀρθείς.

424. πρότμησιν] οἱ μὲν τὸν ἀπὸ κύστεως ἄχρι τοῦ ὀμφαλοῦ τόπον, οἱ δὲ τὴν ὀσφύν, ἣν οὐδαμοῦ ὁ ποιητὴς τιτρώσκει ὡς αἰτίαν τῶν ζωογονούντων σπερμάτων.

425. ἀγοστῷ] τῇ δρακὶ, παρὰ τὸ ἄγειν. οἱ δὲ τῇ ἀγκάλῃ· οὐ δύναται δὲ ἀγκῶνι λέγεσθαι· οὐδεὶς γὰρ μετ' αὐτοῦ δράσσεται γῆς.

427. εὐηγενέος] τοῦ τῷ σώματι εὐφυοῦς.

430. πολύαινε] πιστὸς ὁ ἐκ πολεμίων ἔπαινος. ἢ εἰρωνεύεται. ἢ παρὰ τὸ αἰνόν ἐστιν ἡ σύνθεσις.

433. ἤ κεν ἐμῷ ὑπὸ δουρί] βάρβαρος ἡ ἀλαζονεία, ἐν τοιούτῳ προφερομένη καιρῷ μεθ' ὑπερβαλλούσης ὑπερηφανίας.

437. χρόα] τὴν ἐπιφάνειαν τοῦ σώματος, οὐ τὴν ἄχρι τῶν ἔσω μερῶν σάρκωσιν.

439. ἔγνω ὁ Ὀδυσσεὺς ὅτι οὐκ εἰς καίριον ταύτῃ ἐτελεύτησεν ἡ βολή. φησὶ γὰρ "ὣς εἰπὼν οὔτησεν, οὐδέ τ' ἔασε Παλλάς·" καὶ

12. * ἐναργὲς] ἐνεργὲς 14. * γὰρ] om.

ἐπάγει "ἦ μάλα δή σε·" καὶ πάλιν "φθῆ σε τέλος." ἔστι δὲ θαυμάσαι τὸ ἀτάραχον Ὀδυσσέως, πῶς εὐθὺς τιτρώσκει μὴ δειλιάσας τὴν πληγήν.

446. αἰσχρὰ ἡ φυγὴ ἀπειλῇ μόνῃ γενομένη τραυματίου ἀνδρός. οὐκ ἄτοπον δὲ ἀλαζονεύεσθαι Ὀδυσσέα προάρξαντος ἐκείνου. καὶ ὅτι παρ' ὀλίγον ἀνῃρημένος κεκράτηκε τοῦ πολεμίου.

451. φθῆ σε] εἰ καὶ ἔφυγες, φησὶ, κιχήμενον ἔφθη σε τὸ τέλος τοῦ θανάτου.

455. ἐπεί κε θάνω] ἐὰν ἐκ τοῦ τραύματος τούτου, φησὶ, τοιοῦτόν τι ἐπακολουθήσῃ. προενεχυριάζει δὲ τὴν γνώμην τῶν Ἀχαιῶν, ὡς ὑπὲρ αὐτῶν ἀποθνήσκων.

457. ἐκ χροὸς] τοῦ ἰδίου χροός. μεῖζον δὲ ἐφάνη τὸ κατόρθωμα Ὀδυσσέως ἐκ τῆς ἐπιφορᾶς, ὅτι ἀκμὴν ἐμπεπηγότος τοῦ δόρατος τὸν πολέμιον ἀνῄρησεν.

458. ἀνέσσυτο] σημείωσαι ὅτι ἐπὶ μὲν τῆς λεπτοτέρας πληγῆς ἀνηκόντιζέ φησιν, ἐπὶ δὲ τῆς μείζονος ἀνέσσυτο· τὸ γὰρ πολὺ οὐκ ἀκοντίζεται.

459. αἶμ' Ὀδυσῆος] καλῶς ἄρα Λυκοῦργος ἐνομοθέτησε Λακεδαιμονίοις ἐσθῆτα φοινικῆν ἐν τοῖς πολέμοις φορεῖν, ἵν' εἰ τρωθείη τις, λανθάνοι τοὺς πολεμίους διὰ τὸ ὁμόχρουν.

461. αὐτὰρ ὅγ' ἐξοπίσω] συγγνωστέον· ἐν ἐσχάτοις γάρ ἐστιν. εἰκότως οὖν ὑποχωρεῖ καὶ βοᾷ τοὺς συμμάχους.

462. ὅσσον κεφαλὴ χάδε φωτός] ἀντὶ τοῦ εἰπεῖν αὐτοῦ φωτός εἶπε. τὸ δὲ σχῆμα πολλαχοῦ, ὡς καὶ ἐν Ὀδυσσείᾳ (6, 129), "ὡς ῥύοιτο περὶ χροὶ μήδεα φωτός·" δείκνυσι δὲ διττὴν εἶναι τὴν φωνὴν, τὴν μὲν θωρακικὴν, τὴν δὲ πλατεῖαν καὶ οἱονεὶ σφοδροτέραν ἐκ κεφαλῆς.

463. ἄϊεν — Μενέλαος] ὀφείλει γὰρ νῦν προσεκτικὸς εἶναι μᾶλλον διὰ τὴν ἀπουσίαν Ἀγαμέμνονος· ἢ ὡς αἴτιος τῆς μάχης. ἢ ὡς φίλος Ὀδυσσέως. αἰσθόμενος δὲ ὡς οὐκ ἔστιν ἀξιόμαχος, προσλαβεῖν Αἴαντα διανοεῖται.

464. ἐγγὺς ἐόντα] χαρίεν τὸ τῆς περιπετείας, ὅτι ὁ ἀλκιμώτατος ἐγγὺς εὑρέθη Αἴας.

467. τῷ ἰκέλη] οὐχὶ τῷ Ὀδυσσεῖ ἰκέλη, ἀλλ' αὐτῷ τῷ ὡς εἴ ἑ

2. θαυμάσαι Bekk.] ταρβῆσαι ἀποθνησκόντων
11. *αὐτῶν ἀποθνήσκων] αὐτοῦ 14. ἀνῄρησεν] *ἐφάνευσεν

βιάτο. στοχάζεται γὰρ ὡς ὁ ταλασίφρων οὐκ ἂν, εἰ μὴ ἠνάγκαστο, ἐβόησεν.

469. ἀλεξέμεναι γὰρ ἄμεινον] ἄμεινόν φησιν ἐκείνῳ βοηθεῖν ἢ σχολάζειν ὧδε.

475. ἀμφ' ἔλαφον] οὐ δειλὸς Ὀδυσσεύς, ὅτι ἐλάφῳ εἴκασται· οὐ γὰρ ἰσχύος δηλωτικὸν τὸ τῆς παραβολῆς, ἀλλὰ τῶν ὁμοίων παθημάτων. θανόντι δὲ αὐτὸν ἐλάφῳ εἰκάζει, ἵνα αἰξήσῃ τὸν κίνδυνον. ἔστι δὲ ἡ παραβολὴ μερικὴ πρός τε τὴν πληγὴν καὶ τὸ πλῆθος τῶν βαρβάρων καὶ τὴν ἀπουσίαν τοῦ βαλόντος· καὶ ὥσπερ θῶας ἀπελαύνει λέων ἐπιφανείς, οὕτως Αἴας τοὺς Τρῶας.

478. αὐτὰρ ἐπειδή] πρὸς τὸ πιθανὴν γενέσθαι τὴν ἔφοδον τῶν πολλῶν ζῴων. ἄγει δὲ καὶ ἐπ' ἐκεῖνο ἡ ἔννοια, ὅτι οὐδ' ἂν τῷ Ὀδυσσεῖ προσῆλθον οἱ βάρβαροι, εἰ μὴ διὰ τὸ τετρῶσθαι ὑπεῖξεν.

484. στιγμὴ εἰς τὸ ἀΐσσων. οὐ πρὸς Τρωσὶ δὲ ἐφορμᾷ (ἄπιστον γὰρ τοῦτο), ἀλλ' εἰς τὸ ἐκφοβῆσαι μόνον.

488. θεράπων] ὁ τοῦ Μενελάου· Ὀδυσσεὺς γὰρ οὐκ ἔχει ἵππους ἅτε δὴ νησιώτης.

490. στιγμὴ εἰς τὸ Πριαμίδην· εἶτα μετ' ἐμφάσεως ἡ ἐπανάληψις· καὶ πάλιν εἰς τὸ υἱόν τελεία.

492. καὶ ἐπὶ Διομήδους ἡ παραβολή· ἀλλὰ τότε μείζων τούτου ἐκεῖνος διὰ τὴν ἐπικουρίαν Ἀθηνᾶς. οὐ μὴν οὐδὲ αὕτη εἰκῆ πρόσκειται· τὸ γὰρ κάτεισι τὴν ἀκώλυτον ὑποφαίνει ὁρμήν, καὶ τὸ ὀπαζόμενος οἷον ἐπειγόμενος.

494. ὀρῦς ἀξαλέας] ἢ τὰς μὴ παρὰ τὸν ποταμόν, ἀλλ' ἄνω που οὔσας, ἵνα τὸ πλῆθος τοῦ ῥείθρου δηλοῖ· ἢ ὡς οἱ δρυτόμοι τιθέασι πρὸς τὸ ξηρανθῆναι· διὰ δὲ τὸ δυσμετακόμιστον ἐῶσι τὸν ποταμὸν ἀγαγεῖν. διὰ δὲ τοῦ πολλαπλασιάζειν τὸ πολλάς ἐπαίρει τὸν λόγον.

504. κελεύθου] τῆς ὡς πρὸς τοὺς πολεμίους ὁρμῆς καὶ ἧς εἶχον κατ' αὐτῶν προθυμίας.

507. κατὰ δεξιὸν ὦμον] εἰς τὸν ὦμον τέτρωται, ἵνα μηδὲ τοῖς τρωθεῖσιν ἐπαρκῇ μέλεσιν.

509. μετακλινθέντος] ἐπὶ θάτερον μέρος τῆς ῥοπῆς γενομένης.

510. Ἰδομενεὺς προσεφώνει Νέστορα] οὐχ ὅτι τὸ δέον μᾶλλον ᾔδη τοῦ Νέστορος, ἀλλ' ὅτι ἀπίθανον ἦν τοῦτον τὸν λόγον περιθεῖναι

33. *ῥοπῆς] ῥιπῆς

αὐτῷ ὡς περὶ ἰδίας σπεύδοντι ἀπαλλαγῆς. πιθανὴ δὲ αὐτῷ καὶ ἡ ἀναχώρησις κατὰ πρόφασιν τῆς τοῦ ἰατροῦ ἐπιμελείας, ἵνα καὶ τούτου ἔρημον γένηται τὸ στράτευμα. ἀπαλλάσσει δὲ αὐτὸν δευτέρων κινδύνων ὁ ποιητής, καὶ ταῦτα στερόμενον τῶν σωζόντων.

512. πὰρ δὲ Μαχάων] τοῦτον ἠδύνατο ὁ ποιητὴς καὶ πεζὸν ἐπὶ τὰς ναῦς ἀγαγεῖν· τὸν γὰρ ὦμον ἦν τετρωμένος· οἰκονομικῶς δὲ ἐφ' ἅρματος αὐτὸν ἐποίησεν ἀπιόντα διὰ τὸ τῶν ἵππων τάχος, ἵνα παραδράμῃ τοῦ Ἀχιλλέως τὴν ὄψιν, καὶ μὴ δυνηθεὶς καταμαθεῖν ἀκριβῶς τίς ἐστι τὸν Πάτροκλον τοῦτο εἰσόμενον ἐκπέμψῃ. ἔστι δὲ τὸ μὲν ἄγρει παρορμητικὸν ἐπίρρημα, τὸ δὲ ἄγε παρακελευστικόν.

515. ἐμείωσε, φασί, τὸν ἔπαινον, μερικὴν αὐτῷ προσθεὶς τὴν εἴδησιν· καίτοι φησὶν "ὅς ῥά τε πάσης εὖ εἰδῇ σοφίας" (Il. 15, 411). οἱ μὲν οὖν φασὶν ὅτι τὸ χειρουργικὸν καὶ τὸ φαρμακευτικὸν εὕρητο παρὰ τοῖς παλαιοῖς· τοῦ γὰρ διαιτητικοῦ Ἡρόδικος μὲν ἤρξατο, συνετέλεσε δὲ καὶ Ἱπποκράτης, Πραξαγόρας, Χρύσιππος. ἔνιοι δέ φασιν ὡς οὐδὲ ἐπὶ πάντας τοὺς ἰατροὺς ὁ ἔπαινος οὗτός ἐστι κοινός, ἀλλὰ τὸν Μαχάονα μόνον χειρουργεῖν θέλουσι· τὸν γὰρ Ποδαλείριον διαιτᾶσθαί φασι τὰς νόσους. καὶ τεκμήριον, ὅτι Ἀγαμέμνων τρωθέντος Μενελάου οὐ Ποδαλείριον καλεῖ, ἀλλὰ τὸν Μαχάονα. εἰ δὲ μὴ παράγει τινὰ διαιτώμενον, οὐ θαῦμα· διὰ γὰρ τὸ ἀπρεπὲς παρῆκε τὴν δίαιταν· αἰσχρὸν γὰρ ἦν τὸν ἥρωα πυρέττοντα παραλαβεῖν ἢ κενούμενον τὴν γαστέρα ἢ προποτιζόμενον. ἢ μόνων τῶν ἐν πολέμῳ ἐνεργούντων μέμνηται· εἰσὶ δὲ φάρμακα καὶ χειρουργίαι. εἰ δὲ ἀπὸ τῶν ἡττόνων ὁ ἔπαινος, καὶ τοῦτο ἰατρικῆς ἐγκώμιον, τὸ καὶ τὰ ἧττω μέρη ταύτης εἶναι πολλῶν ἀντάξια.

519. ἐμάστιξεν ἐπὶ τῷ ἐλαύνειν. ἢ Ἀττικῶς λείπει τὸ ὥστε· ἢ τὸ ἀπαρέμφατον ἀντὶ μετοχῆς, ὡς τὸ "βῆ δὲ θέειν" (617) ἀντὶ τοῦ θέων.

529. προβαλόντες] μέσον ἀλλήλων κινήσαντες.

531. ἵμασεν καλλίτριχας ἵππους] εὖ τὸ μὴ ἀναμεῖναι τοὺς τοῦ Ἕκτορος λόγους· τάχα γὰρ οὐδὲ ἤκειν ἤθελεν ἐκεῖσε δι' Αἴαντα.

534. φαντασίαν ποιεῖ ἡ ἔπειξις, ὥστε διὰ τῶν πτωμάτων ἔρχεσθαι. εἴωθε δὲ ἀπὸ τῶν συμβεβηκότων δηλοῦν τὰ πράγματα· νῦν δὲ ἀπὸ τοῦ ἀναφερομένου αἵματος, ὥστε πιμπλάναι τὸν ἄξονα καὶ τὰς ἄντυγας, τὸ πλῆθος ἐνέφηνε τῶν νεκρῶν. καὶ ἀλλαχοῦ θέλων

δηλῶσαι τραῦμα βαθύ, φησὶ "πᾶν δ' ὑποθερμάνθη ξίφος" (Π. 16, 333).

536. ἂς ἄρ'] ἂς ἔβαλλον ἄντυγας αἱ ἀπὸ τῶν ἐπισσώτρων ῥαθάμιγγες ἤτοι ῥαντισμοί.

539. μίννυθα δὲ χάζετο δουρός] ἦσσον βολῆς δόρατος· τινὲς δέ φασιν ὡς οὐδ' ὅλως ἐχάζετο.

542. Αἴαντος δ' ἀλέεινε μάχην] ἐντεῦθεν φαίνεται τὸ γνῶθι σαυτόν· ὅλον γὰρ ὡς πάντας τοὺς ἀρίστους σκοπῶν ὑπεχώρει, καίτοι Διὸς περὶ μόνου εἰπόντος Ἀγαμέμνονος.

547. ἐντροπαλιζόμενος] εἰς ἑκάτερα μεταστρεφόμενος, καὶ τὸ φεύγειν καὶ τὸ ὁρμᾶν· διὸ καὶ φυλάσσει τὰ ὀπίσω μὲν διὰ τοῦ σάκους, μή πως πληγῇ τὸ μετάφρενον, τὰ δὲ ἔμπροσθεν διὰ τοῦ βώρακος. ἔστι δὲ ἡ φυγὴ Αἴαντος ἄλλων ἀριστεία. ἄτρωτον δὲ αὐτὸν ὁ ποιητὴς καὶ ἐν αὐτῇ τῇ ναυμαχίᾳ τηρεῖ.

548. ὡς δ' αἴθωνα λέοντα] πρὸς τὴν τόλμαν ὁ λόγος. αἴθωνα δὲ, ὅτι μόνος ὁρᾷ καὶ γεννώμενος καὶ κοιμώμενος.

*Πορφυρίου. διὰ τί ὁτὲ μὲν λέοντι παραβάλλει τὸν Αἴαντα, ὁτὲ δὲ ἐν ἄλλοις ὄνῳ; ὅτι αἱ μὲν παραβολαὶ τριῶν ἕνεκα γίνονται, αὐξήσεως, ἐναργείας, σαφηνείας· εἰς τὸ πρόσφορον δὲ ἓν ἑκάτερον ἐτήρησεν ὁ ποιητὴς, ἄγοντα καὶ φονεύοντα λέοντος δίκην καὶ τῶν πολεμίων ἀναχωροῦντα ὡς ὄνον. ταῖς γὰρ φύσεσι τῶν ζῴων καὶ τὸ ὀκνηρὸν πρὸς φυγὴν καὶ τὸ ταχὺ πρὸς μάχην τοῦ ἥρωος δεδήλωκεν.

550. πῖαρ] τὴν κρατίστην καὶ λιπαρωτέραν τῶν βοῶν· ἐπὶ ταύτην γὰρ ὁ αἴθων ἀεὶ ὁρμᾷ.

555. ἠῶθεν] ἑσπέρᾳ, φησὶν, ἐπιθέμενος μόγις ἠῶθεν ὑποχωρεῖ.

557. ἧϊε] ῥῆμα ἐξελέξατο ἐμφαῖνον ἀναχώρησιν θορύβου καὶ ταραχῆς ἀπηλλαγμένην.

πόλλ' ἀέκων] ἐνεθυμεῖτο γὰρ τόν τε κίνδυνον τῶν νεῶν καὶ τὸ τῆς ὑποχωρήσεως ἄσχημον.

558. ὡς δ' ὅτ' ὄνος] ἡ παραβολὴ πρὸς τὴν καταφρόνησιν τῶν Τρώων, ὅτι οὐκ αὐτοὺς φεύγει, ἀλλὰ Δία. πρός τε τὴν στάσιν τὴν

11. φυλάσσει τὰ Bekk.] φυλάσσεται
12. *τὰ δὲ] τὸ δὲ
17. *Πορφυρίου] om. Hoc scholion bis legitur, folio 152 b et folio 153 a eadem modo utrobique scriptum, nisi quod altero loco ἀναχωροῦντα legitur pro ἀναχωρεῖν. quod habet loco priore.
19. *ἐναργείας] συνεργίας ἐτήρησεν] *διετήρησεν
20. ἄγοντα] *εἰπὼν Αἴαντα
22. *δεδήλωκεν] δέδωκεν

ἀδηφαγίαν τοῦ ζῴου ἔλαβε· διὰ δὲ τοῦ κείρειν τὴν ἀφθονίαν τῆς τροφῆς. εὖ δὲ καὶ οὐ φορτηγῷ ὄνῳ παρέβαλεν, ἀλλὰ βοσκομένῳ· βραδεῖα γὰρ ἡ κίνησις τοῦ νεμομένου. καὶ ἐπιτείνων τὸν ὄνον νωθῆ λέγει καὶ πληγῶν ἐθάδα πολλῶν. καὶ οὐκ ἄνδρας τύπτειν φησὶν αὐτὸν, ἀλλὰ παῖδας.

*τὸ δὲ ἐβιήσατο ἀντὶ τοῦ βίᾳ ἐνίκησεν.

559. ἐάγη] οὐχ ὑπὸ τῶν παίδων, ἀλλὰ πάντοτε ὑπὸ ἄλλων· οὕτως γὰρ ἐθὰς ὢν οὐκ ἀλεγίζει πληγῶν.

*ῥόπαλα δὲ τὰ ξύλα ἀπὸ τοῦ ῥαπίζειν, ἢ τῇ ῥοπῇ, ὅ ἐστι φορᾷ, ἀλλοιοῦν καὶ συντρίβειν, ἵνα δείξῃ αὐτοῦ τὸ γενναῖον.

566. μνησάσκετο θούριδος ἀλκῆς] καίπερ καταστασιαζόμενος ὑπὸ τοῦ θεοῦ τῆς φύσεως οὐκ ἤθελεν ἐξίστασθαι.

569. πάντας δὲ προέεργε] ὡς ἔρκος Ἀχαιῶν εἴργει τοὺς πολεμίους. ὥσπερ δὲ ἐπιλαθόμενος ὅτι φεύγειν αὐτὸν βούλεται Ζεύς, ἀριστεύει πάλιν· ὁρμῶν γὰρ ἵστατο καὶ ἀπετείχιζε Τρῶας, εὐκαιρίαν ἀκίνδυνον τοῦ φεύγειν ἐμποιῶν τοῖς φίλοις. ἔστιν οὖν θύνων ἵστατο (570).

574. ἆσαι] ἐνεργητικὸν ἀντὶ παθητικοῦ· ὤφειλε γὰρ ἄσασθαι.

577. στῆ ῥα παρ' αὐτόν] παθητικῶς Αἴαντα ὑπ' Εὐρυπύλου εἰσάγει βοηθούμενον· νῦν γὰρ οὐκ ἔχει κρείσσονα, τῶν ἄλλων τετρωμένων. εὖ δὲ τὸ μὴ τὸν Αἴαντα βοηθὸν ἐπικαλεῖσθαι, τὸν δὲ Εὐρύπυλον αὐτομάτως ἥκειν.

579. ἦπαρ ὑπὸ πραπίδων] ὑποκάτω γάρ εἰσι τῶν φρενῶν. ἔστι δέ τι σπλάγχνον οὕτω λεγόμενον· οὐ γὰρ ταύτας φησὶν, αἷς νοοῦμεν.

*φρένας ὁ ποιητὴς καὶ πάντες οἱ παλαιοὶ ποιηταὶ τὸ διάφραγμα ἐκάλουν, παρόσον φλεγμαῖνον τοῦτο ὡς νευρῶδες ἔχει συμπάσχοντα τὸν ἐγκέφαλον καὶ παρακολουθοῦσι μέγισται παραφρονήσεις. πηγὴ δὲ ὅλου τοῦ νευρώδους γένους ὁ ἐγκέφαλος, ὥσπερ ἀρτηριῶν καρδία καὶ φλεβῶν ἦπαρ.

580. αἴνυτο τεύχε' ἀπ' ὤμων] σκοπός ἐστιν αὐτῷ τοὺς ἀναιρουμένους σκυλεύειν. χαρακτηρίζει δὲ τὴν τοῦ Ἀλεξάνδρου δειλίαν, ὅτι μὴ προσελθεῖν τεθάρρηκεν, ἀλλ' ἐπιτηρήσας μὴ μαχόμενον τότε τοξεύει.

584. δόναξ] ἐκ ξύλου γὰρ καὶ καλάμων ἦσαν τὰ βέλη.

1. ἀδηφαγίαν scripsi pro ἀδδηφαγίαν 10. *ἀλλοιοῦν] ἀλοιοῦν

586. ἤϋσεν] εἰκότως βοᾷ· μακρὰν γὰρ ἦσαν πεφευγότες οἱ Ἕλληνες.

590. φείξεσθ'] τῆς ἀρετῆς Αἴαντος ἔνδειξις ὅτι οὐ φεύξεται, ἀλλὰ μέχρι θανάτου μενεῖ μαχόμενος. ἢ οὐχ οἷός τε ἔσται τὸν πόλεμον ἐκφυγεῖν, καίπερ γενναῖος ὤν.

593. σάκε' ὤμοισι κλίναντες] ἤτοι τὰς ἀσπίδας ἐπιθέντες τοῖς ὤμοις.

595. στῆ δὲ μεταστρεφθείς] ἐν τῷ πλήθει τῶν ἑταίρων μετεβάλετο καὶ πρὸς αὐτοὺς μετεστράφη.

596. δέμας πυρός] τὴν σφοδρότητα τῆς μάχης παρίστησι, πυρὶ τὴν γενομένην ἐν αὐτῇ φθορὰν εἰκάσας· λέγει δὲ ὅτι ἐμάχοντο ὡς πῦρ διακαῖον ὕλην.

*εἴωθεν ἐπὶ τῶν μαχομένων τὸ πῦρ λαμβάνειν εἰς παράστασιν τῆς συντόνου καὶ ἐνθέρμου ὁρμῆς· "ὡς οἱ μὲν μάρναντο δέμας πυρὸς αἰθομένοιο" καὶ "μάχης καυστειρῆς ἀντιβολῆσαι" (Il. 4, 342). καὶ τὰ περὶ Διομήδην οὖν (Il. 5, 4) παραστατικὰ τῆς κατὰ τοὺς ὤμους καὶ τὰς χεῖρας ἐνθέρμου ὁρμῆς καὶ τῆς κατὰ τὴν κεφαλὴν πυκνοτέρας ἐπιστροφῆς. οὕτω καὶ κορυθαίολος ὁ Ἕκτωρ εἴρηται.

597. Νηλήϊαι ἵπποι] αἱ ἐκ τῆς Νηλέως ἀγέλης.

*αἱ ἀπόγονοι τῶν ἵππων ἐκείνων· οὐ γὰρ δυνατὸν ἦν φθάσαι ἐπὶ τὸν γέροντα Νέστορα τὰς ἵππους τοῦ Νηλέως ζώσας. ὥσπερ καὶ Τρῴοι ἵπποι οἱ ἀπὸ τοῦ Τρωὸς, κατὰ διαδοχὴν τοῦ ἀπ' ἐκείνων.

598. ἦγον δὲ Μαχάονα] τοὺς πλείους τῶν ἀριστέων τρώσας πλὴν Αἴαντος τοῦ Τελαμωνίου ἐπὶ τὰς ναῦς ἀπέστειλεν, Ἀγαμέμνονα Διομήδην Ὀδυσσέα Μαχάονα Εὐρύπυλον καὶ τὸν Τεῦκρον ἐξῆς, ἵνα εὔλογον τοῖς Ἀχαιοῖς τῆς ἥττης παράσχῃ αἰτίαν. εἶτα τούτους ἐπὶ τὰς ναῦς ἀπαγαγὼν εἰς ἔπαινον Αἴαντος τὰ λοιπὰ καταναλίσκει ἕως τῆς Πατρόκλου ἐξόδου· καὶ τὸν Πάτροκλον ἀνελὼν ἐπὶ τὸν Αἴαντα ἐπανέρχεται μέχρι τῆς Ἀχιλλέως ἐξόδου· καὶ τοῦτον ἐπὶ τὴν μάχην προαγαγὼν εἰς τὰ ἀνδραγαθήματα αὐτοῦ τελειοῖ τὴν Ἰλιάδα. καλῶς δὲ τὸ μὲν ἔφερον ἐπὶ Νέστορος, ἐπὶ δὲ Μαχάονος ἰδίᾳ τὸ ἦγον διὰ τὸ τῆς πληγῆς βαρύ.

599. τὸν δέ] τὸν Νέστορα ἰδὼν ἐγνώρισεν, οὐ μὴν τὸν Μαχάονα.

4. *ἔσται] ἐστι

600. τὸ φιλότιμον καὶ φιλοπόλεμον ἐνδείκνυται, θεωρὸν αὐτὸν παρεισάγων τῆς μάχης.

602. αἶψα δ' ἑταῖρον] παρεμπεσοῦσαν τὴν εὐκαιρίαν ἁρπάσαι θέλει καὶ παρακληθεὶς ἐξελθεῖν.

604. ἀναπτεροῖ τὸν ἀκροατὴν ἡ ἀναφώνησις ἐπειγόμενον μαθεῖν τί τὸ κακὸν ἦν. τὴν προσοχὴν δὲ ἐργάζεται διὰ βραχείας τῆς δείξεως· εἰ γὰρ πλέον ἐπεξειργάσατο, διέφθειρεν ἂν τὸν ἑξῆς λόγον καὶ ἀπήμβλυνε τὴν ποίησιν.

609. νῦν οἴω] ἔδειξεν ὃ ἐκ πολλοῦ ἤθελεν. νῦν νομίζω, φησί, πάντας τοὺς Ἀχαιοὺς ἱκετεύσειν με. ἤδη δὲ προμαλαχθεὶς ἦν ἐκ τῶν Φοίνικος λόγων.

611. *ἀλλ' ἴθι νῦν] διὰ τί τὸν Πάτροκλον ὁ Ἀχιλλεὺς πέμπει; ῥητέον οὖν ὅτι κατ' οἰκονομίαν. ἐπειδὴ γὰρ ἄπρακτος ἡ πρεσβεία γεγένηται, διὰ Πατρόκλου βούλεται Νέστορα κατορθῶσαι τοῦτο ὅπερ οὐκ ἐποίησαν οἱ πρέσβεις. ὥστε προῳκονόμησε τοῦτο ὁ ποιητὴς οὕτως, ἵνα καὶ Νέστορος τὴν τῶν λόγων δύναμιν παραστήσῃ καὶ Ἀχιλλέα δείξῃ μετ' εὐλόγου προφάσεως εἰς τὸν πόλεμον ἐξαγαγόντα τὸν Πάτροκλον.

616. σιωπηλὸς ἀεὶ καὶ συνετὸς ὁ Πάτροκλος. οὐ θαῦμα οὖν εἴ γε τὸν τοιοῦτον ἐκίνησε Νέστωρ καὶ μετὰ δακρύων ἐντυγχάνει Ἀχιλλεῖ.

617. βῆ δὲ θέειν] συνορῶν τὸ ἐνδόσιμον Ἀχιλλέως σπεύδει καὶ ὁρμῷ χρῆται, συγχαίρων τοῖς Ἕλλησιν.

618. οἱ δ' ὅτε] οἱ περὶ Νέστορα εἰς τὴν Νέστορος σκηνὴν παρεγένοντο.

619. αὐτοὶ μέν] καιρὸν δίδωσι τοῦ βαδίζειν Πατρόκλῳ, καὶ τὸ διάκενον τῆς ὁδοῦ πληροῖ, ταῦτα μέσον ἐνθείς.

620. πεζὸς Εὐρυμέδων εἵπετο· σχολαίτερον γὰρ Νέστωρ ἤλαυνε διὰ Μαχάονα. οὐ γὰρ τρεῖς ἐν τῷ ἅρματι.

624. οὐ δεόντως, φασίν, ὁ Μαχάων, καὶ ταῦτα ἰατρὸς ὤν, τὸν κυκεῶ προσφέρεται, συνεστῶτα ἐκ μέλανος οἴνου (τοιοῦτος γὰρ ὁ Πράμνιος) καὶ τυροῦ ἐπικεκνησμένου καὶ ἀλφίτων· φλεγματώδη δὲ ταῦτα καὶ πολέμια τοῖς τραυματίαις. πρῶτον μὲν οὖν φαμὲν ὅτι τὴν δίαιταν ἠγνόουν, καὶ ἀνδρειότερα ὅμως εἶχον τὰ σώματα, ὡς καὶ

6. *ἦν] om.
βραχείας (βραχέας B) τῆς δείξεως] *βραχείας ἐνδείξεως
10. *ἱκετεύσειν] ἱκετεύειν
19. *οὐ] om.

ἀγωνίζεσθαι τοὺς τραυματίας· εἶτα ὅτι ἀρίστου ἰατροῦ ἐστὶ τὸ ἰᾶσθαι μὴ μετακινοῦντα τὴν συνήθη δίαιταν. ἄλλως τε ἐξ ἐπιπολῆς ἡ πληγή· εἰ δὲ καὶ κατὰ βάθους, οὐδ' οὕτως ἀδόκιμον τὸ πόμα· ῥύσις γὰρ αἵματος λειποθυμίαν ἐργάζεται· ὁ οὖν μέλας οἶνος παχύνων τοὺς χυμοὺς καὶ τὴν ἐπίρρυσιν τοῦ αἵματος τὴν ἐπὶ τὸ τραῦμα παχύνει καὶ συστέλλει· ὅθεν καὶ τοῖς κοιλιακοῖς αὐτὸν ἔνιοι προσάγουσι διὰ τὸ εἴργειν τὸ ὑγρόν. ἀλλὰ καὶ τὸ ἄλφιτον παχύνει τὰ ὑγρά. καὶ τὸ κρόμυόν ἐστι διουρητικόν, καὶ μάχεται τῇ φλεγμονῇ· ὅθεν καὶ τοῖς κυνοδήκτοις αὐθωρὸν προσάγεται. ἢ οὐ πρὸς θεραπείαν, ἀλλὰ πρὸς ἀνάψυξιν ἐδίδοτο τὸ πόμα· καὶ Νέστωρ γοῦν λαμβάνει· τοῖς κακοπαθοῦσι γὰρ ἐπιτήδειος ὁ κυκεών, τροφὴν ἅμα καὶ ποτὸν ἔχων.

*Πορφυρίου. ὅλος ὁ τόπος οὗτος ἐλέγχεται ὡς παρὰ τὴν ἰατρικὴν ἱστορίαν πεποιημένος. ὅσοι μὲν οὖν λύουσιν ὡς τῶν ἡρώων ἑτέρως εἰθισμένων θεραπεύεσθαι διὰ τὸ μὴ ταῖς αὐταῖς διαίταις τοὺς ἰατροὺς ἐπιπολάζειν χρωμένους, ἀπὸ τοῦ ἔθους ἀπολογοῦνται· ὅσοι δ' ἐλέγχουσι τὴν σύνθεσιν πάντων ἐξαλλάσσειν τὴν καθ' ἕκαστον δύναμιν, ἀπὸ τῆς λέξεως ἐπιχειροῦσιν. οἱ δὲ συνιστάντες οὐκ εἶναι χαλεπὸν τὸ τραῦμα, οὐδὲ πρὸς θεραπείαν δίδοσθαι τὸ πόμα, τῷ δὲ κοινῷ ἔθει πίνειν οὐ μόνον τὸν Μαχάονα, ἀλλὰ καὶ τὸν Νέστορα τὸ τοῖς κεκμηκόσι σκευαζόμενον ποτὸν (τοιοῦτον γὰρ προσφέρειν καὶ τὴν Κίρκην τοῖς πρὸς αὐτὴν καταγομένοις) ἀπὸ τοῦ καιροῦ λύουσιν.

628. ἐπιπροΐηλε] ἐξέτεινε· πτυκταὶ γὰρ ἦσαν αἱ τράπεζαι. ἡ δὲ πρό τὸ ἔμπροσθεν δηλοῖ.

629. πέζαν οὐκ ἀεὶ τὸν πόδα, ἀλλὰ καὶ τὸ ἄκρον λέγει. οὐκ ἔστι κυανόποδα, ἀλλὰ τὴν ἀπὸ κυανοῦ ἔχουσαν τὸν κύκλον τὸν ἔξωθεν.

630. τελεία εἰς τὸ κρόμυον, εἶτα ἠδὲ μέλι χλωρόν. τὸ δὲ ποτῷ ὄψον ἀπὸ κοινοῦ τῷ παντὶ κυκεῷ. τεῦχε, φησὶ, κυκεῶ ἅμα ποτῷ καὶ ὄψον ὄντα· τὸ μὲν γὰρ μέλι καὶ ὁ οἶνος ποτὸν, τὰ δὲ λοιπὰ ὄψον· πᾶν δὲ τὸ ἐσθιόμενον ὄψον καλεῖται.

634. τέσσαρ' ἔσαν] συνηρτημένα μὲν ἀλλήλοις τὰ ὦτα, διάστασιν δὲ ἔχοντα, ὥστε πρὸς τὸ βαθὺ τοῦ ποτηρίου καὶ τὰς λαβὰς εἶναι. τὸ σχῆμα οὖν τῶν ὤτων γίνεται διπλοῦν ω.

δοιαὶ δὲ πελειάδες] καὶ τὴν τορευτικὴν ὁ ποιητὴς ἐπίσταται. ὀκτὼ

12. *Πορφυρίου] om.
17. συνιστάντες Lehrsius in Append. ad Herod. p. 460] νῦν πάντες
21. λύουσιν Lehrsius] λέγουσιν
27. κυκεῷ] Corrige κυκεῶνι.
33. *τορευτικὴν] τορνευτικὴν

δὲ ἦσαν αἱ πελειάδες, δύο καθ' ἕκαστον. λέγοι δ' ἂν μικράς τινας, οἵας εἰκὸς ἐπὶ ἐκπώματος τετορεῦσθαι.

635. διπλοῦς ἦν ὁ πυθμὴν, ἥσσων ὑπὸ μείζονος περιεχόμενος. Ἀρίσταρχος δὲ τὴν ὑπό πρὸς τὸ ἦσαν συντάσσει. τινὲς δὲ ὑφ' ἓν τὸ ὑποπυθμένες, ἵν' ᾖ τῶν πελειάδων ἐπίθετον, οἷον δύο δ' ἕτεραι πελειάδες ἦσαν τοῖς πυθμέσιν ὑποκείμεναι.

636. οὐχ, ὥς τινες, ἐπὶ Μαχάονος τὸ ἄλλος ἐκδέχεσθαι χρὴ, ἀλλ' ἀορίστως πρὸς ἔπαινον τοῦ γέροντος· θέλει γὰρ εἰπεῖν ὅτι παντὸς νέου σωφρονέστερον ἐβάσταζε τὸ ποτόν. ἔνιοι δὲ ἀπὸ κοινοῦ τὸ γέρων, ἵν' ᾖ, ἄλλος μὲν γέρων μογέων ἐκίνει, ὁ δὲ γέρων Νέστωρ ἀμογητὶ ἄειρεν.

*Στησίμβροτος δέ φησιν, ἵνα δοκῇ εἰκότως πολλὰ ἔτη βεβιωκέναι· εἰ γὰρ παράμονος ἡ ἰσχὺς καὶ οὐχ ὑπὸ γήρως μεμάρανται, καὶ τὰ τῆς ζωῆς εὔλογον εἶναι παραπλήσια. Γλαῦκος δὲ, ὅτι κατὰ διάμετρον ἐλάμβανε τὰ ὦτα, ἐκ μέσου δὲ πᾶν εὔφορον.

637. ἀμογητὶ ἄειρεν] τὰ γὰρ ἄχθη οὐχ οἱ ἰσχυροὶ, ἀλλ' οἱ ἔμπειροι φέρουσι. διπλῶν γὰρ τῶν ὤτων ὄντων καὶ τοῦ ποτηρίου μεγίστου, οὐκ ἂν νέος ἀπεκίνησεν αὐτὸ τῆς τραπέζης, οὐ διὰ τὸ μὴ δύνασθαι, ἀλλὰ διὰ τὸ πῶς μὴ εἰδέναι· εἰ γὰρ οὐχ ὡς ἔδει αὐτὸ ἦρε, θραῦσιν ἂν ἠπείλησε· δίχειρα γὰρ δυσὶν ἀφ' ἑκάστης χειρὸς δακτύλοις τῶν ὤτων λαμβανόμενον ἐχρῆν κινεῖν ἀκόπως.

639. Πραμνείῳ] οἱ μὲν μέλανι, οἱ δὲ γένος ἀμπέλου, οἱ δὲ αὐστηρῷ, οἱ δὲ πραΰνοντι τὸ μένος, οἱ δὲ μονίμῳ.

642. πολυκαγκέα] πολλὴν ἔχουσαν ξηρότητα· ὅθεν καὶ κάγκανα ξύλα.

645. ἀπὸ θρόνου ὦρτο] διὰ τὸν καιρόν. διδάσκει οὖν καὶ γέροντας νέοις εἴκειν πρὸς ὄφελος.

647. ἀναίνετο] προφασίζεται σπουδὴν, ἵνα καὶ μένων χαρίζοιτο καὶ μὴ μένων ἀνέγκλητος εἴη.

654. τάχα κεν καὶ ἀναίτιον] πρὸς τὸ νεμεσητός καὶ τοῦτο. ἐπιτείνει δὲ αὐτοῦ τὸ θυμικὸν, ἵν' ἀναίτιος ᾖ μὴ πειθόμενος.

656. τίπτε τ' ἄρ' ὧδ' Ἀχιλεὺς] διὰ τί, φησὶν, οἰκτείρει τοὺς τετρωμένους, ἀγνοῶν τὴν παντελῆ ἀπώλειαν; διὰ τί τὸ κατ' ἄνδρα

1. ἕκαστον] *ἕκαστον ἰοῦσαι (i.e. οὖς).

12. Ex scholio ampliore Porphyrii, quod Scor. aliique servarunt.

15. *πᾶν εὔφορον] πανεύφορον

ἐλεεῖ Ἀχιλλεὺς, μὴ εἰδὼς τὸ πᾶν; ὅτι δὲ ἐλεεῖ δῆλον ἐξ ὧν ἔπεμψε Πάτροκλον. πιθανῶς δὲ τῆς μὲν σπουδῆς αὐτὸν οὐ κωλύει, ἄρχεται δὲ λόγων, εἰδὼς ὡς αἰδούμενος οὐ καταλείψει αὐτοὺς ἡμιτελεῖς.

665. ἐσθλός] δυνατὸς ἤτοι δυνάμενος. οὔτε φιλίᾳ οὔτε ἐλέῳ δίδωσι χάραν. εὖ δὲ καὶ τὸ Ἀχαιῶν, ἀλλὰ μὴ Ἀγαμέμνονος· ἐάσας γὰρ τὸν αἴτιον τῆς ὀργῆς τοὺς ἐλεεινοὺς προβάλλεται.

666. τὴν ὁλοσχερῆ τῶν νεῶν ἀπώλειαν ἐμφῆναι θέλει· εἰ μὴ γὰρ τὰς πρώτας καύσουσιν, οὐκ ἂν οὐδὲ τὰς παρὰ θάλασσαν.

668. πικρῶς καθάπτεται τῆς ὠμότητος Ἀχιλλέως, εἰ ἀναμένει τοὺς Ἀχαιοὺς ἐξῆς ἰδεῖν φονευομένους. ἐλεεινῶς δὲ καὶ ἑαυτὸν καταλέγει.

669. οἵη πάρος ἔσκεν] ἐρεθιστικὸν τοῦτο· εἴ γε ἐγὼ νέος ἦν, φησὶν, οὐκ ἂν ὑμῶν ἐδεόμεθα. ἐντέχνως δὲ πρὸς μὲν τοὺς θυμουμένους τὴν φρόνησιν, πρὸς δὲ τοὺς ἀργοῦντας τὴν ἦβην φέρει, ζῆλον ἐμποιῶν τῶν ἔργων.

670. εἴθ' ὡς ἠβώοιμι] διδάσκει ὡς οὐ δεῖ ἐπὶ ἀπράκτοις ἀναλίσκειν τὰς ἡλικίας. ἴδια δὲ διηγεῖται κατορθώματα, εἰς ζῆλον καλῶν τὸν ἀκούοντα. καὶ διὰ τοῦ παρὰ γνώμην τοῦ πατρὸς πολεμῆσαι προτρέπεται αὐτόν.

671. ὡς ὁπότ' Ἠλείοισι] ἐξ ἀναστροφῆς τὸ διήγημα· ἐπὶ γὰρ τοῖς ἐπιμηκεστέροις τῶν διηγημάτων τὸ μὲν ἀπ' ἀρχῆς ἰέναι ἐπὶ τὴν ἀφήγησιν ἀμβλυτέραν τὴν ἀκρόασιν καθίστησι, τὸ δὲ ἐκ τῶν πρακτικῶν ἄρχεσθαι ἡδύ· ἡ δὲ ἀρχὴ τοῦ διηγήματος οὕτως ἔχει. Ἡρακλῆς ἐκάκωσε τὴν Πύλον, καὶ τοὺς ἰα' τῶν Νηλέως παίδων ἀνεῖλε. διὸ Ἠλεῖοι περιφρονήσαντες ἔθλιβον αὐτούς, καὶ δὴ Αὐγείας ὁ τῶν Ἠλείων βασιλεὺς ἀφικομένους ἵππους Νηλέως ἐπὶ Ὀλυμπιακὸν ἀγῶνα ἤ τινα τῶν ἐπιταφίων ἀφείλετο. τοῦτο ἐκίνησε Πυλίους. γενομένης δὲ μάχης ἀποθνήσκουσι μὲν καὶ ἄλλοι, ἀλλὰ καὶ Ἰτυμονεὺς ὑπὸ τοῦ Νέστορος. νικήσαντες δὲ οἱ περὶ Πύλον τὴν λείαν διενείμαντο. ἐπιστρατεύουσι δὲ αὐτοῖς ἡμέρᾳ τρίτῃ ἐκεῖνοι· πολιορκούντων δὲ αὐτῶν τὸν Θρύον φήμη τις ἦλθεν εἰς Πύλον μηνύουσα τὴν ἔφοδον τῶν πολεμίων. στρατεύσαντες δὲ Πύλιοι πάλιν νικῶσι τοὺς Ἠλείους, καὶ ἀριστεύει Νέστωρ.

674. ῥύσια] τὰ ἀντὶ τινῶν ἑλκόμενα, οἱονεὶ ἃ ἀντὶ τῶν ἡρπασμένων ἁρπάζομεν.

3. * αὐτοὺς ἡμιτελεῖς] αὐτόν

35. ἡρπάζομεν] * ἁρπάζομεν

675. ἐν πρώτοισιν] ἢ πρῶτον ἀνῃρῆσθαι αὐτόν φησιν, ἢ ἐν πρώτοις μαχόμενον.

676. περίτρεσαν] περὶ πᾶσαν ὁδὸν ἔφυγον.

677. ἤλιθα πολλήν] λίαν ἠθροισμένην· ἐξ οὗ καὶ ἠλίθιος ὁ παχὺς τὸν νοῦν καὶ μὴ ἀκριβής. ἢ παρὰ τὸ ἁλίσαι, ὅ ἐστιν ἀθροῖσαι.

678. πεντήκοντα βοῶν ἀγέλας] αἰδήμων ὁ Πάτροκλος· ἐπειγόμενος γὰρ ἀνέχεται μακρολογοῦντος τοῦ γέροντος. οἰκονομικῶς δὲ πέπλασται ἡ μακρολογία, ἵνα Εὐρύπυλος ἐκ τῆς μάχης φθάσας ἐλθεῖν περιτύχῃ Πατρόκλῳ καὶ θεραπευθῇ.

686. χρέως] δάνειον· οἷς γὰρ οἱ ὀφείλοντες καταβάλλουσι, καὶ οἱ ἀδίκως λαμβάνοντες καταβάλλειν ὀφείλουσιν.

*δίῃ] δίη ὠνομάσθη ἀπὸ τοῦ τιμᾶσθαι παρ' αὐτῇ τὸν Δία, οὗ καὶ πανήγυρις. τριετῆ γὰρ χρόνον ἤγετο τὰ Ὀλύμπια, ἔνθα καὶ ἠγωνίζοντο οἱ ἀπὸ τῆς Ἑλλάδος πάντες.

688. *Ἐπειοί] Ἠλεῖοι ἀπὸ Ἐπειοῦ βασιλέως, οὕτως· Ποσειδῶνος καὶ Εὐρυπύλης τῆς Ἐνδυμίωνος παῖς Ἠλεῖος ὁ κτίσας Ἦλιδα, Ἠλείου δὲ Ἄλεξις καὶ Ἐπειός, ἀφ' οὗ Ἐπειοί, ὥς φησιν Ἀριστοτέλης ἐν τῷ πέπλῳ.

εἰς τὸ ὄφελλον ὑποστιγμὴν δεῖ γράφειν, εἰς δὲ τὸ ἦμεν τελείαν· εἶτα λέγει τὸ ὁπόθεν κεκακωμένοι. ἐὰν δὲ εἰς τὸ ὄφελλον στίξωμεν, ὁ ἑξῆς στίχος κατ' ἰδίαν ἀναπεφώνηται, καὶ τὸ ὡς ἀντὶ τοῦ οὕτως.

690. φασὶ τῶν Θηβαίων διαφερομένων τοῖς Ὀρχομενίοις καὶ πολεμούντων αὐτοῖς, οἱ Πύλιοι ὡς οἰκείοις συνηγωνίζοντο· ὅθεν Ἡρακλῆς ὀργισθεὶς τοὺς Πυλίους ἐπολιόρκησεν.

692. δώδεκα γὰρ Νηλῆος] ἐκ Νηλέως τοῦ Τυροῦς καὶ Ποσειδῶνος καὶ ἐκ Χλώριδος τῆς Ἀμφίονος καὶ Νιόβης γίνονται παῖδες οἵδε, Περικλύμενος, Πεισίστρατος, Ἄλκιμος, Ὕψηνωρ, Πυλαιμένης, Λυσίμαχος, Ἱπποκόων, Πεισήνωρ, Ἱππόλοχος, Ἀγησίλαος, Λύσιππος καὶ Νέστωρ· οὗτος δὲ γαμεῖ Μνησιόχην τὴν Ἀμφιδάμαντος, ἐξ ἧς καὶ αὐτὸς γεννᾷ παῖδας ἑπτά.

699. δύο ἦσαν συνωρίδες, ἵνα εἰ ἡ ἑτέρα πάθοι, ἡ ἑτέρα ἀγωνίζοιτο· ἄμφω δὲ πρὸς μίαν νίκην. οἱ γὰρ ἥρωες οὐδέποτε τετρώρῳ χρῶνται.

27. *καὶ ἐκ Χλώριδος] om. Ἀμφίονος] ἀμφίωνος
29. *Πεισήνωρ] πισήνωρ
32. *εἰ] ἦν

700. περὶ τρίποδος] οὐκ οἶδε τὰ Ὀλύμπια ὁ ποιητὴς, ἀλλὰ περί τινος χρηματικοῦ ἀγῶνός φησιν ἀπελθεῖν τοὺς ἵππους.

703. ἐπέων] δείκνυσιν ὅτι οὐ μόνον τοὺς ἵππους ἀφείλετο, ἀλλὰ καὶ αὐτὸν ἐβλασφήμει ἐν τῇ ἀφαιρέσει.

708. εἰς τὸ ὁμῶς ὀλίγη διαστολή.

711. Θρυόεσσαν λέγει, ἣν καὶ Θρύον εἶπεν, Ἀλφειοῖο πόρον (Il. 2, 592). αἱ περιγραφαὶ δὲ προσεκτικοὺς ἀπεργάζονται τοὺς ἀκροατάς. ἔστι δὲ ὅριον ἔσχατον, ὁρίζον Πύλον καὶ Ἦλιν.

715. ἄγγελος ἦλθε] οὗ πεμφθεῖσα ὑπό τινος, ἀλλ' ἀφ' ἑαυτῆς. ἦκε δὲ, ὅτι τότε μὲν πρὸς ἀγροίκους ἦν ἡ μάχη, νῦν δὲ πρὸς ἐμπείρους πολέμου.

717. οὐδέ με Νηλεύς] τεχνικῶς τῷ παραδείγματι διδάσκει Πάτροκλον, εἰ καὶ Ἀχιλλεὺς αὐτὸν εἴργει, λαθόντα προελθεῖν εἰς μάχην.

719. οὐ γάρ πω] καὶ πῶς πρότερον ἐνίκησεν; ὅτι πρὸς ἀπείρους ἦν ἡ μάχη, τὰ δὲ νῦν πρὸς ἐπιστήμονας.

721. καὶ πεζός περ ἐών] καὶ τοῦτο πρὸς ἔλεγχον Ἀχιλλέως τοῦ θαυμαστὸν ἱππικὸν ἔχοντος.

725. τὸ πολύαρχον καινίζει τὴν ἀκρόασιν, καὶ τὸ ὁμοειδὲς ἀποκόπτει, καὶ σαφήνειαν προβάλλει, καὶ ἀνάπαυλαν τῇ ἀκοῇ καὶ προσοχὴν ἐμποιεῖ, παραδιδοῦσα μὲν τῇ μνήμῃ τὰ εἰρημένα, τοῖς δὲ ἑξῆς προσέχειν ἐξ ἀρχῆς ἀναγκάζουσα.

730. τελέεσσι] τοῖς τάγμασι. δείκνυσι δὲ ὅτι οὐδὲ κοιμώμενοι ἢ ἐσθίοντες διέλυον τὰς τάξεις.

731. κατεκοιμήθημεν ἐν ἕντεσι] στρατιωτικὸν καὶ τοῦτο παράγγελμα, τὸ ἅμα τοῖς ὅπλοις κοιμᾶσθαι.

734. πρὶν ἀπολέσαι, μέγας αὐτοῖς ὁ κίνδυνος ὤφθη.

738. κόμισσα δὲ μώνυχας ἵππους] ὅτι πάντα προθυμίᾳ κατορθοῦται, ὅπου γε καὶ ἃ εἶρξεν ὁ πατὴρ, ταῦτα ἑαυτῷ πεπόρισται.

741. ἣ τόσα φάρμακα] τοῦτο πρὸς αὔξησιν τῆς ἑαυτοῦ ἀρετῆς, εἴ γε μηδὲ ἡ γυνὴ ἔσωσεν αὐτὸν, φάρμακα εἰδυῖα πολλά.

754. ἀσπιδέος] κυκλοτερεῦς· ὅταν γὰρ ἐν ἀναπεπταμένῳ τόπῳ ὦμεν, κυκλοτερῆ αὐτὸν ὁρῶμεν. οἱ δὲ, τοὺ ἀσπίδας ἔχοντος διὰ τὸ πλῆθος.

*ἣ ἐν ᾧ αἱ τῶν ἀνῃρημένων ἀσπίδες ἔκειντο. ἢ ἐπιμήκους.

759. τοὺς μὲν Πυλίους Ἀχαιοὺς, τοὺς δὲ Ἠλείους Ἐπειοὺς διαιρῶν καλεῖ.

761. Νέστορί τ' ἀνδρῶν] ὀνομαστὶ ἑαυτὸν λέγει, ἀναμιμούμενος τὴν φωνὴν τῶν ἐπαινούντων. ἅμα δὲ καὶ ἐμφαίνει Πατρόκλῳ ὡς καὶ αὐτὸς ἰσοθέου τεύξεται τιμῆς πολεμῶν.

763. λέγει ὅτι ἔχων ἀρετὴν οὐ μεταδίδωσιν, ἀλλὰ μόνος ὀνήσεται. ἢ οὐδὲ μόνος, τοῖς εἰς ἔπειτα μὴ λιπὼν ζῆλον.

ἦ τέ μιν οἴῳ] λέγει ὅτι καὶ ἡ αὐτοῦ ἀγριότης εἰς ἔλεον τραπήσεται τοῦ δεινοῦ γεγονότος. οὐ παρακαλεῖ δὲ, ὅτι νεωστὶ τὰς παρακλήσεις ἀπέβαλε.

765. ὦ πέπον, ἦ μὲν σοί γε] καὶ Ὀδυσσεὺς τοιαῦτα ἐν ταῖς Λιταῖς ἔλεγεν, ἀλλ' ὁ μὲν κεφαλαίοις, ὁ δὲ καὶ τοῦ καιροῦ καὶ τοῦ τόπου ὑπομιμνήσκει.

767. ἀθετοῦνται στίχοι ιθ'. πῶς γὰρ ὧδε μὲν Πηλεὺς ἀριστεύειν ἐπιτάσσει, ἐν δὲ ταῖς Λιταῖς μεγαλήτορα θυμὸν ἴσχειν; ὅτι οὗ δέονται, τούτου ὑπομιμνήσκουσιν· ὁρᾷ γὰρ ὁ Νέστωρ ὡς ἐλώφησε νῦν τῆς ὀργῆς. καὶ διὰ τί Πηλεὺς τοὺς περὶ Νέστορα οὐ φιλοφρονεῖται, ἀλλ' Ἀχιλλεύς; σπουδάζει ἀποδεῖξαι Ἀχιλλέα τότε μὲν προθύμως ὑποδεξάμενον, νῦν δὲ ἀποδοκιμάζοντα. αὔξει δὲ νῦν τὸν Πάτροκλον, ὡς δεόμενος αὐτοῦ, καὶ ἠρέμα διδάσκει ὅτι σύμμαχος τῷ Ἀγαμέμνονι πέμπεται, οὐχὶ προσθήκη τῆς συμμαχίας Ἀχιλλέως. ἐν καιρῷ δὲ ἐδήλωσε τὰ τῆς στρατιλογίας, ὅτι οἱ ἀριστεῖς εἰς τὸ λαὸν ἀγείρειν ἐκπέμπονται.

769. Πηλῆος δ' ἱκόμεσθα] ὁ δέ ἀντὶ τοῦ γάρ. εἰπὼν δὲ ὅτι τῶν παραινέσεων ἠκούσαμεν ἐπὶ τὴν ἀρχὴν ἀνατρέχει, δηλῶν πῶς ἄρα καὶ ἤκουσαν.

773. ἐπὶ τῶν θεῶν μαρτύρων συμμάχους ὑμᾶς παρειλήφαμεν, οὓς καὶ νῦν ἀδικεῖτε, φησὶ, τῆς συμμαχίας ἀφιστάμενοι.

778. ἐς δ' ἄγε] οὐκ ἐκ προπετείας τοῦτο ποιεῖ Ἀχιλλεὺς, ἀλλ' ἐκ φιλοξενίας.

779. ξείνια] ἔλεγχός ἐστι τῆς Ἀχιλλέως ὠμότητος, ὅτι φιλοφρονησάμενος καὶ μεταδοὺς ξενίων περιορᾷ νῦν τοὺς ξένους ἀναιρουμένους.

785. σοὶ δ' αὖθ'] ὅσα ἐβούλετο Πατρόκλῳ παραινεῖν, ταῦτα ποιεῖ τὸν Μενοίτιον ὑποτιθέμενον, ὡς καὶ τῷ Ἀχιλλεῖ Ὀδυσσεύς. καὶ ἀμφότεροι δεόντως, ἵνα μὴ δόξωσιν οἱ ἀκούοντες Ὀδυσσέα ἢ

34. μὴ addidit Bekkerus.

Νέστορα εἶναι τὸν παραινοῦντα, ἀλλὰ μᾶλλον τὸν πατέρα. ὑπέρτερον δὲ ἀεὶ τὸν ὑπερέχοντά φησιν· Ἴωνες δὲ τὸν μετέωρον.

786. *Πορφυρίου εἰς τὸ γενεῇ μὲν ὑπέρτερός ἐστιν Ἀχιλλεύς. οὐ λέγει ὅτι τῇ γεννήσει σοῦ ἐστὶν ὑπερέχων, ἵν' ᾖ πρεσβύτερος, ὥς τινες τῶν τραγικῶν ἤκουσαν· πῶς γὰρ ἂν ἐπήγαγε "πρεσβύτερος δὲ σύ ἐσσι·" ἀλλ' ὑπερτέραν γενεὰν λέγει οὐ τὴν χρόνῳ ὑπερέχουσαν, ἀλλὰ γένους ἀξίᾳ. ὥς που ἔφη "τὸν μὲν ἀρείω καλλείπειν, σὺ δὲ χείρων' ὀπάσσεαι αἰδοῖ εἴκων, ἐς γενεὴν ὁρόων," καὶ ἐπάγει "μηδ' εἰ βασιλεύτερός ἐστι" (Il. 10, 237). τὸ γενεῇ ὑπέρτερος ἔφη ἐν ἄλλοις "Τρώων εὐηγενέων" (Il. 23, 81) καὶ "εὐηγενέος Σώκοιο" (427), καὶ τὸ ἐναντίον "τῷ οὐκ ἄν με γένος γε κακὸν καὶ ἀνάλκιδα φάντες" (Il. 14, 126).

788. τουτέστιν, σὲ ἐκείνῳ οὐ δεῖ πείθεσθαι φησὶν, νῦν δὲ τὸ ἐναντίον ποιεῖς. διδάσκει δὲ ἡμᾶς διδαχῆς καὶ ὑποθήκης ἀνέχεσθαι.

790. λήθεαι] εὐπρεπῶς τὴν ἀπείθειαν λήθην ὠνόμασεν, ἐπαγόμενος αὐτόν.

792. τίς δ' οἶδ' εἴ κεν] περιεῖλε τὸν ὄκνον αὐτοῦ, ἄδηλον εἶναι τὴν ἀπείθειαν Ἀχιλλέως ὑπογράφων. ἅμα δὲ καὶ εὔελπιν ποιεῖ τῇ παρὰ τοῦ δαίμονος ἐπικουρίᾳ· ἴσως γὰρ, φησὶ, καὶ τὸ δαιμόνιον συμβαλεῖταί σοι.

793. *ἑταίρου] τουτέστιν ἀγαθοῦ ἑταίρου.

794. εἰ δέ τινα] εἰδὼς τὸ φιλόδοξον αὐτοῦ ἐρεθίζει, φιλοψυχίαν καὶ φόβον κινδύνων ὀνειδίζων. δύο δὲ προβέβληται, καὶ ἀμφοτέρων ἐπέτυχεν. ἔστι δὲ ἁπάσης ἀντιλογίας στερητικόν· βοηθείτω γὰρ, φησὶ, μὴ κινδυνεύων αὐτός.

798. καί τοι τεύχεα καλὰ δότω] οἶδε τὸ φιλότιμον Ἀχιλλέως, ὅπως ἡ δόξα τῆς μάχης πάλιν εἰς αὐτὸν ἀναδράμῃ. ἅμα δὲ καὶ θεραπείαν ἔχει Ἀχιλλέως, εἰ τὰ ἐκείνου ὅπλα ὀφθέντα καὶ ἄλλος τις δόξας εἶναι Ἀχιλλεὺς ἀριστεύει.

800. ἀρήϊοι] εὖ τὸ ἐπίθετον· πολεμικοὶ μὲν ὄντες, τὸ δὲ νῦν δυστυχοῦντες.

801. πρὸς τὴν ἀνάγκην μόνον, φησὶ, μικρὸν συμμαχῆσαι δεῖ· ἐν βραχεῖ γὰρ καὶ συντόμῳ δύναται αὐτοῖς τὰ τῆς ἐπικουρίας γενέσθαι.

3. *Πορφυρίου εἰς] om. 7. ἀξίᾳ Vill.] ἀξίων
16. ἐπαγόμενος Bekkerus] ἀπαγόμενος

ἡ ἀνάπνευσις, φησὶ, τῶν νικωμένων παρὰ μικρὰν ῥοπὴν γίνεται, καὶ πολλάκις ἑνὸς ἀνδρὸς ἐπιφάνεια ἢ φόβου ὑπόνοια μεγίστην ποιεῖ μεταβολήν.

802. κεκμηότας ἄνδρας ἀϋτῇ] ἢ τοὺς κεκοπωμένους τῇ μάχῃ· ἢ τοῦτό φησιν, ὅτι οἱ ἀναπαυόμενοι τοὺς κεκοπωμένους ἀϋτῇ μόνῃ ἤτοι βοῇ ὤσεσθε. τοῦτο γὰρ οἰκειότερον εἰπεῖν τῷ ῥᾳδίαν ἀποφαίνοντι τὴν νίκην.

805. βῆ δὲ θέειν] διὰ τοῦ θέειν ἐδήλωσεν ὅσην εἶχε προθυμίαν· ὅθεν καὶ ἐπαναλαμβάνεται πάλιν τὴν λέξιν.

809. ἔνθα οἱ Εὐρύπυλος] οἰκονομικῶς, ἵνα καὶ τῇ θέᾳ τοῦ τρωθέντος καὶ τοῖς λόγοις πλέον ὀρινθῇ καὶ τῷ ἐσομένῳ πτώματι τοῦ τείχους.

811. σκάζων] διὰ βραχέων πολλὰ δεδήλωκε· τοῦ μὲν γὰρ καμάτου σημεῖον ὁ ἱδρὼς, τοῦ τραύματος τὸ αἷμα, τῆς ἀλγηδόνος δὲ τὸ σκάζειν.

νότιος] ὁ ἐκ τοῦ νοσεῖν τὸ σῶμα γινόμενος.

813. νόος γε μὲν ἔμπεδος ἦεν] οἰκονομικῶς αὐτῷ τὸν νοῦν ἐφύλαξεν ὁ ποιητὴς, ἵνα Πατρόκλῳ εὐσταθῶς ὁμιλῇ.

816. ἆ δειλοὶ Δαναῶν ἡγήτορες] εὖ τὸ μὴ πρὸς Εὐρύπυλον ποιήσασθαι τὸν λόγον, μηδὲ τὴν τούτου συμφορὰν ἀπολοφύρεσθαι, ἀλλὰ τοὺς σύμπαντας ἡγεμόνας ἀνακαλεῖν, καὶ τούτων θρηνεῖν τὰ παθήματα, ὡς ἐν τῷ Εὐρυπύλῳ αὐτὰ θεώμενον.

820. ἦ ῥ' ἔτι που σχήσουσι] ὅρα πῶς παντελῶς ἀπεγνώκει τὰ Ἑλληνικὰ ὑπὸ τῶν Νέστορος λόγων καμφθείς.

824. δύναται τὸ πεσέονται καὶ ἐπὶ τῶν Ἑλλήνων καὶ ἐπὶ τῶν Τρώων νοεῖσθαι, ὥς φησιν Ἐπαφρόδιτος.

829. ἔκταμ' ὀϊστόν] ἴδιον τοῖς κάμνουσιν ἐπιτάσσειν τοῖς ἰατροῖς ἃ δεῖ πράττειν, διὰ τὸ ἐπείγεσθαι ταῖς ὀδύναις.

830. ἤπια φάρμακα] οὗτος μὲν ὡς ἀλγῶν πραέα φάρμακα βούλεται· ὁ δὲ ῥίζαν πικρὰν βάλλει ὡς εἰδώς.

832. δικαιότατος Κενταύρων] φιλοξενώτατος· δίκαια γὰρ τὰ ξένια. ἐπιμέλεια δὲ ἦν τοῖς παλαιοῖς μουσικῆς καὶ ἰατρικῆς.

835. χρηΐζοντα καὶ αὐτόν] οἱ γὰρ ἄλλους, φησὶν, ἰώμενοι νῦν χρήζουσι καὶ αὐτοὶ τῶν ἰωμένων.

31. δίκαια Bekk.] δικαιότατα

842. ὑπὸ στέρνοιο λαβών] ὑπολαβὼν αὐτὸν τοῦ στήθους. ὅρα δὲ τὴν ἀνάγκην ὅση ἦν.

844. ἐκτανύσας] διὰ τί ἐκτανύει καὶ οὐχ ἑστῶτος βελουλκεῖ; ἠδύνατο μὲν καὶ ἑστῶτος βελουλκῆσαι, ἀλλ' οὐ μόνον τοῦ βελουλκεῖν ἕδει· συνεαγέντος γὰρ τοῦ βέλους ἔνδοθεν τοῦ μηροῦ, οὐκ ἄλλως ἦν αὐτὸ ἐκβληθῆναι ἢ διὰ χειρουργίας, ὅθεν φησὶ τὸ τάμνε μαχαίρῃ· καὶ δῆλον ὡς μαχαίρᾳ τὸ σῶμα τεμὼν ἐκβάλλει αὐτό.

846. τινὲς Ἀχίλλειαν τὴν βοτάνην καλοῦσιν. καὶ πόθεν αὐτῷ τὸ φάρμακον; ἴσως μὲν συμπεριφέρει τὴν ῥίζαν ὡς χρήσιμον εἰ ἐντύχοι τραυματίᾳ φίλῳ· καὶ μάλιστα εἰκὸς αὐτὸν νῦν εἰληφέναι, ὅτι ἐπὶ τραυματίαν ἔρχεται. τάχα δὲ ἐκ τοῦ παρακειμένου λειμῶνος τὴν ῥίζαν ἔμπειρος ὤν. ἴσως δὲ καὶ θεράπων πεμφθεὶς κατὰ τὸ σιωπώμενον ἐκόμισεν.

διὰ τί χερσὶ καὶ οὐ μᾶλλον λειαντικοῖς ὀργάνοις; ὅτι οὐκ ἔδει πολλῆς λεπτότητος τῷ φαρμάκῳ, τοῦ αἵματος, ὡς φησι, κελαρύζοντος καὶ ἀποπτύοντος τὸ λεπτὸν καὶ χυοῦδες. τῷ δὲ Μενελάῳ ἐπιπάσσει τὸ φάρμακον βραχείας οὔσης τῆς τοῦ αἵματος φορᾶς.

ΕΙΣ ΤΗΝ Μ.

Τῆς ἠπιότητος δεῖγμα Πατρόκλου τὸ μηδὲ μετὰ τὴν χειρουργίαν ἀποστῆναι Εὐρυπύλου. τάχα δὲ ἡ περὶ Εὐρύπυλον ταραχὴ λαθέσθαι αὐτὸν Ἀχιλλέως ἐποίησεν. πάλιν δὲ μεταβέβηκεν ἐπὶ τὰς μάχας ὁ ποιητής. ἔδει γὰρ τὰ τῆς μάχης εἰπεῖν, ὅπως θεασάμενος Πάτροκλος κινηθείη μᾶλλον εἰς ἔλεον. εἰ δὲ ἐπιμηκεστέρα γέγονεν ἡ ἐπιμέλεια, μὴ θαυμάσῃς· διαφόρους γὰρ πράξεις ἐν ἑνὶ λέγειν καιρῷ ἀδύνατον.

3. ὁμιλαδόν] καθ' ὁμίλους, ὡς φυλαδὸν κατὰ φυλάς, οἷον οὐ καθ' ἕνα ἄνδρα, ἀλλ' ὅλων τῶν τάξεων ἐγίνετο συμβολή.

3, 4. οὐδ' ἄρ' ἔμελλεν τάφρος] τετραμένων τῶν ἀριστέων μένειν ἐν τῇ πεδιάδι Ἕλληνες οὐκ ἐδύναντο. ἀναγκαίως οὖν τὴν πεδιάδα μάχην ἐπὶ τειχομαχίαν μεταφέρειν βούλεται· τούτου γὰρ χάριν καὶ ἀνέπλασε τὴν τειχοποιίαν, ὑπὲρ τοῦ ἀγῶνας κινῆσαι ἐπὶ τῇ τειχομαχίᾳ. ἐπὶ οὖν τοῦ Τρωϊκοῦ τείχους τοῦτο ἀμήχανον (θεοποίητον γὰρ ἦν)· ἐπεὶ δὲ αὐτὸς ἀνήγειρε τὸ τεῖχος, διὰ τοῦτο καὶ

4. * τοῦ βελουλκεῖν] τὸ βελουλκεῖν
7. * μαχαίρᾳ] μαχαίρῃ
17. * αἵματος] τραύματος
25. * ὅλων] ὁμοῦ

ἠφάνισεν αὐτὸ, τὸν ἔλεγχον συναφανίζων. τῆς δὲ ἀφανείας αἰτίαν ἀπέδωκε τὸ μηνῖσαι θεοὺς θυσιῶν μὴ τυχόντας ἐπ' αὐτῷ.

5. ἡ ἀμφὶ τὴν συνάφειαν καὶ ἐγγύτητα δηλοῖ, ὥσπερ φαμὲν "περὶ τοῦτον οἰκῶ τὸν τόπον," τὴν πλησίον δηλοῦντες σχέσιν.

6. ἤλασαν] ἐξέτειναν, ἀπὸ μεταφορᾶς τῶν σιδήρων.

7. διὰ τοῦτο αὐτὸ ἐποίησαν, ἵνα σώζοι αὐτῶν τὸν ναύσταθμον καὶ αὐτούς. δείκνυσι δὲ ὅτι πάντων ἀρχηγὸν ἡγεῖσθαι δεῖ τὸ θεῖον· διὰ γὰρ τοῦτο αὐτοὶ μὲν ἀτυχοῦσι νῦν, τοῦτο δὲ φθείρεται.

9. ἔμπεδον] οὐκ ἔστιν ἀντὶ τοῦ ἀσφαλές· ἐπεπόρθητο γὰρ ὑπὸ Σαρπηδόνος καὶ Ἕκτορος· ἀλλ' ἀντὶ τοῦ ἐν τῷ πεδίῳ τὰ θεμέλια ἔχον.

12. *Πορφυρίου. διὰ τί σχεδὸν ὅλου καταλυθέντος τοῦ τείχους ἐν τῷ πολέμῳ, πρῶτον μὲν ὑπὸ Σαρπηδόνος, "Σαρπηδὼν δ' ἄρ' ἔπαλξιν—τεῖχος ἐγυμνώθη" (397–399), μετὰ δὲ ταῦτα ὑπὸ τοῦ Ἀπόλλωνος "προπάροιθε δὲ Φοῖβος Ἀπόλλων καπέτοιο βαθείης, ποσὶν ἐρείπων ἐς μέσον κατέβαλε, γεφύρωσε δὲ κέλευθον" (Il. 15, 355–357). καὶ μετ' ὀλίγον πάλιν (361–366) "ἔρειπε δὲ τεῖχος Ἀχαιῶν ῥεῖα μάλ' ὡς ὅτε τις ψάμαθον παῖς ἄγχι θαλάσσης· ὥς ῥα σὺ, ἥϊε Φοῖβε, πολὺν κάματον καὶ ὄϊζὺν σύγχεας Ἀργείων." πῶς οὖν πεπτωκότος τοῦ μέρους τοῦ τείχους φησὶν ὁ ποιητὴς "ὄφρα μὲν Ἕκτωρ ζωὸς ἔην καὶ μήνι' Ἀχιλλεύς, τόφρα δὲ καὶ μέγα τεῖχος Ἀχαιῶν ἔμπεδον ἦεν" ὅτε δὲ, φησὶν, ἑάλω ἡ πόλις "Ἀργεῖοι δ' ἐν νηυσὶ φίλην ἐς πατρίδ' ἔβησαν, δὴ τότε μητιόωντο Ποσειδάων καὶ Ἀπόλλων τεῖχος ἀμαλδῦναι;" ῥητέον οὖν ὅτι ἔμπεδον οὐ τὸ ἑδραῖον καὶ νῦν σημαίνει ἡ λέξις, ἀλλὰ κυρίως τὸ ἐν τῷ πεδίῳ· καὶ πεπτωκὸς δὲ τὸ τεῖχος ἐν τῷ πεδίῳ ἔκειτο. οὐκ εἰς πτῶσιν οὖν τινὰ ἡ ἀναβολὴ, ἀλλ' εἴς τε τὴν τοῦ παντὸς πτῶσιν καὶ εἰς τὴν ἐκ τοῦ πεδίου ἐκβολήν· τὸ γὰρ ἐπάγγελμα "ὄφρα κε θᾶσσον ἁλίπλοα τείχεα θείη" (26) καὶ "πάντα θεμείλια κύμασι πέμπε" (28) "λεῖα δ' ἐποίησεν παρ' ἀγάρροον Ἑλλήσποντον, αὖτις δ' ἠϊόνα μεγάλην ψαμάθοισι κάλυψε, τεῖχος ἀμαλδύνας" (30–32). ἀντίκειται οὖν τὸ ἀμαλδῦναι τὸ τεῖχος, ὅπερ ἐστὶν ἀφανίσαι ἐκ τοῦ τόπου ἐν ᾧ ἦν τῷ ἔμπεδον εἶναι. οὐκ ἂν οὖν τὸ ἔμπεδον σημαίνοι τὸ ὀρθὸν ὅλον καὶ ἀκίνητον, ἀλλὰ μόνον τὸ ἐν πεδίῳ κείμενον. οὕτω καὶ Ἄρατος (13) ἐπὶ τῶν φυτῶν τῷ ἔμπεδον κέχρηται, εἰπὼν "ὄφρ' ἔμπεδα πάντα φύωνται" ἀντὶ τοῦ ἐν πεδίῳ καὶ τῇ γῇ κείμενα.

11. *Πορφυρίου] om.

*Πορφυρίου. ὄφρα μὲν Ἕκτωρ ζωὸς ἦεν—ἔμπεδον ἦεν. ἀπορίαν εἰκότως παρέσχε τὰ ἔπη ταῦτα, ἃ περὶ τοῦ τείχους τῶν Ἀχαιῶν ὁ ποιητὴς ἀναπεφώνηκεν. τὸ γὰρ τεῖχος τῶν Ἀχαιῶν οὐκ ἔμενεν ἔμπεδον ἐφ' ὅσον ὁ μὲν Ἕκτωρ ἔζη καὶ ἐμήνιεν Ἀχιλλεύς, ἡ δὲ τοῦ Πριάμου πόλις ἀνάλωτος ἔμενεν, μετὰ δὲ τὴν ἅλωσιν Ἰλίου καὶ τὸν ἀπόπλουν τῶν Ἀχαιῶν τότε κατηρείφθη· ἔτι γὰρ τοῦ πολέμου συνεστῶτος καὶ Ἀχιλλέως μηνίοντος, Ἕκτορος δὲ περιόντος καὶ ἀριστεύοντος ὑπὸ τῶν Τρώων τὸ τεῖχος τῶν Ἀχαιῶν κατηρείφθη καὶ διοδεύσιμον γέγονε τοῖς πολεμίοις· ὁ μὲν γὰρ Σαρπηδὼν τὰς ἐπάλξεις αὐτοῦ καὶ μέρος τι καταβέβληκεν, ὁ δὲ Ἕκτωρ τοὺς ὀχῆας αὐτοῦ καὶ τὰς πύλας διέρρηξεν, ὁ δὲ Ἀπόλλων σχεδὸν ὅλον αὐτὸ διέλυσε. φησὶ γὰρ ἐπὶ μὲν Σαρπηδόνος (397) "Σαρπηδὼν δ' ἂρ ἔπαλξιν ἐλὼν χερσὶ στιβαρῇσιν ἕλκε, ἡ δ' ἔσπετο πᾶσα διαμπερές· αὐτὰρ ὕπερθε τεῖχος ἐγυμνώθη, πολέεσσι δὲ θῆκε κέλευθον·" ἐπὶ δὲ τοῦ Ἕκτορος (452) "ὣς Ἕκτωρ ἰθὺς σανίδων φέρε λᾶαν ἀείρας, αἳ ῥα πύλας εἴρυντο πύκα στιβαρῶς ἀραρυίας, στῆ δὲ μάλ' ἐγγὺς ἰὼν καὶ ἐρεισάμενος βάλε μέσσας, εὖ διαβὰς, ἵνα μή οἱ ἀφαυρότερον βέλος εἴη, ῥῆξε δ' ἀπ' ἀμφοτέρους θαιροὺς, πέσε δὲ λίθος εἴσω βριθοσύνῃ, μέγα δ' ἀμφὶ πύλαι μύκον· οὐδ' ἂρ ὀχῆες ἐσχεθέτην, σανίδες δὲ διέτμαγεν ἄλλυδις ἄλλῃ, λαὸς ὑπαὶ ῥιπῆς, ὁ δ' ἂρ ἔσθορε φαίδιμος Ἕκτωρ, κέκλετο δὲ Τρώεσσιν ἐλιξάμενος καθ' ὅμιλον τεῖχος ὑπερβαίνειν· τοὶ δ' ὀτρύνοντος ἄκουσαν, αὐτίκα δ' οἱ μὲν τεῖχος ὑπέρβασαν, οἱ δὲ κατ' αὐτὰς ποιητὰς ἐσέχυντο πύλας." ἐπὶ δὲ τοῦ Ἀπόλλωνος καὶ τῶν Τρώων (15, 360) "τῇ ῥ' οἵγε προχέοντο—θαλάσσης ἢ ἀθύρματα νηπιέῃσιν, ἅψ αὖτις—σύγχεας Ἀργείων." οἱ δὲ Πανέλληνες τοῖς γεγενημένοις μαρτυροῦντές φασι συμφώνως "τεῖχος μὲν γὰρ δὴ κατήριπεν—ἁλίαστον ἔχουσι." τὸ καταριφὲν οὖν τεῖχος οὐχ ὑπὸ ἀνθρώπων μόνον, ἀλλὰ καὶ θεῶν ἐν τῷ τῆς μήνιδος χρόνῳ, τοῦτο λέγειν ἀσφαλὲς καὶ ἀρηρὸς ἐν τῷ τοῦ πολέμου καιρῷ διαμεμενηκέναι μέχρι πορθήσεως Ἰλίου ἄπορον εἰς λύσιν. οἱ μὲν οὖν γραμματικοὶ κατὰ τοῦ πλείστου μέρους ἀξιοῦσι λέγειν ἔμπεδον· ὀλίγον γὰρ εἶναι τὸ σαλευθὲν ὑπὸ τῶν Τρώων. ἀγνοοῦσι δὲ οὗτοι ὅτι τινὰ, κἂν ἐκ μέρους πάθῃ, οὔτ' ἔμπεδά ἐστιν οὔτ' ἀρηρότα. καὶ ἀμφορεὺς διατρηθεὶς, κἂν σχεδὸν ὅλον τὸ κύτος ἄθραυστον ᾖ, οὐκέτ' ἐστὶν

1. *Πορφυρίου] om. Scholion hoc paullo aliter scriptum codice Veneto A ab alia manu illatum vol. 1 p. 413, 29.

ἔμπεδος ἀμφορεὺς, ἀλλ' ὄστρακον· καὶ τεῖχος ὃ μηκέθ' οἷον φυλάσσειν τοὺς τειχίσαντας οὐκέτ' ἂν εἴη ἔμπεδον τεῖχος, ἀλλὰ σωρὸς λίθων. μήποτ' οὖν ἡ ἔμπεδον λέξις οὐκ εἴληπται νῦν μεταφορικῶς ἐν ἴσῳ τῷ ἀσφαλὲς καὶ ἀρηρὸς, οὐδέ ἐστιν ὅμοιον τῷ "οὐδέ μοι ἦτορ ἔμπεδον, ἀλλ' ἀλαλύκτημαι" (Il. 10, 93)· οὐδὲ τῷ "τοὶ δ' ἂρ ἔσαν δίδυμοι, ὁ μὲν ἔμπεδον ἡνιόχευεν" (Il. 23, 641), ἀλλὰ κυρίως νῦν ἐξενήνεκται. τὸ πέδον ἐχούσης ἐντεταγμένον τῆς λέξεως, ὥστε σημαίνοι ἂν τὸ ἐν τῷ πεδίῳ κείμενον καὶ μὴ ἁλίπλοον· ἀντέθηκε γὰρ τὸ ἔμπεδον τῷ ἁλιπλόῳ, τὸ ἐν τῷ πεδίῳ πρὸς τὸ αὖθις ἁλίπλουν γενόμενον· οὐ γὰρ ἔφη τόφρα δὲ καὶ μέγα τεῖχος ἀπόρθητον ἦν καὶ ἄθραυστον, ἀλλ' ἔμπεδον, καὶ πάλιν "οὔτι πολὺν χρόνον ἔμπεδον ἦεν." τί οὖν πάσχει ὕστερον; τῶν ποταμῶν πάντων, φησὶν, "ὁμόσε στόματ' ἔτραπε—συνεχὲς, ὄφρα—μογέοντες Ἀχαιοὶ, λεῖα δ' ἐποίησε παρ' ἀγάρροον Ἑλλήσποντον" (24–30)· ὥστε εἰ καὶ πεπτωκὸς ἦν τὸ τεῖχος, ἀλλ' ἐπὶ τῷ πέδῳ ἦν τὰ πτώματα καὶ τὰ θεμέλια· ὕστερον δὲ πάντα δι' ὕδατός φησιν εἰς θάλασσαν ἐξενεχθῆναι. συνεστώσης δὲ τῆς πόλεως οὐδὲν τοῦ τείχους ἁλίπλουν γέγονεν, οὐδ' ὅτε Ξάνθος ἐπλημμύρει κατ' Ἀχιλλέως. καὶ τὸ κατὰ μεταφορὰν δ' ἔμπεδον, τὸ σημαῖνον τὸ ἀκίνητον, ἀπὸ τῶν ἐν τῷ πέδῳ μενόντων ἀκινήτων λέγεται. τὸ δὲ τεῖχος καθ' αὑτὸ μὲν ἐκινήθη, ἐκ μέντοι τοῦ πεδίου οὐ κατηνέχθη εἰς θάλασσαν, ὅπερ φησὶν αὐτὸ ὕστερον παθεῖν.

15. ἐπεὶ εἰς τὸν Ἕκτορος θάνατον μέλλει τελευτᾶν ἡ ποίησις, ἵνα μὴ οἰηθείη τις ἐπικρατέστερα εἶναι τὰ τῶν Τρώων, εἶπεν ὅτι ἐπορθήθη, ἵνα μὴ ἀτελεσφορήτους Ἕλληνας ἐάσῃ.

19. Ἰδαίων ὀρέων] ἢ τῶν ἀκρωρειῶν τῆς Ἴδης Λεκτοῦ καὶ Γαργάρου καὶ Φαλάκρας, ἢ ἀντὶ τοῦ ἑνικοῦ τῆς Ἴδης πληθυντικῶς φησί.

22. βοάγρια] τὰ εἰς τὴν βοὴν ἀγειρόμενα. ἢ βόεια γέρρα, ὅ ἐστι δέρρα. ἢ τὰ ἐξ ἀγρίων βοῶν γενόμενα.

23. οὐδέποτε τοὺς σὺν Ἀγαμέμνονι ἡμιθέους ὠνόμασεν· ἆρα οὖν τοὺς σὺν Ἡρακλεῖ φησίν; ἢ καὶ τοῦτο πρὸς αὔξησιν τοῦ πάθους.

25. *Πορφυρίου. ἄλογον τοὺς μὲν ἀνθρώπους μιᾷ ἡμέρᾳ τὸ τεῖχος, τοὺς δὲ θεοὺς ἐννέα ἡμέραις καθελεῖν. οἱ μὲν οὖν ἐκ τῆς λέξεως

3. ἔμπεδον Vill.] ἔμπεδος 5. ἔσαν] ἦσαν
33. *Πορφυρίου] om.

λύουσι· τὸ γὰρ ἐννῆμαρ εὐεπιπτώτως λέγουσι λέγειν Ὅμηρον. οἱ δὲ δασύνουσιν, ἵνα ᾖ ἓν ἦμαρ. οἱ δὲ ἀπὸ τοῦ καιροῦ, ὅτι τότε βουλόμενος παντάπασιν ἐξαλεῖψαι τὸ τεῖχος πλασθὲν ὑπ' αὐτοῦ, τοσοῦτον χρόνον ἐποίησε τῆς καθαιρέσεως. οἱ δὲ ἀπὸ τοῦ προσώπου· οὐ γὰρ πρέπει τοὺς ἀριστέας εἰσάγειν τειχοδομοῦντας ἐν πολλαῖς ἡμέραις, ἀπρεπεστέρας οὔσης τῆς ὑπηρεσίας.

*Πορφυρίου. διὰ τί τὸ τεῖχος οἱ μὲν Ἀχαιοὶ μιᾷ ἡμέρᾳ ἐποίησαν, ὁ δὲ Ἀπόλλων καὶ ὁ Ποσειδῶν ἐννέα ἡμέραις κατέβαλον; ἄλογον γὰρ τὸ μὲν χαλεπώτερον ῥᾳδίως τοὺς ἀνθρώπους ποιῆσαι, τὸ δὲ ῥᾷον τὸ καταβαλεῖν τοῦ οἰκοδομῆσαι τοὺς θεοὺς μόλις. ῥητέον δὲ, οὐκ εἰς τὸ καταβαλεῖν ταῖς ἐννέα ἡμέραις κέχρηται, ἀλλ' εἰς τὸ ἁλίπλοα γενέσθαι καὶ τὰ θεμέλια καὶ εἰς τὴν θάλασσαν κατενεχθῆναι "φιτρῶν καὶ λάων τὰ θέσαν μογέοντες Ἀχαιοί," καὶ ἔτι λειῶσαί τε τὸν τόπον καὶ "αὖθις δ' ἠϊόνα μεγάλην ψαμάθοισι καλύψαι." οὐ μὴν τὰ πρὸς τὸ καταβαλεῖν συνηρτημένα εἰς τὸ τέλειον τοῦ ἀφανισμοῦ καὶ τῆς ἠϊόνος τὴν εἰς τὸ ἐξ ἀρχῆς ἀποκατάστασιν. ἅμα δὲ καὶ τῷ ποιητῇ ἡ μὲν τῶν Ἀχαιῶν τειχοποιία οὐ παρεῖχε τὴν διατριβήν· οὐ γὰρ εὐπρεπὲς τοὺς ἀριστέας ποιῆσαι λιθοφοροῦντας· ἡ δὲ τῶν θεῶν μεγαλοπρεπής· τοῖς γὰρ ποταμοῖς καὶ τῇ τριαίνῃ διέλυον τὸ τεῖχος. Καλλίστρατος δὲ ἠξίου ἓν δ' ἦμαρ ἐς τεῖχος γράφειν, δασύνοντας τὸ ἓν, ἐπεὶ μηδέποτε καθ' ἑαυτὸ τὸ ἐννῆμαρ ὁ ποιητὴς εἴρηκεν, ἀλλὰ πάντως ἐπάγων τὴν δεκάτην. "ἐννῆμαρ μὲν ἀνὰ στρατὸν, τῇ δεκάτῃ τε" (Il. 1, 53).

27. τὸ αὐτός τὸ τοιοῦτον ἐπὶ δεσπότου καὶ βασιλέως τίθεται. ἔστι δὲ καὶ Ποσειδῶν πάντων ἄρχων ὑδάτων.

*οἶμαι δ' ἔγωγε καὶ τὸ Ἑλληνικὸν τεῖχος, ὃ πρὸς καιρὸν ἔρυμα τῆς ἰδίας ἀσφαλείας ἐπύργωσαν, οὐχ ὑπὸ τοῦ συμμάχου καθηρῆσθαι Ποσειδῶνος, ἀλλ' ὑπὸ ὑετοῦ δαψιλοῦς γενομένου καὶ τῶν ἀπ' Ἴδης ποταμῶν πλημμυσάντων συνέβη καταρριφθῆναι· ὅθεν ἐπώνυμος τοῦ πάθους γέγονεν ὁ τῆς ὑγρᾶς φύσεως προστάτης Ποσειδῶν, εἰκὸς δὲ καὶ σεισμοῖς διατιναχθὲν ὑπονοστῆσαι τὸ κατασκεύασμα· δοκεῖ δὲ ὁ Ποσειδῶν ἐννοσίγαιος καὶ σεισίχθων εἶναι, τοῖς τοιούτοις τῶν

7. *Πορφυρίου] om.
9. τὸ μὲν Vill.] τὸ μὲν γὰρ
10. ῥᾷον Bekk.] ῥᾴδιον
26—p. 494, 11. Haec ex Heraclito cap. 38 p. 77 transcripta.
26. πρὸς καιρὸν ex Heraclito] πρόσκαιρον
27. ὑπὸ] ὡς Heraclitus
29. καταρριφθῆναι] Apud Heraclitum κατερειφθῆναι vel καταρριφῆναι

παθημάτων ἐπιγραφόμενος. ἀμέλει καί φησιν ὁ ποιητὴς "αὐτὸς δ' ἐννοσίγαιος ἔχων χείρεσσι τρίαιναν."

*δοκεῖ μοι λεπτῶς ἐξετάζοντι μηδὲ τὸ κατὰ τὴν τρίαιναν ἀφιλοσόφητον εἶναι, δι' ἧς ὑφίστανται τοὺς λίθους ἀναμεμοχλεῦσθαι τοῦ τείχους· τὰ γάρ τοι σεισμῶν διαφέροντα τοῖς παθήμασιν οἱ φυσικοὶ λέγουσιν εἶναι, καί τινας ἰδίους χαρακτῆρας ἐπιγράφουσιν αὐτοῖς, βρασματίαν τινὰ καὶ χασματίαν καὶ κλιματίαν προσαγορεύοντες. τριπλαῖς οὖν καθώπλισεν αἰχμαῖς τὸν τῶν σεισμῶν αἴτιον θεόν. ἀμέλει πρὸς βραχὺ κινηθέντων αὐτῶν "τρέμε δ' οὔρεα μακρὰ καὶ ὕλη" (Il. 13, 18), τὸ τῶν σεισμῶν ἰδίωμα τοῦ ποιητοῦ διασημήναντος ἡμῖν.

ἁλμυρὰ καὶ γλυκέα καὶ μικτὰ ὕδατά εἰσιν, ἅπερ ὑφ' ἑαυτὸν ἔχων πάντοτε ἐκεῖσε ἤγαγεν.

29. τὰ θέσαν μογέοντες Ἀχαιοί] τοῦτο ἀνεφώνησεν ὡς συναλγῶν τῷ κόπῳ αὐτῶν. μογέοντες δὲ ἀντὶ τοῦ ἀτυχοῦντες.

36. στικτέον εἰς τὸ δούρατα, καὶ τὴν κατά ἐκδεκτέον.

37. μάστιγα Διὸς τὸν κεραυνόν φησι· προαναφωνεῖ δὲ ὅτι ἐκ Διὸς ἡ ἧσσα ἦν Ἑλλήνων.

41. ὡς δ' ὅταν] πρὸς ἓν μόνον ἤνεγκε τὴν εἰκόνα, πρὸς τὸν Ἕκτορα τὸν ἐν τοῖς Τρωσὶν εἰλούμενον καὶ φοβοῦντα τοὺς ἀκοντιστὰς καὶ πολεμικοὺς Ἕλληνας.

46. *ταρβεῖ] τρισὶ παραγωγαῖς ὁ Ἡρωδιανὸς τοῦτο ὑπέβαλεν· πρῶτον ἐκ τοῦ ταράσσω, τάραβος καὶ τάρβος· δεύτερον, ὅτι ἐκ τοῦ τρέπω ὁ δεύτερος ἀόριστος ἔταρπον, τάρπος, καὶ τροπῇ τοῦ π εἰς β τάρβος· τρίτον, ὅτι τείρω τὸ καταπονῶ, ὁ δεύτερος ἀόριστος ἔταρον, τάρος, καὶ πλεονασμῷ τοῦ β τάρβος, ἐξ οὗ καὶ ῥῆμα ταρβῶ.

διδάσκει μέτρῳ χρῆσθαι ἐν τοῖς πλεονεκτήμασι· ταῦτα γὰρ εἰ μὴ ῥυθμίζοιτο, ἀναιρεῖ τοὺς ἔχοντας.

49. εἰλίσσεθ' ἑταίρους] στικτέον εἰς τὸ ἑλίσσετο, καὶ ἔστιν ἀντὶ τοῦ εἵλεῖτο· οὐδέποτε γὰρ Ἕκτωρ ὡς ἀλαζὼν παρακαλεῖ. οἱ δὲ

1. ἐπιγραφόμενος ex Heraclito] ἐπιγραψάμενος
καὶ et ὁ ποιητὴς om. Heraclitus.
2. Post τρίαιναν plura desunt ex Heraclito supplenda, abscissa superiore folii parte.
3. δοκεῖ] δοκεῖ δέ Heraclitus.
ἐξετάζοντι] τὰ τοιαῦτα addit Heraclitus.
4. ἀναμεμοχλεῦσθαι ex Heraclito] ἀναμοχλεῦσαι
5. τὰ γάρ τοι] τρία γὰρ εἴδε Mehl.
6. εἶναι Mehlerus] ἴσ (ἴσα apud Heraclitum).

ἀντὶ τοῦ παρεκάλει, ὡς ἂν δυσχερῶς καὶ κινδυνώδους οὔσης τῆς πράξεως.

52. ἀπὸ γὰρ δειδίσσετο τάφρος] ἄκρως τὰ περὶ τὴν τάφρον δεινοποιεῖ, ἀγῶνας κινῶν τῷ ἀκρατῇ καὶ ἀνελπιστίαν τῆς διαβάσεως καὶ προσοχὴν τοῦ ἐσομένου τολμήματος.

53. οὔτ' ἄρ' ὑπερθορέειν] θατέρῳ γὰρ τρόπῳ διελθεῖν ἦν ἀναγκαῖον, ἢ ὑπερθορόντας, εἴπερ ἦν σχεδόν, ἢ διαπεράσαντας βάδην, εἴπερ ἦν εὐδιάβατος. ἀμφότερα οὖν παρέλαβε πρὸς τὸ ἀμήχανον· καὶ ἔστι τὸ οὔτ' ἄρ' ὑπερθορέειν ἐξήγησις τοῦ εὐρεῖα, τοῦ δὲ οὔτε περῆσαι τὸ ἐπιφερόμενον. ἀμφοτέρωθεν δὲ οἱ σκόλοπες, ὥστε μήτε τὴν κατάβασιν ῥᾳδίαν εἶναι μήτε τὴν ἔκβασιν.

57. πυκνοὺς εἰς τὸ μὴ μεσάζεσθαι, μεγάλους εἰς τὸ μὴ ὑπερβαίνειν.

62. ἀφραδέως] οὐκ εἶπε θρασέως δι' Ἕκτορα. καὶ τὸ ἐλαύνομεν δὲ τεχνικόν· καὶ ἑαυτὸν γὰρ ἐμπεριλαμβάνει ὡς πρόθυμος μὲν ὢν ὑπακούειν Ἕκτορι, διὰ δὲ τὸ ἀσύμφορον ἀποτρέπων τῆς ἐπιχειρήσεως.

64. ἀπὸ κοινοῦ μὲν τὸ ἑστᾶσιν· ἐπὶ δὲ τοῦ τείχους μεταβάλλεται ὁ ἀριθμὸς ἀντὶ τοῦ ἵσταται.

66. ἱππεῦσι] δῆλον ὅτι οὐδὲ πεζοῖς. ἵνα δὲ μὴ περὶ πάντων λέγων παροξύνῃ Ἕκτορα, περὶ μὲν τῶν πεζῶν οὐδὲν λέγει, περὶ μόνων δὲ τῶν ἱππέων προβάλλεται. ἑξῆς δέ φησιν, αὐτοὶ πρυλέες Ἕκτορι πάντες ἐπώμεθ', οἱονεὶ ἂν οὗτος ἀγάγῃ ἡμᾶς, ὡς οὐκ αὐτὸς ἀρεσκόμενος τῇ διόδῳ. στεῖνος δὲ ὀνομάζει ἀεὶ τὸν δυσχερῆ τόπον· προπερισπᾶται δέ.

τρώσεσθαι] ἐλαττωθήσεσθαι καὶ ταπήσεσθαι· Ἴωνες γὰρ τὰς τροπὰς τρώματα καλοῦσι· καὶ "οἶνός σε τρώει" (Od. 21, 293) ἀντὶ τοῦ παρατρέπει.

69. ἦ τ' ἂν ἔγωγ' ἐθέλοιμι] ὡς ἔμφρων ταῦτά φησιν· οἶδε γὰρ ὅτι πρόσκαιρός ἐστιν ἡ εὐτυχία, καὶ τοῦ μέλλοντος προνοεῖ. εὔχομαι μὲν γάρ, φησί, τοῦτο εἶναι· ἐννοῶ δὲ καὶ τὸ ἕτερον, ὅτι καὶ ἐν τῇ ὑποστροφῇ χείρονα πεισόμεθα. ἴσως οὖν καθόλου τῆς διαβάσεως ἀποτρέπει, ἀλλ' οὐ τολμᾷ τοῦτο πρὸς τὸν Ἕκτορα λέγειν.

70. νωνύμους] ἄνευ ὕμνων, ὅ ἐστιν εὐφημίας τῆς διὰ θρήνων, ἀποβολῇ τοῦ ν̄. ἢ ἀνωνύμους.

72. ἐνιπλήξωμεν] ἀκουσίως. μᾶλλον δὲ ἑκουσίως ἐμπέσωμεν.

73. ἐπίσταται τὸ μέγεθος τοῦ κινδύνου· ἐμφαντικῶς δὲ αὐτὸν παρέστησε διὰ τοῦ περὶ τὸν ἄγγελον διανοήματος.

74. ἐλιχθέντων ὑπ' Ἀχαιῶν] ἡμῶν κυκλωθέντων ὑπὸ τῶν Ἀχαιῶν, ὥστε ὅλος ὁ σκοπὸς αὐτῷ μὴ διαβαίνειν τὴν τάφρον.

78. Ἕκτορι πάντες ἐπώμεθ' ἀολλέες] προσαγωγῶς πάνυ ἐπαίρει αὐτόν· ἠρέμα δὲ ὑποδείκνυσι τὸν κίνδυνον, ὡς οὐκ αὐτὸς τῇ διαβάσει ἀρεσκόμενος.

81. αὐτίκα] εἰκότως οὐδὲ ἀποκρίνεται διὰ τὴν ἔπειξιν. τὸ δὲ αὐτίκα τῆς σπουδῆς σημαντικόν.

86. διαστάντες τῶν ἵππων, ἢ ἑαυτῶν· ἀρτύναντες δὲ καταρτίσαντες.

87. πένταχα κοσμηθέντες] τοσαῦται τῶν Τρώων ἡγεμονίαι, ἐπεὶ πέντε ἦσαν πύλαι. ἢ ἵνα ἀνὰ δύο μέσον δορυφοροῖεν Ἕκτορα, ὃ καὶ ἄμεινόν μοι δοκεῖ εἶναι.

92. ἄκρως ἐπεξειργάσατο τὴν προθυμίαν Ἕκτορος καὶ ὅτι τοῦ ἡνιόχου ἀπέσχετο καὶ τοῦτον παρέλαβεν ὡς ἐπὶ ἀναγκαίαν πρᾶξιν.

93. κατὰ γαστρὸς ἔχουσα ἡ Ἑκάβη ὄναρ ἐθεάσατο, ὅτι ἔτεκε δαλὸν ὑφ' οὗ κατεφλέχθη πᾶσα ἡ πόλις. τὸ οὖν τεχθὲν οὐ γνώμῃ τῶν μάντεων ἐξετέθη, ἀλλὰ γνώμῃ θεῶν, ὃ ὑπὸ τοῦ εὑρόντος ἐτράφη βουκόλου· ἄρκτον γὰρ αὐτῷ γάλα ἐπισχοῦσαν θεασάμενος ἀνέθρεψεν. ἐκλήθη οὖν Πάρις, οὐχ ὅτι, ὥς τινές φασιν, ἐν πήρᾳ ἐτράφη, ἀλλ' ὅτι ἐτράφη καὶ παρῆλθε μόρον· ὕστερον δὲ Ἀλέξανδρος, ὅτι τῇ πατρίδι ἠλέξησεν, ὅ ἐστιν ἐβοήθησε, ἐπελθόντος πολέμου.

96. Ὑρτακίδης, ὃν Ἀρίσβηθεν φέρον ἵπποι] μέλλων αὐτοῦ θρασεῖαν διηγεῖσθαι πρᾶξιν, εἰκότως ἀπεσημειώσατο αὐτὸν διὰ τῶν ἵππων καὶ τοῦ πατρός.

103. *Πορφυρίου. πολλάκις ἀπὸ διαφόρων κλίσεων συνέμπτωσις γενομένη πλανᾷ τοὺς πολλούς, ὡς ἑνὸς ὄντος τοῦ σημαινομένου, ὥσπερ ἔχει τὸ εἴσαντο. σημαίνει γὰρ καὶ τὸ ὑπέλαβον καὶ τὸ ἐπορεύθησαν, καὶ ἴσος καὶ ὅμοιος γενόμενος· ἀλλὰ τὸ μὲν ἀπὸ τοῦ εἴδω, τὸ δὲ ἐπορεύθη ἀπὸ τοῦ ἔω, τὸ δὲ ὡμοιώθη ἀπὸ τοῦ εἴσκω. τὸ

7. Addit B a m. sec. (ad v. 80) οὗτος ὁ Πολυδάμας—καὶ αὐτόθι ἐτελεύτα ex Pausania (6, 5) apud Suidam s. v. Πολυδάμας Σκοτουσαῖος, cum aliqua scripturae diversitate, quam notavit Bernhardyus.

16. *τοῦτον] τὸν

28. *Πορφυρίου] om.

μὲν οὖν δηλοῖ τὰ τοιαῦτα "εἴσατο δ' ὡς ὅτε ῥινόν" (Od. 5, 281) ἓν μέρος ἰδεῖν ὑπέλαβεν, τὸ δὲ ὡς ῥινόν ὡς δέρμα ὑπέλαβε τὰ ὄρη τῶν Φαιάκων· οὐ γάρ ἐστιν ὡς ἐρινεός· ἦν γὰρ ὡς ὅτε ἐρινύς. καὶ τὸ "εἴσομαι αἴ κε τύχωμι" (Od. 22, 7) ἀπὸ τοῦ εἴδω, εἴσομαι, καὶ ἀπὸ τοῦ εἰδῆσαι. τὸ δὲ "εἰσάμενος Κάλχαντι δέμας" (Il. 13, 45) ὁμοιώσας· καὶ "τῷ μιν ἐεισάμενος" (Il. 2, 22), καὶ "εἴσατο δὲ φθογγήν" (ib. 791) ἀντὶ τοῦ ὡμοίωσεν, καὶ "εἰδόμενος Ἀκάμαντι θοῷ" (Il. 5, 462). τὸ μέντοι "εἴσατο νηῶν ἐπ' ἀριστερά" (Il. 12, 118) ἀπὸ τοῦ ἴω γέγονεν, ἀφ' οὗ καὶ τὸ ἴομεν· σημαίνει γὰρ τὸ ἐπορεύθη. τὸ δὲ εἴσατο ἀντὶ τοῦ ὑπέλαβεν ἐκ τοῦ εἴδω, ὁ μέλλων εἴσω. τὸ δὲ εἴσατο ἀντὶ τοῦ ὡμοίωται ἀπὸ τοῦ εἴσκω. τὸ δὲ εἴσατο ἀντὶ τοῦ ἐπορεύθη ἀπὸ τοῦ ἔω. ὡσαύτως κἀν τῷ "αὐτὰρ ἐγὼ ζεφύροιο καὶ ἀργεστᾶο νότοιο εἴσομαι" ἤγουν πορεύσομαι "ἐξ ἀλόθεν χαλεπὴν ὄρσουσα θύελλαν" (Il. 21, 334). ὁμοίως δὲ ἔχει καὶ τὸ "ὄθι οἱ καταείσατο γαίη" (Il. 11, 358) ἀντὶ τοῦ κατεπορεύθη καὶ ἐν τῇ γῇ ἐπάγη, ἐπεστηρίχθη· καὶ ἐν ἄλλοις "ἐν γαίῃ ἵσταντο" (ib. 574). καὶ εἴσομαι ἀντὶ τοῦ γνώσομαι, ὡς τὸ "εἴσομαι εἴ κέ μ' ὁ Τυδείδης" (Il. 8, 532).

105. ἄραρον] ἔφραξαν, ἐπύκνωσαν, ὥπλισαν. τὸ δὲ βόεσσιν ἀπὸ τοῦ πλεονάζοντος· τινὲς γάρ φασιν ὅτι περιχρύσους εἶχον ἀσπίδας.

107. ἐμπεσεῖσθαι ἔλεγον τοὺς Ἕλληνας ταῖς αὐτῶν νηυσί· πᾶν γὰρ τὸ βουλῇ καὶ δυνάμει προφέρον τῶν Τρώων ἦν ἐκεῖ.

108. ἔνθ' ἄλλοι] πάντων ἅμα καὶ πολιτῶν καὶ ξένων πεισθέντων Πολυδάμαντι, Ἄσιος ἀποβῆναι οὐ θέλει. λέγονται μὲν οὖν ἐπίκουροι οἱ πολεμουμένοις ἥκοντες βοηθοί, σύμμαχοι δὲ οἱ σὺν αὐτοῖς ἐξελθόντες.

110. ἀλλ' οὐχ Ὑρτακίδης] βαρβαρικὴ ἡ ἀπείθεια. μιμούμενος δὲ ὁ ποιητὴς τὴν ἀλήθειαν ἕνα γοῦν τὸν ἀπειθοῦντα εἰσάγει. διὰ τί δὲ ἕνα τοῦτον; ὅτι μάλιστα τοῖς ἵπποις ἠγάλλετο, καταστέλλει οὖν τὴν τῶν πολλῶν ἀλαζονείαν.

113. σημαντικωτάτῳ ὀνόματι κέχρηται τῷ νήπιος ἐν ταῖς ἀναφωνήσεσι, καὶ πάνυ ἁρμοδίῳ.

114. τὸ παιδαριῶδες αὐτοῦ ἐσήμανεν ἐν τοιούτῳ καιρῷ καὶ τόπῳ

18. εἴ κε] Recte αἴ κε infra p. 498, 10.
22. *αὑτῶν] αὐτῶν
33. ἁρμοδίῳ] *ἁρμοδίως

καλλωπιζομένου ἵπποις· παρὰ τὸν καιρὸν γὰρ ἀεὶ καὶ αἱ χρήσεις βλαβεραί. στικτέον δὲ εἰς τὸ ἀγαλλόμενος.

116. πρόσθεν γάρ] τεχνικὸν καὶ τὸ τὴν ἀναίρεσιν προειπεῖν, καὶ ὑφ' ὅτου γενήσεται· οὕτως γὰρ ὁ ἀκροατὴς πολυπραγμονίᾳ καὶ τοῖς ἔμπροσθεν ἐντυχεῖν.

118. αἰτίαν ἐπάγει τῆς ὑπὸ τοῦ Ἰδομενέως ἀναιρέσεως Ἀσίου, ὅτι ἐπὶ τὰ ἀριστερὰ τῶν νεῶν ὥρμησεν ὅπου ἐκεῖνος ἦν, ἔνθα ἡ ἱππήλατος πύλη. τὸ δὲ εἴσατο ἀπὸ τοῦ εἶμι· διὸ καὶ ψιλοῦται. δηλοῖ δὲ ἡ λέξις τρία, τὸ ὥρμησεν, ὡς ἐνταῦθα· τὸ ἐφάνη, ὡς τὸ "εἴσατο δ' ὡς ὅτε ῥινόν·" τὸ ἔγνω, ἐξ οὗ καὶ τὸ "εἴσομαι αἴ κέ μ' ὁ Τυδείδης."

121. ὀχῆα] τὸν ἐξ ἑκατέρου μέρους ἐπιβαλλόμενον μοχλόν· φησὶ γὰρ "δοιοὶ δ' ἔντοσθεν ὀχῆες" (455).

122. * τὸ ἀναπεπταμένας εἶχον ἀνέρες οὐκ ἔστιν ἀντὶ τοῦ ἠνεῳγμένας μόνον, ἀλλ' ἠνεῳγμένας κατεῖχον αὐτὰς, ὅπως τοὺς μὲν φίλους εἰσδέχωνται, τῶν δ' ἐχθρῶν βιαζομένων ἐπικλείσωσιν. αὐτὸς δὲ τὴν λύσιν δέδωκε σαφέστερον ἐπὶ τοῦ Πριάμου παραστήσας, ἔνθα φησὶ "πεπταμένας ἐν χερσὶ πύλας ἔχετ' εἰσόκε λαοὶ ἔλθωσιν προτὶ ἄστυ πεφυζότες· αὐτὰρ ἐπεί κ' ἐς τεῖχος ἀναπνεύσωσιν ἀλέντες, αὖθις ἐπιθέμεναι σανίδας πυκινῶς ἀραρυίας" (Il. 21, 531).

124. ἰθύς] κατ' εὐθὺ τῶν πυλῶν. φρονέων δὲ, ἐπὶ φρονήματι ἐπαιρόμενος.

τοὶ δ' ἅμ' ἕποντο] ὅμοιοι τούτῳ καὶ οἱ ἑπόμενοι· διὸ ἐπ' αὐτῶν τῷ ἐπιφθέγματι ἐχρήσατο, εὐήθη αὐτῶν τὴν εἰσβολὴν ἐλέγχων.

127. δύ' ἀνέρας] ὑπερβάλλων ὁ ἔπαινος, ὅτι τὴν τοσούτων ἐπιφορὰν δύο ἀπεκρούσαντο. ἐνίους μὲν γὰρ δι' ὅλου ἐξέχοντας προάγει, ἐνίους δὲ ἐν τοῖς κατὰ μέρος συνίστησιν. ἄριστοι οὖν οἱ ἐν τῷ ἐπισφαλεστάτῳ κινδύνῳ ἀνδρισάμενοι, ἐν ᾧ καὶ τοὺς λοιποὺς Ἕλληνας φεύγειν συνέβαινεν.

127–154. * Πορφυρίου. ἐν τῇ τειχομαχίᾳ τεταράχθαι δοκεῖ τὰ ἔπη ταῦτα. Ἀσίου ἐπελθόντος κατὰ τὰς πύλας τῷ τείχει ἐπιλέγει ὁ ποιητὴς περὶ αὐτοῦ τε καὶ τῶν μετ' αὐτοῦ "νήπιοι, ἐν δὲ — οὔρεσιν ὑψικάρηνοι" (127–132). διὰ γὰρ τούτων εἰπὼν τὸν Λεοντέα καὶ Πολυποίτην πυλάων προπάροιθεν ἑστάναι ὡς δρῦς, ἀναμένοντας ἐπερχόμενον μέγαν Ἄσιον, οὐδὲ φέβοντο, εἶτα ἐπαγαγὼν περὶ τῶν

23. ἐχρήσατο] * ἐχρήσατο νήπιοι 25. * προάγει] προσάγει
29. * Πορφυρίου] om.

κατὰ τὸν Ἄσιον "οἱ δ' ἰθὺς — Οἰνόμαόν τε" (137–140), πάλιν ποιεῖ τοὺς περὶ τὸν Λειντέα καὶ Πολυποίτην ἔνδον ἐόντας, οὓς πρόσθεν ἔξω ἑστάναι ἔφη· ἐπάγει γὰρ "οἱ δ' ἤτοι — σύεσσιν ἐοικότες" (141–146), καὶ πληρώσας τὴν παραβολὴν ἐπάγει "ὡς τῶν κόμπει χαλκὸς ἐπὶ στήθεσσι φαεινὸς ἄντην βαλλομένων" (151). διὰ γὰρ τούτων φαίνεται ταραχὴ τῶν ἐπῶν, πρότερον μὲν ὡς ἔξω ἑσταότων, αὖθις δὲ ὡς ἔνδον ὄντων καὶ ἐξιόντων. ὅθεν οἱ μὲν ἠξίουν προτάττειν ταῦτα τὰ ἔπη "οἱ δ' ἤτοι εἶως μὲν εὐκνήμιδας Ἀχαιούς," ἵν' ᾖ τὸ ἀκόλουθον τοιοῦτον, "ἐν δὲ πύλῃσι δύ' ἀνέρας εὗρον ἀρίστους, υἷας ὑπερθύμους Λαπιθάων αἰχμητάων· οἱ δ' ἤτοι εἶως μὲν εὐκνήμιδας Ἀχαιοὺς ὄρνυον·" εἶτα συνάψαντες τοὺς ἐφεξῆς, ἓν ἡ ἀρχὴ "αὐτὰρ ἐπειδὴ τεῖχος, Τρῶας, ἀτὰρ Δαναῶν, ἐκ δὲ τὼ ἀΐξαντε, ἀγροτέροισι σύεσσιν, ἀνδρῶν ἠδὲ κυνῶν, ὣς τῶν κόμπει χαλκὸς ἐπὶ στήθεσσι φαεινὸς ἄντην βαλλομένων, λαοῖσιν καθύπερθε," εἶτα ἀνατρέχουσιν ἐπὶ τὸ "τὼ μὲν ἄρα προπάροιθε," καὶ καταβάντες τοὺς δέκα στίχους ἄχρι τοῦ "Ἀσιάδην τ' Ἀδάμαντα," ἐπάγουσιν "οἱ δ' ἄρα χερμαδίοισι" καὶ τὰ ἑξῆς. Ἡφαιστίων δὲ διπλῆν τὴν γραφὴν εἶναι ἔφη, καὶ δεῖν περιγράφειν ἢ τοὺς ι' στίχους τοὺς ἀπὸ τοῦ "τὼ μὲν ἄρα προπάροιθε" (131) μέχρι τοῦ "Ἀσιάδην τ' Ἀδάμαντα" (140), ἢ τοὺς ιγ' τοὺς ἀπὸ τοῦ "οἱ δ' ἤτοι εἶως μὲν εὐκνήμιδας Ἀχαιούς" (141) μέχρι τοῦ "λαοῖσιν καθύπερθε" (153). μήποτε δὴ κἂν οὕτως μένῃ ἡ γραφὴ καὶ ἡ τάξις, οὐδὲν ἄτοπον, πρότερον μὲν εἰπόντος τοῦ ποιητοῦ ὅτι περὶ τὰς πύλας ἦσαν οἱ περὶ τὸν Πολυποίτην "ἐν δὲ πύλῃσι δύ' ἀνέρας εὗρον ἀρίστους," ἐπισημηναμένου τε ὅτι καὶ ἔξωθεν ἑστῶτας εὗρον, εἶτα καὶ ἐπαναδραμόντος, ὅπως περὶ τὰς πύλας ἔχοντες τούς τ' ἔσω παρορμῶντες, ἐπιόντας βλέποντες τοὺς περὶ τὸν Ἄσιον· αὐτοί τε προεκδραμόντες ἀνέμενον πάντες ἔξω τὸν Ἄσιον καὶ γὰρ οὗτος εἷς τρόπος ἑρμηνείας, ἐκ τῶν ὕστερον ἀρξάμενον ἀναδραμεῖν εἰς τὰ πρῶτα καὶ πάλιν συνάψαι ταῦτα τοῖς ὑστέροις. καὶ ἔστι συνήθης ὁ τρόπος τῆς ἑρμηνείας τῷ ποιητῇ. οὕτως γὰρ εὐθὺς κατ' ἀρχὰς τὴν μῆνιν εἰπὼν κεφαλαιωδῶς, ὅσων κακῶν αἰτία γέγονε τοῖς Ἕλλησιν, ὕστερον ἐπὶ τὰ αἴτια ἀνατρέχει ταύτης, καὶ ἐπεξεργάζεται δι' ὅλης τῆς ποιήσεως τὰ κατ'

18. περιγράφειν Bekkerus] παραγράφειν
ἀπὸ τοῦ Bekkerus] ἀπὸ τούτου

25. ἐπαναδραμόντος—παρορμῶντες—αὐτοί Bekkerus] ἐπαναδραμόντες—παρώρμων—αὐτοῦ

αὐτήν. οὕτω καὶ περὶ τῆς νόσου εἰπὼν "Λητοῦς καὶ Διὸς υἱός, ὃ γὰρ βασιλῆϊ χολωθεὶς νοῦσον ἀνὰ στρατὸν ὦρσε κακὴν, ὀλέκοντο δὲ λαοί, οὕνεκα τὸν Χρύσην ἠτίμασεν ἀρητῆρα Ἀτρείδης" (Il. 1, 9), ἐξῆς ἐπέξεισι πῶς ἐπράχθη τὰ κατὰ τὴν νόσον. καὶ ἐνταῦθα τοίνυν εἰπὼν ὅτι περὶ τὰς πύλας εἶχον οἱ περὶ τὸν Λεοντέα καὶ ἀνέμενον πρὸ τῶν πυλῶν ἑστῶτες ἐπερχόμενον τὸν Ἄσιον, ἐπαναβραμὼν ἐξηγεῖται τὰ κατὰ μέρος, ὅτι τέως μὲν ἔνδον ἦσαν προτρεπόμενοι τοὺς Ἀχαιοὺς ἀμύνεσθαι περὶ νηῶν, εἶτα ἐπειδὴ ἐθεάσαντο τοὺς περὶ τὸν Ἄσιον ἐπιόντας καὶ πεφευγότας τοὺς Ἕλληνας, αὐτοὶ ἀΐξαντες πυλάων πρόσθεν μαχέσθην. τὰ οὖν κεφαλαιωδῶς ἐκτιθέμενα προλαμβάνειν εἴωθε τὸ συμπέρασμα, τὰ δὲ ἀνάπτυξιν ἔχοντα πολλῶν εἰς τὴν ἀρχὴν ἀναβραμόντα, οὕτω κάτεισιν ἐπὶ τὸ τέλος.

132. δρύες] μάλιστα γὰρ βαθύρριζοι καὶ οὐχ ὑπείκουσαι ἀνέμοις οὐδὲ τοῖς τῶν ὄμβρων κατακλυσμοῖς. ἢ ἐξ ἑνὸς τὸ πᾶν.

134. διηνεκέεσσ᾽] εἰς πλάτος καὶ μῆκος διηκούσαις. τῷ δὲ ψόφῳ τῶν ὀνομάτων τὸ μέγεθος ἐμφαίνει.

144. ἀτὰρ Δαναῶν] ἐν τῷ περὶ Λαπιθῶν λόγῳ κατέθηκε καὶ τὰ ὑπὸ τῶν ἄλλων πραττόμενα, ὅτι πρότερον μὲν ἔβαλον ἄνωθεν, ὕστερον δὲ ἐφόδου γενομένης σφοδροτέρας ἐξέλιπον τὸ τεῖχος.

146. σύεσσιν ἐοικότε] ἡ προκειμένη ἀπὸ τῶν δρυῶν εἰκὼν πρὸς τὴν στάσιν, ἡ δὲ τῶν συῶν πρὸς τὴν καρτερίαν τῶν βελῶν· καὶ τὸ δύο ὄντας ἀνθίστασθαι πολλοῖς ἀτάκτως βάλλουσιν εἴκασε συσὶ πρὸς πολλῶν κυνηγετῶν ἔφοδον ἀνθισταμένοις.

148. δοχμώ] ὀξυτονητέον τὸ δοχμώ· δυϊκὸν γάρ ἐστιν. ἔστι δὲ ἀντὶ τοῦ δόχμιοι ἤτοι πλάγιοι· παρ᾽ ἑκάτερα γὰρ αὐτοῖς πεφύκασιν οἱ ὀδόντες. ἐκτάμνοντε δὲ τὴν ὕλην ἐν τῷ παραθήγειν δηλονότι τοὺς ὀδόντας.

149. πρυμνήν] ἄκραν, πρόρριζον. τὸ ὑπαὶ δέ τε δὲ τῷ ὀδόντων συντακτέον.

152. ἄντην βαλλομένων] ἤτοι ἀμεταστρέπτως μαχομένων· οἱ γὰρ γενναῖοι ἐξ ἐναντίας μαχόμενοι τρώσεις δέχονται.

153. δῆλον ὡς οὐ πάντες τοῦ τείχους κατῆλθον, ἀλλὰ μέρη τινὰ ἐκεῖ ἐλέλειπτο.

157. ἅς τ᾽ ἄνεμος] πρὸς τὸ σύντονον καὶ πληκτικὸν τῶν λίθων.

13. βαθύρριζοι] βαθύριζοι 15. * μῆκος] μέγεθος

εἰς ἐπίτασιν δὲ τὸν ἄνεμον παρέλαβε πρὸς τὸ σφοδροτέραν γενέσθαι τὴν καταφοράν.

160. ἀμφ' αὖον] δύο μέρη λόγου, ἀμφὶ καὶ αὖον. ἵν' ᾖ ἀμφ' αὐτοὺς αὖον, ἀύτευν.

162. πεπλήγετο μηρώ] ἀδύνατον τοῦτο ἐπὶ ὡπλισμένου· ἔστι δὲ μόνον τῆς λύπης δηλωτικόν, ὡς ἐν ὀχλήματι γενόμενον.

164. φιλοψευδής] φιλῶν ἀπατᾶν· ψεύδεσθαι γὰρ τὸ ἀπατᾶν. ἴσως δὲ διὰ τὰς βροντὰς τοῦτό φησιν, ὡς δῆθεν ταύτας σημεῖα νίκης εἰληφώς. ὀξύνεται δέ· τὰ γὰρ εἰς ης ὑπὲρ μίαν συλλαβὴν ὀξυνόμενα ἐν τῇ συνθέσει φυλάσσει τὸν τόνον, σεσημειωμένου τοῦ ἀληθής. καὶ τὸ κριτής δὲ ἔσθ' ὅτε κατὰ μεταβολὴν τονοῦται.

167. ἀξιόπιστος ὁ παρὰ τῶν πολεμίων ἔπαινος. εὐτελεῖ δὲ ζῴῳ καὶ θυμικῷ παρέβαλε, τὴν μὲν ἀλκὴν ὁμολογεῖν ἀναγκαζόμενος, ἀφαιρούμενος δέ τι τοῦ τῶν ἀνδρῶν ἀξιώματος διὰ τὴν τοῦ ζῴου σμικρότητα.

170. ἀμύνονται περὶ τέκνων] συλληπτικὸν τὸ σχῆμα· τοῦτο γὰρ σφηκῶν, μελισσῶν δὲ τὸ ὑπὲρ τοῦ μέλιτος.

171. ἐν ὑπερβολῇ τὸ δύο· οἱ μὲν γὰρ τῶν τέκνων προϊστάμενοι σφῆκες καὶ τῶν μελίτων αἱ μέλιτται πλείους εἰσίν· οὗτοι δὲ καὶ δύο ὄντες κρείττονα διαπράττονται.

174. Ἕκτορι γάρ] ἠθικῶς τῇ ἀναφωνήσει χρῆται, θεραπεύων τὸν ἀκροατήν, ὅτι οὐκ ἐκ τῆς Ἕκτορος ἀρετῆς τοιαῦτα Ἕλληνες ἐπεπόνθεισαν, ἀλλ' ἐκ τῆς Διὸς ἐπικουρίας, οὗ τὸ κατόρθωμα.

175. ἀθετεῖ Ἀρίσταρχος, πρῶτον μὲν διὰ τὸ πύλας ἄλλας ὀνομάζεσθαι· ἀρέσκει γὰρ αὐτῷ μίαν εἶναι. εἶτα διὰ τὸ "ἀργαλέον δέ με ταῦτα·" φησὶ γὰρ ὅτι καὶ μὴν ἔφρασε τὴν τειχομαχίαν· εἶτα καὶ διὰ τὸ Λαπίθαι· οὐ γὰρ δεῖ, φησί, καὶ τοὺς πατέρας καὶ τοὺς υἱοὺς Λαπίθας καλεῖν. Πῶς δὲ ἀπιλογούμενος πρὸς τὰς ἀθετήσεις Ἀριστάρχου ταῦτά φησιν, ὅτι Ἄσιος μὲν περὶ τὴν μίαν πύλην τὴν ἱππήλατον ἐμάχετο, οἱ δὲ περὶ αὐτὸν περὶ τὰς μικρὰς πύλας. τῷ δὲ ἄλλας μικρὰς εἶναι οὐδεὶς εὖ φρονῶν ἀντείποι· πῶς γὰρ τοσοῦτον πλῆθος ἐν τῷ φεύγειν διὰ μιᾶς εἰσήει; τὸ δὲ "ἀργαλέον δέ με ταῦτα" πάνυ μετρίως φησὶν εἰρῆσθαι· ἀνδρῶν γὰρ ἀναιρουμένων κατάλογον διεξιὼν καὶ τρόπους τῶν ἀναιρέσεων καὶ λόγους τῶν ἀναιρούντων καὶ πιπτόντων καὶ συμπτώματα τῆς τύχης καὶ πολυμερῆ μάχην, εἰκότως ἐνδείκνυται δυσχερῆ τὴν τούτων διήγησιν. τὸ δὲ

Λαπίθαι γελοιότατον· πῶς γὰρ ἄλλως ἦν ὀνομάσαι τοὺς τῶν Λαπιθῶν υἱοὺς ἢ τῷ πατρικῷ ὀνόματι;

177. τὸ θερμὸν τῆς μάχης πῦρ φησί· δύναται δὲ καὶ κυρίως λέγειν, ἵνα καὶ τὸ τεῖχος αὐτῶν ἐμπρῆσαι ἐπιχειροῦντας τοὺς βαρβάρους εἰσάγῃ. καὶ τὸ λάϊνον ἐπήγαγεν ὥσπερ ἐπιμωκώμενος τοὺς ἐπιχειροῦντας ἐμπρῆσαι λίθους. ὑποστικτέον δὲ εἰς τὸ πῦρ· τὸ γὰρ τεῖχός ἐστι λάϊνον· οἱ δὲ τὸ πῦρ. θεσπιδαὲς δὲ τὸ καυστικὸν ἢ τὸ ἐκ θεοῦ σταλέν.

λιθίνου τοῦ τείχους ὄντος καὶ τῶν Τρώων βαλλόντων καὶ βαλλομένων πῦρ ἅπτεσθαί φησι πανταχόθεν τοῦ τείχους. ἔχει δὲ ἔμφασιν ὁ λόγος.

178. εἰς τὸ πέρ ὑποστικτέον, καὶ τὰ ἑξῆς συνδετέον.

179. θεοὶ δ' ἀκαχείατο] ἐλπίδα ὑποβάλλει τοῖς ἀκροαταῖς ὅτι οὐκ ἦν ταῦτα ἀρεστὰ θεοῖς, ἀλλὰ διενοοῦντο μὲν βοηθεῖν, ᾐδοῦντο δὲ Δία.

181. σὺν δ' ἔβαλον] ἐπεὶ προεῖπεν "Ἕκτορι γάρ οἱ θυμός" (174), τὸ μὲν εἰς ὕστερον ταμιεύεται, ἐπὶ δὲ τοῦ παρόντος πλεονεκτοῦντας ποιεῖ τοὺς Ἕλληνας, ἕως ἂν ἡ ἀπὸ τοῦ Διὸς βοήθεια μεταγάγῃ τὴν εὐημερίαν ἐπὶ τὸν Ἕκτορα.

197. οἳ πλεῖστοι καὶ ἄριστοι ἔσαν] καὶ τοῦτο πρὸς παραμυθίαν, ὅτι τὸ πλεῖστον καὶ ἀκμαιότατον τῶν βαρβάρων ἦν τὸ ἐν τῇ μάχῃ πλεονεκτῆσαν.

201. μέσος διῆλθεν, ἐπὶ τὰ ἑαυτοῦ ἀριστερὰ τὸν Τρωϊκὸν λαὸν ἀφορίζων, ἐν δεξιᾷ δὲ δηλονότι τὸ Ἑλληνικὸν στρατόπεδον ἔχων.

*ἀριστερὰ γὰρ σημεῖα ἀπαίσια· τὰ δὲ δεξιὰ συμφέροντα.

202. φοινήεντα] ἠμαγμένον· καὶ γὰρ ἤσθιεν αὐτόν.

203. οὔπω λήθετο χάρμης] ὁ δράκων. πιθανῶς δὲ τὸ οὔπω, οἷον καίτοι ἤδη λελωβημένος. καὶ τὸ ἔτι δὲ ἀσπαίροντα τὸν ἤδη κεκακωμένον παρίστησι, καὶ τὸ φοινήεντα τὸν ὑπὸ τοῦ ἰδίου πεφοινιγμένον αἵματος.

*ζητεῖται δὲ πῶς ὁ Ζεὺς ἐπικρατεστέρους θέλων ποιῆσαι τοὺς Τρῶας, σημεῖον αὐτοῖς κωλυτικὸν ἐπιπέμπει· φησὶ γὰρ "ὄρνις γάρ σφιν ἐπῆλθε περησέμεναι μεμαῶσιν." ῥητέον ὅτι νίκην μὲν ἐβούλετο τοῖς Τρωσὶν, ἐξελεῖν δὲ τὸ δέος τῶν Ἑλλήνων· οὐ γὰρ κατὰ προαίρεσιν αὐτοὺς ἰδίαν ἐμίσει, ἀλλὰ χαριζόμενος Θέτιδι.

32. * κωλυτικὸν] καταλυτικὸν

204. κόψε] τὸ ταχὺ τῆς πληγῆς διὰ τῆς λέξεως ἐσήμανεν.

205. *ἰδνωθείς] ἐπιστραφείς, ὁ τὸ ἰνίον δονηθεὶς καὶ ἐπικαμφθείς. γίνεται δὲ ἀπὸ τοῦ ἴζω, ὃ καὶ δασύνεται· καὶ γίνεται ἰδνῶ, τραπέντος τοῦ ζ εἰς δ Δωρικῶς καὶ πλεονασμῷ τοῦ ν, ὡς ἀλαπάζω ἀλαπαδνός. τὸ δὲ ἰδνῶ ψιλοῦται.

ἰδνωθείς] τὸ ὑγρὸν τοῦ δράκοντος ἐσήμανε· τοσοῦτον, φησίν, ἐπικαμφθεὶς ὡς καὶ τὰς ἶνας αὐτοῦ δονηθῆναι.

206. μέσῳ δ' ἐνὶ κάββαλ' ὁμίλῳ] ἐν τῷ μεταιχμίῳ πρὸς τὸ μὴ διαβῆναι· ὡς γὰρ ἀετὸς ἠστόχησε τούτου, οὕτω Τρῶες Ἕλλήνων.

207. πνοιῇς ἀνέμοιο] τῷ πνέοντι ἀνέμῳ δοὺς ἑαυτὸν διὰ τὸ ὀδυνηθῆναι.

211. *Ἡρακλέους πορθήσαντος Ἴλιον, Πρίαμος ὁ Λαομέδοντος παραλαβὼν τὴν βασιλείαν ἔπεμψεν εἰς Δελφοὺς, μαντευσόμενος περὶ τῶν ἐνεστώτων. οἱ δὲ πορευθέντες χρησμόν τε λαβόντες Πάνθουν ἕνα τῶν Δελφῶν ἄγουσιν, ὅπως κατὰ τὸ συνεχὲς μαντεύηται Πριάμῳ. γήμας δὲ οὗτος θυγατέρα Κλυτίου Προνόμην γεννᾷ Πολυδάμαντα, τήν τε μαντικὴν ἀναδιδάσκει. λέγεται δὲ μιᾷ νυκτὶ γεννηθῆναι τοῦτόν τε καὶ τὸν Ἕκτορα.

213. προλαμβάνει τὴν ἐπίπληξιν τοῦ βασιλέως, ὑπομαλάσσων αὐτόν· φησὶ γοῦν ὅτι οὐκ ἔστιν ἰσηγορία τοῖς δημόταις πρὸς τοὺς βασιλεῖς. παρέξ δὲ ἤτοι παρὰ τὸ δέον καὶ κελευόμενον πράσσειν.

215. ἐξερέω] δηλονότι μόνῳ σοί· Ἕκτωρ γὰρ οὐ τὴν παραίνεσιν ἀποστρέφεται, ἀλλὰ τὴν ἐν ἅπασιν ἰσηγορίαν. τὰ δὲ Ἑλληνικὰ πλησίον δημοκρατίας, καὶ παρρησία πολλὴ τοῖς ἡγεμόσιν.

217. ἄμεινον τελεισῦν εἰς τὸ οἴομαι, καὶ τὸ ἑξῆς τοῖς μετ' αὐτὸ συνάπτειν.

223. ὡς ἡμεῖς] ὥσπερ γὰρ κατ' ἀρχὰς, φησὶ, κρατήσας ὁ ἀετὸς ὕστερον κακόν τι προσλαβὼν ἀφῆκε τὴν ἄγραν, οὕτω καὶ αὐτοὶ πεισόμεθα.

225. αὐτὰ κέλευθα] τὴν αὐτὴν ὁδὸν δι' ἧς ἤλθομεν. λείπει δὲ τὸ τά.

228. οὕτως ἂν ὑποκρίναιτο θεόπροπος, καὶ πειθοίατο αὐτῷ οἱ λαοί· ἢ ὡς καὶ οἶδεν ἀξιόπιστός ἐστιν· ἑαυτὸν δὲ ἔοικεν ἀποδέχεσθαι τῆς ἐπιλύσεως ὁ ποιητής.

5. ἀλαπαδνός] ἀλαπαδνῶ 28. *ὕστερον] ὕστερον δὲ
32. *ὑποκρίναιτο] ἀπεκρίνετο

235. λαθέσθαι] ἀμελῆσαι. διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς. οὐ μαντικὴν δὲ ἀναιρεῖ, ἀλλὰ τὴν Διὸς προτιμᾷ γνώμην.

237. τύνη δ' οἰωνοῖσι] ὁ φρόνιμος καὶ θεὸν τιμᾶν εἶδε καὶ οἰωνοῖς πείθεσθαι, ὅπερ Ἕκτωρ οὐ συνίησιν.

238. τῶν] οὐ πάντων, ἀλλὰ τῶν φανέντων τὰ νῦν.

243. εἷς οἰωνός] ἐκεῖνος μόνος ἄριστος οἰωνὸς ὁ ὑπὲρ πάτρης κελεύων ἀγωνίζεσθαι. διδάσκει δὲ ἡμᾶς φιλοπάτριδας εἶναι.

247. οὐ γάρ τοι κραδίη μενεδήϊος] ἀποτρέπει τοὺς ἄλλους πείθεσθαι αὐτῷ, τὸ τῆς συμβουλῆς δειλίαν εἰπών.

250. αὐτίκ' ἐμῷ ὑπὸ δουρὶ] ἀναγκαίως καὶ τοῦτο. ὁ γὰρ τοῦ συμβουλεύσαντος μὴ ἀνασχόμενος δῆλον ὡς οὐδὲ τοῦ πεισθέντος.

253. ὦρσεν] ποιητικῶς τοῦτο· συνδραμόντος γὰρ τοῦ πλήθους εἰκὸς αὐτὴν γενέσθαι.

258. κρόσσας] τὰς πολεμικὰς κλίμακας· λείπει δὲ ἡ κατά, ἵν' ᾖ κατὰ τῶν πύργων ἔρυον.

* οἱ δὲ τοὺς ἐν τοῖς πύργοις ἐξέχοντας λίθους.

* Πορφυρίου. ὁ Ἀρίσταρχος ἐπὶ κλιμάκων ἀκούσας, καὶ τὸ προκρόσσας ἀποδιδοὺς ἐπὶ τῶν νεῶν κλιμακηδὸν ("τῷ ῥα προκρόσσας ἔρυον" Il. 14, 35), τὸ πύργων ἔρυον ἀποδίδωσιν ἐπὶ τοὺς πύργους ἔρυον, ἀποδιδοὺς ἀνεῖλκον, ὡς κλειστῶν καὶ συγκαμπτῶν οὐσῶν τῶν κλιμάκων. παραμυθεῖται δὲ ἐξ Ὁμήρου τὸ πύργων ἔρυον ἀποδιδοὺς ἀντὶ τοῦ ἐπὶ τοὺς πύργους ἔρυον, ἐκ τούτων "οἱ δὲ μένοντες ἔστασαν ὁππότε πύργος Ἀχαιῶν ἄλλος ἐπελθὼν Τρώων ὁρμήσειεν" (Il. 4, 333) ἀντὶ τοῦ ἐπὶ τοὺς Τρῶας ὁρμήσειεν. οὕτω καὶ τὸ πύργων ἔρυον ἀντὶ τοῦ ἐπὶ τοὺς πύργους ἔρυον. καὶ "ἀκόντισαν Ἰδομενῆος" (Il. 13, 502). οὐκ εἰσὶ δὲ κρόσσαι αἱ κλίμακες, ἀλλὰ μᾶλλον οἱ ἐξέχοντες λίθοι ἐν τοῖς πύργοις, οὓς ποιοῦσιν εἰς τὸ ἐμποδίζειν τὰς τῶν μηχανημάτων ἐμβολάς. οὕτω καὶ κρόσσους ἱματίων λέγομεν τοὺς ἐξέχοντας στήμονας· καὶ πρόκροσσαι δὲ αἱ νῆες αἱ μὴ ἐπ' ἴσου στίχου εἱλκυσμέναι, ἀλλ' ἐξέχουσαί εἰσιν, ἐφ' ὧν διὰ τὸ μὴ πάντας ἔχειν ἰσαρίθμους "στήλας τε προβλῆτας ἐμόχλεον," τοὺς λεγομένους προμαχῶνας.

* τινὲς κρόσσας λέγουσιν ὄργανά τινα πρὸς τειχομαχίαν ἐπιτήδεια, ἔχοντα ἔνδον ἀνάβασιν, καλυπτομένην ἕως ἂν εἰς τοὺς πύργους

2. * προτιμᾷ] προτιμᾶται 17. * Πορφυρίου] om.
31. ἐμόχλεον] ἐμόχλευον

ἀνέλθῃ ὁ τειχο αχῶν. τὸ δὲ πύργων ἔρυον ἐπὶ τοὺς πύργους λέγει· εἶλκον γὰρ τὰ ὄργανα πρὸς τοὺς πύργους. ἐπάλξεις δὲ οἱ προμαχῶνες.

ἔρειπον ἐπάλξεις] κατέβαλον τὰς ἐπάλξεις πρὸς τὸ γυμνῶσαι τούτων τοὺς ὑπ' αὐτὰς κρυπτομένους Ἕλληνας.

259. στήλας τοὺς θεμελίους, παρὰ τὸ ἐπ' αὐτῶν τὸ τεῖχος ἵστασθαι. οἱ δὲ τὰς ἀντηρίδας. *ἤτοι τοὺς προμαχῶνας.

262. οὐδέ νύ πω Δαναοὶ χάζοντο] οὐχ ὑπεχώρουν αὐτοῖς εἰσελθεῖν διὰ τῆς ἐπὶ τὰς ναῦς φερούσης ὁδοῦ. πιθανῶς δὲ πάνυ· ἔδει γὰρ πρὸ τῆς ἁλώσεως τοῦ τείχους ἀγῶνας θέσθαι τινάς.

263. ῥινοῖσι βοῶν φράξαντες ἐπάλξεις] τὰ διάκενα τῶν ἐπάλξεων φράξαντες τοῖς ὅπλοις. αἱ μὲν γὰρ ἐπάλξεις πρόβολοι γίνονται τοῖς στρατιώταις, τὸ δὲ διάκενον αὐτῶν ταῖς ἀσπίσι προσαναπληροῦται.

267. ἄλλον μειλιχίοις, ἄλλον] κατ' ἀξίαν πρὸς ἕκαστον, ὅπερ καὶ ἐν ἄλλοις· "ὄτινα μὲν βασιλῆα καὶ ἔξοχον ἄνδρα" (Il. 2, 188). "ὃν δ' αὖ δήμου ἄνδρα" (198). προσυπακουστέον δὲ τῷ μειλιχίοις τὸ ἐκολάκευον, ὡς τὸ "ἔδουσι πίονα μῆλα οἶνόν τ' ἔξαιτον" (319)· λείπει γὰρ τὸ πίνουσιν.

271. νῦν ἔπλετο ἔργον ἅπασι] πάντες γὰρ χρήσιμοι, ἀπὸ τείχους ἀμυνόμενοι, ὅπερ καὶ γυναῖκες ποιοῦσιν.

272. καὶ δ' αὐτοὶ] διὰ τοῦ ἰδίου συνειδότος πάντας δυσωπεῖ καὶ εἰς ἔννοιαν τῶν κινδύνων ἕκαστον ἄγει.

276. νεῖκος] Ἡρωδιανὸς διὰ μόνου τοῦ ῑ, ἵνα δηλοῖ τὸ νίκημα. τὸ δὲ δίεσθαι προπαροξυντέον· παρατατικοῦ γάρ ἐστιν, ἀπὸ τοῦ δίημι. περιουσία δὲ δυνάμεως τὸ καὶ διῶξαι προσδοκᾶν τοὺς πολεμίους.

278. ὥστε νιφάδες] μικρῷ πρόσθεν ἐχρήσατο τῇ εἰκόνι. "νιφάδες δ' ὡς πῖπτον ἔραζε, ἅς τ' ἄνεμος ζαὴς" (156). ἐκεῖ μὲν οὖν πρὸς τὴν πλῆξιν τὸν ἄνεμον ἔλαβε, πρὸς δὲ τὴν συνεχῆ φορὰν νῦν καὶ τὸ μὴ ἀποκρυσταλλοῦσθαι τὴν χιόνα.

279. ἤματι χειμερίῳ] καλῶς χειμέριον τὴν ἡμέραν παρέλαβε· γίνονται γὰρ καὶ ἐν ἔαρι νιφάδες, ἀλλ' οὐ πυκναί.

282. ὑψηλῶν ὀρέων κορυφάς] εὖ τῇ τάξει ἐχρήσατο· πρῶτον γὰρ τὰ ὄρη νίφεται, ἔπειτα σφοδροῦ τοῦ χειμῶνος γενομένου κάτεισι καὶ ἐπὶ τὰ χθαμαλώτερα.

285. ἢ ὅτι τῆς ὁρμῆς τὴν χιόνα ἐρύκεται, ἢ διὰ τὸ γεφυρωθῆναι τῇ χιόνι τὸν αἰγιαλὸν τὸ κῦμα ἐρύκεται.

287. *θαμειαί] σημειωτέον ὅτι τοὺς λίθους θηλυκῶς κέκληκεν.

289. τεῖχος ὑπὲρ πᾶν] ἀπὸ γῆς ἕως ἄνω. τὸ δὲ ἐξῆς, ὑπὲρ δὲ τὸ πᾶν τὸ τεῖχος. οὐκ ἀναγκαῖον οὖν ἀναστρέφειν τὴν πρόθεσιν.

292. *Εὐρώπην τὴν Φοίνικος Ζεὺς θεασάμενος ἔν τινι λειμῶνι μετὰ νυμφῶν ἄνθη ἀναλέγουσαν ἠράσθη αὐτῆς, καὶ κατελθὼν ἤλλαξεν ἑαυτὸν εἰς ταῦρον καὶ ἀπὸ τοῦ στόματος κρόκον ἔπνει. ὥστε τὴν Εὐρώπην ἀπατήσας ἐβάστασε, καὶ διαπορθμεύσας εἰς Κρήτην ἐμίγη αὐτῇ· εἶθ' οὕτως συνῴκισεν αὐτὴν Ἀστερίωνι τῷ Κρητῶν βασιλεῖ. γενομένη δὲ ἔγκυος ἐκείνη τρεῖς ἐγέννησε παῖδας Μίνωα Σαρπηδόνα καὶ Ῥαδάμανθυν. ἱστορεῖ Ἡσίοδος.

293. ὦρσεν ἐπ' Ἀργείοισιν] οὐ γνήσιος οὖν ἡ ἀρετή. δοκεῖ δέ μοι τὸ τοῦ Σαρπηδόνος οὐ μάτην παρειλῆφθαι, ἀλλ' ἵνα καὶ μέγα τι χαρίσηται Πατρόκλῳ τοιοῦτον ἀναιρήσαντι.

295. ἐξήλατον] ἐξελασθεῖσαν, ἤτοι χαλκῆν· οὐ γὰρ ἓξ ἔχει. ψιλεῖ οὖν ὁ Νικάνωρ, καὶ τὴν ἔξω χαλκὸν ἔχουσαν ἐξηγεῖται.

297. διηνεκέσιν] ἀπὸ τοῦ ἴτυος εἰς ἴτυν. προπαρασκευάζει δὲ ἀεὶ τοὺς ἀριστεύοντας, ἐξαίρων ἡμᾶς εἰς προσοχήν.

298. δύο δοῦρε] ἕτερον ἐν τῇ ἀσπίδι, τὸ δὲ ἐν τῇ δεξιᾷ. κινουμένου δὲ αὐτοῦ ἄμφω τινάσσεται.

300. δηρὸν ἔῃ κρειῶν] ἐπεξειργάσατο τὴν προκειμένην εἰκόνα· ἐνταῦθα γὰρ καὶ λιμώττει ὁ λέων, καὶ οὐ νεμομένῳ ζῴῳ ἐπιτυγχάνει, εἰς ἔπαυλιν δὲ αὐτὸν ὁ λιμὸς ἄγει.

303. σὺν κυσὶ καὶ δούρεσσι] οἱονεὶ εἰ εὕροι αὐτοὺς προπαρεσκευασμένους πρὸς τὴν ἔφοδον αὐτοῦ, οὐ βούλεται ἀναχωρεῖν μὴ πρότερον πεῖραν ἑαυτοῦ δοὺς ἢ λαβών.

305. τὸ ἥρπαξε τὴν ἐκ μεθόδου δηλοῖ προσβολήν. πρὸς τὸν θανατῶντα δὲ λέοντα τὸ πρόθυμον Σαρπηδόνος παρέβαλεν.

310. τίη δή] τί δή, Ἀττικῶς. διὰ δὲ τὸ ἐργῶδες τῆς ἐγχειρήσεως ἑταιροποιεῖται. αἰδήμονος δὲ οἱ λόγοι καὶ μεγαλοψύχου καὶ εὐγνώμονος· αἰδεῖται γὰρ ταῖς τιμαῖς πλεονεκτεῖν καὶ μὴ ταῖς

6—13. Scholion hoc legitur in B post scholion versus 397.
12. ἱστορεῖ Ἡσίοδος] *ἡ ἱστορία
παρ' Ἡσιόδῳ καὶ Βακχυλίδῃ.
26. *εὕροι] εὕρῃ
29. *θανατῶντα] θανατοῦντα

ἀνδραγαθίαις· μεγαλόψυχος δὲ ὢν καταφρονεῖ θανάτου· εὐγνωμοσύνης δὲ τὸ ὁμολογεῖν τὴν τιμήν.

312. θεοὺς ὣς εἰσορόωσι] οἱ Λύκιοι ἡμᾶς ὡς θεοὺς ὁρῶσιν· αἰσχρὸν δὲ τοὺς ἐν θεῶν μοίρᾳ τεταγμένους μηδὲ ἄνδρας ἀξιολόγους φαίνεσθαι. διδάσκει δὲ ὡς οὐ δεῖ μὴ προκινδυνεύοντα βασιλέα τιμᾶσθαι.

320. *οἶνόν τ' ἔξαιτον] ἐκ κοινοῦ τὸ πίνουσι.

322. εἰ μὲν γάρ] εὐγενὴς ἡ γνώμη. τὸ μὲν γὰρ ἀποθανεῖν κοινὸν ἡγεῖται πάντων, τὸ δὲ μετ' εὐκλείας τῶν ἀγαθῶν μόνων· καὶ τὴν παραυτίκα σωτηρίαν οὐκ ἀπαλλαγὴν θανάτου, ἀλλ' ἀναβολὴν χρόνου μικρὰν μετ' ἀδοξίας γινομένην φησὶν εἶναι.

326. ἔμπης] ὁμοίως πᾶσιν. ἔμφασιν δὲ ἔχει καὶ τὸ ἐφεστᾶσι. μυρίας δέ φησι προφάσεις τὴν τοῦ θανάτου ἔχειν μοῖραν, ὥστε καὶ μὴ πολεμήσαντας ἱκανὴν φονεύειν εἶναι.

τὸ ἑξῆς, νῦν δ' ἴομεν. τὸ σχῆμα δὲ τοῦ λόγου μετρία συγχώρησις καλεῖται· εἰπὼν γὰρ τὸ δεῖν τῶν κινδύνων ἀφίστασθαι, εἰ ἐνῆν ἀθάνατον εἶναι, τῷ ἀδύνατον ὑπάρχειν τὸ προτεινόμενον τὴν παρρησίαν τοῦ δεῖν κινδυνεύειν εἰσηγήσατο.

329. οὐδὲ Γλαῦκος ἀπετράπετ'] ὀρθῶς οὐδὲν ἀποκρινόμενος ἕπεται· ὁ γὰρ καιρὸς αὐτὸν ἤπειγεν.

330. πάλιν ἄλλῃ παρασκευῇ χρῆται ὥστε νεώτερον τὸν ἀγῶνα φαίνεσθαι, προσεκτικωτέρους τοὺς ἀκροατὰς ποιῶν.

332. τοῦ γὰρ δὴ πρὸς πύργον] ὅπου αὐτὸς φυλάττειν ἐτέτακτο. ὡς συνετὸς δὲ προασφαλίζεται.

334. τὸ ἡγεμόνων ἄκρως προσέθηκεν, εἷς δι' αἰδῶ ἀπαραίτητος ἡ συμμαχία. διδάσκει οὖν Ὅμηρος εἶσυς δεῖ εἶναι τοὺς ἄρχοντας, ὡς ἀμείνους τῶν ὑποτεταγμένων. ἄλλως τε τοῖς ἡγεμόσιν εἰκὸς καὶ πλῆθος ἕπεσθαι.

ἑτάροισιν] τὸ φιλόστοργον αὐτοῦ ἐνδείκνυται· οὐ γὰρ ὑπὲρ ἑαυτοῦ, ἀλλ' ὑπὲρ τῶν ἑταίρων δέδοικε. παιδευτικὸς δὲ ὁ λόγος.

336. οὐκ εἰκῆ τὸ νέον· χθὲς γὰρ ὑπὸ Ἕκτορος ἐτρώθη· νεωστὶ οὖν προῆλθε τῆς σκηνῆς, ὁρῶν τὸν κίνδυνον.

337. ἀλλ' οὕπως] ἀλλ' οὐκ ἦν αὐτῷ ἐγγύθεν βοήσαντι ἀκουσθῆναι· ἐντεῦθεν ἀγγέλου ἐδέησεν.

340. ἐπὶ πάσας γὰρ ὁ ὀχεὺς κεκλιμένος ἦν. ἢ ἐπὶ πάσας ἤρχοντο οἱ πολέμιοι.

343. Αἴαντα κάλεσσον] φίλος γὰρ αὐτοῦ ὡς Σαλαμίνιος ἦν ὁ Τελαμώνιος· εἶτα δεδιὼς ἐπάγει "ἀμφοτέρω μὲν μᾶλλον." ἔστι δὲ ἠθικὰ ταῦτα καὶ ἐγγὺς ἀληθείας, ἅπερ ἄκρως ἀπομιμεῖται ὁ ποιητής.

356. μίννυθά περ] δεξιότητος ἀγγέλου σημεῖον· προσάγεται γὰρ φάσκων ἐπ' ὀλίγον ἔσεσθαι τὴν βοήθειαν.

366. θαυμαστῶς ἐφ' ἑτέραν μάχην ἀπιὼν καὶ τῶν ἐνθάδε προνοεῖ ὡς γενναῖος καὶ πολεμόπειρος.

367. Δαναοὺς ὀτρύνετον] οὐ γὰρ εὔσχημον τὸ τοῖς ἡγεμόσι καὶ ὁμοτίμοις ἐντέλλεσθαι.

381. ὑπέρτατος] ὑπερμεγέθης. ἔστι δὲ ὁ στίχος ὅλος δακτυλικός.

382. ἄκρως τὸ ἔχοι· οὐ γὰρ ἔφη βάλοι, καίτοι ἐγχωροῦντος τοῦ μέτρου. ἔστιν οὖν ἐπίτασις· ὃν οὐδὲ κατέχειν ἀμφοτέραις ἐδύνατό τις, τοῦτον ῥηϊδίως τῇ ἑτέρᾳ ἀφίησιν Αἴας. καὶ τὸ οὐδὲ μάλ' ἠβῶν πρὸς ἐπίτασιν πλείονα ἔγκειται.

383. ὑψόθεν ἔμβαλ' ἀείρας] ἤτοι μετεωρίσας τὴν χεῖρα πρὸς τὸ βιαιοτέραν γενέσθαι τὴν τρῶσιν.

385. *κυβιστῇ, ἢ δύτῃ, ἢ δελφῖνι. τὸ δὲ ἀρνευτῆρι παρὰ τοὺς ἄρνας· καὶ γὰρ οὗτοι ἐπὶ κεφαλὴν ἑαυτοὺς ῥίπτουσιν, ὥσπερ ἀέρα εὔδιον κηρύττοντες καὶ γαλήνην.

386. κάππεσ'] ἤδη γὰρ ἐπιβεβηκότες ἦσαν τῷ τείχει. ὀστέα δὲ ἀπὸ μέρους τὸ ὅλον σῶμα· οὐ γὰρ ἐν τοῖς ἀναισθήτοις ἡ ψυχή.

388. μάλα ὦνησαν πολλοὶ ἐλθόντες βοηθοὶ Αἴας καὶ Τεῦκρος· ὅθεν καὶ τὰ ἄκρα τῆς Σαρπηδόνος στρατιᾶς παρείλοντο.

389. ἀρίστου γὰρ τοξότου τὸ ἐσκεμμένως βάλλειν καὶ τὰ καίρια τηρεῖν.

390. ἂψ δ' ἀπὸ τείχεος ἆλτο] προσηρεικὼς τῷ τείχει ὁ Γλαῦκος πάλιν ἀναχωρεῖ, ἵνα μὴ τοῖς ἑτέροις Τρωσὶν αἴτιος γένηται δειλίας, καυχήσεως δὲ τοῖς Ἀχαιοῖς.

392. Σαρπήδοντι δ' ἄχος γένετο] ἐδηλώθη ἡ διάθεσις τοῦ φίλου· διὰ γὰρ τὴν περίστασιν οὐκ ἐξάγειν, οὐ παραμυθεῖσθαι ἐδύνατο.

393. αὐτίκ' ἐπεί τ' ἐνόησεν] τὸ ἑξῆς, ἐπεὶ αὐτίκα ἐνόησεν· παρέλκει γὰρ ὁ τέ.

15. * οὐδὲ μάλ'] μάλα δὲ 21. εὔδιον] εὔδειον

395. ἐκ δ' ἔσπασεν ἔγχος] δῆλον ὅτι πλησίον ὢν καὶ τρῶσαι ἐκ χειρὸς δυνάμενος· ἤδη γὰρ ἐπέβη τῷ τείχει.

397. ἔπαλξιν ἑλών] καθέλκει τὴν ἔπαλξιν πρὸς τὸ εἰσπηδῆσαι· σαθρὰ δὲ οὖσα κατηνέχθη. τινὲς δέ φασι κάτωθεν λαβεῖν τὴν ἔπαλξιν· ἔστι γὰρ ταπεινὸν τὸ τεῖχος.

402. ἀλλὰ Ζεύς] ἄκρως κἀνταῦθα τῇ προσθήκῃ τὴν ἀποτυχίαν τοῦ Τεύκρου ἰάσατο. καὶ τοῖς βάλλουσι γὰρ χαρίζεται, καὶ Πατρόκλῳ σώζει αὐτόν.

405. μεμαῶτα] μετὰ προθυμίας ἐφαλλόμενον.

406. χώρησεν] κατὰ τὴν ἀνάβασιν δηλονότι τὴν εἰς τὸ τεῖχος ἐκωλύθη.

413. ὑποδδείσαντες] ἐπὶ δὲ τῶν Ἑλλήνων ἅμα τῷ δέει καὶ αἰδῶ παραλαμβάνει· οὐ γὰρ ὡς τυράννοις ἐξ ἐπιταγῆς ὑπακούουσιν οἱ Ἕλληνες.

416. δέ σφισι φαίνετο ἔργον] ἀνεφαίνετο αὐτοῖς μέγα ἔργον, οἷον ἡ μάχη μείζων καὶ δεινοτέρα καθίστατο.

417. οὔτε γάρ] ἀντίθεσις τὸ σχῆμα· ἀκριβῶς γὰρ ἴσα πρὸς ἴσα ἀντιτίθησιν.

421. ἀμφ' οὔρεσι δύ' ἀνέρε δηριάασθον] περὶ ὅρων ἀμιλλῶνται· οὐδὲν γὰρ τούτου ἰσορροπάτερον.

422. μέτρ'] μέτρα τοὺς γεωμετρικοὺς καλάμους. ἐπιξύνῳ δὲ κοινοὺς ὅρους ἐχούσῃ.

426. λαισήϊα] τὰ καὶ τῇ λαιᾷ δυνάμενα πάλλεσθαι ἀσπίδια.

430. συνελὼν τὸν περὶ πάντων λόγον ηὔξησε τὴν ἔμφασιν, καὶ ἐναργῶς τὸ τεῖχος ἡμαγμένον δείκνυσιν.

433. ὥστε τάλαντα γυνὴ χερνῆτις] πάλιν τὸ ἰσοπαλὲς τῶν μαχομένων παρέβαλε ζυγῷ· οὐδὲν γὰρ οὕτως ἀκριβὲς πρὸς ἰσότητα. καὶ ἡ ταλαντεύουσα οὐκ ἔστι δέσποινα οἰκίας· ταύτην γὰρ οὐ λυπεῖ πολλάκις τὸ παρὰ βραχὺ ἴσον. ἀλλ' οὐδὲ θεραπαινίς· οὐ γὰρ αὗται ζητοῦσι τὸ ἀκριβὲς εἰς τοσοῦτον, ἅτε δὴ ὑπὸ τοῦ δεσπότου τρεφόμεναι. ἡ δὲ τῇ ἀληθείᾳ χερνῆτις λίαν ἀκριβολογεῖται. ἔστι δὲ ἡ χερσὶ τὰ πρὸς τὸ ζῆν ποριζομένη.

434. ἀμφίς] ἑκατέρωθεν· μή ποτε παρισοῦσα ἀποστερηθῇ ὀλίγου μισθοῦ τιμῆς. οὐ δύναται δὲ εἰς τὸ ἀμφὶς εἶναι στιγμή· οὐδέποτε γὰρ ὁ ἐννεακαιδέκατος χρόνος τοῦ ἕπους διαστολὴν δέχεται.

5. Sequitur in B scholion de Europa, quod in aliis codicibus supra legitur ad v. 292.

28. *αὖται] αὐταὶ

437. ὑπέρτερον τῶν Ἑλλήνων. ἢ ὃ πρώην οὐκ εἶχεν.

439. * διαπρύσιον] διὰ παντὸς τοῦ πέρατος ἀκουσθῆναι δυνάμενον. ἢ διαπεράσιμον εἰς ἀκοάς. ἢ διαφανὲς καὶ σημαντικόν, ἀπὸ τοῦ πυρός.

441. καὶ νηυσίν] πρὶν παρέλθῃ τὸ τεῖχος, βαρβαρικῷ ἔθει ἀλαζονεύεται περὶ τῶν νεῶν, ὥστε φοβῆσαι τοὺς Ἕλληνας.

442. οὔασι πάντες ἄκουον] οὐ παρ' ἑτέρων. ἢ ἀναπεπταμένοις τοῖς ὠσὶ καὶ προθύμοις.

445. τὸ σύντομον καὶ ἰσχυρὸν διὰ τοῦ ἁρπάξας ἐδήλωσεν.

446. ὕπερθεν] τῷ εἰς ἀέρα νεύοντι μέρει. τοῦτο δὲ διὰ τὸ εἶναι εὐσύλληπτον, καὶ ἵνα ῥᾳδίως τῇ ὀξύτητι τὰς πύλας διασχίσῃ ὡς πέλεκυς.

447. τὸν δ' οὔ κε δύ' ἀνέρε] διττὴ ἡ ἐπίτασις, καὶ τῶν δύο μὴ κινούντων τὸν λίθον, καὶ τοῦ ἑνὸς πάλλοντος ἐλαφρῶς.

451. ἄρσενος] ὅτι τραχύτερος. ἢ ὅτι ῥυπωδέστερος, ἢ ὅτι μέγας ὁ τοῦ ἄρσενος πόκος, ἢ ὅτι ἐμφερὴς τῷ χρώματι καὶ τῇ τραχύτητι τοῦ λίθου ἐστί. θέλει δὲ παραστῆσαι τὸ τοῦ λίθου μέγεθος.

456. ἐπημοιβοί] εἰς μέσον συνάπτοντες· οἱ δὲ, εἷς ἐφ' ἕνα· μία δὲ ἐπ' αὐτῶν κλεὶς ἥρμοστο.

458. εὖ διαβάς] συνεργεῖ γὰρ ἡ διάβασις πρὸς βιαιοτέραν τοῦ βαλλομένου φοράν.

459. θαιρούς] τὸν ἄνω καὶ κάτω στρόφιγγα θαιροὺς καλεῖ. λέγονται δὲ θαιροὶ διὰ τὸ δι' αὐτῶν θεῖν τὰς πύλας.

461. σανίδες δέ] πανταχόθεν ἐκίνησε τὴν ἐνέργειαν, ἐκ τοῦ βαλόντος, ἐκ τῶν διαρριπτουμένων σανίδων, ἐκ τοῦ εἰσπηδῶντος καὶ φοβερὸν βλέποντος, ἐκ τῆς τῶν ὅπλων λαμπηδόνος, ἐκ τῶν κατεχομένων δοράτων, ἐκ τῶν ὑπερβαινόντων τὸ τεῖχος καθ' ὃ μέρος ἔρρηξε Σαρπηδών, ἐκ τῶν τρεχόντων εἰς τὰς πύλας καθ' ὃ μέρος ἔρρηξεν αὐτὰς ὁ Ἕκτωρ.

462. ὁ δ' ἄρ' ἔσθορε φαίδιμος Ἕκτωρ] οὐδέν τι τῶν ἔνδον δεινῶν ὑπολογισάμενος. πάντα οὖν τοῦ θράσους σημαντικὰ καὶ τὰ ἑξῆς ὀνόματα.

463. νυκτὶ θοῇ] νυκτὶ τὰ φοβερὰ ὁμοιοῦσιν, ὡς ἐκ τῶν ἐναντίων τοὺς εὐέκτους λέγουσιν ἡμέρους· παρὰ γὰρ τὸ ἥμερα ἥμερος.

ὑπώπια] ἀπὸ μέρους ὅλος.

19. * αὐτῶν] αὐτῷ

28. * Σαρπηδὼν—αὐτὰς ὁ] om.

465. οὐκ ἄν τίς μιν ἐρυκάκοι ἀντιβολήσας] ὥσπερ ἐπὶ γραφῆς δείκνυσιν ὁποῖος ἦν ὁ Ἕκτωρ εἰσδραμὼν εἰς τὸ τεῖχος.

466. νόσφι θεῶν] ἅμα μὲν ἐπαίρει τὰ τοῦ Ἕκτορος, ἅμα δὲ καὶ τεχνικῶς ὑπὲρ Ἑλλήνων ἀπολογεῖται, ἀντισχεῖν πρὸς τὴν ἐκδρομὴν Ἕκτορος μὴ δυνηθέντων.

470. ἐσέχυντο] ἐμφαντικῶς τῷ ὀνόματι· διὰ στενῆς γὰρ γενομένης τῆς εἰσόδου καὶ ὠστιζομένων τῶν εἰσιόντων ἢ τῶν ἤδη εἰσεληλυθότων.

PA
4035
A2
1875
t.3

Homerus
Scholia graeca in Homeri
Iliadem

PLEASE DO NOT REMOVE
CARDS OR SLIPS FROM THIS POCKET

UNIVERSITY OF TORONTO LIBRARY